ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ
ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ
7

1. ΥΠΟΜΝΗΜΑ ΣΤΟΥΣ ΨΑΛΜΟΥΣ (ΡΚΔ' - ΡΝ')

2. ΟΜΙΛΙΕΣ ΣΤΟ ΔΑΥΙΔ ΚΑΙ ΣΑΟΥΛ

ΕΙΣΑΓΩΓΗ
ΚΕΙΜΕΝΟ - ΜΕΤΑΦΡΑΣΗ - ΣΧΟΛΙΑ
ΑΠΟ ΤΟΝ
ΕΛΕΥΘΕΡΙΟ ΜΕΡΕΤΑΚΗ
Θεολόγο

Ἐπόπτες

ΠΑΝ. Κ. ΧΡΗΣΤΟΥ, Καθηγητὴς Πανεπιστημίου
ΘΕΟΔ. Ν. ΖΗΣΗΣ, Καθηγητὴς Πανεπιστημίου

Ἐπιμελητὴς Ἐκδόσεως

ΕΛΕΥΘ. Γ. ΜΕΡΕΤΑΚΗΣ, **π. Θεολογίας**



ΕΠΕ

ΠΑΤΕΡΙΚΑΙ ΕΚΔΟΣΕΙΣ «ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ»
ΘΕΣΣΑΛΟΝΙΚΗ 1983

1

ΥΠΟΜΝΗΜΑ
ΣΤΟΥΣ ΨΑΛΜΟΥΣ ΡΚΔ' - ΡΝ'.

ΕΙΣΑΓΩΓΗ

Στὸν τόμο αὐτὸ δημοσιεύονται στὸ α' μέρος ὑπόμνημα τοῦ ἁγίου Ἰω. Χρυσοστόμου στοὺς ψαλμοὺς ΡΚΔ' - ΡΝ', στὸ δὲ δεύτερο οἱ τρεῖς ὁμιλίες του στὸ Δαυὶδ καὶ τὸ Σαούλ.

Κέντρο ὅλων τῶν ψαλμῶν εἶναι ὁ Θεός. Ὁ Θεὸς μὲ τὸ ἄπειρο μεγαλεῖο του, μὲ τὶς ἀνέκφραστες δωρεές του, μὲ τὴν ἀμερόληπτη δικαιοσύνη του, καὶ ὁ ἄνθρωπος μὲ τὴ μικρότητά του, τὴ μηδαμινότητά του καὶ τὴν ἀθλιότητά του ἀποτελοῦν τὸ περιεχόμενο τῶν ψαλμῶν. Ὁ μηδαμινὸς αὐτὸς ἄνθρωπος βρισκόμενος μακριὰ ἀπὸ τὸ μεγαλεῖο αὐτὸ τοῦ Θεοῦ ἐκμηδενίζεται τελείως. Μόνο κοντὰ στὸ Θεὸ βρίσκει τὸ νόημά του. Κάθε προσπάθειά του νὰ στηρίξει τὶς ἐλπίδες του ὁπουδήποτε ἀλλοῦ, ἐκτὸς ἀπὸ τὸ Θεό, εἶναι μάταια. Ὁ Θεὸς εἶναι καὶ θὰ πρέπει νὰ εἶναι τὸ μοναδικὸ καταφύγιο γιὰ τὸ ἄνθρωπο. Ὅλα αὐτὰ ὁ Ἰω. Χρυσόστομος, σὰν γνώστης, ὅσο κανεὶς ἄλλος, τῶν ψυχικῶν ἐκδηλώσεων τοῦ ἀνθρώπου, τὰ ἑρμηνεύει καὶ τὰ ἀναπτύσσει, κατὰ τρόπο ἀνεπανάληπτο, παρέχοντας πλουσιότατη πνευματικὴ τροφὴ τόσο στοὺς τότε ἀκροατές του, ὅσο καὶ στοὺς σημερινοὺς ἀναγνῶστες. Αὐτὸ ποὺ αἰσθανόταν γιὰ τὰ ποιήματα τοῦ Δαυὶδ καὶ ἔβλεπε νὰ συμβαίνει μὲ αὐτὰ μέσα στὴ χριστιανικὴ ζωή, ν' ἀποτελοῦν δηλαδὴ τὸ ἐπίκεντρο τῆς ἀγάπης τῶν χριστιανῶν καὶ κάθε χριστιανικῆς ἐκδηλώσεως, θέλησε νὰ τὸ παρουσιάσει μὲ ὅλο τὸ συγγραφικὸ καὶ κηρυκτικὸ ἔργο του, ἰδιαίτερα ὅμως τὸ κατορθώνει αὐτὸ μὲ τὴν ἐπὶ μέρους ἑρμηνεία αὐτῶν, ἀναπτύσσοντας καὶ ἀναλύοντας ὅλες τὶς ἀλήθειες ποὺ περιέχονται σ' αὐτά, καὶ διεγείροντας ἔτσι τοὺς τότε ἀκροατές του, ἀλλὰ καὶ τοὺς ἀνὰ τοὺς αἰῶνες ἀναγνῶστες του, ὥστε νὰ καθιστοῦν αὐτὲς ἀληθινὸ βίωμά τους.

Τὸ κείμενο εἶναι παρμένο ἀπὸ τὴν ἔκδοση Montfaucon.

ΕΙΣ ΤΟΝ ΡΚΔ' ΨΑΛΜΟΝ.

«Οἱ πεποιθότες ἐπὶ Κύριον, ὡς ὄρος Σιών».

1. Τί βούλεται τοῦ Σιὼν ἡ προσθήκη; διὰ τί γὰρ οὐκ εἶπεν ἀπλῶς, "Ὡς ὄρος", ἀλλὰ τοῦ ὄρους ἐκείνου μέμνηται; Παιδεύων ἡμᾶς μὴ ταπεινοῦσθαι ἐν ταῖς συμφοραῖς, μηδὲ καταποντίζεσθαι, ἀλλὰ τῆς εἰς τὸν Θεὸν ἐλπίδος ἐκκρεμαμένους, πάντα φέρειν γενναίως, καὶ πολέμους, καὶ μάχας, καὶ ταραχάς. Ἐπεὶ καὶ τὸ ὄρος τοῦτό ποτε γενόμενον ἔρημον, καὶ γυμνὸν τῶν ἐνοικούντων, ἐπὶ τὴν προτέραν πάλιν ἐπανῆλθεν εὐημερίαν, τὴν ἀρχαίαν ἀπολαβὸν εὐπραγίαν, τῇ τῶν οἰκείων ἐπανόδῳ, ταῖς τῶν θαυμάτων ἐπιδείξεσιν· οὕτω καὶ ὁ γενναῖος ἀνὴρ κἂν μυρία πάθῃ δεινά, οὐ περιτραπήσεται. Μὴ τοίνυν τὸν ἀκίνδυνον ζήτει βίον καὶ ἀπράγμονα καὶ ἀταλαίπωρον, ἀλλὰ τὸν κινδύνοις μὴ παρασυρόμενον. Οὐ γάρ ἐστιν ἴσον ἐν λιμένι καθήμενον, καὶ πελάγιον σαλεύοντα τὴν τέχνην ἐπιδείκνυσθαι. Ὁ μὲν γὰρ νωθὴς γίνεται, καὶ χαῦνος καὶ ἄτονος, ὁ δέ, πολλὰς μὲν πέτρας ὑφάλους, πολλὰς δὲ σπιλάδας, πολλὰς δὲ ἀνέμων βίας καὶ τὰ ἄλλα τὰ ἀπὸ τῆς θαλάττης ὑπομείνας δεινά, καὶ ἐν πᾶσι τούτοις διενεγκών, ἰσχυροτέραν ἑαυτοῦ καθίστησι τὴν ψυχήν. Διὰ γὰρ τοῦτο εἰς τὸν παρόντα ἐξηνέχθης βίον, οὐχ ἵνα ἀργῇς, οὐδ' ἵνα ἀναπεπτωκὼς ᾖς, οὐδ' ἵνα μὴ πάσχῃς μηδὲν δεινόν, ἀλλ' ἵνα παθὼν λαμπρότερος γένῃ.

Μὴ δὴ τὴν ἄνεσιν ζητῶμεν, μηδὲ τὸν τρυφῆς γέμοντα βίον. Οὐ γὰρ ἀνδρὸς γενναίου, ἀλλὰ σκώληκος ἡ ἐπιθυμία, ἀλόγου

Θεωρεῖται ἕνας ἀπὸ τοὺς μεταγενέστερους ἀπὸ ὅλους τοὺς ψαλμούς, διότι γράφτηκε τὴν ἐποχὴ ποὺ ὁ Ἰσραὴλ ἐπανῆλθε ἀπὸ τὴν αἰχμαλωσία καὶ ἐγκαταστάθηκε στὴν Παλαιστίνη, οἱ δὲ ἀναφερόμενοι ἀγαθοὶ καὶ εὐθεῖς τῇ καρδίᾳ εἶναι οἱ περὶ τὸν Νεεμία. Ἀποτελεῖ προσευχὴ ὑπὲρ τῶν ἀγαθῶν καὶ εὐθέων Ἰσραηλιτῶν.

ΣΤΟΝ ΡΚΔ' ΨΑΛΜΟ*

«Ἐκεῖνοι ποὺ στηρίζουν τὴν πεποίθησή τους στὸν Κύριο ὁμοιάζουν μὲ τὸ ὄρος τῆς Σιών».

1. Τί θέλει ἡ προσθήκη τοῦ ὄρους Σιών; γιατί δὲν εἶπε ἁπλῶς, 'Σὰν Ὄρος»', ἀλλ' ἀναφέρει τὸ ὄρος ἐκεῖνο; Γιὰ νὰ μᾶς διδάξει νὰ μὴ ταπεινωνόμαστε στὶς συμφορές, οὔτε νὰ καταποντιζόμαστε μέσα σ' αὐτές, ἀλλὰ κρεμασμένοι ἀπὸ τὴν ἐλπίδα στὸ Θεό, ὅλα νὰ τὰ ὑποφέρουμε μὲ γενναιότητα, καὶ πολέμους καὶ μάχες καὶ ταραχές. Διότι καὶ τὸ ὄρος αὐτό, ποὺ κάποτε ἐρημώθηκε καὶ ἀπογυμνώθηκε ἀπὸ τοὺς κατοίκους του, ἐπανῆλθε πάλι στὴν προηγούμενη δόξα του, ἀφοῦ ἀπέκτησε τὴν παλιὰ εὐημερία του μὲ τὴν ἐπάνοδο τῶν ἀνθρώπων του καὶ μὲ τὴν ἐπιτέλεση τῶν θαυμάτων· ἔτσι καὶ ὁ γενναῖος ἄνθρωπος, καὶ ἂν ἀκόμα πάθει ἀμέτρητα κακά, δὲν θὰ ἐκτραπεῖ ἀπὸ τὸν ὀρθὸ δρόμο. Μὴ ζητᾶς λοιπὸν τὴν ἀκίνδυνη ζωή, τὴν χωρὶς φροντίδες καὶ ταλαιπωρίες, ἀλλὰ τὴ ζωὴ μὲ τοὺς κινδύνους, χωρὶς ὅμως νὰ παρασύρεσαι ἀπ' αὐτήν. Διότι δὲν εἶναι τὸ ἴδιο πράγμα τὸ νὰ κάθεται κανεὶς στὸ λιμάνι καὶ νὰ ἐπιδεικνύει τὴν κυβερνητικὴ τέχνη του, καὶ τὸ νὰ σαλεύεται μέσα στὸ πέλαγος. Καθόσον ὁ μὲν πρῶτος γίνεται νωθρός, ἀποχαυνωμένος καὶ χωρὶς ἐνεργητικότητα, ὁ δὲ ἄλλος, ἀφοῦ πέρασε πολλὲς πέτρες ὑφάλων καὶ πολλοὺς βράχους, καὶ ἀντιμετώπισε τὴν ὁρμητικότητα πολλῶν ἀνέμων καὶ τὰ ἄλλα κακὰ τῆς θάλασσας, καὶ ἀφοῦ πέρασε ἀπὸ ὅλα αὐτά, καθιστᾶ τὴν ψυχή του ἰσχυρότερη. Διότι γι' αὐτὸ ἦλθες σ' αὐτὴ τὴ ζωή, ὄχι γιὰ νὰ εἶσαι ἀδρανής, οὔτε νὰ χάνεις τὸ θάρρος μπροστὰ στὶς δυσκολίες της, οὔτε γιὰ νὰ μὴ παθαίνεις κανένα κακό, ἀλλ', ἀφοῦ πάθεις, νὰ γίνεις λαμπρότερος.

Ἂς μὴ ζητοῦμε λοιπὸν ἄνεση, οὔτε ζωὴ γεμάτη ἀπὸ ἀπολαύσεις. Διότι ἡ ἐπιθυμία μιᾶς τέτοιας ζωῆς δὲν εἶναι δεῖγμα

μᾶλλον ἢ λόγον ἔχοντος. Ἀλλ' εὔχου μὲν μάλιστα μὴ ἐμπεσεῖν εἰς πειρασμόν, εἰ δέ ποτε ἐμβαίης, μὴ δυσχέραινε, μὴ θορυβοῦ, μηδὲ ταράττου, ἀλλ' ὅπως γένοιο λαμπρότερος, ἅπαντα ποίει. Οὐχ ὁρᾷς τῶν στρατιωτῶν τοὺς ἀνδρειοτάτους πῶς τῆς σάλπιγγος καλούσης πρὸς τὰ τρόπαια βλέπουσι, πρὸς τὰς νίκας, πρὸς τοὺς στεφάνους, πρὸς τοὺς κατωρθωκότας τῶν προγόνων; Καὶ σὺ τοίνυν τῆς σάλπιγγος ἠχούσης τῆς πνευματικῆς, στῆθι λέοντος γινόμενος σφοδρότερος, ἔμβηθι, κἂν πῦρ ᾖ, κἂν σίδηρος. Οἶδε καὶ τὰ στοιχεῖα τοὺς ὄντως ἀνδρείους αἰδεῖσθαι. Οἶδε καὶ τὰ θηρία τοὺς οὕτω γενναίους δεδοικέναι. Κἂν ὑπὸ λιμοῦ, κἂν ὑπὸ τῆς φύσεως αὐτῆς ἀγριαίνῃ, πάντων ἐπιλανθάνεται, ὅταν ἴδῃ δίκαιον καὶ κρατεῖ τοῦ πάθους.

Τούτοις τοίνυν φράττου τοῖς ὅπλοις, καὶ μηδὲ πῦρ δείσεις, κἂν εἰς οὐρανὸν ἴδῃς τὴν φλόγα ἀναβαίνουσαν. Στρατηγὸν ἔχεις γενναῖον, καὶ πάντα δυνάμενον, καὶ νεύματι μόνῳ λύοντα τὰ δεινά. Πάντα ἐκείνου, καὶ οὐρανός, καὶ γῆ, καὶ θάλασσα, καὶ θηρία, καὶ πῦρ· πάντα αὐτῷ ῥᾴδια καὶ μεταθεῖναι, καὶ μεταστῆσαι πρὸς εὐκολίαν. Πόθεν οὖν δέδοικας; εἰπέ μοι. Οὐδαμόθεν ἄλλοθεν, ἀλλ' ἢ ἀπὸ νωθείας καὶ τῆς οἰκείας ῥᾳθυμίας. Οὐχὶ θάνατός ἐστι τῶν κακῶν ὁ κολοφών; Ἀλλὰ καὶ οὗτός ἐστι τῆς φύσεως τὸ ὄφλημα. Διὰ τί μὴ πραγματεύῃ τὸ χρέος; Εἰ γὰρ ἀνάγκη ἐλθεῖν τὴν ὁδὸν ταύτην καὶ ἑκόντα καὶ ἄκοντα, διὰ τί μὴ μετὰ ἐμπορίας; Ἀλλὰ μετὰ βασανιστήρια οὐ πρόσκαιρα, ἀλλὰ μείζονα τῆς ὀδύνης παρέχοντα τὴν ἡδονήν. Εἰ δὲ ταῦτά σοι δοκεῖ χαλεπὰ εἶναι, ἐννόησον τοὺς ἄνευ μισθοῦ φθορᾷ μακρᾷ παραδεδομένους, τοὺς λιμῷ διηνεκεῖ παλαίοντας, τοὺς νοσήματα ἔχοντας ἀνίατα καὶ

ἀνθρώπου γενναίου, ἀλλὰ σκωληκιοῦ, καὶ μᾶλλον ἀλόγου, παρὰ λογικοῦ. Ἀλλὰ νὰ εὔχεσαι μὲν ὅσο τὸ δυνατὸ περισσότερο νὰ μὴ περιπέσεις σὲ δοκιμασία, ἂν ὅμως συμβεῖ ποτὲ νὰ περιπέσεις, μὴ δυσανασχετεῖς, μὴ θορυβεῖσαι, μὴ ταράσσεται, ἀλλὰ κάμνε τὸ πᾶν, ὥστε νὰ γίνεις τολμηρότερος. Δὲν βλέπεις τοὺς πιὸ ἀνδρείους ἀπὸ τοὺς στρατιῶτες πῶς, ὅταν τοὺς προσκαλεῖ ἡ σάλπιγγα, ἀποβλέπουν πρὸς τὰ τρόπαια, πρὸς τὶς νίκες, πρὸς τοὺς στεφάνους, πρὸς ἐκείνους ἀπὸ τοὺς προγόνους τους ποὺ πέτυχαν κατορθώματα; Καὶ σὺ λοιπόν, ὅταν ἠχεῖ ἡ πνευματικὴ σάλπιγγα, σήκωσε τὸ ἀνάστημά σου καὶ γίνε ὁρμητικότερος ἀπὸ τὸ λεοντάρι, προχώρα, εἴτε εἶναι μπροστά σου φωτιά, εἴτε σίδηρος. Γνωρίζουν καὶ τὰ φυσικὰ στοιχεῖα νὰ σέβονται τοὺς πραγματικὰ ἀνδρείους. Γνωρίζουν καὶ τὰ θηρία νὰ φοβοῦνται τοὺς γενναίους αὐτοῦ τοῦ εἴδους. Καὶ εἴτε ἐξαγριώνεται ἀπὸ τὴν πείνα, εἴτε ἀπὸ τὴν ἴδια τὴ φύση του, ὅλα τὰ λησμονεῖ, ὅταν δεῖ δίκαιο, καὶ ἐξουσιάζει τὸ πάθος του.

Μὲ αὐτὰ λοιπὸν τὰ ὅπλα περιφρούριζε τὸν ἑαυτό σου, καὶ μὴ φοβηθεῖς φωτιά, καὶ ἂν ἀκόμα δεῖς τὴ φλόγα ν' ἀνεβαίνει στὸν οὐρανό. Ἔχεις στρατηγὸ γενναῖο, ποὺ μπορεῖ ὅλα νὰ τὰ ἐπιτύχει, καὶ ποὺ μόνο μὲ τὸ νεῦμα του ἀπαλλάσει ἀπὸ τὶς συμφορές. Ὅλα εἶναι ἐκείνου καὶ ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ ἡ θάλασσα καὶ τὰ θηρία καὶ ἡ φωτιά· ὅλα εἶναι εὔκολα σ' αὐτὸν καὶ νὰ τὰ μεταβάλει καὶ νὰ τὰ ὁδηγήσει σὲ εὔκολη λύση. Πές μου λοιπόν, ἀπὸ ποῦ φοβᾶσαι; Ἀπὸ πουθενὰ ἀλλοῦ, παρὰ ἀπὸ νωθρότητα καὶ τὴ δική σου ραθυμία. Δὲν εἶναι ὁ θάνατος τὸ ἀποκορύφωμα τῶν κακῶν; Ἀλλὰ καὶ αὐτὸς εἶναι τὸ χρέος τῆς φύσεώς μας. Γιατί δὲν φροντίζεις γιὰ τὸ χρέος; Διότι, ἂν εἶσαι ἀναγκασμένος νὰ περάσεις αὐτὸ τὸ δρόμο εἴτε τὸ θέλεις εἴτε ὄχι, γιατί δὲν τὸ κάμνεις ἀποκομίζοντας καὶ κέρδος; Βέβαια ἂν αὐτὸ γίνει μετὰ ἀπὸ βασανιστήρια ποὺ δὲν εἶναι προσωρινά, ἀλλ' ὅμως αὐτὰ σοῦ παρέχουν εὐχαρίστηση μεγαλύτερη ἀπὸ τὰ βάσανα. Ἂν δὲ αὐτὰ σοῦ φαίνονται φοβερά, σκέψου ἐκείνους ποὺ ἔχουν παραδοθεῖ χωρὶς ἀμοιβὴ σὲ μακροχρόνια καταστροφή, ποὺ παλεύουν μὲ διαρκὴ πείνα, ποὺ ἔχουν ἀσθένειες ἀθερά-

μακρά, δι' ἃ καὶ πολλάκις ηὔξαντο καταλῦσαι τὸν βίον, πολλοὶ δὲ καὶ ἐπὶ βρόχον καὶ ἐπὶ ξίφος ὥρμησαν. Σοὶ δὲ οὐρανὸς πρόκειται καὶ τὰ ἐν οὐρανοῖς ἀγαθά, καὶ οὐ φρίττεις καὶ οὐ δέδοικας καταμαλακιζόμενος, καὶ ταῦτα τοιοῦτον ἔχων σύμμαχον; Οὐκ ἀκούεις τοῦ προφήτου λέγοντος, «Οἱ πεποιθότες ἐπὶ Κύριον, ὡς ὄρος Σιών»; Ὄρος γὰρ εἶπε τὸ ἀπερίτρεπτον δηλῶν τῆς εἰς Θεὸν ἐλπίδος, τὸ πεπηγός, τὸ ἀχείρωτον, τὸ ἄμαχον. Ὥσπερ γάρ τις κἂν μυρία προσαγάγῃ μηχανήματα, ὄρος οὔτε ἀνασπάσαι, οὔτε σαλεῦσαι δυνήσεται, οὕτως ὁ προσβάλλων τῷ τὴν ἐλπίδα ἐπὶ τὸν Θεὸν ἔχοντι, κεναῖς οἴκαδε ἀναχωρήσει χερσίν. Ὄρους γὰρ πολὺ ἀσφαλέστερον ἡ ἐλπὶς ἡ ἐπὶ τὸν Θεόν.

«Οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κατοικῶν Ἰερουσαλήμ». Ἕτερος ἑρμηνευτής φησίν, «Ἀπερίτρεπτον εἰς τὸν αἰῶνα οἰκούμενον περὶ Ἰερουσαλήμ». Τί οὖν; οὐκ ἐσαλεύθησαν, φησίν, οἱ παῖδες οἱ τρεῖς καὶ ὁ Δανιήλ; Ἄπαγε· τῆς μὲν γὰρ πατρίδος ἐξέπεσον, καὶ αἰχμαλωσίαν ὑπέστησαν, σάλον δὲ οὐδένα οὐδέποτε· ἀλλ' ἐν τοσούτῳ θορύβῳ πραγμάτων, καὶ τοσούτῳ πλήθει κυμάτων ὄντες, ὡς ἐπὶ πέτρας ἑστῶτες καὶ λιμένι προσορμίζοντες γαληνῷ, οὕτως οὐδὲν ἔπασχον ἀηδές. Μὴ δὴ σάλον κάλει τὴν τῶν πραγμάτων περίστασιν. Οὐ γὰρ τοῦτο σάλος, ἀλλ' ἡ τῆς ψυχῆς ἀπώλεια καὶ τὸ τῆς ἀρετῆς ἐκπεσεῖν· ὅπερ ἐν τοῖς κινδύνοις οἱ νήφοντες οὐχ ὑπομένουσιν, ἀλλ' ἀσφαλεστέραν κέκτηνται τὴν φιλοσοφίαν τὴν ἑαυτῶν, καὶ διαλάμπουσι μειζόνως. Εἰ δὲ βούλει καὶ κατὰ ἀναγωγὴν ἐκλαβεῖν τὸ εἰρημένον, ὅτι «Οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κατοικῶν Ἰερουσαλήμ»,

πευτες καὶ μακροχρόνιες, πράγματα γιὰ τὰ ὁποῖα πολλὲς φορὲς εὐχήθηκαν νὰ τερματίσουν τὴ ζωή τους, πολλοὶ δὲ ἔφθασαν στὸ νὰ κρεμασθοῦν καὶ ν' ἀφαιρέσουν τὴ ζωή τους μὲ ξίφος. Μπροστὰ ὅμως σὲ σένα βρίσκεται ὁ οὐρανὸς καὶ τὰ οὐράνια ἀγαθὰ καὶ δὲν φρίττεις καὶ δὲν φοβᾶσαι μὲ τὴ μαλθακότητα ποῦ δείχνεις, καὶ ὅλα αὐτὰ τὴ στιγμὴ ποὺ ἔχεις τέτοιο σύμμαχο; Δὲν ἀκοῦς τὸν προφήτη ποὺ λέγει, «Ἐκεῖνοι ποὺ στηρίζουν τὴν πεποίθησή τους στὸν Κύριο, ὁμοιάζουν μὲ τὸ ὄρος τῆς Σιών»; Ὄρος δὲ εἶπε γιὰ νὰ δηλώσει τὸ ἀμετάτρεπτο τῆς ἐλπίδας πρὸς τὸ Θεό, τὸ σταθερό, τὸ ἀκατάβλητο, τὸ ἀκαταμάχητο. Διότι, ὅπως ἀκριβῶς, καὶ ἂν ἀκόμα κανεὶς συγκεντρώσει ἄπειρα μηχανήματα, δὲν θὰ μπορέσει νὰ ἐκριζώσει οὔτε νὰ μετακινήσει κάποιο ὄρος, ἔτσι ἐκεῖνος ποὺ ἐπιτίθεται ἐναντίον ἐκείνου, ποὺ ἔχει στηριγμένη τὴν ἐλπίδα του στὸ Θεό, θὰ ἀναχωρήσει γιὰ τὸ σπίτι του μὲ ἄδεια χέρια. Διότι ἡ ἐλπίδα πρὸς τὸ Θεὸ εἶναι πολὺ πιὸ σταθερότερη ἀπὸ ὄρος.

«Δὲν θὰ σαλευθεῖ στὸν αἰώνα ἐκεῖνος ποὺ κατοικεῖ στὴν Ἰερουσαλήμ». Ἄλλος ἑρμηνευτὴς λέγει, «Ἀμετακίνητος στὸν αἰώνα εἶναι ἐκεῖνος ποὺ κατοικεῖ στὴν Ἰερουσαλήμ». Τί λοιπόν; δὲν σαλεύθηκαν, λέγει, τὰ τρία παιδιὰ καὶ ὁ Δανιήλ; Μακριὰ μιὰ τέτοια σκέψη· διότι ἀπὸ μὲν τὴν πατρίδα τους ἀπομακρύνθηκαν καὶ ἔγιναν αἰχμάλωτα, ὅμως δὲν δοκίμασαν ποτὲ κάποιο σάλευμα, ἀλλὰ ἂν καὶ βρίσκονταν μέσα σὲ τόσο μεγάλο θόρυβο πραγμάτων καὶ σὲ τόσο μεγάλο πλῆθος κυμάτων, σὰν νὰ στέκονταν ἐπάνω σὲ βράχο καὶ νὰ ἦταν προσαραγμένα σὲ γαλήνιο λιμάνι, δὲν πάθαιναν τίποτε τὸ δυσάρεστο. Μὴ λοιπὸν ὀνομάζεις σάλο τὶς περιστάσεις τῶν πραγμάτων. Διότι δὲν εἶναι αὐτὸ σάλος, ἀλλ' ἡ ἀπώλεια τῆς ψυχῆς καὶ τὸ νὰ ἐκπέσεις ἀπὸ τὴν ἀρετή, πράγμα ποὺ δὲν τὸ παθαίνουν στοὺς κινδύνους ἐκεῖνοι ποὺ ἐπαγρυπνοῦν, ἀλλὰ καθιστοῦν τὴν ἀρετή τους σταθερότερη καὶ διαλάμπουν πολὺ περισσότερο. Ἂν ὅμως θέλεις νὰ ἐκλάβεις καὶ μὲ ἀλληγορικὴ σημασία τὸ λεγόμενο, ὅτι «Δὲν θὰ σαλευθεῖ στὸν αἰώνα ἐκεῖνος ποὺ κατοικεῖ στὴν Ἰερουσαλήμ», σκέψου τὸ τέλος ἐκεῖ στὴν οὐράνια

ὑπόγραψον τὴν ἐκεῖ λῆξιν τὴν ἐπὶ τῆς ἄνω μητροπόλεως. Οἱ γὰρ ἐκείνην ἀπολαβόντες πάσης εἰσὶν ἀπηλλαγμένοι περιστάσεως· οὐκ ἔστι λοιπὸν ἐκεῖ τὰ ὑποσκελίζοντα, οὐκ ἐπιθυμία, οὐδὲ ἡδοναί, οὐδὲ ἁμαρτίας περίστασις, οὐ λύπη καὶ ἀγωνία καὶ κίνδυνος, ἀλλὰ πάντα ταῦτα ἐκποδών.

2. *«Ἱερουσαλήμ, ὄρη κύκλῳ τοῦ λαοῦ αὐτοῦ ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος». Λέγει μὲν διὰ τούτων καὶ τὴν ἀπὸ τῆς θέσεως συμμαχίαν τῇ πόλει προσοῦσαν, ἀλλ' οὐκ ἀφίησι τούτοις θαρρεῖν, ἀλλ' ἐπὶ τὴν ἄμαχον ἀνάγει βοήθειαν, τὸν Θεόν. Εἰ γὰρ καὶ τὰ ὄρη αὐτὴν τειχίζει, φησίν, ἀλλ' ἐκείνης δεῖται τῆς ἀσφαλείας, καὶ τοῦτο αὐτὴν ἀχείρωτον ἐργάζεται. Διὸ καὶ ἕτερος ἑρμηνευτής φησι, «Κύριος δὲ περὶ τὸν λαὸν αὐτοῦ». Τουτέστι, μὴ θαρρεῖτε τῇ περιβολῇ τῶν ὀρῶν. Τὸ γὰρ ποιοῦν αὐτὴν ἀχείρωτον, τοῦτό ἐστιν, «Ὅτι οὐκ ἀφήσει Κύριος τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον τῶν δικαίων». Αἰτίαν λέγει τῆς τοῦ Θεοῦ βοηθείας εὔλογόν τινα, ὥστε καὶ θαρρῆσαι ἐκείνους. Ποίαν δὴ ταύτην; Οὐκ ἂν ἀνάσχοιτο, φησί, τὰ ἀγαθὰ τῶν δικαίων ἐν ταῖς χερσὶν εἶναι τῶν ἁμαρτωλῶν. Τοῦτο εἶπεν, ὁμοῦ τε θαρρεῖν αὐτοὺς παρασκευάζων περὶ τῆς συμμαχίας τῆς τοῦ Θεοῦ, καὶ πείθων μένειν ἐν ἀρετῇ, εἴ γε βούλοιντο διηνεκῶς ἀπολαύειν τῆς ἐκείνου βοηθείας, καὶ τῶν ἀγαθῶν τῶν ἰδίων εἶναι κύριοι. Δείκνυσι γὰρ διὰ τούτων, ὅτι καὶ ἡ κτῆσις καὶ ἡ ἀσφάλεια ἐν τῇ γνώμῃ κεῖται τῇ αὐτῶν. Ῥάβδον δὲ ἁμαρτωλῶν ἐνταῦθα τὴν βασιλείαν τὴν τῶν πολεμίων καλεῖ. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὐκ ἀνέξεται κρατεῖν τῆς τῶν δικαίων κληρονομίας. Εἰ γὰρ καὶ πρὸς καιρὸν τοῦτο πεποίηκεν, ἀλλ' ὑπὲρ διορθώσεως καὶ νουθεσίας καὶ σωφρονισμοῦ.*

«Ὅπως ἂν μὴ ἐκτείνωσιν οἱ δίκαιοι ἐν ἀνομίαις χεῖρας αὐτῶν». Ἕτερος, «Διὰ τοῦτο οὐκ ἐκτείνουσιν οἱ δίκαιοι εἰς ἀνο-

μητρόπολη. Διότι, ἐκεῖνοι ποὺ ἀπολαμβάνουν ἐκείνην, εἶναι ἀπαλλαγμένοι ἀπὸ κάθε παρόμοια μὲ ἐδῶ κατάσταση· δὲν ὑπάρχουν ἐκεῖ πλέον ἐκεῖνα ποὺ βλάπτουν δόλια, οὔτε ἐπιθυμία, οὔτε ἡδονές, οὔτε εὐκαιρία γιὰ ἁμαρτία, οὔτε λύπη, ἀγωνία καὶ κίνδυνος, ἀλλ' ὅλα αὐτὰ ἐξαφανίσθηκαν.

2. «Ὅπως τὴν Ἰερουσαλὴμ τὴν περικυκλώνουν ὄρη, ἔτσι καὶ ὁ Κύριος περιφρουρεῖ τὸ λαό του ἀπὸ τώρα καὶ στὸν αἰώνα». Ὁμιλεῖ μὲν μὲ αὐτὰ καὶ γιὰ τὴ βοήθεια ποὺ ὑπάρχει στὴν πόλη ἐξ αἰτίας τῆς θέσεώς της, ὅμως δὲν τοὺς ἀφήνει νὰ στηρίζουν τὴν πεποίθησή τους σ' αὐτή, ἀλλ' ὁδηγεῖ ἀπ' αὐτὴ στὴν ἀκαταμάχητη βοήθεια, στὸ Θεό. Διότι, ἂν καὶ τὰ ὄρη αὐτά, λέγει, τὴν περιτειχίζουν, ἀλλ' ὅμως χρειάζεται ἐκείνη τὴν ἀσφάλεια, καὶ αὐτὸ εἶναι ἐκεῖνο ποὺ τὴν καθιστᾶ ἀκατανίκητη. Γι' αὐτὸ καὶ ἄλλος ἑρμηνευτὴς λέγει, «Ὁ Κύριος δὲ βρίσκεται γύρω ἀπὸ τὸ λαό του». Δηλαδὴ μὴ στηρίζετε τὴν πεποίθησή σας στὰ ὄρη ποὺ σᾶς περιτειχίζουν, διότι ἐκεῖνο ποὺ τὴν κάμνει ἀκατανίκητη, εἶναι αὐτὸ «Ὅτι δὲν θ' ἀφήσει ὁ Κύριος τὴ ράβδο τῶν ἁμαρτωλῶν ἐπάνω στὴν κληρονομία τῶν δικαίων». Ἀναφέρει κάποια εὔλογη αἰτία τῆς βοηθείας τοῦ Θεοῦ, ὥστε νὰ λάβουν ἐκεῖνοι θάρρος. Ποιὰ λοιπὸν εἶναι αὐτή; Δὲν θὰ μποροῦσε, λέγει, ν' ἀνεχθεῖ τὰ ἀγαθὰ τῶν δικαίων νὰ βρίσκονται στὰ χέρια τῶν ἁμαρτωλῶν. Αὐτὸ τὸ εἶπε γιὰ νὰ τοὺς κάνει συγχρόνως καὶ νὰ ἔχουν πεποίθηση στὴν βοήθεια τοῦ Θεοῦ καὶ νὰ τοὺς πείσει νὰ παραμένουν στὴν ἀρετή, ἂν φυσικὰ θὰ ἤθελαν ν' ἀπολαμβάνουν συνέχεια τὴ βοήθεια ἐκείνου καὶ νὰ εἶναι κύριοι τῶν δικῶν τους ἀγαθῶν. Δείχνει δηλαδὴ μ' αὐτά, ὅτι καὶ ἡ ἀπόκτηση καὶ ἡ ἀσφάλεια τῶν ἀγαθῶν βρίσκονται στὴν κρίση αὐτῶν. Ράβδο δὲ ἁμαρτωλῶν ἐδῶ ὀνομάζει τὴ βασιλικὴ ἐξουσία τῶν ἐχθρῶν. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· δὲν θ' ἀνεχθεῖ ὁ Θεὸς νὰ ἐξουσιάζουν οἱ ἐχθροὶ τὴν κληρονομία τῶν δικαίων. Ἂν βέβαια αὐτὸ τὸ ἔκαμε πρὸς στιγμή, τὸ ἔκαμε γιὰ νὰ τοὺς διορθώσει, νὰ τοὺς συμβουλεύσει καὶ νὰ τοὺς σωφρονίσει.

«Γιὰ νὰ μὴ ἁπλώσουν οἱ δίκαιοι τὰ χέρια τους σὲ παρανομίες». Ἄλλος λέγει, «Γι' αὐτὸ δὲν θ' ἁπλώσουν οἱ δίκαιοι τὰ

μίαν χεῖρας αὐτῶν». Διὰ τοῦτο· ποῖον; Διὰ τὸ εἰρημένον, ὅτι προστήσεται, ·ὅτι ἀμυνεῖ, ὅτι διακρούσεται, ὅτι προστήσει τοὺς πολεμίους ἀπὸ τῶν κτημάτων αὐτῶν. Ὡσεὶ ἔλεγε· τῷ τε πειρασμῷ σωφρονισθέντες, τῇ τε χορηγίᾳ τῶν ἀγαθῶν γενόμενοι βελτίους, ἐν ἀρετῇ διατελέσουσιν ὄντες, καὶ οὐχ ἅψονται πονηρίας ἑκατέρωθεν παιδευόμενοι. Ὥστε δὴ τὸ πᾶν διὰ τοῦτο ἐγίνετο, ὥστε τὴν ψυχὴν αὐτῶν ἀμείνω γενέσθαι, τῇ τε ἐπαγωγῇ τῶν δεινῶν διορθουμένην, τῇ τε δόσει τῶν ἀγαθῶν προθυμοτέραν καθισταμένην.

«Ἀγάθυνον, Κύριε, τοῖς ἀγαθοῖς». Ἕτερος, «Ἀγαθοποίησον». «Καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ. Τοὺς δὲ ἐκκλίνοντας εἰς τὰς στραγγαλιὰς ἀπάξει Κύριος μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν». Ὁρᾷς παρ' ἡμῶν πανταχοῦ τὰς ἀρχὰς γινομένας, καὶ τοῦ τῶν χρηστῶν ἀπολαύειν, καὶ τοῦ κολάσεις ὑπομένειν; Ἀλλ' εἰ καὶ παρ' ἡμῶν αἱ ἀρχαί, ἀλλ' ὅμως καὶ οὕτω τῆς τοῦ Θεοῦ φιλανθρωπίας πολλὴ δείκνυται ἡ λαμπηδών· ἐκ γὰρ πολλοῦ τοῦ περιόντος νικᾷ ταῖς ἀντιδόσεσιν ἡμᾶς· καὶ ἐπὶ μὲν τῶν ἁμαρτημάτων σύμμετρον ἐπάγει τὴν τιμωρίαν, ἐπὶ δὲ τῶν κατορθωμάτων ὑπερβαίνουσαν παρέχει τὴν ἀντίδοσιν. Εὐθεῖς δὲ ἐνταῦθα καλεῖ τοὺς ἀδόλους, τοὺς ἀπλάστους, τοὺς οὐδὲν ἔχοντας συνεσκιασμένον καὶ ὕπουλον.

Τοιοῦτον γὰρ τὸ εὐθές, ὃ μάλιστα ὁ Θεὸς ἐπιζητεῖ πανταχοῦ. Τοιοῦτον ἡ ἀρετή, λεία τις καὶ εὔκολος, ὥσπερ οὖν ἡ πονηρία διεστραμμένον, ποικίλον, ἀδιεξόδευτον· καὶ τοῦτό ἐστιν ἀπὸ τῶν πραγμάτων ἰδεῖν αὐτῶν. Ὁ γοῦν βουλόμενος ψεύσασθαι, καὶ δόλους ῥάψαι, ἐννόησον ὅσοις ἐπιχειρεῖ, ὅσης δεῖται τῆς ποικιλίας, ποίων λόγων πεπλασμένων, πόσης δεινότητος. Ὁ δὲ τὴν ἀλήθειαν λέγων, οὐ πόνου, οὐ δυσκολίας, οὐχ ὑποκρίσε-

χέρια τους σὲ παρανομία». Γι' αὐτό· γιὰ ποιό; Γι' αὐτὸ ποῦ εἶπε, ὅτι θὰ μπεῖ μπροστά τους, θὰ τοὺς προστατεύσει, θ' ἀποκρούσει καὶ θ' ἀπομακρύνει τοὺς ἐχθροὺς ἀπὸ τὰ κτήματά τους. Εἶναι σὰν νὰ ἔλεγε· ἀφοῦ σωφρονισθοῦν μὲ τὴ δοκιμασία καὶ γίνουν καλύτεροι μὲ τὴ χορήγηση τῶν ἀγαθῶν, νὰ ζήσουν ἐνάρετα καὶ νὰ μὴ πλησιάζουν τὴν κακία, διδασκόμενοι καὶ ἀπὸ τὰ δύο. Ὥστε λοιπὸν τὸ πᾶν γι' αὐτὸ γινόταν, γιὰ νὰ γίνει ἡ ψυχή τους καλύτερη, καὶ νὰ διορθώνεται μὲ τὴν πρόσθεση τῶν συμφορῶν, καὶ νὰ γίνεται προθυμότερη μὲ τὴ χορήγηση τῶν ἀγαθῶν.

«Εὐεργέτησε, Κύριε, τοὺς ἀγαθούς». Ἄλλος λέγει, «Ἀγαθοποίησε». «Καὶ σ' ἐκείνους ποὺ ἔχουν εἰλικρινὴ καρδιά. Ἐκείνους δὲ ποὺ παρεκλίνουν πρὸς τοὺς διεστραμμένους δρόμους θὰ τοὺς ἐξολοθρεύσει ὁ Κύριος μαζὶ μὲ ἐκείνους ποὺ πράττουν τὴν ἀνομία». Βλέπεις ὅτι σ' ὅλες τὶς περιπτώσεις ἀπὸ ἐμᾶς γίνεται ἡ ἀρχή, καὶ ἡ ἀπόλαυση τῶν ἀγαθῶν, καὶ ἡ ἀποδοχὴ τῶν τιμωριῶν; Ἀλλ' ἂν καὶ ἀπὸ ἐμᾶς γίνεται ἡ ἀρχή, ὅμως καὶ ἔτσι ἀποδεικνύεται μεγάλη ἡ ἀκτινοβολία τῆς φιλανθρωπίας τοῦ Θεοῦ· καθόσον σὲ ὑπερβολικὸ βαθμὸ ὑπερβαίνουν τὰ δικά μας οἱ ἀνταποδόσεις αὐτοῦ· καὶ στὴν περίπτωση μὲν τῶν ἁμαρτημάτων ἐπιβάλλει τὴν ἀνάλογη τιμωρία, στὴν περίπτωση δὲ τῶν κατορθωμάτων παρέχει τὴν ἀνταπόδοσή του σὲ ὑπερβολικὸ βαθμό. Εὐθεῖς δὲ ἐδῶ ὀνομάζει τοὺς ἀπονήρευτους, τοὺς εἰλικρινεῖς, ἐκείνους ποὺ δὲν ἔχουν τίποτε τὸ σκοτεινὸ καὶ ὕπουλο.

Πράγματι τέτοια εἶναι ἡ εἰλικρίνεια, πράγμα ποὺ ὁ Θεὸς ἐπιζητεῖ κατ' ἐξοχὴ παντοῦ. Τέτοια εἶναι ἡ ἀρετή, κάτι τὸ εὐχάριστο καὶ εὔκολο, ὅπως ἀκριβῶς βέβαια ἡ κακία εἶναι κάτι τὸ διεστραμμένο, πολύμορφο καὶ δυσάρεστο· καὶ αὐτὸ μποροῦμε νὰ τὸ διαπιστώσουμε ἀπὸ τὰ ἴδια τὰ πράγματα. Ἐκεῖνος δηλαδὴ ποὺ θέλει νὰ πεῖ ψέματα καὶ νὰ ὑφάνει δολιότητες, σκέψου πόσα ἐπιχειρεῖ, πόση πανουργία ἔχει ἀνάγκη, πόσα λόγια προσποιητά, πόση κακία, ἐνῶ ἐκεῖνος ποὺ λέγει τὴν ἀλήθεια, οὔτε κόπο χρειάζεται, οὔτε δυσκολία, οὔτε ὑποκρισία, οὔτε μηχα-

ως, οὐ μηχανημάτων, οὐδενὸς δεῖται τοιούτου, αὐτῆς καθ' ἑαυτὴν ἐκείνης διαλαμπούσης. Καθάπερ γὰρ τὰ μὲν ἄμορφα τῶν σωμάτων πολλῶν ἔξωθεν δεῖται τῶν τεχνασμάτων, καὶ τῶν ἐπικαλυμμάτων τὴν ἀπὸ τῆς φύσεως ἀμορφίαν συσκιαζόντων, τὰ δὲ φύσει καλὰ αὐτὰ καθ' ἑαυτὰ ἀγωνιζόμενα λάμπει, οὕτω καὶ ἐπὶ τοῦ ψεύδους καὶ τῆς ἀληθείας ἐστὶν εὑρεῖν, καὶ τῆς κακίας, καὶ τῆς ἀρετῆς.

Ὅθεν δῆλον, ὅτι καὶ πρὸ τῆς κολάσεως ἡ κακία τὴν κόλασιν ἐπάγει, καὶ πρὸ τῆς ἀντιδόσεως ἡ ἀρετὴ τὴν ἀμοιβὴν δίδωσιν. Ὥσπερ γὰρ ἐκείνη ἐν ἑαυτῇ τὰ ἔπαθλα ἔχει καὶ πρὸ τῶν στεφάνων, οὕτω καὶ αὕτη ἐν ἑαυτῇ τὴν τιμωρίαν ἔχει καὶ πρὸ τῆς κολάσεως. Τί γὰρ ἂν γένοιτο χαλεπώτερον ἁμαρτίας εἰς τιμωρίας λόγον; Διὰ δὴ τοῦτο καὶ ὁ Παῦλος τῶν ἡταιρηκότων μνημονεύσας, τῶν τὴν ὥραν τὴν ἑαυτῶν ἀποδιδομένων, καὶ τῆς φύσεως τοὺς νόμους ἀνατρεπόντων, ταύτην ἔφησε τιμωρίαν μεγίστην εἶναι καὶ πρὸ τῆς κολάσεως. «Ἄρσενες» γάρ, φησίν, «ἐν ἄρσεσι τὴν ἀσχημοσύνην κατεργαζόμενοι, καὶ τὴν ἀντιμισθίαν, ἣν ἔδει, τῆς πλάνης αὐτῶν ἐν ἑαυτοῖς ἀπολαμβάνοντες», ἀντιμισθίαν τῆς ἁμαρτίας αὐτῶν τὴν ἀσέλγειαν καὶ τὴν πρᾶξιν καλῶν.

«Εἰρήνη ἐπὶ τὸν Ἰσραήλ». Εἰς εὐχὴν τὸν λόγον κατέκλεισε. Τοιαῦται γὰρ αἱ τῶν ἁγίων ψυχαί· μετὰ τῆς παραινέσεως καὶ τῆς συμβουλῆς τὴν εὐχὴν προστιθέασι, μεγίστην συμμαχίαν εἰσάγουσαι τοῖς ἀκούουσιν. Εἰρήνην δὲν ἐνταῦθα, οὐ ταύτην μόνην τὴν αἰσθητήν, ἀλλὰ καὶ τὴν ταύτης ὑψηλοτέραν, καὶ ὅθεν καὶ αὕτη τίκτεται, λέγει, καὶ εὔχεται ὥστε μὴ στασιάζειν τὴν ψυχὴν αὐτὴν πρὸς ἑαυτὴν τῶν παθῶν τὸν πόλεμον ἐπεισάγουσαν.

Ταύτην δὴ καὶ ἡμεῖς τὴν εἰρήνην ζητῶμεν, ἵνα τῶν ἐπηγγελμένων ἀγαθῶν δυνηθῶμεν τυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα, καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

1. Ρωμ. 1, 27.

νορραφίες, οὔτε κανένα παρόμοιο, ἀλλ' ἡ ἴδια ἡ ἀλήθεια ἀπὸ μόνη της ἀκτινοβολεῖ. Διότι, ὅπως ἀκριβῶς τὰ μὲν ἄσχημα σώματα ἔχουν ἀνάγκη ἐξωτερικὰ ἀπὸ πολλὲς πανοῦργες ἐπινοήσεις καὶ ἐπικαλύμματα ποὺ συγκαλύπτουν τὴ φυσικὴ ἀσχήμια, ἐνῶ τὰ ἐκ φύσεως ὄμορφα ἀγωνιζόμενα διαλάμπουν ἀπὸ μόνα τους, τὸ ἴδιο πράγμα μποροῦμε νὰ διαπιστώσουμε καὶ μεταξὺ τοῦ ψεύδους καὶ τῆς ἀλήθειας, μεταξὺ τῆς κακίας καὶ τῆς ἀρετῆς.

Ἄρα εἶναι φανερό, ὅτι ἡ κακία παρέχει τὴν τιμωρία καὶ πρὶν ἀπὸ τὴν κόλαση, καὶ ἡ ἀρετὴ πάλι δίνει τὴν ἀμοιβὴ πρὶν ἀπὸ τὴν ἀνταπόδοση. Διότι, ὅπως ἀκριβῶς ἡ ἀρετὴ περιέχει τὰ ἔπαθλα μέσα της καὶ πρὶν ἀπὸ τοὺς στεφάνους, ἔτσι καὶ ἡ κακία ἔχει μέσα της τὴν τιμωρία καὶ πρὶν ἀπὸ τὴν κόλαση. Πράγματι τί θὰ μποροῦσε νὰ ὑπάρξει φοβερότερο ἀπὸ τὴν ἁμαρτία σὰν αἰτία τῆς τιμωρίας; Γι' αὐτὸ λοιπὸν καὶ ὁ Παῦλος ἀφοῦ ἀνέφερε ἐκείνους ποὺ πορνεύουν μεταξύ τους καὶ πωλοῦν τὴ σωματικὴ ὀμορφιά τους, ἀνατρέποντας τοὺς φυσικοὺς νόμους, αὐτή εἶπε ὅτι εἶναι ἡ πιὸ μεγαλύτερη τιμωρία πρὶν ἀπὸ τὴ μελλοντικὴ κόλαση. Διότι, λέγει, «Ἄνδρες ἀσχημονοῦν μὲ ἄνδρες, ἀπολαμβάνοντας ἀναμεταξύ τους τὸ μισθὸ τῆς πλάνης τους ποὺ τοὺς ἄξιζε»[1], ὀνομάζοντας μισθὸ τῆς ἁμαρτίας τους τὴν ἀσέλγεια καὶ τὴν ἀφύσικη πράξη τους.

«Εἴθε νὰ ὑπάρχει εἰρήνη στὸν Ἰσραήλ». Τελείωσε τὸ λόγο μὲ εὐχή. Διότι τέτοιες εἶναι οἱ ψυχὲς τῶν ἁγίων· μετὰ τὴν παραίνεση καὶ τὴ συμβουλὴ προσθέτουν τὴν εὐχή, προσφέροντας μέγιστη βοήθεια στοὺς ἀκροατές τους. Εἰρήνη δὲ ἐδῶ ὀνομάζει ὄχι μόνο αὐτὴ τὴν αἰσθητή, ἀλλὰ καὶ αὐτὴν ποὺ βρίσκεται ὑψηλότερα ἀπ' αὐτὴν καὶ ἀπὸ τὴν ὁποία γεννιέται αὐτὴ καὶ εὔχεται νὰ μὴ φιλονεικεῖ ἡ ψυχὴ μὲ τὸν ἑαυτό της, εἰσάγοντας μέσα της τὸν πόλεμο τῶν παθῶν.

Αὐτὴ λοιπὸν τὴν εἰρήνη καὶ ἐμεῖς ἂς ἐπιζητοῦμε, γιὰ νὰ μπορέσουμε νὰ ἐπιτύχουμε τὰ ὑποσχεθέντα ἀγαθά, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟΝ ΡΚΕ' ΨΑΛΜΟΝ.

«Ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν Σιών, ἐγενήθημεν ὡσεὶ παρακεκλημένοι». Ἕτερος ἑρμηνευτής φησιν, «Ὅταν ἐπιστρέψῃ Κύριος τὴν αἰχμαλωσίαν, ἐσόμεθα παρακεκλημένοι».

1. Τὸ τῆς αἰχμαλωσίας ὄνομα ἁπλοῦν μέν ἐστιν κατὰ τὴν προφοράν, ἔχει δὲ πολλὰς ἐννοίας. Ἔστι γὰρ καὶ καλὴ αἰχμαλωσία, ὡς ὅταν λέγῃ Παῦλος, «Αἰχμαλωτίζοντες πᾶν νόημα εἰς Χριστόν»· ἔστι καὶ κακή, ὡς ὅταν λέγῃ· «Αἰχμαλωτεύοντες γυναικάρια σεσωρευμένα ἁμαρτίαις». Ἔστιν ἡ νοητή, περὶ ἧς φησι· «Κηρῦξαι αἰχμαλώτοις ἄφεσιν». Ἔστιν ἡ αἰσθητή, ἡ παρὰ τῶν πολεμίων. Χαλεπωτέρα δὲ ἡ προτέρα. Οἱ μὲν γὰρ νόμῳ πολέμου τινὰς λαβόντες, καὶ φείδονται πολλάκις τῶν εἰλημμένων· κἂν ἐπιτάξωσι ὑδροφορεῖν, ξυλοκοπεῖν, καὶ ἱπποφορβοὺς ποιήσωσιν, οὐδὲν εἰς τὴν ψυχὴν παρέβλαψαν, ὁ δὲ ὑπὸ τῆς ἁμαρτίας ληφθεὶς αἰχμάλωτος, ἀφειδῆ καὶ βάρβαρον δέσποιναν κτᾶται, εἰς τὰ ἀτιμότατα αὐτὸν τῶν ἔργων καταφέρουσαν. Οὐ γὰρ οἶδε φείδεσθαι, οὐδὲ ἐλεεῖν αὕτη ἡ τυραννίς. Ἄκουσον γοῦν πῶς τὸν ἄθλιον καὶ ταλαίπωρον Ἰούδαν λαβοῦσα αἰχμάλωτον οὐκ ἐφείσατο, ἀλλ' ἐποίησεν ἱερόσυλον, προδότην· καὶ μετὰ τὸ τὴν ἁμαρτίαν ἀνύσαι, εἰς τὸ θέατρον αὐτὸν ἤγαγε τῶν Ἰουδαίων, καὶ

1. Ὁ ψαλμὸς αὐτὸς γράφτηκε μετὰ τὴν αἰχμαλωσία καὶ ἀποτελεῖ εὐχαριστήριο καὶ ἱκετήριο ὕμνο πρὸς τὸ Θεό. Τὸ εὐχαριστοῦν ἐκεῖνοι ποὺ ἐπέστρεψαν ἀπὸ τὴν Βαβυλώνια αἰχμαλωσία, παράλληλα δὲ τὸν ἱκετεύουν νὰ βοηθήσει τὴν ἐπιστροφὴ καὶ τῶν ὑπολοίπων τέκνων τοῦ Ἰσραήλ.

ΟΜΙΛΙΑ

ΣΤΟΝ ΡΚΕ' ΨΑΛΜΟ[1]

«Ὅταν ὁ Κύριος ἐπέστρεψε τοὺς αἰχμαλώτους τῆς Σιών, αἰσθανθήκαμε μεγάλη παρηγοριά». Ἄλλος ἑρμηνευτὴς λέγει, «Ὅταν ὁ Κύριος θὰ ἐπιστρέψει τοὺς αἰχμαλώτους, θὰ αἰσθανθοῦμε μεγάλη παρηγοριά».

1. Τὸ ὄνομα τῆς αἰχμαλωσίας εἶναι μὲν ὡς πρὸς τὴν προφορὰ ἁπλό, ἔχει ὅμως πολλὲς ἔννοιες. Διότι σημαίνει καὶ καλὴ αἰχμαλωσία, ὅπως ὅταν λέγει ὁ Παῦλος, «Αἰχμαλωτίζοντας κάθε καρδιὰ καὶ κάμνοντάς την ὑπάκουη στὸ Χριστό»[2], σημαίνει καὶ κακή, ὅπως ὅταν λέγει, «Αἰχμαλωτίζοντας γυναικάρια φορτωμένα μὲ σωροὺς ἁμαρτιῶν»[3]. Ὑπάρχει ἡ πνευματικὴ αἰχμαλωσία, γιὰ τὴν ὁποία λέγει· «Γιὰ νὰ κηρύξετε τὴν ἀπελευθέρωση τῶν αἰχμαλώτων»[4]. Ὑπάρχει καὶ ἡ αἰσθητή, ποὺ γίνεται ἀπὸ τοὺς ἐχθρούς. Φοβερώτερη ὅμως εἶναι ἡ προηγούμενη. Διότι, ἐκεῖνοι μὲν ποὺ συνέλαβαν αἰχμαλώτους σύμφωνα μὲ τὸ νόμο τοῦ πολέμου, πολλὲς φορὲς δείχνουν εὐσπλαχνία πρὸς τοὺς αἰχμαλώτους· καὶ ἂν ἀκόμα τοὺς διατάζουν νὰ μεταφέρουν νερό, νὰ κόβουν ξύλα καὶ νὰ βόσκουν ἵππους, δὲν τοὺς ἔβλαψαν καθόλου στὴν ψυχή, ἐνῶ ἐκεῖνος ποὺ κυριεύθηκε αἰχμάλωτος ἀπὸ τὴν ἁμαρτία, ἀποκτᾶ ἄσπλαχνη καὶ σκληρὴ κυρία, ποὺ τὸν ὁδηγεῖ στὰ πιὸ ἀτιμωτικὰ ἔργα. Διότι δὲν γνωρίζει εὐσπλαχνία οὔτε συμπόνια αὐτὴ ἡ τυραννίδα. Ἄκουσε λοιπὸν πῶς δὲν εὐσπλαχνίσθηκε ἀφοῦ ἔλαβε αἰχμάλωτο τὸν ἄθλιο καὶ ταλαίπωρο Ἰούδα, ἀλλὰ τὸν ἔκαμε ἱερόσυλο καὶ προδότη, καί, ἀφοῦ διέπραξε τὴν ἁμαρτία, τὸν ὁδήγησε μπροστὰ στὸ συν-

2. Β' Κορ. 10, 5.
3. Β' Τιμ. 3, 6.
4. Ἠσ. 61, 1.

ἀπεκάλυψε τὸ πλημμέλημα, καὶ οὐδὲ οὕτως ἀφῆκε καρπώσασθαι τὸ ἐκ τῆς μετανοίας κέρδος, ἀλλὰ προαπήγαγε τῆς μετανοίας, ἐπὶ βρόχον ἀγαγοῦσα. Τύραννος γάρ ἐστι χαλεπή, πονηρὰ ἐπιτάττουσα ἐπιτάγματα, καὶ καταισχύνουσα τοὺς ὑπακούοντας. Διό, παρακαλῶ, φεύγωμεν μετὰ πολλῆς τῆς σπουδῆς τὴν δεσποτείαν αὐτῆς, καὶ πολεμῶμεν αὐτῇ, καὶ μηδέποτε καταλλαττώμεθα, καὶ ἐλευθερωθέντες μένωμεν ἐπὶ τῆς ἐλευθερίας. Εἰ γὰρ οὗτοι βαρβάρων ἀπαλλαγέντες ἐγένοντο παρακεκλημένοι, πολλῷ μᾶλλον ἡμᾶς ἁμαρτίας ἐλευθερωθέντας χαίρειν δεῖ καὶ σκιρτᾷν, καὶ ἀθάνατον ταύτην διατηρεῖν τὴν ἡδονήν, ἀλλὰ μὴ λυμαίνεσθαι μηδὲ θολοῦν αὐτὴν πάλιν τοῖς αὐτοῖς ἐπιχειροῦντας κακοῖς.

«Ἐγενήθημεν ὡσεὶ παρακεκλημένοι». Τοῦτο μὲν οἱ ἄλλοι ἑρμηνευταί φασιν, «Ὡσεὶ ἐνυπνιαζόμενοι», ὁ δὲ Ἑβραῖος, «Χαωλεμίμ». Τί δέ ἐστι, «Παρακεκλημένοι»; Ἀναπαύσεως ἐπλήσθημεν, φησίν, εὐφροσύνης, ἡδονῆς. «Τότε ἐπλήσθη χαρᾶς τὸ στόμα ἡμῶν, καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως. Τότε ἐροῦσιν ἐν τοῖς ἔθνεσιν, ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μετὰ αὐτῶν. Ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μεθ' ἡμῶν». Οὐ μικρὰ συντελεῖ πρὸς βελτίω μεταβολὴν τὸ χαίρειν ἐπὶ τῇ ἀπαλλαγῇ τῆς αἰχμαλωσίας. Καὶ τίς οὐ χαίρει, φησίν, ἐπὶ τούτῳ; Οἱ πατέρες οἱ τούτων, ὅτε ἀπηλλάγησαν τῆς Αἰγύπτου, καὶ ἐκ τῆς δουλείας ἐκείνης πρὸς ἐλευθερίαν μετέστησαν, ὑπὸ ἐσχάτης ἀγνωμοσύνης ἐν αὐτοῖς ἐγόγγυζον τοῖς ἀγαθοῖς, ἐδυσχέραινον, ἐχαλέπαινον, ἀλύοντες διετέλουν. Ἀλλ' οὐχ ἡμεῖς, φησίν, ἀλλὰ χαίρομεν καὶ σκιρτῶμεν. Λέγουσι δὲ καὶ τὴν αἰτίαν τῆς χαρᾶς. Οὐ μόνον, φησί, διὰ τὴν ἀπαλλαγὴν τῶν δεινῶν χαίρομεν, ἀλλ' ὅτι καὶ ἐντεῦθεν πάντες εἴσονται τοῦ Θεοῦ τὴν πρόνοιαν τὴν περὶ ἡμᾶς. «Τότε» γάρ, φησίν, «ἐροῦσιν ἐν τοῖς ἔθνεσιν, ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι

έδριο τῶν 'Ιουδαίων καὶ φανέρωσε τὸ πλημμέλημά του, καὶ οὔτε ἔτσι τὸν ἄφησε νὰ ἐπωφεληθεῖ τὸ κέρδος τῆς μετάνοιας, ἀλλὰ τὸν ἀπομάκρυνε ἀπὸ τὴν μετάνοια καὶ τὸν ὁδήγησε στὴν κρεμάλα. Διότι εἶναι τύραννος φοβερή, προστάζει κακὰ παραγγέλματα καὶ ἐντροπιάζει ἐκείνους ποὺ ὑποκούουν σ' αὐτή. Γι' αὐτὸ, παρακαλῶ, ἂς ἀποφεύγουμε μὲ μεγάλη προσοχὴ καὶ προθυμία τὴν ἐξουσία της καὶ νὰ τὴν πολεμοῦμε, καὶ ποτὲ νὰ μὴ συμφιλιωνόμαστε μαζί της, καὶ ἀφοῦ ἐλευθερωθοῦμε ἀπ' αὐτήν, ἂς μένουμε ἐλεύθεροι. Διότι ἂν αὐτοί, ἐπειδὴ ἀπαλλάχθηκαν ἀπὸ βαρβάρους, αἰσθάνθηκαν παρηγοριά, πολὺ περισσότερο πρέπει ἐμεῖς νὰ χαιρόμαστε καὶ νὰ σκιρτοῦμε ἀπὸ χαρὰ ποὺ ἐλευθερωθήκαμε ἀπὸ τὴν ἁμαρτία καὶ νὰ διατηροῦμε ἀθάνατη αὐτὴ τὴ χαρά, καὶ νὰ μὴ τὴν καταστρέφουμε οὔτε νὰ τὴ θολώνουμε πάλι αὐτήν, πράττοντας τὰ ἴδια κακά.

«Αἰσθανθήκαμε μεγάλη παρηγοριά». Αὐτὸ ἄλλοι μὲν ἑρμηνευτὲς τὸ ἑρμηνεύουν, «Σὰν ὀνειρευόμενοι», ὁ δὲ 'Εβραῖος τὸ λέγει, «Χαωλεμίμ». Τί σημαίνει δέ, «παρακεκλημένοι»; Γεμίσαμε, λέγει, ἀπὸ ἀνακούφιση, εὐφροσύνη, εὐχαρίστηση. «Τότε γέμισε τὸ στόμα μας ἀπὸ χαρὰ καὶ ἡ γλώσσα μας ἀπὸ ἀγαλλίαση. Τότε ἔλεγαν πολλοὶ ἀπὸ τοὺς ἐθνικούς, μεγάλα καὶ θαυμαστὰ πράγματα ἔκαμε ὁ Κύριος σ' αὐτούς. Πράγματι ἔκαμε ὁ Κύριος σ' ἐμᾶς μεγάλα καὶ θαυμαστὰ πράγματα». Δὲν εἶναι μικρὴ ἡ μεταβολὴ πρὸς τὸ καλύτερο ποὺ συντελεῖται ἀπὸ τὴ χαρὰ ἐξ αἰτίας τῆς ἀπαλλαγῆς ἀπὸ τὴν αἰχμαλωσία. Καὶ ποιός δὲν χαίρεται, λέγει, γι' αὐτό; Οἱ πατέρες τους, ὅταν ἀπαλλάχθηκαν ἀπὸ τὴ δουλεία τῆς Αἰγύπτου καὶ μεταφέρθηκαν ἀπὸ τὴ δουλεία ἐκείνη πρὸς τὴν ἐλευθερία, κυριευμένοι ἀπὸ τὴ φοβερὴ ἀχαριστία ἐγόγγυζαν ἐνῶ ἀπολάμβαναν τὰ ἀγαθά, δυσανασχετοῦσαν, δυσφοροῦσαν καὶ στενοχωριοῦνταν. Ὅμως, λέγει, δὲν συμβαίνει τὸ ἴδιο μὲ ἐμᾶς, ἀλλὰ χαιρόμαστε καὶ πηδοῦμε ἀπ' τὴ χαρά μας. 'Αναφέρουν δὲ καὶ τὴν αἰτία τῆς χαρᾶς. Ὄχι μόνο, λέγει, χαιρόμαστε γιὰ τὴν ἀπαλλαγὴ ἀπὸ τὰ κακά, ἀλλὰ καὶ ἐπειδὴ ἀπ' αὐτὸ θὰ γνωρίσουν ὅλοι τὴν πρόνοια τοῦ Θεοῦ πρὸς ἐμᾶς. Διότι, λέγει, «Τότε θὰ ποῦν πολλοὶ ἀ-

μετ' αὐτῶν. Ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μεθ' ἡμῶν». Οὐχ ἁπλῶς ὁ διπλασιασμὸς πρόκειται, ἀλλ' ἕνεκα τοῦ ἐμφῆναι τὴν πολλὴν αὐτῶν ἣν ἔσχον χαράν. Τὸ μὲν γὰρ τῶν ἐθνῶν ἐστι ῥῆμα, τὸ δὲ αὐτῶν πάλιν. Καὶ ὅρα. Οὐκ εἶπον, 'ἔσωσεν ἡμᾶς', οὐδέ, 'ἀπήλλαξεν ἡμᾶς', ἀλλ', «Ἐμεγάλυνε», τὸ παράδοξον, τὸ θαύματος γέμον διὰ τῆς προσηγορίας τοῦ μεγαλῦναι παραστῆσαι βουλόμενοι. Ὁρᾷς, ὅτι ὅπερ συνεχῶς ἔλεγον, διὰ τοῦ ἔθνους τούτου ἡ οἰκουμένη ἐπαιδεύετο, καὶ ἀπαγομένων αὐτῶν καὶ ἐπαναγομένων; Ἡ γὰρ ἄνοδος ἀντὶ κήρυκος ἐγένετο. Καὶ γὰρ αὐτῶν ἡ φήμη περιῄει πανταχοῦ, κατάδηλον πᾶσι ποιοῦσα τὴν τοῦ Θεοῦ φιλανθρωπίαν· ὅτι μεγάλα καὶ παράδοξα ὡς ἀληθῶς ἦσαν τὰ περὶ αὐτοὺς γεγενημένα θαύματα. Αὐτὸς γὰρ αὐτοὺς ὁ κατέχων Κῦρος ἀφῆκεν, οὐδενὸς δεηθέντος, ἀλλὰ τοῦ Θεοῦ τὴν ἐκείνου διάνοιαν μαλάξαντος· καὶ οὐκ ἀφῆκεν ἁπλῶς, ἀλλὰ καὶ μετὰ δώρων καὶ ξενίων.

«Ἐγενήθημεν εὐφραινόμενοι. Ἐπίστρεψον, Κύριε, τὴν αἰχμαλωσίαν ἡμῶν, ὡς χειμάρρους ἐν τῷ νότῳ». Πῶς ἀρχόμενος τοῦ ψαλμοῦ, «Ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν Σιών», εἶπεν, ἐνταῦθα δέ, «Ἐπίστρεψον»; Ὡς περὶ μέλλοντος διαλεγόμενος. Μάλιστα γὰρ ὁ ἕτερος ἑρμηνευτὴς εἰς τοῦτο ἡμᾶς προσάγει, οὐκ εἰπών, «Ἐν τῷ ἐπιστρέψαι», ἀλλ', «Ὅταν ἐπιστρέψῃ», ὅτι ἀρχὴν τότε τὸ πρᾶγμα ἐλάμβανεν, καὶ οὐκ ἐν προοιμίοις τὸ πᾶν κατωρθώθη, ἀλλὰ πολλαὶ γεγόνασιν αὐτῶν ἀναβάσεις· καὶ γὰρ πρώτη, καὶ δευτέρα, καὶ τρίτη γέγονε. Τοῦτο οὖν ἔστιν εἰπεῖν· ἢ ὅτι εὔχεται ὁλόκληρον γενέσθαι τὴν ἀπαλλαγήν. Καὶ γὰρ πολλοὶ τῶν Ἰουδαίων ἐναπομεῖναι ἐβούλοντο τῇ χώρᾳ τῶν βαρβάρων· διὸ καὶ μετ' ἐπιτάσεως τοῦτο γενέσθαι ποθῶν, φησίν, «Ἐπίστρεψον τὴν αἰχμαλωσίαν ἡμῶν, ὡς χειμάρ-

πὸ τοὺς ἐθνικούς, μεγάλα καὶ θαυμαστὰ ἔργα ἔκαμε ὁ Κύριος σ' αὐτούς. Μεγάλα καὶ θαυμαστὰ ἔργα ἔκαμε ὁ Κύριος σ' ἐμᾶς». Ἡ ἐπανάληψη αὐτῶν τῶν λόγων δὲν ἀναφέρεται τυχαῖα, ἀλλὰ γιὰ νὰ δείξει τὴ μεγάλη χαρὰ ποὺ δοκίμασαν. Τὰ μὲν πρῶτα εἶναι λόγια τῶν ἐθνικῶν, τὰ δὲ δεύτερα δικά τους. Καὶ πρόσεχε. Δὲν εἶπαν, 'μᾶς ἔσωσε', οὔτε, 'μᾶς ἀπάλλαξε', ἀλλὰ «Ἐμεγάλυνε», θέλοντας νὰ παραστήσει μὲ τὴν ὀνομασία τοῦ «μεγαλύνω» τὸ παράδοξο, τὸ γεμάτο ἀπὸ θαῦμα. Βλέπεις, αὐτὸ ποὺ συνέχεια ἔλεγα, ὅτι μὲ τὸ ἔθνος αὐτὸ διδασκόταν ἡ οἰκουμένη, καὶ μὲ τὴν ὁδήγησή τους στὴν αἰχμαλωσία καὶ μὲ τὴν ἐπιστροφή τους ἀπ' αὐτήν; Διότι ἡ ἐπιστροφή τους ἦταν σὰν κήρυκας. Καθόσον ἡ φήμη τους διαδιδόταν παντοῦ, φανερώνοντας σ' ὅλους τὴ φιλανθρωπία τοῦ Θεοῦ· Διότι ἦταν πραγματικὰ μεγάλα καὶ παράδοξα θαύματα αὐτὰ ποὺ ἔγιναν σ' αὐτούς. Διότι ὁ ἴδιος ὁ Κῦρος ποὺ τοὺς ἐξουσίαζε, τοὺς ἄφησε ἐλευθέρους, χωρὶς τὴν παράκληση κανενός, ἀλλ' ὁ Θεὸς μαλάκωσε τὴν καρδιά του· καὶ ὄχι ἁπλῶς τοὺς ἄφησε ἐλεύθερους, ἀλλὰ καὶ μὲ δῶρα καὶ ἀναμνηστικὰ πράγματα.

«Αἰσθανθήκαμε μεγάλη εὐφροσύνη. Ἐπίστρεψε, Κύριε, ὅλους τοὺς αἰχμαλώτους μας, ὥστε νὰ πλημμυρίσουν σὰν χείμαρροι τὸ νότιο μέρος τῆς πατρίδας μας». Πῶς ἀρχίζοντας τὸν ψαλμὸ εἶπε, «Ὅταν ὁ Κύριος ἐπέστρεψε τοὺς αἰχμαλώτους τῆς Σιών», ἐδῶ δὲ λέγει, «ἐπίστρεψε»; Διότι ὁμιλεῖ γιὰ μελλοντικὴ ἐπιστροφή. Μάλιστα δὲ ὁ ἄλλος ἑρμηνευτὴς μᾶς παρουσιάζει καὶ αὐτὸ λέγοντας, ὄχι «Ὅταν ἐπέστρεψε», ἀλλ' «Ὅταν θὰ ἐπιστρέψει», διότι τότε ἐλάμβανε ἀρχὴ ἡ ἐπιστροφὴ καὶ δὲν κατορθώθηκε τὸ πᾶν τότε στὴν ἀρχή, ἀλλ' ἔγιναν πολλὲς ἐπιστροφὲς αὐτῶν· καθόσον ἔγινε πρώτη καὶ δεύτερη καὶ τρίτη. Αὐτὸ λοιπὸν μποροῦμε νὰ ποῦμε· ἢ ὅτι εὔχεται νὰ ὁλοκληρωθεῖ ἡ ἀπαλλαγὴ ἀπὸ τὴν αἰχμαλωσία. Καθόσον πολλοὶ ἀπὸ τοὺς Ἰουδαίους ἤθελαν νὰ παραμείνουν στὴ χώρα τῶν βαρβάρων· γι' αὐτό, ἐπιθυμόντας ὑπερβολικὰ νὰ γίνει αὐτό, λέγει, «Ἐπίστρεψε ὅλους τοὺς αἰχμαλώτους μας, ὥστε νὰ πλημμυρίσουν σὰν χείμαρροι τὸ νότιο μέρος μας»· δηλαδὴ ὠθώντας

ρους ἐν τῷ νότῳ»· τουτέστι, μετὰ πολλῆς τῆς ρύμης, μετὰ πολλῆς τῆς σφοδρότητος ὠθῶν καὶ κατεπείγων. Διὸ καὶ ἕτερος ἑρμηνευτὴς τὸ αὐτὸ τοῦτο δηλῶν, «Ὡς καταρροίας», εἶπεν. Ἄλλος, «Ὡς ὀχετούς». Ἄλλος, «Ὡς ἀφέσεις».

2. «Οἱ σπείροντες ἐν δάκρυσιν ἐν ἀγαλλιάσει θεριοῦσι». Τοῦτο εἴρηται μὲν περὶ τῶν Ἰουδαίων, πολλαχοῦ δ' ἂν ἔχοι χώραν καὶ ἀλλαχοῦ λέγεσθαι. Τοιοῦτον γὰρ ἡ ἀρετή· τῶν πόνων λαμπρὰς ἔχει τὰς ἀμοιβάς· καὶ δεῖ ἡμᾶς πρότερον κάμνειν καὶ ταλαιπωρεῖσθαι, καὶ τότε ζητεῖν ἄνεσιν. Τοῦτο γὰρ πανταχοῦ καὶ ἐν τοῖς βιωτικοῖς συμβαῖνον ἴδοι τις ἄν. Διὰ δὴ τοῦτο καὶ αὐτὸς ἐπὶ ταῦτα τὸν λόγον ἤγαγεν, ἐπὶ σπόρον λέγω καὶ ἀμητόν. Ὥσπερ γὰρ ὁ σπείρων πόνου δεῖται, καὶ ταλαιπωρίας, καὶ ἱδρώτων, καὶ χειμῶνος, οὕτως ὁ τὴν ἀρετὴν μετιών. Οὐδὲν γὰρ οὕτω πρὸς ἄνεσιν ἄχρηστον ὡς ἄνθρωπος. Διὰ δὴ τοῦτο στενὴν καὶ τεθλιμμένην ἐποίησεν ὁδὸν ὁ Θεός. Μᾶλλον δὲ οὐ τὰ τῆς ἀρετῆς μόνον, ἀλλὰ καὶ τὰ βιωτικὰ πράγματα ἐπίπονα κατεσκεύασε, καὶ αὐτὰ πολλῷ πλέον. Ὅ τε γὰρ σπείρων, ὅ τε οἰκοδομῶν, ὁ ὁδοιπόρος, ὁ δρυοτόμος, ὁ χειροτέχνης, πᾶς ἄνθρωπος, εἰ μέλοι τι καρποῦσθαι χρήσιμον, πόνου δεῖται καὶ ταλαιπωρίας· καὶ καθάπερ τὰ σπέρματα ὑετῶν δεῖται, οὕτως ἡμεῖς δακρύων· καὶ καθάπερ ἡ γῆ τοῦ τέμνεσθαι χρείαν ἔχει καὶ ἀναρρήγνυσθαι, οὕτω καὶ ἡ ψυχὴ ἀντὶ δικέλλης δεῖται πειρασμῶν καὶ θλίψεων, ἵνα μὴ φέρῃ βοτάνας πονηράς, ἵνα τὸ σκληρὸν αὐτῆς μαλάττηται, ἵνα μὴ σκιρτᾷ. Καὶ γὰρ καὶ γῆ μὴ ἐργαζομένη μετὰ πολλῆς τῆς ἀκριβείας, οὐδὲν ὑγιὲς ἐκφέρει. Ὃ τοίνυν φησὶν ὁ προφήτης, τοῦτό ἐστιν· ὅτι μὴ δεῖ μόνον ἐπὶ τῇ ἀνόδῳ χαίρειν, ἀλλὰ καὶ ἐπὶ τῇ

καὶ ἐξαναγκάζοντας αὐτοὺς μὲ πολλὴ ὁρμὴ καὶ μεγάλη σφοδρότητα. Γι' αὐτὸ καὶ ἄλλος ἑρμηνευτὴς γιὰ νὰ δηλώσει αὐτὸ ἀκριβῶς, εἶπε «Σὰν καταρράκτες». Ἄλλος «Σὰν ὀχετούς». Ἄλλος, «Σὰν κάτι ποὺ προχωρεῖ μὲ ὁρμή».

2. «Ἐκεῖνοι ποὺ σπέρνουν μὲ δάκρυα, θὰ θερίσουν μὲ ἀγαλλίαση». Αὐτὸ λέχθηκε μὲν γιὰ τοὺς Ἰουδαίους, θὰ μποροῦσε ὅμως νὰ ἔχει θέση καὶ σὲ πολλὲς ἄλλες περιπτώσεις. Διότι τέτοιο πράγμα εἶναι ἡ ἀρετή· παρέχει μεγάλες ἀμοιβὲς στοὺς κόπους· καὶ πρέπει ἐμεῖς πρῶτα νὰ κοπιάζουμε καὶ νὰ ταλαιπωρούμαστε καὶ μετὰ νὰ ζητοῦμε ἄνεση. Αὐτὸ θὰ μποροῦσε κανεὶς νὰ δεῖ νὰ συμβαίνει καὶ σ' ὅλα τὰ κοσμικὰ πράγματα. Γι' αὐτὸ λοιπὸν καὶ αὐτὸς ὁδήγησε τὸ λόγο πρὸς αὐτά, δηλαδὴ πρὸς τὸ σπόρο καὶ τὸ θερισμό. Διότι, ὅπως ἀκριβῶς ἐκεῖνος ποὺ σπέρνει ἀναγκάζεται νὰ κοπιάζει, νὰ ταλαιπωρεῖται, νὰ ἱδρώνει καὶ ν' ἀντιμετωπίζει κακουχίες, ἔτσι καὶ ἐκεῖνος ποὺ ἀσκεῖ τὴν ἀρετή. Καθόσον τίποτε δὲν ὑπάρχει τόσο ἀδύναμο γιὰ ἄνεση, ὅσο ὁ ἄνθρωπος. Γι' αὐτὸ λοιπὸν καὶ ὁ Θεὸς ἔκαμε τὴν ὁδὸ τῆς ἀρετῆς στενὴ καὶ γεμάτη ἀπὸ θλίψεις. Μᾶλλον δὲ ἔκαμε κοπιαστικὰ ὄχι μόνο τὰ πράγματα τῆς ἀρετῆς, ἀλλὰ καὶ τὰ κοσμικὰ πράγματα καὶ μάλιστα αὐτὰ πολὺ περισσότερο. Διότι καὶ ὁ σπορέας καὶ ὁ οἰκοδόμος καὶ ὁ ὁδοιπόρος καὶ ὁ ξυλοκόπος καὶ ὁ χειροτέχνης καὶ ὁ κάθε ἄνθρωπος, ἂν πρόκειται νὰ καρπωθεῖ κάτι τὸ χρήσιμο ἀπαιτεῖται κόπος καὶ ταλαιπωρία· καὶ ὅπως ἀκριβῶς τὰ σπέρματα ἔχουν ἀνάγκη ἀπὸ βροχές, ἔτσι καὶ ἐμεῖς ἀπὸ δάκρυα· καὶ ὅπως ἀκριβῶς ἡ γῆ ἔχει ἀνάγκη ἀπὸ τὸ νὰ ὀργώνεται καὶ νὰ σκάβεται, ἔτσι καὶ ἡ ψυχὴ ἀντὶ γιὰ ἀξίνα ἔχει ἀνάγκη ἀπὸ δοκιμασίες καὶ θλίψεις, γιὰ νὰ μὴ παράγει βοτάνια τῆς κακίας, γιὰ νὰ μαλακώνεται ἡ σκληρότητά της, γιὰ νὰ μὴ κυριεύεται ἀπὸ ἀλαζονεία. Καθόσον καὶ ἡ γῆ ποὺ δὲν καλλιεργεῖται μὲ πολλὴ φροντίδα, δὲν παράγει τίποτε τὸ ὑγιές. Αὐτὸ λοιπὸν ποὺ λέγει ὁ προφήτης, εἶναι τὸ ἑξῆς· ὅτι δηλαδὴ δὲν πρέπει μόνο νὰ χαίρεσθε γιὰ τὴν ἐπιστροφή, ἀλλὰ καὶ γιὰ τὴν αἰχμαλωσία, καὶ γιὰ τὰ δυὸ νὰ εὐγνωμονεῖτε τὸ

αἰχμαλωσίᾳ, καὶ ὑπὲρ ἀμφοτέρων χάριτας τῷ Θεῷ ὁμολογεῖν. Ἐκεῖνο μὲν γὰρ σπόρος· τοῦτο δὲ ἀμητός.

Ὥσπερ οὖν οἱ σπείροντες, φησί, πονοῦντες ἀπολαύουσι τῶν προσόδων μετὰ ταῦτα, οὕτω καὶ ὑμεῖς, ἡνίκα μὲν ἀπῄειτε τοὺς σπείροντας ἐμιμεῖσθε, ταλαιπωρούμενοι, κοπτόμενοι, θλιβόμενοι, τὸν χειμῶνα, τὸν πόλεμον φέροντες, τὴν συννέφειαν, τὸν κρυμόν, δάκρυα ἐκχέοντες. Ὅπερ γάρ ἐστι τοῖς σπέρμασιν ὁ ὑετός, τοῦτο τοῖς θλιβομένοις τὰ δάκρυα. Ἀλλ᾽ ἰδού, φησί, τῶν πόνων ἐκείνων ἀπελάβετε τὴν ἀμοιβήν. Ὅταν οὖν λέγῃ, «Πορευόμενοι ἐπορεύοντο, καὶ ἔκλαιον, βάλλοντες τὰ σπέρματα αὐτῶν, ἐρχόμενοι δὲ ἥξουσιν ἐν ἀγαλλιάσει, αἴροντες τὰ δράγματα αὐτῶν», οὐ περὶ σίτου διαλέγεται, ἀλλὰ περὶ πραγμάτων, παιδεύων τὸν ἀκροατήν, μὴ ἀλύειν ἐν ταῖς θλίψεσιν. Ὥσπερ γὰρ ὁ σπείρων οὐκ ἀλύει, κἂν πολλὰ τὰ φορτικὰ ᾖ, ἀφορῶν πρὸς τὰ λήϊα τὰ κομῶντα, οὕτως οὐδὲ τὸν θλιβόμενον δυσχεραίνειν χρή, κἂν πολλὰ ᾖ τὰ λυπηρά, τὸν ἀμητὸν ἀναμένοντα, τὴν πρόσοδον τὴν ἀπὸ τῆς θλίψεως γινομένην ἐννοοῦντα.

Ταῦτ᾽ οὖν καὶ ἡμεῖς εἰδότες, καὶ ὑπὲρ θλίψεως καὶ ὑπὲρ ἀνέσεως εὐχαριστῶμεν τῷ Δεσπότῃ. Εἰ γὰρ καὶ διάφορα τὰ γινόμενα, ἀλλὰ πρὸς ἓν ἕκαστον ἅπαν τέλος ὁρᾷ, ὥσπερ ὁ σπόρος καὶ ὁ ἀμητός· καὶ φέρωμεν τὰς θλίψεις γενναίως, καὶ εὐχαρίστως, καὶ τὰς ἀνέσεις μετὰ δοξολογίας· ὥστε καὶ τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Θεό. Διότι ἡ μὲν αἰχμαλωσία ἦταν ὁ σπόρος, ἐνῶ ἡ ἐπιστροφὴ ὁ θερισμός.

Ὅπως ἀκριβῶς λοιπὸν ἐκεῖνοι, λέγει, ποὺ σπέρνουν, ἀφοῦ κοπιάσουν, ἀπολαμβάνουν στὴ συνέχεια τὰ ἐσοδήματα, ἔτσι καὶ σεῖς, ὅταν ὁδηγούσαστε στὴν αἰχμαλωσία, μιμούσαστε ἐκείνους ποὺ σπείρουν, ἀντιμετωπίζοντας ταλαιπωρίες, κλάματα, θλίψεις, κακουχίες, πόλεμο, συννεφιά, χύνοντας δάκρυα. Διότι, αὐτὸ ἀκριβῶς ποὺ εἶναι ἡ βροχὴ γιὰ τοὺς σπόρους, αὐτὸ εἶναι τὰ δάκρυα γιὰ ἐκείνους ποὺ δοκιμάζουν θλίψεις. Ἀλλὰ νά, λέγει, γιὰ τοὺς κόπους ἐκείνους ἐλάβατε τὴν ἀμοιβή σας. Ὅταν λοιπὸν λέγει, «Ὁδηγούμενοι στὴν αἰχμαλωσία βάδιζαν καὶ ἔκλαιαν, σπέρνοντας τὰ σπέρματά τους, ἐπιστρέφοντας δὲ θὰ ἔλθουν μὲ ἀγαλλίαση, ἀπολαμβάνοντας τοὺς καρποὺς τῶν κόπων τους», δὲν ὁμιλεῖ γιὰ σῖτο, ἀλλὰ γιὰ καταστάσεις τῆς ζωῆς, διδάσκοντας τὸν ἀκροατὴ νὰ μὴ ταράσσεται στὶς θλίψεις. Διότι, ὅπως ἀκριβῶς ἐκεῖνος ποὺ σπέρνει δὲν στενοχωρεῖται, καὶ ἂν ἀκόμα εἶναι πολλὰ τὰ δυσάρεστα, ἀποβλέποντας πρὸς τοὺς κατάμεστους ἀθέριστους καρπούς, ἔτσι οὔτε ἐκεῖνος ποὺ ἀντιμετωπίζει θλίψεις πρέπει νὰ δυσανασχετεῖ, καὶ ἂν ἀκόμα πολλὰ εἶναι τὰ δυσάρεστα, περιμένοντας τὸ θερισμό, σκεπτόμενος τὰ κέρδη ποὺ προέρχονται ἀπὸ τὴ θλίψη.

Γνωρίζοντας λοιπὸν καὶ ἐμεῖς αὐτά, ἂς εὐχαριστοῦμε τὸ Θεὸ καὶ γιὰ τὶς θλίψεις καὶ γιὰ τὶς ἀνέσεις. Διότι, ἂν καὶ εἶναι διαφορετικὰ αὐτὰ ποὺ συμβαίνουν, ἀλλ' ὅμως πρὸς ἕνα σκοπὸ ἀποβλέπει τὸ καθένα, ὅπως ἀκριβῶς ὁ σπόρος καὶ ὁ θερισμός· καὶ ἂς ὑπομένουμε τὶς θλίψεις μὲ γενναιότητα καὶ εὐχαρίστηση καὶ τὶς ἀνέσεις μὲ δοξολογία τοῦ Θεοῦ, ὥστε καὶ τὰ μελλοντικὰ ἀγαθὰ νὰ ἐπιτύχουμε, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟΝ ΡΚS' ΨΑΛΜΟΝ.

«Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες. Ἐὰν μὴ Κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων. Εἰς μάτην ὑμῖν ἐστι τὸ ὀρθρίζειν· ἐγείρεσθε μετὰ τὸ καθῆσθαι».

1. Οὗτος ὁ ψαλμὸς εἰς τὴν κατάστασιν τῶν πραγμάτων τῶν μετὰ τὴν ἐπάνοδον εἴρηται. Ἐπειδὴ γὰρ τῆς αἰχμαλωσίας ἀπαλλαγέντες, καὶ ἐκ τῆς βαρβάρου χώρας ἐπανελθόντες, ἐρείπιον δὲ καταλαβόντες τὴν πόλιν, καὶ τὰ τείχη μετὰ τῶν πύργων ἐρριμμένα χαμαὶ ἐπεχείρουν ἐγείρειν, πολλοὶ δὲ πολλαχόθεν ἐπιτιθέμενοι διεκώλυον τὸ ἔργον, φθονοῦντες τῇ τῶν Ἰουδαίων εὐημερίᾳ, καὶ δεδοικότες αὐτῶν τὴν εὐπραγίαν· εἶτα τούτων γινομένων ὁ χρόνος ἐτρίβετο, καὶ τοσοῦτος ἐτρίβη χρόνος, ὡς ὑπὲρ τὰ τεσσαράκοντα ἔτη ἀναλωθῆναι ἐν τῇ τοῦ ναοῦ οἰκοδομῇ· ὅπερ οὖν καὶ οἱ Ἰουδαῖοι δηλοῦντες ἔλεγον· «Τεσσαράκοντα καὶ ἓξ ἔτεσιν ᾠκοδομήθη ὁ ναὸς οὗτος»· οὐ περὶ τῆς προτέρας λέγοντες οἰκοδομῆς τῆς τοῦ Σολομῶντος, ἀλλὰ περὶ ταύτης τῆς ὕστερον, τῆς μετὰ τὴν τῶν Περσῶν ἀπαλλαγήν.

Ἐπεὶ οὖν πολὺς ἐτρίβετο χρόνος, καὶ τοῦ ναοῦ καὶ τῆς πόλεως καὶ τῶν τειχῶν οἰκοδομουμένων (ἡ γὰρ τῆς πόλεως οἰκο-

---

1. Φέρεται σὰν ψαλμὸς τοῦ Σολομῶντα, καὶ αὐτὸ ὑποστηρίζεται ἀπὸ πολλούς, ἀλλ' ὅμως εἶναι προϊόν τῶν μετὰ τὴν αἰχμαλωσία χρόνων. Ἐξαίρεται στὸν ψαλμὸ αὐτὸ ἡ βοήθεια καὶ προστασία τοῦ Θεοῦ, χωρὶς τὴν ὁποία εἶναι ἀδύνατο καὶ ἀκατόρθωτο ὁποιοδήποτε ἔργο μας.

ΟΜΙΛΙΑ

ΣΤΟΝ ΡΚS' ΨΑΛΜΟ[1].

«Ἂν ὁ Κύριος δὲν οἰκοδομήσει ἕναν οἶκο, ἄσκοπα κοπιάζουν αὐτοὶ ποὺ τὸν χτίζουν. Ἂν ὁ Κύριος δὲν φυλάξει μιὰ πόλη, ἄσκοπα ἀγρυπνοῦν αὐτοὶ ποὺ τὴν φυλάσσουν. Ἄσκοπα σηκώνεστε πολὺ πρωΐ, ἄσκοπα σηκώνεστε μετὰ τὴν ἀνάπαυσή σας».

1. Αὐτὸς ὁ ψαλμὸς ἔχει λεχθεῖ γιὰ τὴν κατάσταση τῶν πραγμάτων ποὺ ἐπικράτησε μετὰ τὴν ἐπιστροφὴ ἀπὸ τὴν αἰχμαλωσία[1]. Ἀφοῦ δηλαδὴ ἀπαλλάχτηκαν ἀπὸ τὴν αἰχμαλωσία καὶ ἐπέστρεψαν ἀπὸ τὴ χώρα τῶν βαρβάρων, βρῆκαν δὲ ἐρειπωμένη τὴν πόλη, καὶ ἐπιχειροῦσαν νὰ ξαναχτίσουν τὰ τείχη καὶ τοὺς πύργους ποὺ ἦταν καταγκρεμισμένα, πολλοὶ δὲ ἀπὸ πολλὰ μέρη ἐπιτίθονταν καὶ ἐμπόδιζαν τὸ ἔργο, ἐπειδὴ φθονοῦσαν τὴν εὐτυχία τῶν Ἰουδαίων καὶ φοβοῦνταν τὴν εὐημερία τους, καὶ ἐνῶ γίνονταν αὐτὰ ὁ χρόνος περνοῦσε, καὶ τόσος χρόνος πέρασε, ὥστε νὰ δαπανηθοῦν περισσότερα ἀπὸ σαράντα χρόνια γιὰ τὴν ἀνοικοδόμηση τοῦ ναοῦ, πράγμα βέβαια γιὰ νὰ δηλώσουν καὶ οἱ Ἰουδαῖοι, ἔλεγαν· «Σὲ σαράντα ἕξη χρόνια χτίστηκε ὁ ναὸς αὐτός»[2]. Βέβαια δὲν ἐννοοῦν τὴν προηγούμενη ἀνοικοδόμηση τοῦ ναοῦ ἀπὸ τὸν Σολομῶντα, ἀλλὰ τὴν στὴ συνέχεια μετὰ ἀπὸ αὐτήν, ποὺ ἔγινε μετὰ τὴν ἀπαλλαγή τους ἀπὸ τοὺς Πέρσες.

Ἐπειδὴ λοιπὸν περνοῦσε πολὺς χρόνος καὶ συνεχιζόταν ἡ ἀνοικοδόμηση τοῦ ναοῦ καὶ τῆς πόλεως καὶ τῶν τειχῶν της

2. Ἡ αἰχμαλωσία τῶν Ἰουδαίων στοὺς Βαβυλώνιους ἀρχίζει τὸ 586 καὶ τερματίζεται τὸ 536, ὁπότε ἀρχίζουν νὰ ἐπιστρέφουν οἱ Ἰουδαῖοι στὴ χώρα τους, γίνεται δὲ αὐτὴ σταδιακά.

δομία καὶ πολλῷ πλείονα ἀνάλωσε), παιδεύων αὐτοὺς πάλιν ἐπὶ τὸν Θεὸν καταφεύγειν ὁ προφήτης, ταῦτα διεξέρχεται, δεικνὺς ὅτι πάντα εἰκῇ καὶ μάτην γίνεται, ἐὰν μὴ τὴν παρὰ τοῦ Θεοῦ ῥοπὴν ἐπισπάσωνται. Οὐ γὰρ δὴ μόνον τὸ αἰχμαλωσίας ἀπαλλαγῆναι, ἀλλὰ καὶ τὸ ἀναστῆσαι τεῖχος ἀπαλλαγέντας ἀδύνατον ἄνευ τῆς τοῦ Θεοῦ ῥοπῆς. Καὶ τί λέγω τειχῶν ἀνάστασιν καὶ πόλεως οἰκοδομήν; Ἀλλ' οὐδέ, γενομένην αὐτὴν καὶ ἀπαρτισθεῖσαν, φυλάξαι τις δύναιτ' ἄν, ἐκείνης ἠρημωμένος τῆς συμμαχίας. Ταῦτα δὲ ἔλεγε, διὰ πάντων αὐτοὺς πάλιν ἐπὶ τὴν αὐτοῦ πείθων καταφεύγειν ῥοπήν, ὥστε μὴ τῇ ἀνέσει γίνεσθαι ῥαθυμοτέρους. Διὰ γὰρ τοῦτο οὐδὲ ἀθρόον ἔδωκεν αὐτοῖς τὰ ἀγαθά, ἀλλὰ ἠρέμα καὶ κατὰ μικρόν, ἵνα μὴ πρὸς τὴν προτέραν παλινδρομήσωσι πονηρίαν τῇ ταχίστῃ τῶν κακῶν ἀπαλλαγῇ. Ἀλλὰ καὶ ἐν αὐτῇ τῇ δόσει τῶν ἀγαθῶν συνεχῶς αὐτοὺς ὑπεμίμνησκεν ἐν τῇ τῶν πολεμίων ἐφόδῳ διηνεκῶς ἀφυπνίζων αὐτῶν τὴν ῥαθυμίαν. Εἴρηται μὲν οὖν καθολικῶς ὁ λόγος, τὴν ἀρχὴν δὲ ἀπὸ τῆς ὑποθέσεως ταύτης εἴληφε. Δεῖ γὰρ αὐτὸν ἐφ' ἅπασιν ἁρμόζειν, οὐχ ἵνα αὐτοὶ ῥαθυμῶμεν, οὐδὲ ἵνα ὕπτιοι κείμεθα, ἀλλ' ἵνα, τὰ παρ' ἑαυτῶν εἰσφέροντες, τὸ πᾶν ἐπὶ τὸν Θεὸν ῥίπτωμεν, τῆς ἐλπίδος τῆς ἐκείνου διαπαντὸς ἐν ἅπασιν ἐκκρεμάμενοι. Ὥσπερ γὰρ οὐκ ἔνι, τοῦ Θεοῦ μὴ βοηθοῦντος, εἰς τέλος τὰ πράγματα ἀγαγεῖν, οὕτως, ἂν ὁ Θεὸς βοηθῇ, ἀργοῦντας αὐτοὺς καὶ ἀναπεπτωκότας οὐκ ἔνι τοῦ τέλους ἐπιτυχεῖν.

«Εἰς μάτην ὑμῖν ἐστι τὸ ὀρθρίζειν· ἐγείρεσθε μετὰ τὸ καθῆσθαι». Ἕτερος δὲ ἑρμηνευτής φησι, «Βραδύνουσι καθῆσθαι». Ἄλλος, «Χρονίζουσι τοῦ καθῆσθαι». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· κἂν ἀγρυπνῆτε, κἂν ὑπὸ τὴν ἕω διεγείρησθε, κἂν βραδύνητε πρὸς τὸ ἀναπαύεσθαι, τὸν πάντα καιρὸν εἰς πόνον καὶ ταλαι-

3. Ἰω. 2, 20.

(διότι ἡ ἀνοικοδόμηση τῆς πόλεως χρειάσθηκε πολὺ περισσότερο χρόνο), γιὰ νὰ διδάξει αὐτοὺς ὁ προφήτης πάλι νὰ καταφεύγουν στὸ Θεό, ἀναφέρει αὐτά, γιὰ νὰ δείξει ὅτι ὅλα γίνονται ἄσκοπα καὶ μάταια, ἂν δὲν ἀποσπάσουν τὴ βοήθεια ἐκ μέρους τοῦ Θεοῦ. Διότι βέβαια ὄχι μόνο τὸ ν' ἀπαλλαγοῦν ἀπὸ τὴν αἰχμαλωσία, ἀλλὰ καὶ τὸ νὰ ἀνεγείρουν τεῖχος, ἀφοῦ ἀπαλλάχτηκαν, εἶναι ἀδύνατο χωρὶς τὴ βοήθεια τοῦ Θεοῦ. Καὶ γιατί ὁμιλῶ γιὰ ἀνέγερση τειχῶν καὶ ἀνοικοδόμηση πόλεως; Ἀλλ' οὔτε, καὶ ὅταν αὐτὴ κτιστεῖ καὶ ὁλοκληρωθεῖ, θὰ μποροῦσε κανένας νὰ τὴ φυλάξει, στερούμενος τῆς συμμαχίας ἐκείνης. Αὐτὰ δὲ τὰ ἔλεγε, πείθοντας αὐτοὺς πάλι μὲ ὅλα αὐτὰ νὰ καταφεύγουν στὴ βοήθεια αὐτοῦ, ὥστε νὰ μὴ γίνονται, ἐξ αἰτίας τῆς ἀνέσεως, πιὸ ἀδιάφοροι. Γι' αὐτὸ λοιπὸν οὔτε ἔδωσε σ' αὐτοὺς ὅλα μαζὶ τὰ ἀγαθά, ἀλλὰ σιγὰ-σιγὰ καὶ λίγα-λίγα, γιὰ νὰ μὴ ἐπιστρέψουν στὴν προηγούμενη κακία, ἐξ αἰτίας τῆς ταχίστης ἀπαλλαγῆς ἀπὸ τὰ κακά. Ἀλλὰ καὶ δίνοντας τὰ ἀγαθά, συνέχεια ὑπενθύμιζε σ' αὐτοὺς τὴν ἔφοδο τῶν ἐχθρῶν, ἀφυπνίζοντας διαρκῶς τὴν ἀδιαφορία τους. Ὁ λόγος αὐτὸς βέβαια ἔχει γενικὴ σημασία, ἀλλ' ὅμως ἔχει λάβει τὴν ἀφορμὴ ἀπὸ αὐτὴν τὴν ὑπόθεση. Πρέπει λοιπὸν αὐτὸν νὰ τὸν ἐφαρμόζουμε παντοῦ, ὄχι γιὰ νὰ εἴμαστε οἱ ἴδιοι ἀδιάφοροι, οὔτε γιὰ νὰ ἀδρανοῦμε, ἀλλά, προσφέροντας ὅ,τι ἐξαρτᾶται ἀπὸ ἐμᾶς, νὰ ἀναθέτουμε τὸ πᾶν στὸ Θεό, καὶ νὰ εἴμαστε κρεμασμένοι ὡς πρὸς ὅλα ἀπὸ τὴν ἐλπίδα πρὸς ἐκεῖνον. Διότι, ὅπως ἀκριβῶς δὲν εἶναι δυνατό, ἂν δὲν βοηθεῖ ὁ Θεός, νὰ φέρουμε σὲ πέρας τὶς ὑποθέσεις μας, ἔτσι, ἂν ὁ Θεὸς βοηθεῖ, ἐμεῖς δὲ οἱ ἴδιοι εἴμαστε ἀδρανεῖς καὶ ἀδιάφοροι, δὲν εἶναι δυνατὸ νὰ ἐπιτύχουμε τὸ σκοπό μας.

«Μάταια σηκώνεστε πολὺ ἐνωρίς· μάταια σηκώνεστε ἀμέσως μόλις καθήσατε». Ἄλλος δὲ ἑρμηνευτὴς λέγει, «Ἀργοῦν ν' ἀναπαυθοῦν». Ἄλλος, «κάμνουν πολὺ χρόνο γιὰ νὰ καθήσουν». Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· καὶ ἂν ἀκόμη ἀγρυπνεῖτε, καὶ ἂν ἀκόμη σηκώνεστε πρὶν ξημερώσει, καὶ ἂν ἀκόμη ἀργεῖτε νὰ ἀναπαυθεῖτε, δαπανώντας ὅλο τὸ χρόνο σὲ κόπο

πωρίαν δαπανῶντες, ἂν μὴ τῆς ἐκεῖθεν ἀπολαύσητε ῥοπῆς, τὰ ἀνθρώπινα πάντα οἰχήσεται, καὶ τῆς σπουδῆς ταύτης οὐδὲν ἔσται πλέον. «Οἱ ἐσθίοντες ἄρτον ὀδύνης». Τοῦτο λέγει, δεικνὺς ὅτι ἐπίπονον ἔζων βίον, ὁπλῖται καὶ οἰκοδόμοι γινόμενοι. Τῇ μιᾷ μὲν γάρ, φησί, χειρὶ κόφινον ἐβάσταζον ἢ λίθον, τῇ δὲ μιᾷ μάχαιραν, εἰς τὸ οἰκοδομεῖν καὶ πολεμεῖν ἑαυτοὺς διαιροῦντες, καὶ μετὰ ἀσπίδων τοὺς χάλικας συνεφόρουν. Ἐπειδὴ γὰρ ἄτειχος ἦν ἡ πόλις καὶ γεγυμνωμένη, τὰς ἀθρόους καὶ παρ' ἐλπίδα τῶν πολεμίων ἐφόδους καθ' ἑκάστην ὑποπτεύοντες ὥραν, ὡπλισμένοι τὰ τείχη ὕφαινον, καὶ ξίφη, καὶ ἀσπίδες, καὶ μάχαιραι παρέκειντο, καὶ πόρρωθεν σκοποί τινες τὴν ἄδηλον αὐτῶν ἀπαγγέλλοντες ἔφοδον, καὶ σαλπίζοντες, εἴποτε ᾔσθοντο αὐτοὺς πόρρωθεν ἐπιόντας. Ἀλλὰ κἂν ταῦτα ποιῆτε, φησί, καὶ ἄρτον ὀδύνης ἐσθίητε, πάντα εἰκῇ καὶ μάτην ἔσται, ἂν μὴ τὴν ἄνωθεν ἐπισπάσησθε συμμαχίαν. Εἰ δὲ ἐκεῖνοι, πόλιν ἵνα ἀναστήσωσι καὶ τείχη, τοσαύτης ἐδεόντο τῆς ἄνωθεν συμμαχίας, πολλῷ μᾶλλον ἡμεῖς τὴν ἐπὶ τὸν οὐρανὸν φέρουσαν ὁδεύοντες ὁδόν.

2. «Ὅταν δῷ τοῖς ἀγαπητοῖς αὐτοῦ ὕπνον». Ἰδοὺ ἡ κληρονομία Κυρίου, υἱοί. Ποία αὕτη ἀκολουθία; Πολλὴ μὲν καὶ συνημμένη τοῖς προτέροις. Ὃ γὰρ λέγει, τοῦτό ἐστιν· ἐὰν μὴ τὰ παρ' ἑαυτοῦ ὁ Θεὸς παράσχῃ, πάντα εἰκῇ· ὅταν δὲ τὰ παρ' ἑαυτοῦ παράσχῃ τότε καὶ ὕπνος ἡδύς, τότε καὶ ἄνεσις, καὶ ζωὴ κινδύνων ἀπηλλαγμένη, καὶ ἀσφαλείας γέμουσα. Ὅταν οὖν δῷ αὐτοῖς ὕπνον, ὅταν ἀναπαύσῃ αὐτούς, ὅταν ἀποκρούσηται τοὺς ἐπιόντας, οὐ μόνον οἰκοδομήσουσι τότε τὴν πόλιν, οὐ μόνον φυλάξουσιν, ἀλλὰ καὶ τὰ πολλῷ μείζονα λήψονται· πατέρες γὰρ ἔ-

καὶ ταλαιπωρία, ἂν δὲν ἀπολαύσετε τὴ θεία βοήθεια, ὅλα τὰ ἀνθρώπινα θἀ ἐξαφανισθοῦν καὶ τίποτε ἐπὶ πλέον δὲν θὰ προκύψει ἀπὸ τὴ φροντίδα αὐτή. «Ποὺ τρώγετε ἄρτο γεμάτο ἀπὸ πόνους». Αὐτὸ τὸ λέγει, γιὰ νὰ δείξει ὅτι ζοῦσαν κοπιαστικὴ ζωή, διότι ἦταν συγχρόνως στρατιῶτες καὶ οἰκοδόμοι. Διότι, λέγει, μὲ τὸ ἕνα χέρι κρατοῦσαν καλάθι ἢ λίθο, μὲ τὸ ἄλλο δὲ μαχαίρι, διασπώντας ἔτσι τοὺς ἑαυτούς τους στὴν ἀνακοδόμηση καὶ στὸν πόλεμο, καὶ μαζὶ μὲ τὶς ἀσπίδες κουβαλοῦσαν χαλίκια. Ἐπειδὴ δηλαδὴ ἡ πόλη ἦταν χωρὶς τείχη καὶ γυμνὴ ἀπὸ προστασία, σκεπτόμενοι ἀνὰ πᾶσα στιγμὴ τὶς συνεχεῖς καὶ ἀπροσδόκητες ἐπιθέσεις τῶν ἐχθρῶν, ἔχτιζαν τὰ τείχη ὁπλισμένοι καὶ κοντά τους βρίσκονταν ξίφη καὶ ἀσπίδες καὶ μαχαίρια, καὶ μακριὰ εἶχαν μερικοὺς σκοποὺς γιὰ νὰ ἀναγγέλουν τὴν ξαφνικὴ ἐπίθεση καὶ νὰ σαλπίζουν, ἂν κάποτε ἀντιλαμβάνονταν αὐτοὺς ἀπὸ μακριὰ νὰ ἔρχονται. Ἀλλά, λέγει, καὶ ἂν τὰ κάμνετε αὐτά, καὶ τρώγετε ψωμὶ γεμάτο ἀπὸ πόνους, ὅλα γίνονται ἄσκοπα καὶ στὰ χαμένα, ἂν δὲν ἀποσπάσετε τὴν οὐράνια βοήθεια. Ἂν δὲ ἐκεῖνοι εἶχαν ἀνάγκη ἀπὸ τόσο μεγάλη οὐράνια βοήθεια γιὰ νὰ ἀνεγείρουν τὴν πόλη καὶ τὰ τείχη της, πολὺ περισσότερο ἐμεῖς ποὺ βαδίζουμε τὴν ὁδὸ ποὺ ὁδηγεῖ στὸν οὐρανό.

2. «Ὅταν ὁ Κύριος δίνει γλυκὸ ὕπνο σ' αὐτοὺς ποὺ ἀγαπᾶ. Νὰ ποιὰ εἶναι ἡ κληρονομία τοῦ Κυρίου, τὰ παιδιά». Ποιὰ σχέση ἔχουν αὐτὰ μὲ τὰ προηγούμενα; Μεγάλη καὶ συνδεόνται στενὰ μὲ τὰ προηγούμενα. Αὐτὸ δηλαδὴ ποὺ λέγει, σημαίνει τὸ ἑξῆς. Ἂν ὁ Θεὸς δὲν προσφέρει τὴ βοήθειά του, ὅλα γίνονται ἄσκοπα· ὅταν ὅμως προσφέρει τὴ βοήθειά του, τότε καὶ ὁ ὕπνος εἶναι γλυκός, τότε ὑπάρχει καὶ ἄνεση καὶ ἡ ζωὴ εἶναι ἀπαλλαγμένη ἀπὸ τοὺς κινδύνους καὶ εἶναι γεμάτη ἀπὸ ἀσφάλεια. Ὅταν λοιπὸν θὰ δώσει σ' αὐτοὺς γλυκὸ ὕπνο, ὅταν θ' ἀναπαύσει αὐτούς, ὅταν θ' ἀποκρούσει τοὺς ἐπιδρομεῖς, ὄχι μόνο θὰ οἰκοδομήσουν τότε τὴν πόλη, ὄχι μόνο θὰ τὴν διαφυλάξουν, ἀλλὰ θὰ λάβουν καὶ τὰ πολὺ πιὸ μεγαλύτερα ἀπὸ αὐτά· διότι θὰ γίνουν πατέρες πολλῶν παιδιῶν καὶ θὰ δώσει σ' αὐ-

σονται παίδων πολλῶν, καὶ τὰ τῆς εὐτεκνίας αὐτοῖς ἐπιδώσει. «Ὁ μισθὸς τοῦ καρποῦ τῆς γαστρός». Ἕτερος, «Μισθὸς ὁ καρπὸς τῆς γαστρός». Τί ἐστι τοῦτο; Μισθόν, φησί, λήψονται τὴν εὐπαιδίαν. Εἰ γὰρ καὶ τῆς φύσεως ἔργον τὸ γινόμενον, ἀλλ᾽ ὅταν ὁ Θεὸς τὰ παρ᾽ ἑαυτοῦ παράσχῃ, καὶ αὕτη πλέον δραμεῖται. Καὶ γὰρ καὶ αὕτη τῆς ἄνωθεν δεῖται ῥοπῆς, καὶ κομάσει τῷ πλήθει τὰ Ἱεροσόλυμα. Οὐκ ἐν τούτοις δὲ ἔσται τὰ τῆς εὐημερίας μόνον, οἷον ἐν τῇ οἰκοδομίᾳ, ἐν τῇ φυλακῇ, ἐν τῇ εὐτεκνίᾳ, ἀλλὰ καὶ ἕτερα τούτοις προσέσται.

Καὶ δεικνὺς ποῖα ταῦτα, ἐπάγει λέγων· «Ὡσεὶ βέλη ἐν χειρὶ δυνατοῦ, οὕτως υἱοὶ τῶν ἐκτετιναγμένων». Ἕτερος, «Τῶν πεδητῶν». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὐκ ἔσονται ἐν ἀσφαλείᾳ τειχῶν μόνον, οὐδὲ ἐν πόλει ὀχυρᾷ, οὐδὲ ἐν εὐθηνίᾳ τῶν παίδων, ἀλλὰ καὶ φοβεροὶ τοῖς πολεμίοις, καὶ οὕτω φοβεροὶ ὡς τὰ βέλη. Οὐχ ἁπλῶς δέ, «Βέλη», ἀλλ᾽, «Ἐν χειρὶ τῶν δυνατῶν». Αὐτὰ γὰρ καθ᾽ ἑαυτὰ οὐ φοβερὰ τὰ βέλη, ἀλλ᾽ ὅταν ὑπὸ δυνατοῦ κατέχηται, θάνατον ἀπειλοῦντα τοῖς ἐπιοῦσιν. Οὕτως οὖν ἔσονται φοβεροὶ οὗτοι. Οὗτοι, ποῖοι; «Οἱ Υἱοὶ τῶν ἐκτετιναγμένων». Τουτέστι, τῶν ποτε ἠσθενηκότων, τῶν πεπεδημένων. Ἀναμιμνήσκει γὰρ αὐτοὺς συνεχῶς καὶ τῆς προτέρας δυσημερίας ἐν τῷ καιρῷ τῆς εὐημερίας, ἵνα πάντοθεν αὐτῶν ὀρθώσῃ τὴν διάνοιαν, καὶ ἐξ ὧν ἔπαθον, καὶ ἀφ᾽ ὧν ἀπηλλάγησαν, καὶ ἐξ ὧν ἀπολαύσουσι.

«Μακάριος ἄνθρωπος, ὃς πληρώσει τὴν ἐπιθυμίαν αὐτοῦ ἐξ αὐτῶν· οὐ καταισχυνθήσονται, ὅταν λαλῶσι τοῖς ἐχθροῖς αὐτῶν ἐν πύλῃ». Ἕτερός φησι, «Μακάριος, ὃς πληρώσει τὴν φαρέτραν αὐτοῦ ἐξ αὐτῶν». Τουτέστιν, ὅτι καὶ τοῦτο αὐτοῖς προσέσται,

τοὺς ὅλα ἐκεῖνα ποὺ συντελοῦν στὴν ἀπόκτηση καλῶν παιδιῶν. «Ὁ μισθὸς αὐτῶν εἶναι τὰ παιδιὰ ποὺ εἶναι ὁ καρπὸς τῆς κοιλίας». Ἄλλος λέγει, «Μισθὸς εἶναι ὁ καρπὸς τῆς κοιλίας». Τί σημαίνει αὐτό; Γιὰ μισθό, λέγει, θὰ λάβουν τὴν ἀπόκτηση πολλῶν καὶ καλῶν παιδιῶν. Ἂν καὶ βέβαια αὐτὸ ποὺ γίνεται εἶναι ἔργο τῆς φύσεως, ἀλλ' ὅταν ὁ Θεὸς προσφέρει τὴ βοήθειά του καὶ αὐτὴ τότε θὰ ἐπιτελέσει τὸ ἔργο της μὲ μεγαλύτερη ἐπιτυχία. Καθόσον καὶ αὐτὴ ἔχει ἀνάγκη τῆς οὐράνιας βοήθειας καὶ θὰ ὑπερηφανεύονται τὰ Ἱεροσόλυμα γιὰ τὸ πλῆθος τῶν παιδιῶν τους. Δὲν θὰ σταματήσει σ' αὐτὰ μόνο ἡ εὐημερία τους, δηλαδὴ στὴν ἀνοικοδόμηση, στὴ διαφύλαξη καὶ στὴν εὐτεκνία, ἀλλὰ θὰ προστεθοῦν καὶ ἄλλα σ' αὐτά.

Καὶ γιὰ νὰ δείξει ποιὰ εἶναι αὐτά, προσθέτει τὰ ἑξῆς· «Σὰν βέλη στὸ χέρι καλοῦ πολεμιστῆ μοιάζουν τὰ παιδιὰ τῶν ἄλλοτε ἀδυνάτων». Ἄλλος λέγει, «τῶν φυλακισμένων». Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Δὲν θὰ εἶναι μόνο ἀσφαλεῖς ἀπὸ ἄποψη τειχῶν, οὔτε θὰ ζοῦν σὲ πόλη ὀχυρωμένη, οὔτε θὰ ἔχουν μόνο ἀφθονία παιδιῶν, ἀλλὰ θὰ εἶναι καὶ φοβεροὶ στοὺς ἐχθρούς, καὶ τόσο φοβεροί, σὰν τὰ βέλη. Καὶ ὄχι ἁπλῶς «Σὰν τὰ βέλη», ἀλλά, «Σὰν βέλη ποὺ κρατοῦνται ἀπὸ χέρια δυνατῶν». Διότι τὰ βέλη αὐτὰ καθ' ἑαυτὰ δὲν εἶναι φοβερά, ἀλλ', ὅταν κρατοῦνται ἀπὸ γενναῖο ἄνδρα, τότε ἀπειλοῦν θάνατο στοὺς ἐπιδρομεῖς. Τόσο πολὺ φοβεροὶ λοιπὸν θὰ γίνουν αὐτοί. Αὐτοί· ποιοί; «Τὰ παιδιὰ τῶν ἐκτετιναγμένων». Δηλαδή, τῶν ἄλλοτε ἀδυνάτων, τῶν φυλακισμένων. Ὑπενθυμίζει δηλαδὴ σ' αὐτοὺς συνέχεια στὸν καιρὸ τῆς εὐημερίας καὶ τὴν προηγούμενη δυστυχία, ὥστε ἀπὸ παντοῦ ν' ἀνορθώσει τὴ διάνοιά τους, καὶ ἀπὸ ἐκεῖνα ποὺ ἔπαθαν, καὶ ἀπὸ ἐκεῖνα ποὺ ἀλλαλλάχτηκαν, καὶ ἀπὸ ἐκεῖνα ποὺ θ' ἀπολαύσουν.

«Μακάριος εἶναι ἐκεῖνος ποὺ θ' ἀπολαύσει μὲ αὐτὰ ἐκεῖνο ποὺ ἐπιθυμοῦσε· δὲν θὰ καταντροπιαστοῦν ὅταν θὰ λογομαχοῦν μὲ τοὺς ἐχθρούς τους μπροστὰ στὶς πύλες τῆς πόλεως». Ἄλλος λέγει. «Μακάριος εἶναι ἐκεῖνος ποὺ θὰ γεμίσει τὴ φαρέτρα του μὲ αὐτά». Δηλαδή, ὅτι καὶ αὐτὸ θὰ προστεθεῖ σ' αὐ-

δύναμις σώματος, φόβος ἀνύποιστος, εὐπαιδία, ἀσφάλεια, πόλεως κάλλος, νίκη καὶ τρόπαια ἐν πολέμοις. Διὸ καὶ μακαρίζει αὐτοὺς τοὺς μέλλοντας ἀπολαύειν ταύτης τῆς εὐημερίας. Ἔσονται γάρ, φησί, καθωπλισμένοι. Ἀλλ' οὐκ ἐν τούτοις ἱστῶ τὸν μακαρισμόν, ἀλλὰ ὅτι οὐκ αἰσχυνθήσονται. «Οὐ καταισχυνθήσονται» γάρ, φησίν, «ὅταν λαλῶσι τοῖς ἐχθροῖς αὐτῶν ἐν πύλῃ». Τί ποτε τοῦτό ἐστι; Τὸ μέγιστον τρόπαιον, ἡ μεγίστη λαμπρότης, ἡ φαιδρότης, ἡ μακαριότης. Οὐ μέλλουσι γὰρ ὀνειδίζεσθαι ὡς οὐκ ἀπολαύσαντες τῆς τοῦ Θεοῦ προνοίας, ἢ ὡς ἀσθενῆ Θεὸν ἐσχηκότες, ἢ ὡς δυνατὸν μέν, ἐκ δὲ τῶν οἰκείων ἁμαρτημάτων τὴν πρόνοιαν τὴν αὐτοῦ διακρουσάμενοι· ἀλλὰ διὰ πάντων κομῶντες, διὰ τῆς πόλεως, διὰ τῶν τειχῶν, διὰ τῆς φυλακῆς, διὰ τῶν παίδων, διὰ τῶν ὅπλων, διὰ τῆς δυνάμεως, οὐκ ἐγκαλυφθήσονται τοὺς πολεμίους ὁρῶντες, ἀλλὰ μετὰ πολλῆς ἀπαντήσονται τῆς ἀνδρειότητος, καλλωπιζόμενοι, μέγα φρονοῦντες, κοσμούμενοι, διὰ πάντων τούτων τοῦ Θεοῦ τὴν ὑπὲρ αὐτῶν ἀντίληψιν ἐπιδεικνυμένου. Τὸ γὰρ κεφάλαιον τῶν ἀγαθῶν, καὶ τῆς μακαριότητος ἡ κορωνίς, τὸ δύνασθαι λοιπὸν ἐπὶ τῇ τοῦ Θεοῦ συμμαχίᾳ κοσμεῖσθαι. Διὸ δὴ καὶ ἐνταῦθα τὸν λόγον κατέλυσε, παιδεύων ἅπαντας πρὸ τῶν ἄλλων ἁπάντων ἐκεῖνον τὸν κόσμον ἐπιζητεῖν, καὶ ἐπὶ τούτῳ φαιδρύνεσθαι.

Τοῦτον τοίνυν καὶ ἡμεῖς ζηλώσωμεν, ἵνα τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

τούς, δύναμη σωματική, φόβος ἀνυπόφορος στοὺς ἐχθρούς, ἀπόκτηση πολλῶν καὶ καλῶν παιδιῶν, ἀσφάλεια, κάλλος πόλεως, νίκη καὶ τρόπαια στοὺς πολέμους. Γι' αὐτὸ καὶ μακαρίζει αὐτοὺς ποὺ πρόκειται ν' ἀπολαύσουν αὐτὴ τὴν εὐημερία. Διότι λέγει θὰ εἶναι τέλεια ὁπλισμένοι. Ὅμως δὲν στηρίζω σ' αὐτὰ τὸν μακαρισμό, ἀλλ' ὅτι δὲν θὰ καταντροπιαστοῦν. Διότι λέγει, «Δὲν θὰ καταντροπιαστοῦν ὅταν θὰ λογομαχοῦν μὲ τοὺς ἐχθρούς τους στὴν πύλη τῆς πόλεως». Τί τέλος πάντων σημαίνει αὐτό; Εἶναι τὸ πιὸ μεγαλύτερο τρόπαιο, ἡ πιὸ μεγαλύτερη λαμπρότητα, ἡ φαιδρότητα, ἡ εὐτυχία. Διότι δὲν πρόκειται νὰ κατηγορηθοῦν ὅτι δὲν ἀπόλαυσαν τὴν πρόνοια τοῦ Θεοῦ, ἢ ὅτι εἶχαν ἀνίσχυρο Θεό, ἢ ὅτι ἦταν μὲν ἰσχυρός, ἀλλ' ἐξ αἰτίας τῶν ἁμαρτημάτων τους ἀπέκρουσαν τὴν πρόνοια αὐτοῦ· ἀντίθετα γιὰ ὅλα θὰ εἶναι ὑπερήφανοι, γιὰ τὴν πόλη, γιὰ τὰ τείχη, γιὰ τὴ φρούρησή της, γιὰ τὰ τέκνα τους, γιὰ τὰ ὅπλα, γιὰ τὴ δύναμή τους· δὲν θὰ κρυφθοῦν βλέποντας τοὺς ἐχθρούς, ἀλλὰ θὰ τοὺς ἀποκρούσουν μὲ μεγάλη ἀνδρεία, μὲ ὑπερηφάνεια, μὲ ὑψηλὸ φρόνημα, μὲ ἑτοιμότητα, δείχνοντας ὁ Θεὸς μὲ ὅλα αὐτὰ τὴν πρόνοιά του γι' αὐτούς. Διότι τὸ ἀποκορύφωμα τῶν ἀγαθῶν καὶ ἡ κορωνίδα τῆς μακαριότητας εἶναι, τὸ νὰ μπορεῖ κάποιος πλέον νὰ εἶναι στολισμένος μὲ τὴ βοήθεια τοῦ Θεοῦ. Γι' αὐτὸ λοιπὸν καὶ ἐδῶ τερμάτισε τὸ λόγο, διδάσκοντας ὅλους πρὶν ἀπὸ ὅλα τὰ ἄλλα νὰ ἐπιδιώκουν ἐκεῖνον τὸν καλλωπισμὸ καὶ γι' αὐτὸν νὰ ὑπερηφανεύονται.

Αὐτὸν λοιπὸν καὶ ἐμεῖς ἂς ἐπιδιώξουμε μὲ ζῆλο, ὥστε νὰ ἐπιτύχουμε τὴν αἰώνια ἀγάπη μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα ἀνήκει ἡ δόξα, συγχρόνως δὲ καὶ στὸ ἅγιο Πνεῦμα, στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟΝ ΡΚΖ' ΨΑΛΜΟΝ.

«Μακάριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον».

1. Ὅρα αὐτὸν ἐντεῦθεν ἀρχόμενον, ἔνθα κατέληξεν. Ὥσπερ γὰρ ἐκεῖ διὰ τοῦτο αὐτοὺς ἐμακάρισεν, ὅτι οὐ καταισχύνονται, τοῦ τὸν Θεὸν ἔχειν βοηθόν, καὶ μεθ' ἑαυτῶν, οὕτω ἐνταῦθα ἐντεῦθεν προοιμιάζεται, λέγων· «Μακάριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον». Καὶ πάλιν καθολικὸν ποιεῖται τὸν λόγον, ἀπ' ἐκείνων λαβὼν τὴν ἀρχήν. Καὶ καλῶς εἶπε, «Πάντες»· κἂν δοῦλός τις ᾖ, κἂν δεσπότης, κἂν πένης, κἂν τὸ σῶμα ἀνάπηρος, κἂν ὁστισοῦν, οὐδὲν τούτων κωλύει τὸ μακαρισμὸν τοῦτον ἔχειν, ὃν αὐτός φησι. Τὸν μὲν γὰρ ἄλλον τὸν ψευδῆ καὶ πεπλασμένον, καὶ ὃν πολλοὶ ζηλοῦσι, πολλὰ συνελθόντα μόλις ποιεῖ· κἂν μὴ πάντα συνδράμῃ, οὐκ ἂν γένοιτό τις μακάριος παρ' ἀνθρώποις· οἷόν τι λέγω· Ἐάν τις ᾖ πλούσιος, οὐκ ἀρκεῖ τοῦτο αὐτῷ πρὸς μακαρισμόν, ἀλλὰ δεῖ καὶ ὑγίειαν προσεῖναι. Κἂν γὰρ πλούσιος μὲν ᾖ, τὸ σῶμα δὲ πεπηρωμένος, χωλεύει τὰ τῆς μακαριότητος αὐτῷ, καὶ τῶν πενομένων ἐστὶν ἀθλιώτερος. Πολλοὶ γοῦν πλουτοῦντες, καὶ νόσῳ παλαίοντες, τοὺς διὰ τῶν στενωπῶν χωροῦντας πένητας μακαρίζουσι, καὶ ἀθλίους ἑαυτοὺς εἶναι νομίζουσι μετὰ τῶν μυρίων ταλάντων.

---

1. Ὁ ψαλμὸς ἀποτελεῖ περιγραφὴ τῆς οἰκογενειακῆς εὐτυχίας, ποὺ τὴν ἀπολαμβάνουν ἐκεῖνοι ποὺ φοβοῦνται τὸν Κύριο. Ἡ εὐλογία τοῦ Θεοῦ ἀποτελεῖ πηγὴ εὐημερίας καὶ εὐτυχίας. Ὁ ψαλμὸς γράφτηκε πρὶν ἀπὸ τὴν βαβυλώνια αἰχμαλωσία.

ΟΜΙΛΙΑ
ΣΤΟΝ ΡΚΖ΄ ΨΑΛΜΟ[1].

«Μακάριοι εἶναι ὅλοι ἐκεῖνοι ποὺ φοβοῦνται τὸν Κύριο».

1. Πρόσεχε τὸν ψαλμωδὸ ποὺ ἀρχίζει τὸν ψαλμὸ ἀπὸ τὸ σημεῖο ἀπὸ τὸ ὁποῖο τελείωσε τὸν προηγούμενο ψαλμό. Διότι, ὅπως ἀκριβῶς ἐκεῖ γι' αὐτὸ μακάρισε αὐτούς, διότι δὲν ντρέπονται τὸ νὰ ἔχουν τὸ Θεὸ βοηθό τους καὶ μαζί τους, ἔτσι καὶ ἐδῶ ἀπὸ τὸ ἴδιο σημεῖο ἀρχίζει τὸ λόγο, λέγοντας· «μακάριοι εἶναι ὅλοι ἐκεῖνοι ποὺ φοβοῦνται τὸν Κύριο». Καὶ πάλι ὁμιλεῖ γενικά, λαμβάνοντας τὴν ἀρχὴ ἀπὸ ἐκείνους. Καὶ καλὰ εἶπε, «Ὅλοι»· καὶ ἂν ἀκόμα εἶναι κάποιος δοῦλος, καὶ ἂν ἀκόμα εἶναι κύριος, καὶ ἂν ἀκόμα εἶναι φτωχός, καὶ ἂν ἀκόμα σωματικὰ ἀνάπηρος, καὶ ἂν ἀκόμα ὁποιοσδήποτε ἄλλος, τίποτα ἀπὸ αὐτὰ δὲν τὸν ἐμποδίζει νὰ ἔχει αὐτὸν τὸν μακαρισμό, γιὰ τὸν ὁποῖο ὁμιλεῖ ὁ ψαλμωδός. Διότι τὸν μὲν ἄλλο, τὸν ψεύτικο καὶ πλαστό, καὶ τὸν ὁποῖο πολλοὶ ἐπιδιώκουν, καὶ ἂν ἀκόμα συντρέξουν πάρα πολλά, μόλις καὶ μετὰ δυσκολίας τὸν κατορθώνει κάποιος· καὶ ἂν δὲν συνδράμουν ὅλα, δὲν θὰ μποροῦσε κάποιος νὰ θεωρηθεῖ μακάριος ἀπὸ τοὺς ἀνθρώπους· ἐννοῶ δηλαδὴ τὸ ἑξῆς· Ἐὰν κάποιος εἶναι πλούσιος, δὲν εἶναι αὐτὸ ἀρκετὸ γιὰ τὸν μακαρισμό του, ἀλλὰ πρέπει καὶ ὑγεία νὰ συνυπάρχει. Διότι καὶ ἂν ἀκόμα εἶναι πλούσιος, ἀλλ' εἶναι σωματικὰ ἀνάπηρος, χωλαίνουν σ' αὐτὸν καὶ τὰ τῆς μακαριότητάς του, καὶ εἶναι ἀθλιώτερος ἀπὸ τοὺς φτωχούς. Πολλοὶ δηλαδὴ πλούσιοι καὶ ποὺ ὑποφέρουν ἀπὸ ἀσθένεια, μακαρίζουν τοὺς φτωχοὺς ποὺ κινοῦνται μέσα στὰ δρομάκια, καὶ θεωροῦν τοὺς ἑαυτούς τους, ἂν καὶ ἔχουν ἀμέτρητα πλούτη, ἀθλίους.

Πάλιν ἂν ὑγιαίνῃ μὲν τὸ σῶμα, καὶ πλούσιος ᾖ, δόξης δὲ μὴ ἀπολαύῃ, ἕτερον κώλυμα πάλιν. Καὶ γάρ εἰσί τινες χρήματα μὲν κεκτημένοι πολλά, καὶ τὸ σῶμα ἀσινὲς ἔχοντες, τὰ δὲ ἀνήκεστα πάσχοντες ὑπὸ τῶν εἰς στρατείαν τελούντων, καὶ δυναστείαν περιβεβλημένων. Τῷ γὰρ μηδεμιᾶς μετέχειν τιμῆς καὶ ἀθλιωτέρους πάντων ἑαυτοὺς εἶναι νομίζουσιν, ὑποκύπτοντες, ὧν πολλάκις δούλους ἔχουσιν εὐπορωτέρους. Πάλιν ἂν δόξα μὲν ᾖ, καὶ πλοῦτος, καὶ ὑγίεια σώματος, ἀσφάλεια δὲ μὴ παρῇ, ἐπιβουλευόντων μυρίων, φθονούντων, βασκαινόντων, μισούντων, κατηγορούντων, συκοφαντούντων, πάντων ἀθλιώτερος ἔσται, λαγωοῦ βίον ζῶν ὁ τοιοῦτος, καὶ τὰς σκιὰς ὑποπτεύων, καὶ πάντας τρέμων καὶ δεδοικώς. Ἂν δὲ καὶ τούτων ἀπαλλαγῇ, φιλῆται δὲ παρὰ πάντων, καὶ κατὰ ῥοῦν αὐτῷ φέρηται πάντα, καὶ δόξα, καὶ πλοῦτος, καὶ ἀσφάλεια, καὶ τιμὴ (ὅπερ ἀμήχανον συνδραμεῖν, ἀλλ' ὅμως κείσθω τῷ λόγῳ), κἂν ἅπαντα τοίνυν ταῦτα ἐπιρρέῃ, καὶ μηδὲν ᾖ τὸ διακόπτον, ἀλλὰ καὶ εὔνοια δήμου, καὶ δόξης μέγεθος, καὶ χρημάτων περιουσία, καὶ σώματος ὑγίεια, καὶ ἀσφάλεια πᾶσα, καὶ τὸ ἀχείρωτον αὐτῷ συντρέχῃ, μοχθηρὰν πολλάκις συνοικίσας ἑαυτῷ γυναῖκα, καὶ διεστραμμένην, ἀθλιώτερος πάντων τῶν οὐδὲν ἐκείνων ἐχόντων γίνεται. Ἐὰν δὲ καὶ αὐτὴ χρηστή τις ᾖ, καὶ κατὰ νοῦν αὐτῷ καὶ κατὰ γνώμην συμβαίνῃ, παδία κτησόμενον φαῦλα ἀθλιώτερον πάντων εἶναι ἀνάγκη τὸν τοιοῦτον· ἢ μηδ' ὅλως κτησάμενον θρηνεῖν καὶ ὀδύρεσθαι. Καὶ ὅπουπερ ἂν ἴδῃ τις τῶν ἀνθρώπων, πολλοὺς ὄψεται τοὺς κρημνούς. Καὶ τί δεῖ τἄλλα λέγειν; Πολλάκις οἰκέτης μοχθηρὸς πάντα ἀνέτρεψε καὶ συνέχεε, καὶ οὐδὲν οὕτω σφαλερόν, ὡς τὸ ἐν ἀνθρώποις κομᾶν.

Ἀλλ' οὐχ ὁ τὸν Θεὸν φοβούμενος τοιοῦτος, ἀλλὰ τῶν κυ-

Πάλι, ἂν μὲν εἶναι ὑγιὴς σωματικὰ καὶ εἶναι καὶ πλούσιος, δὲν ἀπολαμβάνει δὲ δόξα, αὐτὸ πάλι εἶναι ἄλλο ἐμπόδιο. Καθόσον ὑπάρχουν μερικοὶ ποὺ ἔχουν μὲν πολλὰ χρήματα καὶ ἔχουν καὶ τὸ σῶμα ὑγιές, ἀλλ' ὅμως ὑποφέρουν ἀνυπόφορα ἀπὸ ἐκείνους ποὺ ἀσκοῦν τὴν στρατιωτικὴ καὶ τὴν πολιτικὴ ἐξουσία. Διότι τὸ νὰ μᾶς ἀπολαμβάνουν καμιὰ τιμή, θεωροῦν τοὺς ἑαυτούς τους ἀθλιώτερους ἀπὸ ὅλους, ὑποκύπτοντας πολλὲς φορὲς σὲ ἐκείνους ποὺ ἔχουν δούλους εὐπορότερους. Πάλι, ἂν μὲν ἔχει δόξα, πλοῦτο καὶ ὑγεία σωματική, δὲν ἔχει ὅμως ἀσφάλεια, ἐπειδὴ τὸν ἐπιβουλεύονται ἀμέτρητοι, τὸν φθονοῦν, θέλουν νὰ τὸν βλάψουν, τὸν μισοῦν, τὸν κατηγοροῦν, τὸν συκοφαντοῦν, θὰ εἶναι ἀθλιώτερος ἀπὸ ὅλους, ζώντας τὴ ζωὴ τοῦ λαγοῦ, ὑποπτευόμενος τὶς σκιὲς καὶ τρέμοντας καὶ φοβούμενος ὅλους. Ἂν δὲ καὶ ἀπὸ αὐτὰ ἀπαλλαγεῖ, καὶ ἀγαπιέται ἀπὸ ὅλους, καὶ ὅλα ἔρχονται ὅπως τὰ θέλει, καὶ δόξα, καὶ πλοῦτος, καὶ ἀσφάλεια καὶ τιμὴ (πράγμα ποὺ εἶναι ἀδύνατο νὰ συμβεῖ, ἀλλ' ὅμως ἂς τὸ θεωρήσουμε δυνατὸ μὲ τὸ λόγο), καὶ ἂν λοιπὸν ὅλα αὐτὰ τρέχουν μὲ ἀφθονία καὶ δὲν ὑπάρχει τίποτε ποὺ νὰ τὰ διακόπτει, ἀλλ' ὑπάρχει καὶ εὔνοια τοῦ λαοῦ, καὶ πολὺ μεγάλη δόξα, καὶ ἀφθονία χρημάτων, καὶ σωματικὴ ὑγεία, καὶ πλήρης ἀσφάλεια, καὶ εἶναι ἀκατάβλητος ἀπὸ παντοῦ, ἐπειδή, πολλὲς φορές, νυμφεύθηκε μοχθηρὴ καὶ διεστραμμένη γυναίκα, γίνεται ἀθλιώτερος ἀπὸ ὅλους ἐκείνους ποὺ δὲν ἔχουν τίποτα ἀπὸ ἐκεῖνα. Ἐὰν δὲ καὶ ἡ γυναίκα του εἶναι καλὴ καὶ συμφωνεῖ μὲ τὶς σκέψεις του καὶ τὶς ἐπιθυμίες του, ἐπειδὴ ἀπέκτησε παιδιὰ ὄχι ἐνάρετα, αὐτὸς κατ' ἀνάγκη εἶναι ἀθλιώτερος ἀπὸ ὅλους, ἢ ἂν δὲν ἀπέκτησε καθόλου παιδιὰ θρηνεῖ καὶ ὀδύρεται. Καὶ πρὸς ὁποια κατεύθυνση καὶ ἂν τρέχει κάποιος ἀπὸ τοὺς ἀνθρώπους θὰ συναντήσει πολλοὺς γκρεμούς. Καὶ γιατί πρέπει ν' ἀναφέρω τὰ ἄλλα; Πολλὲς φορὲς δοῦλος κακὸς ὅλα τὰ ἀνέτρεψε καὶ τὰ ἔκανε ἄνω κάτω καὶ δὲν ὑπάρχει μεγαλύτερο σφάλμα, ὅσο τὸ νὰ ὑπερηφανεύεται κάποιος ἀπὸ τοὺς ἀνθρώπους.

Ὅμως δὲν εἶναι τέτοιος ἐκεῖνος ποὺ φοβᾶται τὸ Θεό, ἀλλ',

μάτων ἀπηλλαγμένος, ἐν γαλήνῃ κάθηται καὶ λιμένι, τὴν ὄντως δρεπόμενος μακαριότητα. Διὰ δὴ τοῦτο πάντα ἐκεῖνα παραδραμὼν ὁ μακαρισμός, ἂν μὴ πάντα συνδράμῃ, οὐκ ἄν ποτε σταίη· μᾶλλον δὲ καὶ ὅταν συνδράμῃ, τότε σαλεύεται παρ' αὐτῶν ἐκείνων τῶν τικτόντων αὐτόν. Καὶ γὰρ πλοῦτος ἀπώλεσε, καὶ γυνὴ πολλάκις εὔμορφος κατέλυσε, καὶ οἰκετῶν γένος προέδωκε, καὶ παῖδες γενόμενοι πατραλοῖαι κατέστησαν· καὶ ὅπερ ἔφθην εἰπών, πολλὰ πανταχόθεν ἔχει τὰ σφαλερά. Ἐνταῦθα δὲ κἂν πάντα συρρέῃ τἀναντία, οὐ μόνον οὐδὲν παραβλάπτει τὸν μακαρισμὸν τοῦτον, ἀλλὰ καὶ ἰσχυρότερον αὐτὸν καθίστησι καὶ ἀνδρειότερον. Κἂν γὰρ πενία, κἂν ἀτιμία, κἂν πήρωσις σώματος, ᾖ, κἂν γυναικὸς μοχθηρία, κἂν παῖδες μοχθηροί, κἂν ὁτιοῦν εἴπῃς, οὐχ ὑποσκελίζει τοῦτον τὸν μακαρισμόν, οὐδὲ παρασαλεύει. Οὐ γὰρ ἐξ ἐκείνων ἔχει τὴν γένεσιν, ἵνα καὶ ὑπ' ἐκείνων σείηται τῶν παρασυρομένων, ἀλλ' ἄνωθεν τὴν ῥίζαν κέκτηται· διὸ καὶ ἀχείρωτος μένει.

Καὶ εἰ βούλεσθε, ἐπ' αὐτῶν τῶν πραγμάτων μεταχειρίσωμεν τοῦτον. Οὐχὶ δοῦλος ἦν Ἰωσήφ; οὐχὶ ξένος; οὐχὶ ἄπολις; οὐχὶ βαρβάρων οἰκέτης, πρότερον μὲν Σαρακηνῶν, ὕστερον δὲ ἀγριωτέρων τῶν Αἰγυπτίων; οὐχὶ μοιχὸς ἐνομίζετο; οὐ κατηγορεῖτο; οὐκ ἐσυκοφαντεῖτο; οὐ δεσμωτήριον ᾤκει; οὐχ ἅλυσιν περιέκειτο; Καὶ τί τούτων αὐτὸν ἔβλαψεν; Ἀλλὰ διὰ ταῦτα μὲν οὖν μάλιστα μακάριος ἦν. Τὸ γὰρ δὴ θαυμαστὸν τοῦτο, ὅπερ ἔφθην εἰπών, ὅτι οὐδὲν οὐ μόνον παραβλάπτεται ὁ μακαρισμὸς ἐντεῦθεν οὗτος, ἀλλὰ καὶ λαμπρότερος καὶ φαιδρότερος γίνεται. Εἰ γὰρ μηδὲν τούτων ἔπαθεν, οὐκ ἂν οὕτω μακάριος ἦν.

2. Βούλει καὶ τοὺς σφοδρότερον ἐν κακίᾳ διατρίψαντας εἴπω, εἶτα ἀθρόον μεταβαλομένους, καὶ πᾶσαν ἐκείνην τὴν κακίαν

ἀπαλλαγμένος ἀπὸ τὰ κύματα, κάθεται σὲ γαλήνιο λιμάνι, ἀπολαμβάνοντας τὴν πραγματικὴ μακαριότητα. Γι' αὐτὸ λοιπόν, παραμερίζοντας ὁ προφήτης ὅλα ἐκεῖνα, μακαρίζει μόνο αὐτό. Διότι, ἐκεῖνος μὲν ὁ μακαρισμός, ἂν δὲν συντρέξουν ὅλα, δὲν θὰ μποροῦσε ποτὲ νὰ σταθεῖ· μᾶλλον δὲ καὶ ὅταν συντρέξουν, τότε κλονίζεται ἀπὸ ἐκείνους τοὺς ἴδιους ποὺ γεννοῦν αὐτόν. Καθόσον καὶ ὁ πλοῦτος ὁδήγησε στὴν ἀπώλεια, καὶ γυναίκα πολλὲς φορὲς ὄμορφη προξένησε τὴν καταστροφή, καὶ οἱ δοῦλοι πρόδωσαν τὸν κύριό τους, καὶ τὰ ἴδια τὰ παιδιά τους· ἔγιναν πατροκτόνοι· καί, ὅπως προανέφερα, ἔχει ἀπὸ παντοῦ πολλὰ ἐπικίνδυνα. Ἐδῶ ὅμως, καὶ ἂν ἀκόμα συρρέουν ὅλα τὰ ἀντίθετα, ὄχι μόνο τίποτε δὲν βλάπτει τὸν μακαρισμό, ἀλλὰ καὶ τὸν καθιστᾶ ἰσχυρότερο καὶ ἀνδρειότερο. Διότι καὶ ἂν ἀκόμα ὑπάρχει φτώχεια, καὶ ἂν ἀτιμία, καὶ ἂν σωματικὴ ἀναπηρία, καὶ ἂν κακία τῆς συζύγου, καὶ ἂν παιδιὰ μοχθηρά, καὶ ἄν, ὁ,τιδήποτε ἄλλο ἀναφέρεις, δὲν τὸν ἀνατρέπει αὐτὸν τὸν μακαρισμό, οὔτε τὸν κλονίζει. Καθόσον δὲν ἔχει τὴν ὕπαρξή του ἀπὸ ἐκεῖνα, ὥστε νὰ κλονίζεται ἀπὸ ἐκεῖνα ποὺ παρασύρονται, ἀλλ' ἔχει τὴ ρίζα του στὸν οὐρανό· γι' αὐτὸ καὶ μένει ἀκλόνητος.

Καὶ ἂν θέλετε ἂς τὸν μεταφέρουμε στὰ ἴδια τὰ γεγονότα ποὺ συνέβηκαν. Δὲν ἦταν δοῦλος ὁ Ἰωσήφ; δὲν ἦταν ξένος; δὲν ἦταν μακριὰ ἀπὸ τὴν πατρίδα του; δὲν ἦταν δοῦλος βαρβάρων, στὴν ἀρχὴ μὲν τῶν Σαρακηνῶν, ὕστερα δὲ πιὸ ἀγρίων, τῶν Αἰγυπτίων; δὲν θεωροῦνταν μοιχός; δὲν κατηγοροῦνταν; δὲν συκοφαντοῦνταν; δὲν ἦταν φυλακισμένος; δὲν ἦταν ἀλυσοδεμένος; Καὶ ποιὸ ἀπὸ αὐτὰ τὸν ἔβλαψε; Ἀλλ' ἐξ αἰτίας αὐτῶν πρὸ πάντων ἦταν μακάριος. Διότι τὸ ἀξιοθαύμαστο βέβαια αὐτὸ εἶναι, ὅπως προανάφερα, ὅτι ὄχι μόνο δὲν βλάπτεται καθόλου ὁ μακαρισμὸς αὐτὸς ἀπὸ αὐτά, ἀλλὰ καὶ γίνεται λαμπρότερος καὶ φαιδρότερος. Διότι ἂν δὲν πάθαινε τίποτε ἀπ' αὐτά, δὲν θὰ ἦταν τόσο μακάριος.

2. Θέλεις νὰ σοῦ ἀναφέρω καὶ ἐκείνους ποὺ ἔζησαν μέσα στὴν μεγαλύτερη κακία, καὶ ποὺ στὴ συνέχεια σὲ μιὰ στιγμὴ

ἀποδυσαμένους; Τί τοῦ λῃστοῦ γέγονεν ἀθλιώτερον; Ἀλλ' ἀθρόον μακαριώτερος ἐφάνη πάντων. Καίτοι μυρίους εἰργάσατο φόνους (καὶ γὰρ σταυρῷ κατεδικάζετο, καὶ τὴν ἐπὶ θάνατον ἤγετο, καὶ πάντες αὐτοῦ κατηγόρουν, καὶ ὁ χρόνος ἅπας ἀνάλωτο, καὶ ὁ βίος δεδαπάνητο ἐν πονηρίᾳ), ἀλλ' ἐπειδὴ ἐν βραχεῖ χρόνῳ τὸν Θεὸν ὡς χρὴ φοβηθῆναι ἐφοβήθη, μακάριος γέγονε. Οὕτω καὶ ἡ πόρνη, καίπερ τὴν ὥραν ἐμπορευομένη, καὶ πᾶσιν εἰς ὕβριν προκειμένη, καὶ διὰ τοῦτο πάντων οὖσα ἀθλιωτέρα, μακαρία κατέστη, τὸν Θεὸν ὡς δεῖ φοβηθεῖσα. Οὐδὲν γάρ ἐστι κακόν, ὃ μὴ σβέννυσιν ὁ τοῦ Θεοῦ φόβος· ἀλλὰ καθάπερ τὸ πῦρ οἷον ἂν λάβῃ σίδηρον διεστραμμένον, ἢ ἰοῦ πολλοῦ γέμοντα, καὶ λαμπρὸν ἀποδείκνυσι καὶ φαιδρόν, ἀποσμήχων, καὶ τελείως τὴν διαστροφὴν ἀνορθοῖ, οὕτω καὶ ὁ τοῦ Θεοῦ φόβος καὶ ἐν βραχεῖ χρόνῳ πάντα ἐργάσεται, καὶ τοὺς ὑπ' αὐτοῦ βαφέντας οὐδενὶ τῶν ἀνθρωπίνων ἀφίησιν ὑποσκελίζεσθαι. Οὐκ ἀσθενὴς ἦν ὁ Τιμόθεος; οὐχὶ διηνεκῶς ἐν νόσοις καὶ ταλαιπωρίαις; Τί οὖν ἐκείνου μακαριώτερον γέγονε; Τί δαὶ ὁ Ἰώβ; εἰπέ μοι· οὐκ ἐν πενίᾳ κατέστη; οὐκ ἐν ἀπαιδείᾳ; οὐκ ἐν πληγῇ σώματος χαλεπωτάτῃ; οὐκ ἐν ὀνείδεσιν; οὐκ ἐν ὕβρεσιν; οὐκ ἐν λοιδορίαις; οὐκ ἐν λιμῷ; οὐκ ἐν ἅπασι τοῖς ἀνθρωπίνοις κακοῖς; Ἀλλ' ὅμως ἁπάντων καὶ οὗτος μακαριώτερος γέγονεν. Οὐ μόνον γὰρ οὐδὲν τούτων αὐτὸν ὑπεσκέλισεν, ἀλλὰ καὶ στερεώτερον εἰργάσατο. Καὶ γυνὴ δὲ μετὰ πάντων ἐκείνων ἐπέκειτο αὐτῷ ὀνειδίζουσα, καὶ ὅμως διὰ πάντων ἔλαμψε.

Ταῦτα οὖν ἅπαντα ἐννοῶν ὁ προφήτης ἔλεγε· «Μακάριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον», φησίν, «οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ». Ἵνα γὰρ μὴ νομίσῃς ἀρκεῖν σοι τὸν φόβον, προσέθηκε τό, «Οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ», δηλῶν ἀμφότερα, ὅτι «Οἱ φοβούμενοι καὶ πορευόμενοι». Πολλοὶ γὰρ

---

2. Λουκᾶ 23, 40-43.
3. Λουκᾶ 7, 37-50.

ἄλλαξαν ζωὴ καὶ ἀπέβαλαν ὅλη ἐκείνη τὴν κακία; Τί ὑπῆρξε ἀθλιότερο ἀπὸ τὸ ληστή;[2] Ἀλλὰ σὲ μιὰ στιγμὴ φάνηκε πιὸ μακάριος ἀπὸ ὅλους. Ἂν καὶ βέβαια διέπραξε ἀμέτρητους φόνους (καθόσον καταδικάστηκε σὲ σταυρικὸ θάνατο καὶ βάδιζε τὸ δρόμο τοῦ θανάτου, καὶ ὅλοι τὸν κατηγοροῦσαν καὶ ὁ χρόνος ὅλος πέρασε, καὶ ἡ ζωή του εἶχε δαπανηθεῖ μέσα στὴν κακία), ἀλλ' ἐπειδὴ μέσα σὲ σύντομο χρόνο φοβήθηκε τὸ Θεὸ ὅπως ἔπρεπε νὰ τὸν φοβηθεῖ, ἔγινε μακάριος. Ἔτσι καὶ ἡ πόρνη, ἂν καὶ ἐμπορευόταν τὴ σωματικὴ ὡραιότητά της καὶ ὅλοι τὴν περιφρονοῦσαν, καὶ γι' αὐτὸ ἦταν ἀθλιότερη ἀπὸ ὅλους, ἔγινε μακάρια, ἐπειδὴ ἔδειξε τὸν πρέποντα σεβασμὸ πρὸς τὸ Θεό[3]. Διότι δὲν ὑπάρχει κανένα κακό, ποὺ νὰ μὴ τὸ σβήνει ὁ φόβος τοῦ Θεοῦ· ἀλλ' ὅπως ἀκριβῶς ἡ φωτιά, ὁποιοδήποτε στραβὸ σίδερο καὶ ἂν λάβει ἢ γεμάτο ἀπὸ σκουριά, τὸ καθιστᾶ καὶ λαμπρὸ καὶ φωτεινό, καθαρίζοντάς το καὶ διορθώνοντας τελείως τὸ στράβωμά του, ἔτσι καὶ ὁ φόβος τοῦ Θεοῦ καὶ σὲ σύντομο χρόνο ὅλα τὰ κατορθώνει, καὶ δὲν ἀφήνει νὰ ὑποσκελίζονται ἀπὸ κανένα ἀνθρώπινο ἐκείνους ποὺ ἐμποτίστηκαν ἀπὸ αὐτόν. Δὲν ἦταν ἀσθενὴς ὁ Τιμόθεος; δὲν ζοῦσε διαρκῶς μέσα στὶς ἀρρώστιες καὶ τὶς ταλαιπωρίες; Τί λοιπὸν ὑπῆρξε μακαριότερο ἀπὸ ἐκεῖνον; Τί δὲ ὁ Ἰώβ; πές μου· δὲν περιέπεσε σὲ φτώχεια; δὲν ἔχασε τὰ παιδιά του; δὲν γέμισε τὸ σῶμα του ἀπὸ πάρα πολὺ φοβερὲς πληγές; δὲν ζοῦσε μέσα στοὺς χλευασμούς, μέσα στὴν περιφρόνηση, μέσα στὶς κακολογίες, μέσα στὴν πείνα, μέσα σ' ὅλα τὰ ἀνθρώπινα κακά; Ἀλλ' ὅμως καὶ αὐτὸς ἔγινε μακαριότερος ἀπὸ ὅλους. Διότι ὄχι μόνο τίποτε ἀπὸ αὐτὰ δὲν τὸν ἀνέτρεψε, ἀλλὰ καὶ τὸν ἔκαμε στερεότερο. Καὶ ἡ γυναίκα του δὲ μαζὶ μὲ ὅλα ἐκεῖνα καταφερόταν ἐναντίον του καὶ τὸν χλεύαζε, καὶ ὅμως διέλαμψε μέσα ἀπὸ ὅλα αὐτά.

Σκεπτόμενος λοιπὸν ὁ προφήτης ὅλα αὐτά, ἔλεγε· «Μακάριοι ὅλοι ἐκεῖνοι ποὺ φοβοῦνται τὸν Κύριο», λέγει, «καὶ βαδίζουν στὶς ὁδούς του». Διότι, γιὰ νὰ μὴ νομίσεις ὅτι σοῦ ἀρκεῖ ὁ φόβος, πρόσθεσε τό, «Οἱ πορευόμενοι τὶς ὁδούς του», δηλώνοντας καὶ τὰ δυό, δηλαδὴ «Οἱ φοβούμενοι καὶ πορευόμενοι».

πίστιν ἔχοντες ἀκριβῆ, βίον δὲ διεφθαρμένον, ἀθλιώτεροι πάντων γεγόνασιν. Ἵνα οὖν μὴ δόξῃ ἐντεῦθεν ὁ λόγος ἐλέγχεσθαι, ἐπήγαγεν· Οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ». Τίνες δὲ αἱ τοῦ Θεοῦ ὁδοί, ἀλλ' ἢ ἡ κατὰ ἀρετὴν πολιτεία; Διὰ ταύτης γάρ ἐστιν εἰς τὸν οὐρανὸν ἀνιέναι, καὶ τῆς μητροπόλεως ἐπιλαμβάνεσθαι, καὶ αὐτὸν ὁρᾶν τὸν Θεόν, ὡς ἀνθρώπῳ δυνατὸν ὁρᾶν. Ὁδοὶ δὲ αὐτοῦ λέγονται, ἐπειδὴ δι' αὐτῶν ἐστιν ἀπελθεῖν πρὸς τὸν Θεόν. Καὶ οὐκ εἶπεν, ὁδός, ἀλλ', ὁδοί, δεικνὺς ὅτι πολλαὶ αὐταὶ καὶ διάφοροι. Διὰ γὰρ τοῦτο πολλὰς αὐτὰς ἔτεμε, τῇ ἀφθονίᾳ τῶν ὁδῶν εὔκολον ποιῶν ἡμῖν τὴν εἴσοδον. Οἱ μὲν γὰρ τῶν ἀνθρώπων ἐν παρθενίᾳ λάμπουσιν, οἱ δὲ ἐν γάμῳ διαπρέπουσιν, ἄλλοι χηρείᾳ κοσμοῦνται· καὶ οἱ μὲν τὰ πάντα ἀπεδύσαντο, οἱ δὲ τὰ ἡμίση· καὶ οἱ μὲν δι' ὀρθοῦ βίου, οἱ δὲ διὰ μετανοίας· διὰ γὰρ τοῦτο πολλὰς ἔτεμεν ὁδούς, ἵνα εὐκόλως ὁδεύῃς.

Οὐκ ἴσχυσας μετὰ τὸ λουτρὸν καθαρὸν διαφυλάξαι σου τὸ σῶμα; Δύνασαι διὰ μετανοίας σαυτὸν ποιῆσαι καθαρόν, δύνασαι διὰ χρημάτων, δι' ἐλεημοσύνης. Ἀλλ' οὐκ ἔχεις χρήματα; Ἀλλ' ἐπισκέπτεσθαι δύνασαι τὸν ἀρρωστοῦντα, ἀπιέναι πρὸς τὸν δεδεμένον, ψυχροῦ ποτήριον διδόναι, καὶ ὁμωρόφιον ποιεῖν τὸν ξένον, δύο παρέχειν ὀβολούς, ὡς ἡ χήρα, καὶ στενάζειν ἐπὶ τοῖς ὀδυνωμένοις. Καὶ γὰρ καὶ τοῦτο ἐλεημοσύνη. Ἀλλ' ἔρημος εἶ καὶ πένης καθ' ὅλου, καὶ ἀσθενὴς τὸ σῶμα, καὶ οὐδὲ βαδίσαι δύνασαι; Φέρε πάντα εὐχαρίστως ταῦτα, καὶ μέγαν ἐκαρπώσω τὸν μισθόν. Ἐπεὶ καὶ τοῦ Λαζάρου τοῦτο ἦν τὸ κατόρθωμα. Οὐδὲ γὰρ ἀπὸ χρημάτων ἐκεῖνος ἐπεκούρησέ τινι. Πῶς γὰρ ὁ μηδὲ τῆς ἀναγκαίας εὐπορῶν τροφῆς; Οὐκ εἰς δεσμωτήριον εἰσῆλθε. Πῶς γὰρ ὁ μηδὲ ὀρθοῦσθαι δυνάμενος; Οὐκ ἄρρωστον ἐπεσκέψατο. Πῶς γὰρ ὁ προκείμενος ταῖς γλώσσαις τῶν κυνῶν; Ἀλλ'

4. Μαρκ. 12, 42-43.
5. Λουκᾶ 16, 20.

Διότι πολλοί, ἐνῶ εἶχαν πίστη ὀρθή, ἡ ζωή τους ὅμως ἦταν διεφθαρμένη, καὶ ἔτσι ὑπῆρξαν ἀθλιώτεροι ἀπὸ ὅλους. Γιὰ νὰ μὴ φανεῖ λοιπὸν ἀπὸ ἐδῶ ὁ λόγος του ἄξιος γιὰ κατηγορία, πρόσθεσε· «Οἱ πορευόμενοι τὶς ὁδούς του». Ποιὲς δὲ εἶναι οἱ ὁδοὶ τοῦ Θεοῦ, παρὰ ὁ ἐνάρετος τρόπος ζωῆς; Διότι μὲ τὴν ἀρετὴ εἶναι δυνατὸ ν' ἀνεβεῖ κάποιος στὸν οὐρανό, νὰ φθάσει στὴν μητρόπολη, καὶ νὰ βλέπει τὸ Θεό, ὅσο εἶναι δυνατὸ στὸν ἄνθρωπο νὰ τὸν βλέπει. Ὀνομάζονται δὲ ὁδοὶ αὐτοῦ, ἐπειδὴ μέσω αὐτῶν εἶναι δυνατὸ νὰ μεταβεῖ κάποιος πρὸς τὸ Θεό. Καὶ δὲν εἶπε, ὁδός, ἀλλά, ὁδοί, γιὰ νὰ δείξει ὅτι αὐτὲς εἶναι πολλὲς καὶ διάφορες. Διότι γι' αὐτὸ χάραξε αὐτὲς πολλές, κάμνοντας μὲ τὴν ἀφθονία τῶν ὁδῶν εὔκολη τὴν εἴσοδό μας στὸν οὐρανό. Καθόσον ἄλλοι μὲν ἀπὸ τοὺς ἀνθρώπους διαλάμπουν ἀσκώντας τὴν παρθενία, ἄλλοι δὲ διαπρέπουν μὲ τὸ γάμο, ἄλλοι δὲ κοσμοῦνται μὲ τὴ χηρεία· καὶ ἄλλοι μὲν ἀπαρνήθηκαν τὰ πάντα, ἄλλοι δὲ τὰ μισά· καὶ ἄλλοι μὲν ζώντας ὀρθὸ βίο, ἄλλοι δὲ μετανοώντας γιὰ τὰ ἁμαρτήματά τους· διότι γι' αὐτὸ χάραξε πολλὲς ὁδούς, γιὰ νὰ βαδίζεις εὔκολα.

Δὲν μπόρεσες μετὰ τὸ βάπτισμα νὰ διαφυλάξεις καθαρὸ τὸ σῶμα σου; Μπορεῖς μὲ τὴ μετάνοια νὰ καθαρίσεις τὸν ἑαυτό σου, μπορεῖς μὲ χρήματα, μὲ ἐλεημοσύνη. Ἀλλὰ δὲν ἔχεις χρήματα; Μπορεῖς ὅμως νὰ ἐπισκέπτεσαι τὸν ἄρρωστο, νὰ μεταβαίνεις πρὸς τὸ φυλακισμένο, νὰ δίνεις ἕνα ποτήρι κρύο νερό, νὰ φιλοξενεῖς τὸν ξένο, νὰ δίνεις δύο ὀβολούς, ὅπως ἡ χήρα[4] καὶ νὰ πάσχεις μαζὶ μὲ ἐκείνους ποὺ ὑποφέρουν. Καθόσον καὶ αὐτὸ εἶναι ἐλεημοσύνη. Ἀλλὰ στερεῖσαι τὰ πάντα καὶ εἶσαι φτωχὸς ἐξ ὁλοκλήρου, καὶ ἀσθενὴς σωματικὰ καὶ δὲν μπορεῖς νὰ βαδίσεις; Ὑπόφερέ τα αὐτὰ ὅλα μὲ εὐχαρίστηση, καὶ καρπώθηκες μεγάλο μισθό. Διότι καὶ τοῦ Λάζαρου αὐτὸ ἦταν τὸ κατόρθωμα[5]. Καθόσον ἐκεῖνος δὲν βοήθησε κανένα μὲ χρήματα. Διότι πῶς θὰ τὸ ἔκαμνε αὐτό, ἐκεῖνος ποὺ δὲν εἶχε οὔτε τὴν ἀναγκαία τροφή; Δὲν εἰσῆλθε σὲ φυλακή. Διότι πῶς θὰ εἰσερχόνταν ἐκεῖνος ποὺ δὲν μποροῦσε οὔτε νὰ σταθεῖ ὄρθιος; Δὲν ἐπισκέφτηκε ἄρρωστο. Διότι πῶς θὰ τὸ ἔκαμνε αὐτὸ ἐκεῖνος

ὅμως καὶ τούτων χωρὶς τὸ βραβεῖον τῆς ἀρετῆς ἥρπασε τῷ πάντα γενναίως ἐνεγκεῖν, τῷ τὸν μὲν ὠμὸν καὶ ἀπάνθρωπον εὐδοκιμοῦντα καὶ ἐντρυφῶντα ὁρᾶν, ἑαυτὸν δὲ ἐν τοσούτοις κακοῖς, καὶ μηδὲν ἀπηχὲς ῥῆμα φθέγξασθαι. Διὰ δὲ τοῦτο τοὺς κόλπους ἀπελάμβανε τοῦ Ἀβραὰμ ὁ νεκροῦ οὐδὲν ἄμεινον διακείμενος, ἀλλ' ἀργὸς ἐν τῷ πυλῶνι τοῦ πλουσίου τότε ἐρριμμένος, καὶ μετὰ τοῦ τοσαῦτα κατωρθωκότος πατριάρχου ἐστεφανοῦτο· καὶ ἀνηγορεύετο, καὶ τῶν κόλπων ἀπέλαυε τῶν ἐκείνου, οὐκ ἐλεημοσύνας ποίησας, οὐκ ἀδικουμένῳ χεῖρα ὀρέξας, οὐ ξένους ὑποδεξάμενος, οὐκ ἄλλο τῶν τοιούτων οὐδὲν ἐπιδείξασθαι δυνηθείς, ἀλλ' ἐν πᾶσι μόνον εὐχαριστήσας, καὶ τὸν τῆς ὑπομονῆς λαμπρὸν ἀπενεγκὼν στέφανον. Μέγα γὰρ ἔργον εὐχαριστία καὶ φιλοσοφία, καὶ καρτερία ἐν τοσούτοις κακοῖς γυμναζομένη· καὶ πάντων μεῖζον κατόρθωμα τοῦτο. Ὅθεν καὶ ὁ Ἰὼβ ἐστεφανοῦτο, διὸ καὶ ὁ διάβολος ἔλεγε· «Δέρμα ὑπὲρ δέρματος, καὶ πάντα ὅσα ὑπάρχει τῷ ἀνθρώπῳ δώσει ὑπὲρ τῆς ψυχῆς αὐτοῦ· ἀλλὰ ἀπόστειλον τὴν χεῖρά σου, καὶ ἅψαι τῆς σαρκὸς αὐτοῦ». Οὐ γὰρ μικρόν, ὀδυνωμένην χαλινῶσαι ψυχήν, πρὸς τὸν μηδὲν ἁμαρτεῖν. Τοῦτο μαρτυρίου ἴσον, τοῦτο κολοφὼν τῶν ἀγαθῶν.

3. Καὶ σὺ τοίνυν, ἀγαπητέ, πολλάκις ὑπὸ νόσου κατεχόμενος, ἢ πυρετῶν, ἢ ἀλγηδόνων, τῆς ὀδύνης σε ἀναγκαζούσης εἰπεῖν τι βλάσφημον, ἐὰν κατάσχῃς σαυτόν, καὶ εὐχαριστήσῃς, καὶ δοξολογήσῃς τὸν Θεόν, τὸν αὐτὸν λήψῃ μισθόν. Τίνος γὰρ ἕνεκεν βλασφημεῖς, εἰπέ μοι, καὶ πικρὸν ῥῆμα ἐκφέρεις; Μὴ κουφότερόν σοι γίνεται τὸ ἄλγος; Μάλιστα μὲν γὰρ εἰ καὶ κουφότερον ἐγίνετο, οὐδὲ οὕτως ἔδει τολμᾶν, οὐδὲ ψυχῆς σωτηρίαν ἀποδόσθαι, τῷ σώματί σου τὴν παραμυθίαν ἐπινοοῦντα· νῦν δὲ οὐ

6. Ἰώβ. 2, 4-5.

ποὺ ἦταν ἐκτιθεμένος στὶς γλῶσσες τῶν σκυλιῶν; 'Αλλ' ὅμως καὶ χωρὶς αὐτὰ ἅρπαξε τὸ βραβεῖο τῆς ἀρετῆς μὲ τὸ νὰ ὑποφέρει ὅλα μὲ γενναιότητα, μὲ τὸ νὰ βλέπει τὸν μὲν σκληρὸ καὶ ἀπάνθρωπο νὰ εὐτυχεῖ καὶ νὰ ἀπολαμβάνει τὰ ἀγαθά, τὸν ἑαυτό του δὲ μέσα σὲ τόσες πολλὲς συμφορές, καὶ νὰ μὴ λέγει κανένα κακὸ λόγο. Γι' αὐτὸ δὲ ἀπολάμβανε τοὺς κόλπους τοῦ 'Αβραὰμ ἐκεῖνος ποὺ δὲν ἦταν σὲ καλύτερη κατάσταση ἀπὸ νεκρό, ἀλλ' ἦταν τότε ἀργὸς καὶ πεταμένος στὸν πυλώνα τοῦ πλούσιου, καὶ στεφανωνόταν τώρα μαζὶ μὲ τὸν πατριάρχη μὲ τὰ τόσα κατορθώματά του· καὶ ἀνακηρυσσόταν καὶ ἀπολάμβανε τοὺς κόλπους ἐκείνου, ὄχι ἐπειδὴ ἔκαμε ἐλεημοσύνες, ὄχι ἐπειδὴ βοήθησε ἀδικούμενο, ὄχι ἐπειδὴ φιλοξένησε ξένους, ὄχι ἐπειδὴ μπόρεσε νὰ παρουσιάσει κάτι ἄλλο παρόμοιο μὲ αὐτά, ἀλλ', ἐπειδὴ μόνο εὐχαρίστησε τὸ Θεὸ γιὰ ὅλες τὶς συμφορές του, ἔλαβε καὶ τὸν λαμπρὸ στέφανο τῆς ὑπομονῆς του· πράγματι εἶναι μεγάλο ἔργο ἡ εὐχαριστία, ἡ εὐσέβεια καὶ ἡ ὑπομονὴ ποὺ ἀσκεῖται ἀπὸ τὶς τόσες πολλὲς δοκιμασίες· καὶ αὐτὸ εἶναι κατόρθωμα μεγαλύτερο ἀπὸ ὅλα. 'Απ' αὐτὸ στεφανωνόταν καὶ ὁ 'Ιώβ, καὶ γι' αὐτὸ καὶ ὁ διάβολος ἔλεγε· «Γιὰ νὰ σώσει κάποιος τὸ δέρμα του, δίνει ἄλλο δέρμα, καὶ εὐχαρίστως θὰ δώσει ὅλα ὅσα ἔχει ὁ ἄνθρωπος γιὰ νὰ σώσει τὴ ζωή του· ὅμως γιὰ νὰ δοκιμάσεις αὐτὸν ἅπλωσε τὸ χέρι σου καὶ πλήγωσε τὴ σάρκα του»[6]. Διότι δὲν εἶναι εὔκολο πράγμα νὰ συγκρατήσει κάποιος ψυχὴ ποὺ ὑποφέρει, ὥστε νὰ μὴ ἁμαρτάνει. Αὐτὸ εἶναι ἴσο μὲ μαρτύριο, αὐτὸ εἶναι τὸ ἀποκορύφωμα τῶν ἀγαθῶν.

3. Καὶ σὺ λοιπόν, ἀγαπητέ, πολλὲς φορὲς ἐνῶ ὑποφέρεις ἀπὸ ἀσθένεια ἢ πυρετὸ ἢ ἰσχυροὺς πόνους καὶ σὲ ἀναγκάζει ἡ λύπη νὰ πεῖς κάτι τὸ βλάσφημο, ἂν συγκρατήσεις τὸν ἑαυτό σου καὶ εὐχαριστήσεις καὶ δοξολογήσεις τὸ Θεό, θὰ λάβεις τὸν ἴδιο μισθό. Διότι πές μου, γιὰ ποιὸ λόγο βρασφημεῖς καὶ ἐκστομίζεις κακὸ λόγο; Μήπως θὰ σοῦ γίνει ἐλαφρύτερος ὁ ὕπνος; Διότι βέβαια καὶ ἂν ἀκόμη γινόταν ἐλαφρύτερος, οὔτε ἔτσι ἔπρεπε νὰ τὸ τολμᾶς αὐτό, οὔτε νὰ προσφέρεις τὴ σωτηρία τῆς ψυχῆς σου, γιὰ νὰ ἐπιτύχεις τὴν παρηγορία τοῦ σώματός σου·

μόνον οὐ κουφίζεταί σου τὸ ἄλγος, ἀλλὰ καὶ χαλεπώτερον γίνεται. Ὁ γὰρ διάβολος ὁρῶν ὅτι ἴσχυσέ τι, καὶ εἰς βλασφημίαν σε ἐξήγαγεν, ἐπιτείνει τὴν κάμινον, ἀνάπτει τὴν ὀδύνην, ὥστε αὐτῷ πληρῶσαι τὴν ἐπιθυμίαν. Μάλιστα μὲν οὖν, ὅπερ ἔφην, εἰ καὶ ἐκουφίζετο, οὐκ ἔδει τοῦτο ποιεῖν· ὅταν δὲ μηδὲ κερδαίνῃς τι, τίνος ἕνεκεν σαυτὸν κατασφάττεις; Ἀλλ᾽ οὐκ ἀνέχῃ σιγᾶν; Οὐκοῦν εὐχαρίστει τῷ Θεῷ· οὐκοῦν δοξολόγει τὸν δοκιμάζοντα ἐν τῇ καμίνῳ. Ἀντὶ τῆς βλασφημίας δοξολογίαν εἰπέ. Ὧδε καὶ μέγας ὁ μισθός, καὶ κουφότερον γίνεται τὸ ἕλκος. Οὕτω καὶ ἐκεῖνος ὁ μακάριος φθεγγόμενος ἔλεγεν· «Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο». Καὶ πάλιν· «Εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα παρὰ Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν»;

Ἀλλ᾽ ἐμοί, φησίν, οὐκ ἔδωκε πλοῦτον. Οὐκοῦν ἔλαττον τὸ ἕλκος. Οὐ γάρ ἐστιν ἴσον ἀπολαύσαντα τῶν ἀπὸ τοῦ πλούτου γυμνωθῆναι τούτου, καὶ μηδὲ πεῖραν λαβόντα ἐν πενίᾳ ζῆν. Εἰ γὰρ τὰ τῶν ἄλλων ὁρῶντες κακά, καὶ τοῖς ἑαυτῶν ἀντεπεξάγοντες λυπηροῖς, χαλεπώτερα τῇ συγκρίσει τὰ ἑαυτῶν νομίζουσι πολλοὶ τῶν πενομένων, ὅταν μὴ ἑτέρωθεν, ἀλλ᾽ ἐξ αὐτῶν ποιῶνται τὴν σύγκρισιν, ἐννόησον πῶς χαλεπώτερα τὰ τῆς ἀθυμίας, ὅσῳ καὶ ἡ πεῖρα πλείονα παρασκευάζει τῆς ἀφαιρέσεως τὴν αἴσθησιν. Ταύτῃ καὶ ἡ ἀπαιδία κουφοτέρα ἡ ἐξ ἀρχῆς τῆς μετὰ τὴν εὐπαιδίαν. Οὐ γάρ ἐστιν ἴσον μὴ λαβεῖν, καὶ μετὰ τὸ λαβεῖν ἀφαιρεθῆναι. Φέρε τοίνυν τὰ συμπίπτοντα πάντα γενναίως· τοῦτο γάρ σοι μαρτύριόν ἐστιν. Οὐ γὰρ τὸν κελευόμενον θῦσαι, τὸ μὴ θῦσαι, ἀλλὰ καταξανθῆναι μᾶλλον, ἢ τοῦτο ποιῆσαι, ποιεῖ μαρτύριον μόνον· ἀλλὰ καὶ τὸ τῆς ὀδύνης εἰς βλασφημίαν ἐξαγούσης, ἑλέσθαι ἐγκαρτερῆσαι τῷ πόνῳ, καὶ μηδὲν ἀπηχὲς εἰπεῖν, μάρτυρα ἐργάζεται. Ἐπεὶ καὶ ὁ Ἰώβ, οὐκ ἐπειδὴ κελευόμε-

7. Ἰώβ. 1, 21.
8. Ἰώβ. 2, 10.

τώρα ὅμως ὄχι μόνο δὲν γίνεται ἐλαφρύτερος ὁ πόνος, ἀλλὰ γίνεται καὶ φοβερότερος. Διότι ὁ διάβολος, βλέποντας ὅτι κατόρθωσε κάτι καὶ σὲ ὁδήγησε ἔτσι σὲ βλασφημία, ἐπαυξάνει τὴν κάμινο, ἀνάπτει τὸν πόνο, ὥστε νὰ ἱκανοποιήσει τὴν ἐπιθυμία. Μάλιστα βέβαια, ὅπως προανέφερα, καὶ ἂν ἀκόμα ἀνακουφιζόσουν, δὲν ἔπρεπε νὰ τὸ κάμνεις αὐτό, ὅταν ὅμως δὲν κερδίζεις τίποτε, γιὰ ποιὸ λόγο κατασφάζεις τὸν ἑαυτό σου; Ἀλλὰ δὲν ἀνέχεσαι νὰ σιωπᾶς; Λοιπὸν εὐχαρίστα τὸ Θεό, δοξολόγα ἐκεῖνον ποὺ σὲ δοκιμάζει στὴν κάμινο. Ἀντὶ τῆς βλασφημίας πρόσφερε δοξολογία. Ἔτσι καὶ ὁ μισθὸς εἶναι μεγάλος καὶ ἡ πληγὴ γίνεται ἐλαφρύτερη. Ἔτσι καὶ ἐκεῖνος ὁ μακάριος συνομιλώντας ἔλεγε· «Ὁ Κύριος τὰ ἔδωσε, ὁ Κύριος τὰ ἀφαίρεσε»[7]. Καὶ πάλι· «Ἂν δεχθήκαμε τὰ ἀγαθὰ ἀπὸ τὸν Κύριο μὲ εὐχαρίστηση, τὰ κακὰ δὲν θὰ τὰ ὑποφέρουμε;»[8].

Ἀλλ' ἐμένα, λέγει, δὲν μοῦ ἔδωσε πλοῦτο. Λοιπὸν ἂς εἶναι μικρότερη καὶ ἡ πληγή. Διότι δὲν εἶναι ἴσο πράγμα, ἀφοῦ ἀπόλαυσες τὰ ἀγαθὰ τοῦ πλούτου, νὰ ἀπογυμνωθεῖς ἀπ' αὐτὸν καὶ νὰ ζεῖς μέσα στὴ φτώχεια χωρὶς νὰ γνώρισες αὐτήν. Διότι ἐάν, βλέποντας τὰ κακὰ τῶν ἄλλων καὶ συγκρίνοντας αὐτὰ πρὸς τὰ δικά τους, θεωροῦν πολλοὶ φτωχοί, μετὰ ἀπὸ τὴ σύγκριση, χειρότερα τὰ δικά τους, ὅταν κάμνουν τὴ σύγκριση ὄχι πρὸς ἄλλους, ἀλλὰ πρὸς τὸν ἑαυτό τους, σκέψου πόσο φοβερότερη εἶναι ἡ λύπη, τόσο, ὅσο ἡ πείρα καθιστᾶ μεγαλύτερη τὴν αἴσθηση τῆς στέρησης. Ἔτσι καὶ ἡ ἔλλειψη παιδιῶν εἶναι ἐλαφρύτερη ὅταν συμβαίνει ἀπὸ τὴν ἀρχή, παρὰ ἐκείνη ποὺ συμβαίνει ἀφοῦ πρῶτα ἀπέκτησε κάποιος παιδιά. Διότι δὲν εἶναι τὸ ἴδιο πράγμα τὸ νὰ μὴ λάβουμε κάτι, καὶ τὸ νὰ μᾶς ἀφαιρεθεῖ ἀφοῦ τὸ λάβουμε. Ὑπόφερε λοιπὸν μὲ γενναιότητα ὅλα ὅσα σοῦ συβμαίνουν· διότι αὐτὸ εἶναι γιὰ σένα μαρτύριο. Διότι δὲν ἀποτελεῖ μόνο μαρτύριο τὸ νὰ μὴ θυσιάσει ἐκεῖνος ποὺ διατάσσεται νὰ θυσιάσει, ἀλλὰ τὸ νὰ προτιμήσει νὰ γίνει κομμάτια μᾶλλον, παρὰ νὰ κάνει αὐτό. Ἀλλὰ μάρτυρα ἀκόμα δημιουργεῖ καὶ τὸ νὰ προτιμήσει τὸν πόνο ἀντὶ τῆς βλασφημίας στὴν ὁποία ὁδηγεῖ ὁ πόνος, παρὰ νὰ πεῖ κάποιο κακὸ λόγο. Διότι καὶ

νος θῦσαι οὐκ ἔθυσε, διὰ τοῦτο ἐστεφανώθη, ἀλλ' ἐπειδὴ γενναίως ἤνεγκε τὰς ὀδύνας. Καὶ Παῦλος δὲ ἐντεῦθεν ἀνεκηρύττετο, ἀπὸ τῶν μαστίγων, ἀπὸ τῶν θλίψεων, ἀπὸ τῶν ἄλλων ὧν ὑπέμεινε μετὰ εὐχαριστίας.

«Τοὺς πόνους τῶν καρπῶν σου φάγεσαι· μακάριος εἶ καὶ καλῶς σοι ἔσται». Τίνος ἕνεκεν διπλασιάζει τὸν μακαρισμόν; Ἐπειδὴ οἶδεν αὐτοῦ τὸ μέγεθος, ἐντρυφᾷ τῇ φαντασίᾳ τοῦ πράγματος. Καὶ τί τό, «Καλῶς»; εἰπέ μοι. «Ἡ γυνή σου ἄμπελος εὐθυνοῦσα ἐν τοῖς κλίτεσι τῆς οἰκίας σου». Ἄλλος φησίν, «Ἐν τοῖς ἐσωτάτοις». Ἄλλος, «Ἐν τοῖς μηροῖς». «Υἱοί σου ὡς νεόφυτα ἐλαιῶν κύκλῳ τῆς τραπέζης σου». Ἰδοὺ οὕτως εὐλογηθήσεται ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον. Τί λέγεις; εἰπέ μοι· τοῦτο ὁ μακαρισμός; τοῦτο τὸ κέρδος; οἰκίας εὐθυνία, καὶ τὸ τῶν οἰκείων ἀπολαῦσαι πόνων, καὶ παίδων πλῆθος, καὶ γυνή; Οὐ τοῦτο, ἀλλὰ τοῦτο ἐκ περιουσίας. «Ζητεῖτε γὰρ πρῶτον τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν». Ἐπειδὴ οὖν ἀτελεστέροις ἔτι διελέγετο, ὥσπερ παιδία μικρὰ ἀπὸ τῶν αἰσθητῶν ἐνάγει. Καὶ μὴ θαυμάσῃς. Εἰ γὰρ Παῦλος τοῦτο ποιεῖ ἐν τῷ καιρῷ τῆς τοσαύτης φιλοσοφίας πρὸς τοὺς ἔτι χαμαὶ βαδίζοντας ἀπὸ τούτων διαλεγόμενος, πολλῷ μᾶλλον ὁ προφήτης. Καὶ ποῦ τοῦτο ὁ Παῦλος ποιεῖ; Πολλαχοῦ. Καὶ γὰρ ὅταν περὶ παρθενίας διαλέγηται, οὐδὲν περὶ τῶν μελλόντων αὐτοῖς λέγει, ἀλλὰ τὴν ἀπαλλαγὴν τῶν ἀπὸ τοῦ γάμου προσγινομένων λυπηρῶν μόνον τίθησι· καὶ ὅταν δὲ περὶ τῆς εἰς γονέας τιμῆς, τῷ αὐτῷ κέχρηται τρόπῳ, οὕτω λέγων· «Ἥτις ἐστὶν ἐντολὴ πρώτη ἐν ταῖς ἐπαγγελίαις». Τίς δέ ἐστιν ἡ ἐντολή; «Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς».

9. Β' Κορ. 11, 25-27.
10. Λουκᾶ 12, 31.
11. Α' Κορ. 7, 28.
12. Ἐφ. 6, 2.
13. Ἐξ. 20, 12.

ὁ Ἰὼβ στεφανώθηκε, ὄχι ἐπειδὴ δὲν θυσίασε, ἐνῶ πῆρε ἐντολὴ νὰ θυσιάσει, ἀλλ' ἐπειδὴ ὑπόφερε μὲ γενναιότητα τὶς δοκιμασίες. Καὶ ὁ Παῦλος δὲ ἀπὸ αὐτὸ ἀνακηρυσσόταν, ἀπὸ τὶς μαστιγώσεις, ἀπὸ τὶς θλίψεις, ἀπὸ ὅλα τὰ ἄλλα ποὺ ὑπέμεινε μὲ εὐχαρίστηση[9].

«Τοὺς κόπους τῶν χεριῶν σου θὰ τρώγεις· μακάριος θὰ εἶσαι καὶ ὅλα θὰ σοῦ πηγαίνουν καλά». Γιὰ ποιὸ λόγο διπλασιάζει τὸν μακαρισμό; Ἐπειδὴ γνωρίζει τὸ μέγεθος αὐτοῦ, ἐντρυφᾶ μὲ τὴ φαντασία μέσα στὸ πράγμα αὐτό. Καὶ πές μου, τί σημαίνει τὸ «καλῶς»; «Ἡ γυναίκα σου θὰ εἶναι σὰν κληματαριὰ στὸ πλάι τοῦ σπιτιοῦ σου γεμάτη μὲ καρπούς». Ἄλλος λέγει «Στὸ ἐσωτερικὸ τοῦ σπιτιοῦ σου». Ἄλλος, «Στοὺς μηρούς σου». «Οἱ υἱοί σου θὰ κάθονται γύρω ἀπὸ τὸ τραπέζι σὰ νεοφύτευτα δένδρα ἐλιῶν». Νὰ ἔτσι θὰ εὐλογηθεῖ ὁ ἄνθρωπος ποὺ φοβᾶται τὸν Κύριο· Τί λέγεις; Πές μου· αὐτὸ εἶναι ὁ μακαρισμός; αὐτὸ εἶναι τὸ κέρδος; ἀφθονία στὰ ἀγαθὰ τῆς οἰκίας, ἡ ἀπόλαυση τῶν κόπων μας, τὸ πλῆθος τῶν παιδιῶν καὶ ἡ γυναίκα; Ὄχι μόνο αὐτό, ἀλλ' αὐτὸ μὲ μεγάλη ἀφθονία. Διότι λέγει, «Ζητεῖτε πρῶτα τὴ βασιλεία τῶν οὐρανῶν καὶ ὅλα αὐτὰ θὰ σᾶς προστεθοῦν»[10]. Ἐπειδὴ δηλαδὴ συνομιλοῦσε μὲ ἀνθρώπους πνευματικὰ πολὺ ἀτελεῖς, τοὺς εἰσάγει στὸ νόημα τῶν λόγων του σὰν μικρὰ παιδιὰ ἀπὸ τὰ αἰσθητὰ πράγματα. Καὶ μὴ θαυμάσεις. Διότι, ἂν αὐτὸ κάμνει ὁ Παῦλος στὸν καιρὸ τῆς τόσο μεγάλης φιλοσοφίας, μιλώντας ἀπὸ τὰ αἰσθητὰ πράγματα πρὸς ἐκείνους ποὺ ἦταν ἀκόμα πολὺ χαμηλὰ πνευματικά, πολὺ περισσότερο ὁ προφήτης. Καὶ ποῦ τὸ κάμνει αὐτὸ ὁ Παῦλος; Σὲ πολλὰ μέρη. Καθόσον, ὅταν μιλοῦσε γιὰ τὴν παρθενία, τίποτε δὲν λέγει σ' αὐτοὺς γιὰ τὰ μελλοντικά, ἀλλὰ μόνο ἀναφέρει τὴν ἀπαλλαγὴ ἀπὸ τὰ δυσάρεστα ποὺ πηγάζουν ἀπὸ τὸ γάμο[11]· καὶ ὅταν δὲ ὁμιλεῖ γιὰ τὴν τιμὴ πρὸς τοὺς γονεῖς, τὸν ἴδιο τρόπο χρησιμοποιεῖ, λέγοντας τὰ ἑξῆς· «Αὐτὴ εἶναι ἡ πρώτη ἐντολὴ ποὺ δίνεται μὲ τὶς ὑποσχέσεις»[12]. Ποιὰ δὲ εἶναι ἡ ἐντολή; «Τίμα τὸν πατέρα σου καὶ τὴ μητέρα σου, καὶ θὰ ζήσεις πολλὰ χρόνια ἐπάνω στὴ γῆ»[13]. Ἀλλὰ καὶ ὅταν γράφει γιὰ τὴ

Ἀλλὰ καὶ ὅταν περὶ τῆς εἰς τοὺς ἐχθροὺς φιλοσοφίας γράφῃ, πάλιν αἰσθητὸν τίθησιν ἔπαθλον, λέγων· «Τοῦτο γὰρ ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ».

Ἀλλ' ὁ Χριστὸς οὐχ οὕτως· οὐδὲ γὰρ αὐτὸς ἀσθενέσι διαλέγεται· ἀλλ' ἐπὶ μὲν τῇ παρθενίᾳ τὴν βασιλείαν τίθησιν, ἐπὶ δὲ τῷ τοὺς ἐχθροὺς ἀγαπᾶν, τὸ γενέσθαι ὁμοίους τῷ Θεῷ, ὡς ἀνθρώπους ὄντας ὁμοίους γενέσθαι ἔνι. Ὥσπερ οὖν καὶ ἐν τῇ Παλαιᾷ, ἔνθα διὰ τῶν αἰσθητῶν ἤγοντο, τοὺς φιλοσοφεῖν εἰδότας ἀπὸ τῶν μειζόνων ὀψόμεθα ἐναγομένους. Καὶ τοῦτο δηλῶν ὁ Παῦλος ἔλεγε· «Κατὰ πίστιν ἀπέθανον οὗτοι μὴ κομισάμενοι τὰς ἐπαγγελίας, ἀλλὰ πόρρωθεν αὐτὰς ἰδόντες καὶ ἀσπασάμενοι». Οὐ τοίνυν ὁ μισθὸς τῶν φοβουμένων τὸν Θεὸν οὗτος μόνος, τῶν οἰκείων ἡ ἀπόλαυσις, καὶ γυνή, καὶ παῖδες, καὶ εὐθυνία οἰκίας, ἀλλὰ ταῦτα μὲν ἐκ περιουσίας καὶ ἐν τάξει προσθήκης· τὰ δὲ κεφάλαια καὶ μεγάλα, πρῶτον μὲν αὐτὸ τὸ φοβεῖσθαι τὸν Θεόν, ἐν ἑαυτῷ τὴν ἀμοιβὴν ἔχον· ἔπειτα δὲ καὶ τὰ ἀπόρρητα ἐκεῖνα, «Ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη».

4. Εὐλογήσαι σε Κύριος ἐκ Σιών, καὶ ἴδοις τὰ ἀγαθὰ Ἱερουσαλήμ». Ἕτερος, «Καὶ ὅρα ἐν ἀγαθοῖς Ἱερουσαλήμ». Ἀγαθὰ τὴν πόλιν λέγει, τὸν πλοῦτον, τὴν εὐπρέπειαν, τὰς νίκας, τὰς τιμάς, τὴν εὐθυνίαν, τὴν εὐετηρίαν, τὴν ἀσφάλειαν, τὴν εἰρήνην. «Πάσας τὰς ἡμέρας τῆς ζωῆς σου». Καλῶς τῇ προσθήκῃ τῶν ἡμερῶν κέχρηται. Καὶ γὰρ καὶ τοῦτο μάλιστα σημεῖον ἦν τοῦ παρὰ τοῦ Θεοῦ ταῦτα δίδοσθαι, καὶ τῆς προνοίας αὐτοῦ δεῖγμα, τὸ μὴ πάσχειν τι ἀνθρώπινον, μηδὲ μεταπίπτειν, καὶ μεταβολὴν ὑπομένειν, πλὴν εἴποτε ὀργισθεὶς αὐτὰ διέκοψε. «Καὶ ἴδοις υἱοὺς τῶν υἱῶν σου». Καὶ μὴν πολλοί, φησί, φοβούμενοι τὸν Θεὸν ἐν ἀπαιδίᾳ διετέλεσαν. Καὶ τί τοῦτο; Οὐ γὰρ ἐπὶ τοῖς παροῦσιν ἀπεδυσά-

14. Ρωμ. 12, 20.
15. Ματθ. 19, 12.
16. Ματθ. 5, 44-45.
17. Ἑβρ. 11, 13.
18. Α' Κορ. 2, 9.

συμπεριφορὰ πρὸς τοὺς ἐχθρούς, πάλι προσθέτει αἰσθητὸ ἔπαθλο, λέγοντας· «Διότι κάμνοντας αὐτὸ συσσωρεύεις κάρβουνα ἀναμμένα ἐπάνω στὸ κεφάλι σου»[14].

Ἀλλ' ὁ Χριστὸς δὲν ἐνεργεῖ ἔτσι· διότι αὐτὸς δὲν ὁμιλεῖ πρὸς πνευματικὰ ἀδύνατους. Καὶ γιὰ μὲν τὴν παρθενία ἀναφέρει σὰν ἔπαθλο τὴν οὐράνια βασιλεία[15], γιὰ δὲ τὴν ἀγάπη πρὸς τοὺς ἐχθρούς, τὸ νὰ γίνουμε ὅμοιοι μὲ τὸ Θεό[16], ὅσο εἶναι δυνατὸ στοὺς ἀνθρώπους νὰ ὁμοιωθοῦν μὲ αὐτόν. Ὅπως ἀκριβῶς λοιπὸν καὶ στὴν Παλαιὰ Διαθήκη, ὅπου ὁδηγοῦνταν μὲ τὰ αἰσθητά, θὰ δοῦμε ἐκείνους ποὺ γνωρίζουν νὰ φιλοσοφοῦν νὰ ὁδηγοῦνται ἀπὸ τὰ ὑψηλότερα. Καὶ θέλοντας ὁ Παῦλος νὰ δηλώσει αὐτό, ἔλεγε· «Ὅλοι αὐτοὶ πέθαναν μὲ πίστη, χωρὶς νὰ ἔλαβαν τὶς ὑποσχέσεις, ἀλλ' εἶδαν αὐτὲς ἀπὸ μακριὰ καὶ τὶς ἀποδέχτηκαν»[17]. Δὲν εἶναι λοιπὸν μόνο αὐτὸς ὁ μισθὸς ἐκείνων ποὺ φοβοῦνται τὸ Θεό, δηλαδὴ ἡ ἀπόλαυση τῶν οἰκογενειακῶν ἀγαθῶν, ἡ γυναίκα, τὰ παιδιὰ καὶ ἡ ἀφθονία τῶν ἀγαθῶν τῆς οἰκίας, ἀλλ' αὐτὰ μὲν εἶναι κάτι τὸ ἐπὶ πλέον καὶ ἐπιπρόσθετο, τὰ δὲ σπουδαιότερα καὶ μεγαλύτερα, πρῶτο μὲν εἶναι αὐτὸ ἀκριβῶς τὸ νὰ φοβᾶται κάποιος τὸ Θεό, ποὺ ἔχει μέσα του τὴν ἀμοιβή· ἔπειτα δὲ εἶναι καὶ τὰ ἀπερίγραπτα ἐκεῖνα ἀγαθά, τὰ ὁποῖα μάτι ἀνθρώπινο δὲν τὰ εἶδε, καὶ αὐτὶ δὲν τὰ ἄκουσε, καὶ ἀνθρώπινος νοῦν δὲν τὰ φαντάστηκε»[18].

4. «Εἴθε νὰ σὲ εὐλογήσει ὁ Κύριος ἀπὸ τὴ Σιὼν καὶ νὰ μπορέσεις νὰ δεῖς τὰ ἀγαθὰ τῆς Ἱερουσαλήμ». Ἄλλος λέγει, «Καὶ βλέπε τὴν Ἱερουσαλὴμ μέσα στὰ ἀγαθά της». Ἀγαθὰ ὀνομάζει τὴν πόλη, τὸν πλοῦτο, τὴ μεγαλοπρέπεια, τὴν εἰρήνη. «Ὅλες τὶς ἡμέρες τῆς ζωῆς σου». Πολὺ καλὰ χρησιμοποιεῖ τὴν προσθήκη τῶν ἡμερῶν. Καθόσον καὶ αὐτὸ πρὸ πάντων ἦταν ἀπόδειξη ὅτι αὐτὰ δίνονται ἀπὸ τὸ Θεό, καθὼς καὶ δεῖγμα τῆς πρόνοιάς του, τὸ ὅτι αὐτὰ δὲν παθαίνουν τίποτε τὸ ἀνθρώπινο, οὔτε ἔχουν μεταπτώσεις καὶ οὔτε ὑφίστανται μεταβολές, ἐκτὸς ἐὰν κάποτε ὀργίστηκε καὶ διέκοψε αὐτά. «Καὶ νὰ μπορέσεις νὰ δεῖς τοὺς υἱοὺς τῶν υἱῶν σου». Καὶ ὅμως, λέγει, πολλοὶ ἂν καὶ φοβοῦνταν τὸ Θεό, ἐν τούτοις ἔζησαν χωρὶς παιδιά. Καὶ ποιὰ

μεθα, ἀλλὰ προηγουμένως μὲν ἐπὶ τῷ ἀρέσκειν τῷ Θεῷ· ἔπειτα δὲ ἐπὶ ταῖς μελλούσαις ἐλπίσι. Καὶ τότε μὲν ταῦτα ἦν τὰ ἔπαθλα, νῦν δὲ οὐρανὸς καὶ τὰ ἐν οὐρανοῖς ἀγαθά. Εἰ δὲ μὴ ἔσχες παῖδας, ὁ φοβούμενος τὸν Θεόν, πόθεν οἶσθα, εἰ μὴ τῆς εὐπραγίας ταύτης ἕτερα μείζονα ἔδωκεν; Οὐ γὰρ ἑνὶ τρόπῳ πάντας εὐεργετεῖ, ἀλλὰ διαφόρως, πλούσιος ὤν. Πόσοι παῖδας ἐσχηκότες, τοὺς οὐκ ἔχοντας ἐμακάρισαν; πόσοι πλοῦτον κτησάμενοι, τῶν πενήτων ἀθλιώτερον κατέλυσαν; πόσοι δόξης ἀπολαύσαντες, καθάπερ μαχαίρᾳ ταύτῃ περιεπάρησαν, καὶ τὰ ἀνήκεστα πεπόνθασι;

Μὴ δὴ τὰ πράγματα πάντα ζήτει, μηδὲ ἀπαίτει τὸν Θεὸν εὐθύνας, ἀλλὰ πάντα φέρε γενναίως καὶ μετὰ εὐχαριστίας· μᾶλλον δὲ μηδενὶ τῶν παρόντων προσήλωσο. Διὰ γὰρ τοῦτο τοιαύτην ἐκελεύσθης εὔχεσθαι εὐχήν, ἐν ᾗ μόνον ἓν αἴτημα αἰσθητὸν αἰτεῖς, καὶ πλέον οὐδέν. Ἀλλὰ καὶ τοῦτο τῷ μέτρῳ πάλιν γίνεται πνευματικόν. Τὰ μὲν γὰρ ἄλλα πάντα περὶ οὐρανῶν καὶ τῆς ἐκεῖ βασιλείας, καὶ τῆς ἀκριβοῦς πολιτείας, καὶ τῆς τῶν ἁμαρτημάτων ἀπαλλαγῆς ἡμῖν εἴρηται· ὑπὲρ δὲ αἰσθητῶν μίαν λέξιν κελευόμεθα λέγειν. Ποίαν δὲ ταύτην; «Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον», καὶ πλέον οὐδέν. Ἐπειδὴ γὰρ πρὸς ἑτέραν λοιπὸν καλούμεθα πατρίδα, καὶ πρὸς μείζονα μετεταξάμεθα ζωήν, καὶ τὰς αἰτήσεις καταλλήλους ἐκείνῃ δεῖ ποιεῖσθαι· ταῦτα δὲ κἂν ἐπιρρέῃ, μετὰ πολλῆς τῆς ἀκριβείας διακρούεσθαι.

«Εἰρήνη ἐπὶ τὸν Ἰσραήλ». Ἄλλος, «Καὶ ἴδε τοὺς υἱοὺς τῶν υἱῶν σου, εἰρήνην ἐπὶ τὸν Ἰσραήλ». Κατὰ κοινοῦ ἡ εὐχή. Τοῦτο γὰρ μάλιστα ποθοῦσιν, ἅτε μακρῷ τεταριχευμένοι πολέμῳ. Τί γὰρ ὄφελος αὐτοῖς τῶν ἄλλων, εἰρήνης οὐκ οὔσης; Τὸ τοίνυν

---

19. Ματθ. 6, 11.

σημασία ἔχει αὐτό; Διότι ἡ φροντίδα μας δὲν εἶναι τὰ πράγματα τῆς παρούσης ζωῆς, ἀλλὰ κατ' ἀρχὴ μὲν γιὰ νὰ ἀρέσουμε στὸ Θεό, ἔπειτα δὲ οἱ μελλοντικὲς ἐλπίδες. Καὶ τότε μὲν αὐτὰ ἦταν τὰ ἔπαθλα, τώρα ὅμως καὶ τὰ οὐράνια ἀγαθά. Ἂν δὲ δὲν ἀπέκτησες παιδιά, σὺ ποὺ φοβᾶσαι τὸ Θεό, ἀπὸ ποῦ γνωρίζεις, ἂν δὲν σοῦ ἔδωσε ἄλλα μεγαλύτερα ἀγαθὰ ἀπὸ αὐτὴν τὴν εὐτυχία; Διότι δὲν εὐεργετεῖ ὅλους μὲ ἕνα τρόπο, ἀλλὰ μὲ διάφορους, διότι εἶναι πλούσιος. Πόσοι, ποὺ ἔχουν παιδιά, μακάρισαν ἐκείνους ποὺ δὲν ἔχουν; πόσοι, ἂν καὶ ἀπέκτησαν πλοῦτο, τελείωσαν τὴ ζωή τους ἀθλιότερα ἀπὸ τοὺς φτωχούς; πόσοι, ἐνῶ ἀπόλαυσαν δόξα, πληγώθηκαν ἀπὸ αὐτήν, σὰν ἀκριβῶς ἀπὸ μαχαίρι, καὶ ἔπαθαν ἀθεράπευτα κακά;

Μὴ λοιπὸν πολυεξετάζεις τὰ πράγματα καὶ οὔτε νὰ ζητᾶς εὐθύνες ἀπὸ τὸ Θεό, ἀλλὰ ὅλα ὑπόφερέ τα μὲ γενναιότητα καὶ μὲ εὐχαριστία· μᾶλλον δὲ μὴ προσηλώνεσαι σὲ κανένα ἀπὸ τὰ παρόντα πράγματα. Διότι γι' αὐτὸ ἔλαβες ἐντολὴ νὰ κάμνεις αὐτὴν τὴν προσευχή, μὲ τὴν ὁποία ἕνα μόνο αἰσθητὸ πράγμα ζητᾶς καὶ τίποτε ἐπὶ πλέον. Ἀλλὰ καὶ αὐτὸ ὅταν γίνεται μὲ μέτρο γίνεται πάλι πνευματικό. Διότι ὅλα μὲν τὰ ἄλλα μᾶς ἔχουν λεχθεῖ γιὰ τοὺς οὐρανοὺς καὶ τὴν ἐκεῖ βασιλεία, γιὰ τὸν ἐνάρετο τρόπο ζωῆς καὶ γιὰ τὴν ἀπαλλαγὴ ἀπὸ τὰ ἁμαρτήματά μας, ἐνῶ γιὰ τὰ αἰσθητὰ ἔχουμε ἐντολὴ νὰ λέμε μιὰ μόνο λέξη. Ποιὰ δὲ εἶναι αὐτή; «Τὸν ἄρτο μας τὸν ἀπαραίτητο δῶσε μας σήμερα»[19], καὶ τίποτε περισσότερο. Διότι, ἐπειδὴ πλέον καλούμαστε πρὸς ἄλλη πατρίδα καὶ μετατεθήκαμε σὲ ἀνώτερη ζωή, πρέπει καὶ τὰ αἰτήματά μας νὰ εἶναι κατάλληλα μὲ ἐκείνη· ἐνῶ αὐτά, καὶ ἂν ἀκόμα συρρέουν μὲ ἀφθονία, νὰ τὰ ἀπορρίπτουμε μὲ μεγάλη προθυμία.

«Εἴθε νὰ κυριαρχεῖ εἰρήνη στὸν Ἰσραήλ». Ἄλλος λέγει, «καὶ πρόσεχε τὰ τέκνα τῶν υἱῶν σου, χαρίζοντας εἰρήνη στὸν Ἰσραήλ». Ἡ προσευχὴ εἶναι κοινή. Διότι αὐτὸ πρὸ πάντων ποθοῦν, ἐπειδὴ ἔχουν ἐξαντληθεῖ ἀπὸ τὸν μακροχρόνιο πόλεμο. Διότι ποιὸ τὸ ὄφελος αὐτῶν ἀπὸ τὰ ἄλλα, ὅταν δὲν ἔχουν εἰρή-

κεφάλαιον τῶν ἀγαθῶν τῶν τότε, καὶ τὴν ἀσφάλειαν αὐτῶν ἐπαγγέλλεται, τὴν εἰρήνην, καὶ ταύτην διηνεκῆ· ὅπερ μάλιστα τῆς τοῦ Θεοῦ προνοίας ἔργον, τὸ καὶ δοῦναι καὶ μὴ ἀφεῖναι διαπεσεῖν. Ἐπειδὴ γὰρ αὐτὴ τῶν ἀνθρωπίνων ἡ φύσις ρευστή τίς ἐστι καὶ οὐ διαρκής, δεικνὺς ὅτι οὐχ ἁπλῶς αὐτοῖς ἔπεισι ταῦτα, ἀλλ᾽ ἀπὸ τῆς ἄνωθεν ροπῆς, καὶ νεύοντος τοῦ Θεοῦ, «Πάσας τὰς ἡμέρας» εἶπε, καὶ εἰρήνην ἐπηγγείλατο διαρκῆ. Καὶ γέγονε τοῦτο, τὸ γοῦν εἰς τὸν Θεὸν ἧκον. Εἰ δὲ διεκόπη, πάλιν ἀπὸ τῆς ἐκείνων πονηρίας γέγονε καὶ τοῦτο. Ὥσπερ γὰρ ὅταν ἀπειλῇ κολάσεις τισί, καὶ διὰ τῆς μετανοίας ἀποκρούωνται τὴν ὀργήν, ἵσταται τὰ τῆς τιμωρίας, οὕτω κἂν ἀγαθὰ ἐπαγγείληται, ἀνάξιοι δὲ φανῶσιν οἱ τῆς ἐπαγγελίας μέλλοντες ἀπολαύειν, ἀναχαιτίζεται τὰ τῆς ὑποσχέσεως. Τὸ μὲν οὖν εἰς αὐτὸν ἧκον, πάσας τὰς ἡμέρας αὐτοῖς ἐπηγγείλατο, τῇ δὲ ἑαυτῶν πονηρίᾳ διέκοψαν τὴν δωρεάν.

Ταῦτα δὲ λέγω, ἵνα μήτε ἀπειλοῦντος αὐτοῦ ἀπογινώσκωμεν, ἀλλὰ τῇ μετανοίᾳ τὴν ὀργὴν ἀποκρουώμεθα, μηδὲ χρηστὰ ἐπαγγελλομένου ἀναπίπτωμεν, ἀλλὰ τῇ σπουδῇ καὶ τῇ κατὰ τὸν βίον ἐπιμελείᾳ προκαλῶμεν εἰς ἔργον τὰς ὑποσχέσεις. Ἂν γὰρ μὴ τοῦτο ποιῶμεν, οὐκ ἀρκεῖ ἡ ἐπαγγελία σῶσαι μόνη. Ἐπεὶ καὶ τῷ Ἰούδᾳ ἐπηγγείλατο, ὅτι καθιεῖται ἐπὶ τοῦ θρόνου μετὰ τῶν ἕνδεκα μαθητῶν· καὶ οὐκ ἐκάθισεν· ἡ δὲ αἰτία οὐ παρὰ τὸν ὑποσχόμενον, ἀλλὰ παρὰ τὸν ἀνάξιον τῆς ὑποσχέσεως φανέντα. Καὶ ἡμεῖς τοίνυν ἔχοντες βασιλείας ἐπαγγελίαν, μὴ ρᾳθυμῶμεν, ἀλλὰ τὰ παρ᾽ ἑαυτῶν εἰσφέρωμεν, ἵνα δυνηθῶμεν τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

νη; Καθόσον τὸ σπουδαιότερο ἀπὸ ὅλα τὰ τότε ἀγαθά, τὸ ὁποῖο ἀποτελοῦσε καὶ ὑπόσχεση γιὰ τὴν ἀσφάλειά της, ἦταν ἡ εἰρήνη, καὶ μάλιστα εἰρήνη διαρκής, πράγμα ποὺ πρὸ πάντων ἀποτελεῖ ἔργο τῆς πρόνοιας τοῦ Θεοῦ καὶ τὸ νὰ τὴ δώσει καὶ νὰ μὴ ἀφήνει νὰ χαθεῖ. Ἐπειδὴ δηλαδὴ ἡ ἴδια ἡ φύση τῶν ἀνθρώπων εἶναι κατὰ κάποιο τρόπο ρευστὴ καὶ ὄχι διαρκής, γιὰ νὰ δείξει ὅτι ὅλα αὐτὰ τὰ ἀγαθὰ δὲν ὑπῆρχαν σ' αὐτοὺς τυχαῖα, ἀλλ' ἀπὸ τὴν οὐράνια βοήθεια καὶ κατόπιν ἐντολῆς τοῦ Θεοῦ, εἶπε «Ὅλες τὶς ἡμέρες» καὶ ὑποσχέθηκε εἰρήνη διαρκή. Καὶ συνέβηκε αὐτό, ὅσο τουλάχιστο ἐξαρτῶταν ἀπὸ τὸ Θεό. Ἂν δὲ διακόπηκε πάλι αὐτὸ συνέβηκε ἐξ αἰτίας τῆς κακίας ἐκείνων. Διότι ὅπως ἀκριβῶς, ὅταν ἀπειλεῖ μερικοὺς μὲ τιμωρίες καὶ ἀποκρούουν ἐκεῖνοι τὴν ὀργή του μὲ τὴ μετάνοια, σταματοῦν καὶ τὰ τῆς τιμωρίας, ἔτσι καὶ ὅταν ὑπόσχεται ἀγαθὰ καὶ συμβεῖ νὰ φανοῦν ἀνάξιοι ἐκεῖνοι ποὺ πρόκειται ν' ἀπολαύσουν τὰ τῆς ὑποσχέσεως, ἀνακαλοῦνται τὰ τῆς ὑποσχέσεως. Αὐτὸ λοιπὸν ποὺ ἐξαρτῶταν ἀπὸ τὸ Θεό, ἦταν ὅτι ὑποσχέθηκε σ' αὐτοὺς ἀγαθὰ γιὰ ὅλες τὶς ἡμέρες τῆς ζωῆς τους, μὲ τὴν κακία τους ὅμως διέκοψαν τὴ δωρεά.

Αὐτὰ δὲ τὰ λέγω, ὥστε οὔτε καὶ ὅταν ἀπειλεῖ ὁ Θεὸς νὰ ἀπελπιζόμαστε, ἀλλὰ νὰ ἀποκρούουμε μὲ τὴ μετάνοια τὴν ὀργή, οὔτε ὅταν ὑπόσχεται ἀγαθὰ νὰ γινόμαστε ἀδιάφοροι, ἀλλὰ μὲ τὴ φροντίδα καὶ τὸν ὀρθὸ τρόπο ζωῆς νὰ προκαλοῦμε οἱ ὑποσχέσεις νὰ γίνουν ἔργο. Διότι ἂν δὲν κάμνουμε αὐτό, δὲν εἶναι ἀρκετὴ μόνο ἡ ὑπόσχεση νὰ μᾶς σώσει. Καθόσον καὶ στὸν Ἰούδα ὑποσχέθηκε, ὅτι θὰ καθίσει ἐπάνω στὸ θρόνο μαζὶ μὲ τοὺς ἕνδεκα ἄλλους μαθητές, καὶ δὲν κάθισε, καὶ αἴτιος δὲν εἶναι ἐκεῖνος ποὺ ἔδωσε τὴν ὑπόσχεση, ἀλλ' ἐκεῖνος ποὺ φάνηκε ἀνάξιος τῆς ὑποσχέσεως. Καὶ ἐμεῖς λοιπὸν ἔχοντας τὴν ὑπόσχεση τῆς βασιλείας ἂς μὴ ἀδιαφοροῦμε, ἀλλ' ἂς κάμνουμε ὅτι ἐξαρτᾶται ἀπὸ ἐμᾶς, γιὰ νὰ μπορέσουμε νὰ ἐπιτύχουμε τὰ αἰώνια ἀγαθά, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ
ΕΙΣ ΤΟΝ ΡΚΗ' ΨΑΛΜΟΝ.

«Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου, εἰπάτω δὴ Ἰσραήλ. Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου· καὶ γὰρ οὐκ ἠδυνήθησάν μοι». Ἕτερός φησιν ἑρμηνευτής, «Ἀλλ' οὐκ ἠδυνήθησάν μοι».

Καὶ οὗτος τοῦ πρὸ αὐτοῦ ἔχεται ὁ ψαλμός. Ἐπειδὴ γὰρ διεκόπτετο τὰ τῆς οἰκοδομῆς, καὶ πρὸς τέλος τὸ ἔργον οὐκ ᾔει, ἄγων αὐτοὺς εἰς χρηστὰς ἐλπίδας, ἵνα μὴ ἀπογινώσκωσιν, ἐκ τῶν παρελθόντων περὶ τῶν μελλόντων θαρρεῖν αὐτοὺς παρασκευάζει, καὶ παιδεύει αὐτοὺς λέγειν ταῦτα τὰ ρήματα. Ποῖα δέ; Ὅτι πολλάκις ἐπιθέμενοι, περιγενέσθαι οὐκ ἴσχυσαν, οὐδὲ ὁλοσχερῆ νίκην ἤραντο. Καὶ μὴν ἔλαβον αἰχμαλώτους, φησί, καὶ πρὸς τὴν ἀλλοτρίαν μετέστησαν, καὶ πολλοὺς πολέμους ἐνίκησαν. Μάλιστα μὲν καὶ τότε οὐκ ἐκ τῆς οἰκείας ἰσχύος, ἀλλ' ἐκ τῆς τῶν Ἰουδαίων ἁμαρτίας περιεγένοντο. Ἄλλως δὲ οὐ μέχρι τέλους ἔμειναν ὡς περιγεγονότες. Οὐδὲ γὰρ ἴσχυσαν παντελῶς ἀφανίσαι τὸ γένος, οὐδὲ ἐξαλεῖψαι τὴν πόλιν, οὐδὲ εἰς τέλος ἀπολέσαι τὸ ἔθνος, ἀλλὰ πρὸς ὀλίγον, ἐνδιδόντος τοῦ Θεοῦ, περιγενόμενοι, πάλιν ἡττῶντο. Πῶς δὲ ἡττῶντο; Τῶν Ἰουδαίων ἐπὶ τὴν προτέραν εὐπραγίαν ἐπανιόντων. Ὃ καὶ δηλῶν ἕτερος ἑρμηνευτής, «Ἀλλ' οὐχ ὑπερίσχυσάν μου», εἶπεν.

«Ἐπὶ τὸν νῶτόν μου ἐτέκταινον οἱ ἁμαρτωλοί, ἐμάκρυναν τὴν ἀνομίαν αὐτῶν». Τί ἐστι τοῦτο; Οὐχ ὡς ἔτυχεν ἐπεβούλευον, φησίν, ἀλλὰ πολλὰ ἐμηχανῶντο καὶ ἐπραγματεύοντο, δό-

---

* Σ' αὐτὸ τὸν ψαλμὸ περιγράφονται οἱ διωγμοὶ καὶ οἱ κίνδυνοι ποὺ ὑπέστη τὸ Ἰσραὴλ ἀπὸ τοὺς ἐχθρούς του ἀπὸ τὴν πρώτη ἡμέρα τῆς ἐμφανίσεώς του σὰν ἔθνος, ἀλλὰ δὲν μπόρεσαν νὰ τὸ καταβάλλουν, διότι ὁ Κύριος, ὁ ἀήττητος

ΟΜΙΛΙΑ

ΣΤΟΝ ΡΚΗ' ΨΑΛΜΟ*

«'Από τὰ νεανικὰ μου χρόνια πολλὲς φορὲς μὲ πολέμησαν· ἂς τὸ ὁμολογήσει αὐτὸ ὁλόκληρος ὁ ἰσραηλιτικὸς λαός. Πολλὲς φορὲς ἀπὸ τὰ νεανικά μου χρόνια μὲ πολέμησαν, καὶ ὅμως δὲν μπόρεσαν νὰ μὲ καταβάλουν». Ἄλλος ἑρμηνευτὴς λέγει, «'Αλλὰ δὲν κατόρθωσαν νὰ μὲ ἀφανίσουν».

Καὶ αὐτὸς ὁ ψαλμὸς ἀποτελεῖ συνέχεια τοῦ προηγούμενου ψαλμοῦ. 'Επειδὴ δηλαδὴ διακοπτόταν ἡ ἀνοικοδόμηση τῆς πόλεως καὶ δὲν ἔφθανε σὲ τέλος τὸ ἔργο, ὁδηγώντας αὐτοὺς σὲ καλὲς ἐλπίδες γιὰ νὰ μὴ χάνουν τὸ θάρρος τους, προετοιμάζει αὐτούς ἀπὸ τὰ παρελθόντα νὰ ἔχουν θάρρος γιὰ τὰ μελλοντικά, καὶ διδάσκει αὐτοὺς νὰ λέγουν αὐτὰ τὰ λόγια. Ποιὰ δέ; Ὅτι, ἂν καὶ πολλὲς φορὲς ἐπιτέθηκαν, δὲν κατόρθωσαν νὰ ὑπερισχύσουν, οὔτε ἐπέτυχαν ὁλοκληρωτικὴ νίκη. Καὶ βέβαια συνέλαβαν αἰχμάλωτους, λέγει, καὶ τοὺς μετέφεραν στὴν ξένη χώρα καὶ νίκησαν σὲ πολλοὺς πολέμους. Ὁπωσδήποτε καὶ τότε ὑπερίσχυσαν ὄχι ἐξ αἰτίας τῆς δυνάμεως τους, ἀλλ' ἐξ αἰτίας τῆς ἁμαρτίας τῶν 'Ιουδαίων. 'Εξ ἄλλου δὲ δὲν ἔμειναν μέχρι τέλους νικητές. Οὔτε βέβαια κατόρθωσαν νὰ ἐξαφανίσουν τελείως τὸ γένος τους, οὔτε νὰ ἐξαλείψουν τὴν πόλη, οὔτε νὰ καταστρέψουν τελείως τὸ ἔθνος τους, ἀλλ' ἀφοῦ ὑπερίσχυσαν πρὸς στιγμή, ἐπειδὴ τὸ ἐπέτρεπε ὁ Θεός, πάλι νικῶνταν. Πῶς δὲ νικῶνταν; Μὲ τὸ ὅτι ἐπανέρχονταν οἱ 'Ιουδαῖοι στὴν προηγούμενη εὐημερία τους, πράγμα ποὺ γιὰ νὰ δηλώσει ἄλλος ἑρμηνευτής, εἶπε, «'Αλλὰ δὲν κατόρθωσαν νὰ μὲ νικήσουν».

«'Επάνω στὰ νῶτα μου κάθησαν καὶ σφυροκοποῦσαν αὐτὰ οἱ ἁμαρτωλοὶ καὶ παρέτειναν γιὰ μικρὸ χρόνο τὶς ἐναντίον μου παρανομίες τους». Τί σημαίνει αὐτό; Δὲν ἦταν, λέγει, τυ-

---

προστάτης αὐτοῦ, ταπείνωσε καὶ σύντριψε αὐτούς. Τὴν προστασία αὐτὴ διακηρύσσει ὁ ποιητὴς μὲ συναισθήματα εὐχαριστίας καὶ δοξολογίας πρὸς αὐτόν.

λους ράπτοντες, λάθρᾳ ἐπιτιθέμενοι. Τὸ γάρ, «Ἐπὶ τὸν νῶτόν μου», ἢ τὸ δολερὸν καὶ ὕπουλον δηλοῖ, ἢ τὸ κατὰ κράτος καὶ μετὰ πολλῆς τῆς σφοδρότητος. Τουτέστιν, αὐτὴν τὴν δύναμίν μου συνθλάσαι ἐπεχείρουν. Ἕτερος δὲ ἀντὶ τοῦ, «Ἐτέκταινον», «Ἠροτρίασαν», εἶπεν, ἵνα δηλώσῃ, ὅτι ἔργον ἐποιοῦντο τὴν κατὰ τοῦ δικαίου ἐπιβουλήν. «Ἐμάκρυναν τὴν ἀνομίαν αὐτῶν». Τί ἐστιν ὃ λέγει; Δείκνυσιν ὅτι οὐ μετὰ σφοδρότητος ἐπῄεσαν μόνον, ἀλλὰ καὶ μετὰ πολλῆς τῆς προσεδρίας, πολὺν δαπανῶντες χρόνον, καὶ ἔργον ποιούμενοι τὴν ἐπιβουλήν, καὶ ἐπιμένοντες διηνεκῶς. Ἀλλ' οὐδὲν αὐτοῖς ἐγίνετο πλέον, οὐ παρὰ τὴν ἡμετέραν ἰσχύν, ἀλλὰ παρὰ τὴν τοῦ Θεοῦ δύναμιν. Διόπερ δεικνὺς τὸν ἱστῶντα τὸ τρόπαιον, καὶ τὴν νίκην ἐργαζόμενον, ἐπήγαγε· «Κύριος δίκαιος συνέκοψεν αὐχένας ἁμαρτωλῶν». Ἕτερος δὲ ἀντὶ τοῦ, «Αὐχένας», «Βρόχους», εἶπε, δηλῶν τὰς ἐπιβουλάς, τὰς ἐφόδους, τὰς μηχανάς. Καλῶς δὲ οὐ, 'διέλυσεν', εἶπεν, ἀλλά, «Συνέκοψεν», ἵνα μᾶλλον ἐμφήνῃ ὅτι τοῦτο εἰργάσατο, ἄχρηστα εἰς τέλος ποιῶν αὐτῶν τὰ βουλεύματα. Καὶ γὰρ ἀρχομένης τῆς πόλεως κτίζεσθαι πάλιν, πολλοὶ πανταχόθεν ἐπιτιθέμενοι ἦσαν τῷ φθόνῳ τηκόμενοι, καὶ οὐχ ἅπαξ, οὐδὲ δίς, ἀλλὰ καὶ πολλάκις τοῦτο ἐποίουν. Τοῦτο γέγονε καὶ ἐπὶ τῆς Ἐκκλησίας. Ἀρχομένης γὰρ αὐτῆς φύεσθαι, συνεχῶς ἐπετίθεντο πάντες· παρὰ μὲν τὴν ἀρχὴν βασιλεῖς, καὶ δῆμοι, καὶ τύραννοι· μετὰ δὲ ταῦτα τῶν αἱρέσεων αἱ ἐπιβουλαί, καὶ πολὺς πανταχόθεν ὁ πόλεμος καὶ ποικίλος ἀνερριπίζετο· ἀλλ' ὅμως οὐδὲν ἴσχυσεν· ἀλλὰ τὰ μὲν τῶν πολεμίων ἐλύθη, τὰ δὲ τῆς Ἐκκλησίας ἀνθεῖ.

«Αἰσχυνθήτωσαν καὶ ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω πάντες οἱ μισοῦντες Σιών». Ἄλλος, «Ἀνατραπήτωσαν εἰς τὰ ὀπίσω». «Γενηθήτωσαν ὡσεὶ χόρτος δωμάτων, ὃς πρὸ τοῦ ἐκσπα-

χαῖες οἱ ἐπιβουλές τους, ἀλλὰ πολλὰ μηχανεύονταν καὶ σχεδίαζαν, ἐπινοώντας δόλους καὶ κάμνοντας ἐπιθέσεις κρυφές. Διότι τό, «ἐπάνω στὰ νῶτα μου», ἢ φανερώνει τὸ δολερὸ καὶ τὸ ὕπουλο, ἢ τὴ μεγάλη δύναμη καὶ τὴν πολλὴ σφοδρότητα. Δηλαδὴ τὴν ἴδια τὴ δύναμή μου ἐπιχειροῦσαν νὰ συντρίψουν. Ἄλλος δὲ ἀντὶ τοῦ, «Σφυροκοποῦσαν», εἶπε, «κατέσκαψαν», γιὰ νὰ δείξει, ὅτι σὰν ἔργο τους εἶχαν τὴν ἐπιβουλὴ τοῦ δικαίου. «Παρέτειναν γιὰ μικρὸ χρόνο τὶς παρανομίες τους ἐναντίον μου». Τί σημαίνει δὲ αὐτὸ ποὺ λέγει; Δείχνει, ὅτι δὲν ἐπιτέθηκαν μόνο μὲ σφοδρότητα, ἀλλὰ καὶ μὲ μεγάλη ἐπιμονή, δαπανώντας πολὺ χρόνο, καὶ εἶχαν σὰν ἔργο τὴν ἐπιβουλή, καὶ ἐπέμεναν διαρκῶς. Καὶ ὅμως δὲν ἐπέτυχαν τίποτε τὸ ἐπὶ πλέον, ὄχι ἐξ αἰτίας τῆς δικῆς μας δυνάμεως, ἀλλ' ἐξ αἰτίας τῆς δυνάμεως τοῦ Θεοῦ. Γι' αὐτὸ ἀκριβῶς, γιὰ νὰ δείξει ἐκεῖνον ποὺ ἔστηνε τὸ τρόπαιο καὶ δημιουργοῦσε τὴ νίκη, πρόσθεσε· «Ἀλλ' ὁ δίκαιος Κύριος κατέκοψε τοὺς αὐχένες τῶν ἁμαρτωλῶν». Ἄλλος δὲ ἀντὶ τοῦ, «Αὐχένες», εἶπε, «Βρόχους», γιὰ νὰ δηλώσει τὶς ἐπιβουλές, τὶς ἐφόδους, τὶς μηχανορραφίες. Καὶ καλὰ δὲν εἶπε, 'διέλυσε', ἀλλὰ «κατέκοψε», γιὰ νὰ δείξει μὲ μεγαλύτερη ἔμφαση ὅτι ἔπραξε αὐτό, ἀρχηστεύοντας ἐξ ὁλοκλήρου τὰ σχέδια αὐτῶν. Καθόσον ὅταν ἄρχιζε ἡ πόλη νὰ κτίζεται πάλι πολλοὶ ἔκαμναν ἐπιθέσεις ἀπὸ παντοῦ, παρακινούμενοι ἀπὸ τὸ φθόνο, καὶ ὄχι μιὰ φορά, οὔτε δυό, ἀλλὰ πολλὲς φορὲς τὸ ἔκαμναν αὐτό. Αὐτὸ συνέβηκε καὶ μὲ τὴν Ἐκκλησία. Διότι, ὅταν ἄρχιζε αὐτὴ νὰ βλαστάνει, συνέχεια ὅλοι ἔκαμναν ἐπιθέσεις ἐναντίον της, στὴν ἀρχὴ μὲν βασιλεῖς, τὰ πλήθη καὶ οἱ ἄρχοντες, στὴ συνέχεια δὲ ἀκολουθοῦσαν οἱ ἐπιβουλὲς τῶν αἱρετικῶν, καὶ ἐξαπολυόταν ἀπὸ παντοῦ μεγάλος πόλεμος καὶ ποικίλος, καὶ ὅμως τίποτα δὲν κατόρθωσε, ἀλλ' οἱ μὲν ἐχθροὶ ὑπέστησαν συντριβή, τὰ δὲ πράγματα τῆς Ἐκκλησίας ἀνθίζουν.

«Ἂς ντραποῦν καὶ ἂς στραφοῦν πίσω ὅλοι ἐκεῖνοι ποὺ μισοῦν τὴ Σιών». Ἄλλος, «Ἂς ἐπιστρέψουν πίσω συντριμμένοι». «Ἂς γίνουν σὰν τὸ χορτάρι ποὺ φυτρώνει στὶς στέγες τῶν σπιτιῶν, ποὺ ξηραίνεται πρὶν νὰ ξεριζωθεῖ, ἀπὸ τὸ ὁποῖο

σθῆναι ἐξηράνθη· οὗ οὐκ ἐπλήρωσε τὴν χεῖρα αὐτοῦ ὁ θεριζων». Ἕτερός φησι, «Τὴν δράκα αὐτοῦ». «Καὶ τὸν κόλπον αὐτοῦ ὁ τὰ δράγματα συλλέγων. Καὶ οὐκ εἶπαν οἱ παράγοντες, εὐλογία Κυρίου ἐφ' ὑμᾶς. Εὐλογήκαμεν ὑμᾶς ἐν ὀνόματι Κυρίου». Εἰς εὐχὴν κατακλείει τὴν παραίνεσιν ἀπό τε τῆς διηγήσεως τῶν παρελθόντων, ἀπό τε τῆς εὐχῆς θαρρεῖν παρασκευάζων τὸν ἀκροατήν, καὶ δεικνὺς τοῦ πολέμου τὴν ὑπόθεσιν ἄδικον. Ἀπὸ γὰρ φθόνου καὶ μίσους τὰ τῆς μάχης ἤρετο· διό φησιν, «Αἰσχυνθήτωσαν καὶ ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω πάντες οἱ μισοῦντες Σιών». Μὴ μόνον ἡττηθείησαν, ἀλλὰ καὶ αἰσχρῶς καὶ καταγελάστως. Εἶτα εἰπών, «Γενηθήτωσαν ὡσεὶ χόρτος δωμάτων», ἐνδιατρίβει τῇ εἰκόνι, οὐχ ἁπλῶς χόρτῳ παραβάλλων, ἀλλὰ τῷ ἐπὶ δωμάτων. Καίτοι γε καὶ ὁ ἐν πεδίῳ λιπαρῷ, ταχέως διαρρεῖ, ἀλλ' ἐκεῖνος πλείονα δεικνὺς τῶν ἐναντίων τὴν εὐτέλειαν, τῷ ἐπὶ τῶν δωμάτων αὐτοὺς παραβάλλει· ὥστε ἑκατέρωθεν δεῖξαι αὐτῶν τὸ εὐκατάπτωτον, καὶ ἀπὸ τῆς φύσεως τοῦ χόρτου, καὶ ἀπὸ τῆς φύσεως τοῦ τόπου.

Τοιαῦται, φησί, τῶν ἐναντίων αἱ ἔφοδοι, οὐκ ἔχουσαι ῥίζαν, οὐδὲ ὑπόστασιν· ἀλλὰ πρὸς ὀλίγον μὲν δοκοῦσιν ἀνθεῖν, ὕστερον δὲ ἐλέγχονται, καὶ ἑαυτοῖς περιπίπτουσι. Τοιαύτη καὶ τῶν ἐν ἀδικίᾳ ζώντων ἡ εὐημερία, τῶν βιωτικῶν ἡ φαιδρότης· ὁμοῦ τε γὰρ φαίνεται καὶ ἀπόλλυται, οὔτε ὑπόστασίν τινα, οὔτε δύναμιν ἔχουσα. Διόπερ οὐ δεῖ τούτοις προσέχειν, ἀλλὰ τὸ εὐκατάλυτον αὐτῶν ἐννοοῦντας, τῶν ἀθανάτων ἐφίεσθαι καὶ ἀκινήτων πραγμάτων, καὶ οὐκ ἐχόντων μεταβολήν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

δὲν γέμισε τὸ χέρι του ὁ θεριστής». Ἄλλος λέγει, «τὴ χούφτα του». «Καὶ τὴν ἀγκαλιά του αὐτὸς ποὺ μαζεύει τὰ χερόβολα. Καὶ δὲν εἶπαν οἱ περαστικοί, ἡ εὐλογία τοῦ Κυρίου νὰ εἶναι μαζί σας. Οὔτε ἀπάντησαν ἐκεῖνοι, εὐχόμαστε καὶ ἐμεῖς νὰ ἔχετε τὴν εὐλογία τοῦ Κυρίου». Μὲ εὐχὲς τελειώνει τὴν παραίνεση, ἐνθαρρύνοντας τὸν ἀκροατὴ μὲ τὴ διήγηση τῶν ὅσων συνέβηκαν στὸ παρελθὸν καὶ μὲ τὴν εὐχή, καὶ δείχνοντας ἄδικη τὴν αἰτία τοῦ πολέμου. Διότι ἀπὸ φθόνο καὶ μῖσος ἄρχισε ὁ πόλεμος· γι' αὐτὸ λέγει, «Ἂς ντραποῦν καὶ ἂς στραφοῦν πίσω ὅλοι ἐκεῖνοι ποὺ μισοῦν τὴ Σιών». Ὄχι μόνο νὰ νικηθοῦν, ἀλλὰ καὶ νὰ νιώσουν ντροπὴ καὶ νὰ καταξευτελιστοῦν. Ἔπειτα, ἀφοῦ εἶπε, «ἂς γίνουν σὰν τὸ χόρτο ποὺ φυτρώνει στὶς στέγες τῶν σπιτιῶν», ἐπιμένει στὴν εἰκόνα, παραβάλλοντας αὐτοὺς ὄχι ἁπλῶς μὲ χόρτο, ἀλλὰ μὲ χόρτο ποὺ φυτρώνει στὶς στέγες. Ἂν καὶ βέβαια καὶ τὸ χόρτο ποὺ φυτρώνει σὲ πλούσιο ἔδαφος, ἀμέσως ξηραίνεται, ἀλλ' ὁ ψαλμωδός, γιὰ νὰ δείξει μεγαλύτερη τὴν εὐτέλεια τῶν ἐχθρῶν, παραβάλλει αὐτοὺς μὲ αὐτὸ ποὺ φυτρώνει στὶς στέγες, ὥστε καὶ ἀπὸ τὰ δυὸ πράγματα νὰ δείξει τὴν εὔκολη καταστροφή τους, καὶ ἀπὸ τὴ φύση τοῦ χόρτου, καὶ ἀπὸ τὴ φύση τοῦ τόπου.

Τέτοιες, λέγει, εἶναι οἱ ἔφοδοι τῶν ἐχθρῶν, δὲν ἔχουν ρίζα, οὔτε στήριγμα, ἀλλὰ πρὸς στιγμὴ μόνο φαίνονται ὅτι ἔχουν ἐπιτυχία, ὕστερα δὲ καταβάλλονται καὶ ἀπὸ μόνοι τους καταπίπτουν. Τέτοια εἶναι καὶ ἡ εὐημερία ἐκείνων ποὺ ζοῦν στὴν ἀδικία, ἡ χαρὰ ἐκείνων ποὺ ἀσχολοῦνται μὲ τὰ κοσμικά· διότι συγχρόνως μὲ τὴν ἐμφάνισή τους καὶ ἐξαφανίζεται, χωρὶς νὰ ἔχει καμιὰ βάση, οὔτε καὶ δύναμη. Γι' αὐτὸ ἀκριβῶς δὲν πρέπει νὰ προσέχουμε αὐτούς, ἀλλά, σκεπτόμενοι τὸ εὐκολοκατάβλητο αὐτῶν, νὰ ποθοῦμε τὰ ἀθάνατα καὶ ἀμετακίνητα ἐκεῖνα πράγματα, ποὺ δὲν μεταβάλλονται, τὰ ὁποῖα εὔχομαι ὅλοι μας νὰ ἐπιτύχουμε, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα ἀνήκει ἡ δόξα, συγχρόνως δὲ καὶ στὸ ἅγιο Πνεῦμα, στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ
ΕΙΣ ΤΟΝ ΡΚΘ' ΨΑΛΜΟΝ.

«Ἐκ βαθέων ἐκέκραξά σοι, Κύριε· Κύριε, εἰσάκουσον τῆς φωνῆς μου».

1. Τί ἐστιν, «Ἐκ βαθέων»; Οὐχ ἁπλῶς; ἀπὸ στόματος, οὐδὲ ἁπλῶς, ἀπὸ γλώττης, καὶ γὰρ τῆς διανοίας πλανωμένης τὰ ῥήματα ἐκχεῖται, ἀλλά, ἀπὸ καρδίας βαθυτάτης, μετὰ πολλῆς τῆς σπουδῆς καὶ τῆς προθυμίας, ἐξ αὐτῶν τῆς διανοίας τῶν βάθρων. Τοιαῦται γὰρ αἱ τῶν θλιβομένων ψυχαί· αὐτὴν συγκινοῦσιν ὁλόκληρον τὴν καρδίαν, μετὰ πολλῆς τῆς κατανύξεως τὸν Θεὸν καλοῦντες· διὸ δὴ καὶ ἀκούονται. Αἱ γὰρ τοιαῦται εὐχαὶ πολλὴν ἔχουσι δύναμιν, οὐ περιτρεπόμεναι οὐδὲ σαλευόμεναι, κἂν μετὰ πολλῆς ῥύμης ὁ διάβολος ἐπέλθῃ. Καθάπερ γὰρ δένδρον ἰσχυρόν, καὶ κατὰ πολλοῦ τοῦ βάθους τῆς γῆς παραπέμπον τὴν ῥίζαν, καὶ τοὺς κόλπους αὐτῆς περισφίγγον, πρὸς ἅπασαν πνευμάτων ῥύμην ἀνθίσταται, τὸ δὲ περὶ τὴν ἐπιφάνειαν κείμενον, μικρᾶς προσπεσούσης αὔρας διασαλεύεται, καὶ πρόρριζον ἐκτιλὲν ἐπὶ τῆς γῆς κεῖται, οὕτω δὴ καὶ αἱ εὐχαὶ αἱ μὲν κάτωθεν ἀνιοῦσαι καὶ πρὸς τὸ βάθος ἐρριζωμέναι, κἂν μυρίοι προσέλθωσι λογισμοί, κἂν ἅπασα ἡ τοῦ διαβόλου παράταξις, ἐκτενεῖς μένουσι καὶ ἀνένδοτοι, μὴ περιτρεπόμεναι· αἱ δὲ ἀπὸ τοῦ στόματος καὶ τῶν χειλέων προϊοῦσαι, καὶ μὴ ἀνερχόμεναι κάτωθεν, οὐδὲ

---

* Εἶναι ὁ ἕκτος στὴ σειρὰ τῶν ψαλμῶν μετανοίας. Ὁ ψαλμωδὸς ὁμιλεῖ ἐξ ὀνόματος ὅλου τοῦ ἔθνους τοῦ Ἰσραήλ, ποὺ στέναζε κάτω ἀπὸ τὴ δουλεία τῶν Βαβυλωνίων, καὶ συναισθανόμενοι τώρα τὶς ἁμαρτίες τους, ἐξ αἰτίας τῶν ὁ-

ΟΜΙΛΙΑ

ΣΤΟΝ ΡΚΘ′ ΨΑΛΜΟ*

«᾽Από τὰ βάθη τῆς καρδιᾶς μου φώναξα δυνατὰ πρὸς ἐσένα Κύριε. Κύριε, ἄκουσε τὴ φωνή μου».

1. Τί σημαίνει, «᾽Εκ βαθέων»; Ὄχι ἁπλῶς μὲ τὸ στόμα μου, οὔτε ἁπλῶς μὲ τὴ γλώσσα μου, καθόσον τὰ λόγια ξεχύνονται καὶ ὅταν ἡ σκέψη πλανιέται, ἀλλὰ ἀπὸ τὰ βάθη τῆς καρδιᾶς, μὲ πολλὴ φροντίδα καὶ προθυμία, ἀπὸ αὐτὰ τὰ θεμέλια τῆς διάνοιάς μου. Διότι τέτοιες εἶναι οἱ ψυχὲς ἐκείνων ποὺ ζοῦν μέσα στὶς θλίψεις· συγκινοῦν ὁλόκληρη τὴν καρδιά, καλῶντας τὸ Θεὸ μὲ πολλὴ κατάνυξη, καὶ γι᾽ αὐτὸ βέβαια καὶ εἰσακούονται. Καθόσον οἱ προσευχὲς αὐτοῦ τοῦ εἴδους ἔχουν μεγάλη δύναμη, δὲν ἀνατρέπονται οὔτε κλονίζονται, καὶ ἂν ἀκόμα ὁ διάβολος ἐπιτεθεῖ μὲ μεγάλη ὁρμή. Διότι ὅπως ἀκριβῶς δένδρο ἰσχυρὸ ποὺ ἔχει ἁπλωμένη τὴ ρίζα του σὲ μεγάλο βάθος τῆς γῆς καὶ περισφίγγει τὸ χῶμα της, ἀντιστέκεται πρὸς κάθε ὁρμὴ τῶν ἀνέμων, ἐνῶ ἐκεῖνο ποὺ ἔχει ἐπιφανειακὲς τὶς ρίζες του, κλονίζεται μόλις φυσίξει μικρὴ αὔρα, καὶ μαζὶ μὲ τὶς ρίζες του πέφτει ἐπάνω στὴ γῆ, ἔτσι λοιπὸν καὶ οἱ προσευχές, ἐκεῖνες μὲν ποὺ βγαίνουν μέσα ἀπὸ τὰ βάθη τῆς ψυχῆς καὶ ἀνεβαίνουν ἀπὸ κάτω πρὸς τὰ ἐπάνω, καὶ ἂν ἀκόμη ἐμφανισθοῦν ἀμέτρητες σκέψεις, καὶ ἂν ἀκομη ὁρμήσει ὁλόκληρη ἡ παράταξη τοῦ διαβόλου, παραμένουν ἀκατάπαυστες καὶ ἀμετάτρεπτες, χωρὶς νὰ ὑποχωροῦν, ἐνῶ ἐκεῖνες ποὺ βγαίνουν ἀπὸ τὸ στόμα καὶ τὰ χείλη καὶ δὲν ἀνεβαίνουν μέσα ἀπὸ τὴν καρδιά, οὔτε πρὸς

ποίων ὑπόφεραν αὐτά, ζητοῦν τὸ ἔλεος καὶ τὴν εὐσπλαχνία τοῦ Θεοῦ μέσα ἀπὸ τὸ βάραθρο τῶν θλίψεων, καὶ ἐλπίζουν ὅτι ὁ Κύριος θὰ λυτρώσει αὐτούς.

πρὸς τὸν Θεὸν ἀναβῆναι δύνανται, διὰ τὴν ῥᾳθυμίαν τοῦ προσιόντος. Τὸν γὰρ τοιοῦτον κἂν κτύπος τις γένηται, περιέτρεψε· κἂν θόρυβος, ἀπήγαγε τῆς ἱκετηρίας· καὶ τὸ μὲν στόμα ἠχεῖ, ἡ δὲ καρδία κενὴ καὶ ἡ διάνοια ἔρημος.

Ἀλλ' οὐχ οἱ ἅγιοι οὕτως ηὔχοντο, ἀλλὰ μετὰ τοσαύτης τῆς ἐπιτάσεως, ὡς καὶ ὅλον τὸ σῶμα κατακάμπτειν. Ὁ γοῦν μακάριος Ἠλίας εὐχόμενος, πρῶτον μὲν ἐρημίαν ἐζήτησεν· εἶτα τὴν κεφαλὴν μεταξὺ τῶν γονάτων θείς, καὶ μετὰ πολλῆς ἑαυτὸν ἀνακαίων τῆς θερμότητος, οὕτω τὰς εὐχὰς ἠφίει. Εἰ δὲ βούλει καὶ ὀρθὸν ἑστῶτα ἰδεῖν ἐν εὐχῇ, ὅρα πάλιν αὐτὸν ἐκτεταμένον πρὸς τὸν οὐρανόν, καὶ οὕτως ἐκτεταμένον, ὡς καὶ πῦρ ἄνωθεν κατενεγκεῖν. Οὕτω καὶ ὅτε τῆς χήρας τὸ παιδίον ἀναστῆσαι ἐβούλετο, ὅλον ἑαυτὸν συντείνας, τὴν ἀνάστασιν ἐκείνην εἰργάζετο, οὐ διακλώμενος, οὐδὲ χασμώμενος καθάπερ ἡμεῖς, ἀλλὰ διαθερμαινόμενος τῇ προθυμίᾳ τῆς εὐχῆς. Καὶ τί λέγω τὸν Ἠλίαν καὶ τοὺς ἁγίους ἐκείνους; Γυναῖκας εἶδον πολλάκις δι' ἀπόδημον ἄνδρα καὶ παιδίον ἀρρωστοῦν οὕτως ἐκ βαθέων εὐχομένας, καὶ τοσαύτας πηγὰς ἀφιείσας δακρύων, ὡς καὶ αὐτοῦ τοῦ τέλους ἐπιτυχεῖν τῆς εὐχῆς. Εἰ δὲ ὑπὲρ παιδίου καὶ ἀνδρὸς ἀποδήμου οὕτω θερμαίνονται γυναῖκες ἐν εὐχαῖς, ποίαν ἕξει συγγνώμην ὁ ἀνὴρ τῆς ψυχῆς νενεκρωμένης μαλακιζόμενος; Διά τοι τοῦτο πολλάκις εὐχόμενοι, κενοὶ πάλιν ἀναχωροῦμεν.

Ἄκουσον τῆς Ἄννης, πῶς ηὔχετο ἐκ βαθέων, οἵας ἠφίει πηγὰς δακρύων, πῶς μετάρσιος γέγονεν ἀπὸ τῆς εὐχῆς. Ὁ γὰρ οὕτως εὐχόμενος, καὶ πρὶν ἢ λαβεῖν ἅπερ αἰτεῖ, μεγάλα ἀπὸ τῆς εὐχῆς καρποῦται καλά, τὰ πάθη καταστέλλων ἅπαντα, θυμὸν μαλάσσων, φθόνον ἐκβάλλων, ἐπιθυμίαν τήκων, τῶν βιωτικῶν

---

1. Γ' Βασ. 18, 42.
2. Γ' Βασ. 17, 17-24.
3. Γ' Βασ. 18, 38.
4. Α' Βασ. 1, 10-11.

τὸ Θεὸ μποροῦν νὰ ἀνεβοῦν, ἐξ αἰτίας τῆς ἀδιαφορίας ἐκείνου ποὺ προσεύχεται. Διότι αὐτόν, ποὺ προσεύχεται κατ' αὐτὸν τὸν τρόπο, εἴτε συμβεῖ κάποιος χτύπος, τὸν ἀπέσπασε, εἴτε θόρυβος, τὸν ἀπομάκρυνε ἀπὸ τὴν προσευχή· καὶ τὸ μὲν στόμα ὁμιλεῖ, ἡ δὲ καρδιὰ εἶναι ἄδεια καὶ ἡ διάνοια ἔρημη.

Ὅμως οἱ ἅγιοι δὲν προσεύχονταν ἔτσι, ἀλλὰ μὲ τόσο μεγάλη ἔνταση, ὥστε καὶ ὅλο τὸ σῶμα νὰ καταπονοῦν. Ὁ μακάριος λοιπὸν Ἠλίας ὅταν προσευχόταν, ἀφοῦ πρῶτα ἀναζήτησε τὴν ἐρημία καὶ τοποθέτησε στὴ συνέχεια τὸ κεφάλι του ἀνάμεσα στὰ γόνατα, ἔτσι προσευχόταν μὲ μεγάλη θερμότητα τῆς καρδιᾶς του[1]. Ἂν δὲ θέλεις νὰ δεῖς αὐτὸν νὰ προσεύχεται ὄρθιος, πρόσεχε πάλι αὐτὸν προσηλωμένο πρὸς τὸν οὐρανὸ καὶ τόσο πολὺ προσηλωμένο, ὥστε καὶ φωτιὰ νὰ κατεβάσει ἀπὸ τὸν οὐρανό[2]. Κατὰ τὸν ἴδιο τρόπο καὶ ὅταν ἤθελε ν' ἀναστήσει τὸ παιδὶ τῆς χήρας[3], ἀφοῦ αὐτοσυγκεντρώθηκε, ἐπέτυχε τὴν ἀνάσταση ἐκείνη, χωρὶς νὰ διασπᾶται, οὔτε νὰ χασμουριέται ὅπως ἀκριβῶς ἐμεῖς, ἀλλὰ διαθερμαινόμενος ἀπὸ τὴν προθυμία τῆς προσευχῆς. Καὶ γιατί ἀναφέρω τὸν Ἠλία καὶ τοὺς ἁγίους ἐκείνους; Πολλὲς φορὲς εἶδα γυναῖκες νὰ προσεύχονται ἀπὸ τὰ βάθη τῆς καρδιᾶς τους γιὰ τὸν ξενητεμένο σύζυγο καὶ τὸ ἄρρωστο παιδί τους μὲ τέτοιο τρόπο καὶ τόσα πολλὰ δάκρυα νὰ χύνουν, ὥστε νὰ πετυχαίνουν τὸ σκοπὸ τῆς προσευχῆς τους. Ἂν δὲ οἱ γυναῖκες δείχνουν στὶς προσευχές τους τόση θέρμη καρδίας γιὰ τὸ παιδί τους καὶ τὸν ξενητεμένο σύζυγό τους, ποιὰ συγγνώμη θὰ ἔχει ὁ ἄνθρωπος ἐκεῖνος ποὺ δείχνει κατὰ τὴν προσευχὴ τόση μαλθακότητα καὶ ἡ ψυχή του εἶναι νεκρωμένη; Γι' αὐτὸ βέβαια πολλὲς φορές, ὅταν προσευχόμαστε, ἀναχωροῦμε πάλι χωρὶς ἀποτέλεσμα.

Ἄκουσε τὴν Ἄννα, πῶς προσευχόταν ἀπὸ τὸ βάθος τῆς καρδιᾶς της, πόσες πηγὲς δακρύων ἄφηνε νὰ χυθοῦν, πῶς μὲ τὴν προσευχὴ ὑψώθηκε πρὸς τὸν οὐρανό[4]. Διότι ἐκεῖνος ποὺ προσεύχεται ἔτσι, καὶ πρὶν ἀκόμα λάβει ἐκεῖνα ποὺ ζητᾶ, καρποῦται ἀπὸ τὴν προσευχὴ μεγάλα καλά, διότι καταπραΰνει ὅλα τὰ πάθη, μαλακώνει τὸ θυμό, διώχνει τὸ φθόνο, διαλύει τὴν

τὸν ἔρωτα καταμαραίνων, ἐν πολλῇ γαλήνῃ τὴν ψυχὴν καθιστάς, εἰς αὐτὸν λοιπὸν τὸν οὐρανὸν ἀνιών. Καθάπερ γὰρ εἰς σκληρὰν γῆν ὑετὸς καταφερόμενος, ἢ σίδηρον πῦρ μαλάσσει, οὕτω τὸ σκληρὸν τῆς διανοίας τὸ ἀπὸ τῶν παθῶν ἡ τοιαύτη εὐχὴ καὶ πυρὸς σφοδρότερον, καὶ ὑετοῦ μᾶλλον καταμαλάσσει καὶ διαβρέχει. Ἔστι μὲν γὰρ ἁπαλὴ καὶ εὔπλαστος ἡ ψυχή, ἀλλ' ὅπερ τὸ τοῦ Ἴστρου πολλάκις πάσχει ὕδωρ, τῷ κρυμῷ πετρούμενον, τοῦτο καὶ ἡ ψυχὴ ἡ ἡμετέρα, ὑπὸ τῆς ἁμαρτίας καὶ πολλῆς ῥᾳθυμίας σκληρυνομένη καὶ λίθος γινομένη. Δεῖ τοίνυν ἡμῖν πολλῆς θερμῆς, ὥστε καταμαλάξαι τὸ σκληρόν. Τοῦτο δὲ μάλιστα εὐχὴ ἐργάζεται. Ὅταν τοίνυν μεταχειρίζῃ τὴν εὐχήν, μὴ τοῦτο ζήτει μόνον, ὅπως λάβῃς ὅπερ αἰτεῖς, ἀλλὰ καὶ ὅπως ἐν αὐτῇ τῇ εὐχῇ βελτίω ποιήσῃς τὴν ψυχήν. Καὶ γὰρ καὶ τοῦτο ἔργον εὐχῆς. Ὁ οὕτως εὐχόμενος, ἀνώτερος γίνεται τῶν βιωτικῶν, πτεροῦται τῇ διανοίᾳ, κοῦφον ποιεῖ τὸν λογισμόν, οὐδενὶ τῶν παθῶν ἁλίσκεται.

«Ἐκ βαθέων ἐκέκραξά σοι, Κύριε». Δύο ἐνταῦθα τίθησι, καὶ τό, «Ἐκ βαθέων», καὶ τὸ κράξαι· κραυγὴν οὐ τὸν τόνον λέγων τῆς φωνῆς, ἀλλὰ τὴν διάθεσιν τῆς γνώμης. «Κύριε, εἰσάκουσον τῆς φωνῆς μου». Ἐντεῦθεν δύο μανθάνομεν, ὅτι τε ἁπλῶς οὐκ ἔστι τῶν παρὰ τοῦ Θεοῦ τυχεῖν, ἐὰν μὴ τὰ παρ' ἡμῶν ὑπάρξῃ· διὸ καὶ πρότερόν φησιν, «Ἐκ βαθέων ἐκέκραξα», καὶ τότε, «Εἰσάκουσον»· ἔπειτα ὅτι εὐχὴ ἐκτεταμένη καὶ δακρύων κατανύξεως γέμουσα πολλὴν ἔχει δύναμιν πρὸς τὸ πεῖσαι τὸν Θεὸν ἐπινεῦσαι τοῖς λεγομένοις. Καὶ γὰρ ὥσπερ μέγα τι κατωρθωκώς, καὶ τὰ παρ' αὐτοῦ πληρώσας, οὕτως ἐπήγαγε· «Κύριε, εἰσάκουσον τῆς φωνῆς μου. Γενηθήτω τὰ ὦτά σου προσέχοντα

ἐπιθυμία, καταμαραίνει τὸν ἔρωτα καὶ τὰ κοσμικὰ πράγματα, χαρίζει στὴν ψυχή του πολλὴ γαλήνη, καὶ ἀνεβαίνει πλέον στὸν ἴδιο τὸν οὐρανό. Διότι, ὅπως ἀκριβῶς ἡ βροχὴ ποὺ πέφτει μαλακώνει τὴ σκληρὴ γῆ, ἢ ἡ φωτιὰ τὸ σίδερο, ἔτσι καὶ ἡ παρόμοια προσευχὴ καταμαλακώνει καὶ διαποτίζει τὴ σκληρὴ ἀπὸ τὰ πάθη διάνοια σφοδρότερα ἀπὸ τὴ φωτιὰ καὶ περισσότερο ἀπὸ τὴ βροχή. Βέβαια ἡ ψυχὴ εἶναι ἁπαλὴ καὶ εὔπλαστη, ἀλλ' ἐκεῖνο ἀκριβῶς ποὺ παθαίνει πολλὲς φορὲς τὸ νερὸ τοῦ Ἴστρου, παγώνοντας ἀπὸ τὸ κρύο, αὐτὸ παθαίνει καὶ ἡ ψυχή μας, ποὺ σκληρύνεται ἀπὸ τὴν ἁμαρτία καὶ τὴ μεγάλη ἀδιαφορία καὶ γίνεται πέτρα. Χρειαζόμαστε λοιπὸν πολλὴ θέρμη, ὥστε νὰ μαλακώσουμε τὴ σκληρότητα. Αὐτὸ δὲ τὸ κατορθώνει πρὸ πάντων ἡ προσευχή. Ὅταν λοιπὸν προσεύχεσαι, μὴ ζητᾶς μόνο αὐτό, πῶς δηλαδὴ νὰ λάβεις ἐκεῖνο ποὺ ζητᾶς, ἀλλὰ καὶ πῶς νὰ κάνεις καλύτερη τὴ ψυχή σου μὲ αὐτὴ τὴν προσευχή. Καθόσον καὶ αὐτὸ εἶναι ἔργο τῆς προσευχῆς. Ἐκεῖνος ποὺ προσεύχεται ἔτσι, ὑψώνεται πάνω ἀπὸ τὰ κοσμικὰ πράγματα, δίνει φτερὰ στὴ διάνοιά του, κάμνει ἐλαφριὰ τὴ σκέψη, καὶ δὲν κυριεύεται ἀπὸ κανένα πάθος.

«Ἀπὸ τὰ βάθη τῆς καρδιᾶς μου φώναξα δυνατὰ πρὸς ἐσένα, Κύριε». Δυὸ πράγματα ἀναφέρει ἐδῶ, καὶ τὸ «Ἀπὸ τὰ βάθη τῆς καρδιᾶς μου», καὶ τὴν κραυγή· κραυγὴ δὲ δὲν ἐννοεῖ τὸν τόνο τῆς φωνῆς, ἀλλὰ τὴ διάθεση τῆς γνώμης. «Κύριε, εἰσάκουσε τὴ φωνή μου». Ἀπὸ ἐδῶ δυὸ πράγματα μαθαίνουμε, καὶ ὅτι δὲν εἶναι δυνατὸ ἔτσι στὴν τύχη νὰ ἐπιτύχουμε ἐκεῖνα ποὺ ζητοῦμε ἀπὸ τὸν Θεό, ἂν δὲν ὑπάρξουν καὶ αὐτὰ ποὺ ἐξαρτῶνται ἀπὸ ἐμᾶς· γι' αὐτὸ καὶ πρῶτα λέγει, «Ἀπὸ τὰ βάθη τῆς καρδιᾶς μου φώναξα δυνατά», καὶ μετὰ προσθέτει, «Εἰσάκουσε αὐτήν»· ἔπειτα ὅτι ἡ ἐπίμονη καὶ γεμάτη ἀπὸ δάκρυα κατανύξεως προσευχὴ ἔχει μεγάλη δύναμη γιὰ νὰ πείσει τὸ Θεὸ νὰ δώσει τὴ συγκατάθεσή του στὰ λεγόμενα. Καθόσον σὰν ἀκριβῶς νὰ κατόρθωσε κάτι τὸ σπουδαῖο καὶ ἀφοῦ ἐκπλήρωσε αὐτὰ ποὺ ἐξαρτῶνταν ἀπ' αὐτόν, τότε πρόσθεσε, «Κύριε, εἰσάκουσε τὴ φωνή μου. Ἂς προσέξουν τὰ αὐτιά σου τὴ φωνὴ τῆς

εἰς τὴν φωνὴν τῆς δεήσεώς μου». Ὦτα τὴν ἀκουστικὴν λέγει δύναμιν· καὶ πάλιν φωνήν φησιν, οὐ τὸν τόνον τοῦ πνεύματος, οὐδὲ τὴν κραυγὴν αἰνιττόμενος, ἀλλὰ τὴν συντεταμένην διάθεσιν. «Ἐὰν ἀνομίας παρατηρήσῃ, Κύριε, Κύριε, τίς ὑποστήσεται»; Ἵνα γὰρ μὴ λέγῃ τις, ὅτι ἁμαρτωλὸς ὤν, καὶ μυρίων γέμων κακῶν, οὐ δύναμαι προσιέναι καὶ εὔχεσθαι, καὶ τὸν Θεὸν καλεῖν, περιαιρῶν ταύτην τὴν σκῆψιν φησίν· «Ἐὰν ἀνομίας παρατηρήσῃ, Κύριε, Κύριε, τίς ὑποστήσεται»; Τὸ γάρ, «Τίς», ἐνταῦθα οὐδείς ἐστιν. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν, οὐδένα μετὰ ἀκριβείας παρέχοντα τῶν πραγμάτων τὰς εὐθύνας, τυχεῖν ἐλέους καὶ φιλανθρωπίας ποτέ.

2. Καὶ ταῦτα λέγομεν, οὐκ εἰς ῥᾳθυμίαν τὰς ψυχὰς ἐμβάλλοντες, ἀλλὰ παραμυθούμενοι τοὺς εἰς ἀπόγνωσιν πίπτοντας. Τίς γὰρ καυχήσεται ἁγνὴν ἔχειν καρδίαν, ἢ τίς παρρησιάσεται καθαρὸς εἶναι ἀπὸ ἁμαρτιῶν; Καὶ τί λέγω τοὺς ἄλλους; Εἰ γὰρ Παῦλον εἰς μέσον ἀγάγω, καὶ βουληθείην ἀπαιτῆσαι αὐτὸν ἀκριβῆ τῶν γεγενημένων ἐξέτασιν, οὐ δυνήσεται ὑποστῆναι. Τί γὰρ καὶ δυνήσεται ἐρεῖν; Προφήτας ἀνέγνω κατὰ ἀκρίβειαν, τοῦ πατρῴου νόμου ζηλωτὴς ὑπάρχων, σημεῖα εἶδεν ἐπιτελούμενα, καὶ ὅμως ἔμενε διώκων, καὶ οὐ πρότερον μετέστη, ἕως τῆς θαυμαστῆς ἐκείνης ἀπέλαυσεν ὄψεως, καὶ τῆς φρικτῆς ἤκουσε φωνῆς· πρὸ δὲ τούτου ἔμενε πάντα φύρων καὶ συγχέων. Ἀλλ' ὅμως πάντα ἐκεῖνα παραδραμὼν ὁ Θεὸς καὶ ἐκάλεσε, καὶ χάριτος ἠξίωσε πολλῆς.

Τί δὲ τὸν κορυφαῖον ἐκεῖνον τὸν Πέτρον; οὐ μετὰ μυρία θαύματα καὶ σημεῖα, καὶ τοσαύτην παραίνεσιν καὶ συμβουλήν, ἤλεγξεν εἰς τὸ πτῶμα ἐκεῖνο τὸ χαλεπὸν πεσόντα; Ἀλλ' ὅμως κἀκεῖνο παρέδραμε, καὶ πρῶτον τῶν ἀποστόλων κατέστησε. Διὸ ἔλεγε «Σίμων, Σίμων, ἰδοὺ ἐξήτησεν ὁ σατανᾶς σινιάσαι σε ὡς τὸν

5. Πρβλ. Παροιμ. 20, 9.

δεήσεώς μου». Αὐτιὰ ὀνομάζει τὴν ἀκουστικὴ δύναμη· καὶ πάλι φωνὴ ὀνομάζει, ὄχι τὸν τόνο τῆς πνοῆς, οὔτε ὑπονοεῖ τὴν κραυγή, ἀλλὰ τὴν ἐπίμονη διάθεση τῆς ψυχῆς. «Ἂν, Κύριε, ἐξετάσεις τὶς ἀνομίες μας, ποιὸς θὰ μπορέσει νὰ σταθεῖ μπροστά σου;». Γιὰ νὰ μὴ λέγει λοιπὸν κάποιος, ἐπειδὴ εἶμαι ἁμαρτωλὸς καὶ γεμάτος ἀπὸ ἀμέτρητα κακά, δὲν μπορῶ νὰ προσέλθω καὶ νὰ προσευχηθῶ καὶ νὰ παρακαλῶ τὸ Θεό, ἀφαιρώντας αὐτὴ τὴ δικαιολογία, λέγει· «Ἂν ἐξετάσεις τὶς ἀνομίες μας Κύριε, Κύριε, ποιὸς θὰ μπορέσει νὰ σταθεῖ μπροστά σου;». Καθόσον τὸ «ποιὸς» ἐδῶ σημαίνει κανένας. Διότι δὲν εἶναι δυνατό, δὲν εἶναι δυνατὸ κανένας νὰ ἐπιτύχει ποτὲ τὴν εὐσπλαχνία καὶ τὴ φιλανθρωπία τοῦ Θεοῦ, ἂν ἐξεταστοῦν μὲ λεπτομέρεια οἱ εὐθύνες τῶν πράξεών του.

2. Καὶ αὐτὰ τὰ λέγω, ὄχι γιὰ νὰ ὁδηγήσω τὶς ψυχές σας σὲ ἀδιαφορία, ἀλλὰ γιὰ νὰ παρηγορήσω ἐκείνους ποὺ κυριεύονται ἀπὸ ἀπόγνωση. Διότι ποιὸς θὰ μπορέσει νὰ καυχηθεῖ ὅτι ἔχει ἁγνὴ καρδιά, ἢ ποιὸς ἔχει τὸ θάρρος νὰ πεῖ ὅτι εἶναι καθαρὸς ἀπὸ ἁμαρτίες;[5] Καὶ γιατί λέγω τοὺς ἄλλους; Διότι ἂν παρουσιάσω τὸν Παῦλο καὶ θελήσω νὰ ζητήσω ἀπ' αὐτὸν λεπτομερὴ ἐξέταση τῶν πράξεών του, δὲν θὰ μπορέσει νὰ σταθεῖ ἀπέναντί του. Πράγματι τί θὰ μπορέσει νὰ πεῖ; Μελέτησε προφῆτες μὲ πολὺ ζῆλο, ὑπῆρξε ζηλωτὴς τοῦ νόμου τῶν πατέρων, εἶδε νὰ γίνονται θαύματα, καὶ ὅμως ἐξακολουθοῦσε νὰ καταδιώκει τὴν Ἐκκλησία, καὶ δὲν μεταστράφηκε μέχρις ὅτου ἀπόλαυσε τὸ θαυμαστὸ ἐκεῖνο ὅραμα καὶ ἄκουσε τὴ φρικτὴ φωνή· πρὶν ἀπὸ αὐτὸ συνέχιζε νὰ τὰ ἔχει ὅλα ἀνακατωμένα καὶ συγκεχυμένα. Ἀλλ' ὅμως, παραβλέποντας ὁ Θεὸς ὅλα ἐκεῖνα, καὶ τὸν προσκάλεσε καὶ τὸν κατέστησε ἄξιο μεγάλης χάριτος.

Τί δὲ συνέβηκε μὲ τὸν κορυφαῖο ἐκεῖνο τὸν Πέτρο; δὲν τὸν ἔλεγξε ὅταν, μετὰ ἀπὸ ἀμέτρητα θαύματα καὶ σημεῖα καὶ τόσο μεγάλη παραίνεση καὶ συμβουλή, ἔπεσε στὸ φοβερὸ ἐκεῖνο παράπτωμα; Ἀλλ' ὅμως καὶ ἐκεῖνο τὸ παρέλβεψε καὶ τὸν κατέστησε πρῶτο ἀνάμεσα στοὺς ἀποστόλους. Γι' αὐτὸ ἔλεγε· «Σίμων, Σίμων, νὰ ὁ σατανᾶς θέλησε νὰ σὲ κοσκινίσει σὰν τὸ σι-

σῖτον· κἀγὼ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου». Καὶ μετὰ ταῦτα δέ, εἰ μὴ ἐλέῳ καὶ φιλανθρωπίᾳ ἔλθῃ κρῖναι, ἀλλ' ἀκριβῆ ποιήσασθαι τὴν ἐξέτασιν, πάντας ὑπευθύνους εὑρήσει πάντως. Διὸ καὶ Παῦλος ἔλεγεν· «Οὐδὲν ἐμαυτῷ σύνοιδα, ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι».

«Ἐὰν ἀνομίας παρατηρήσῃ, Κύριε, Κύριε». Ὁ διπλασιασμὸς οὐχ ἁπλῶς, ἀλλὰ θαυμάζοντος, καὶ ἐκπληττομένου τὸν πολὺν τῆς φιλανθρωπίας ἐστὶν ὄγκον, καὶ τὴν μεγαλωσύνην αὐτοῦ τὴν ἀπέραντον, καὶ τὸ ἀχανὲς πέλαγος τῆς ἀγαθότητος. «Τίς ὑποστήσεται»; Καὶ οὐκ εἶπε, 'τίς διαφεύξεται;' ἀλλά, «Τίς ὑποστήσεται»; Οὐδὲ στῆναι δυνήσεται, φησίν. «Ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστι». Τί ἐστιν, «Ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν»; Οὐκ ἐν τοῖς ἡμετέροις κατορθώμασιν, ἀλλ' ἐν τῇ ἀγαθότητι τῇ σῇ ἐστι τὸ διαφυγεῖν τὴν κόλασιν. Τὸ γὰρ διαδρᾶναι τὴν δίκην ἐν τῇ σῇ κεῖται φιλανθρωπίᾳ. Κἂν μὴ ταύτης ἀπολαύσωμεν, τὰ ἡμέτερα οὐκ ἀρκεῖ τῆς μελλούσης ἡμᾶς ἐξαρπάσαι ὀργῆς. Τοῦτο καὶ διὰ τοῦ προφήτου δηλῶν ἔλεγεν· «Ἐγώ εἰμι ὁ ἐξαλείφων τὰς ἀνομίας σου». Τουτέστι, τοῦτο ἐμόν ἐστι, τῆς ἐμῆς ἀγαθότητος, τῆς ἐμῆς φιλανθρωπίας. Ὡς τά γε σὰ οὐκ ἀρκεῖ ποτε πρὸς ἐλευθερίαν τιμωρίας, ἂν μὴ τὰ τῆς ἐμῆς προστεθῇ φιλανθρωπίας. Καὶ πάλιν· «Ἐγὼ ἀνέχομαι ὑμῶν».

3. «Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε. Ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου. Ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον». Ἄλλος, «Ἕνεκεν τοῦ νόμου σου». Ἕτερος πάλιν, «Ἕνεκεν τοῦ γνωσθῆναι τὸν λόγον σου». Ὁ δὲ λέγει, τοιοῦτόν ἐστι· διὰ τὴν φιλανθρωπίαν σου, διὰ τὸν νόμον σου προσεδόκη-

6. Λουκᾶ 22, 31-32.
7. Α' Κορ. 4, 4.
8. Ἠσ. 43, 25.

τάρι, καὶ ἐγὼ προσευχήθηκα γιὰ σένα, ὥστε νὰ μὴ σὲ ἐγκαταλείψει ἡ πίστη σου»[6]. Καὶ μετὰ ἀπὸ αὐτὰ δέ, ἂν δὲν ἔλθει νὰ κρίνει τοὺς ἀνθρώπους μὲ εὐσπλαχνία καὶ φιλανθρωπία, ἀλλὰ κάνει τὴν ἐξέταση μὲ λεπτομέρεια,ὁπωσδήποτε ὅλους θὰ μᾶς βρεῖ ὑπεύθυνους. Γι' αὐτὸ καὶ ὁ Παῦλος ἔλεγε· «Δὲν αἰσθάνομαι καμιὰ ἐνοχὴ ἐναντίον τοῦ ἑαυτοῦ μου, ἀλλ' αὐτὸ δὲν μὲ κάνει νὰ θεωρῶ τὸν ἑαυτό μου δικαιωμένο»[7].

«Ἂν, Κύριε, Κύριε, ἐξετάσεις μὲ προσοχὴ καὶ λεπτομέρεια τὶς ἀνομίες μου». Ὁ διπλασιασμὸς τῆς προσφωνήσεως δὲν εἶναι τυχαῖος, ἀλλ' εἶναι ἀποτέλεσμα θαυμασμοῦ καὶ ἐπλήξεως ἐξαιτίας τοῦ πάρα πολὺ μεγάλου μεγέθους τῆς φιλανθρωπίας, τῆς ἀπέραντης μεγαλωσύνης καὶ τοῦ χωρὶς ἄκρο πελάγους τῆς ἀγαθότητάς του. «Ποιὸς θὰ σταθεῖ ἀπέναντί σου δικαιωμένος;». Καὶ δὲν εἶπε, 'ποιὸς θὰ διαφύγει;' ἀλλὰ «Ποιὸς θὰ σταθεῖ ἐνώπιόν σου;». Δὲν θὰ μπορέσει, λέγει, οὔτε νὰ σταθεῖ μπροστά του. «Ἀλλὰ σὲ σένα ἀνήκει ἡ συγχώρηση καὶ ἡ ἄφεση τῶν ἁμαρτιῶν». Τί σημαίνει, «ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν»; Δὲν ἐξαρτᾶται ἀπὸ τὰ δικά μας κατορθώματα τὸν ν' ἀποφύγουμε τὴν τιμωρία, ἀλλ' ἀπὸ τὴ δική σου ἀγαθότητα. Διότι τὸ ν' ἀποφύγουμε τὴ καταδίκη ἐξαρτᾶται ἀπὸ τὴ δική σου φιλανθρωπία. Καὶ ἂν δὲν ἀπολαύσουμε αὐτήν, δὲν ἀρκοῦν τὰ δικά μας κατορθώματα νὰ μᾶς σώσουν ἀπὸ τὴ μέλλουσα ὀργή. Αὐτὸ γιὰ νὰ δηλώσει καὶ μὲ τὸν προφήτη, ἔλεγε· «Ἐγὼ εἶμαι ἐκεῖνος ποὺ ἐξαλείφω τὶς ἀνομίες σου»[8]. Δηλαδή, αὐτὸ εἶναι ἔργο δικό μου, τῆς δικῆς μου ἀγαθότητας, τῆς δικῆς μου φιλανθρωπίας. Διότι βέβαια τὰ δικά σου δὲν ἐπαρκοῦν ποτὲ νὰ σὲ ἐλευθερώσουν ἀπὸ τὴν τιμωρία, ἂν δὲν προστεθεῖ καὶ ἡ δική μου φιλανθρωπία. Καὶ πάλι· «Ἐγὼ σᾶς ἀνέχομαι».

3. «Ἐξ αἰτίας τοῦ ὀνόματός σου, Κύριε, ἔλπισα σὲ σένα. Ἔμεινε ἀκλόνητη ἡ ψυχή μου στὶς ὑποσχέσεις σου. Ἔλπισε ἡ ψυχή μου στὸν Κύριο». Ἄλλος, «Ἐξ αἰτίας τοῦ νόμου σου». Ἄλλος πάλι, «Μὲ σκοπὸ νὰ γίνει γνωστὸς ὁ λόγος σου». Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· ἐξ αἰτίας τῆς φιλανθρωπίας σου, ἐξ αἰτίας τοῦ νόμου σου ἔλπισα τὴ σωτηρία· διότι ἂν στήριζα

σα σωτηρίαν· ἐπεὶ εἰς τὰ ἐμαυτοῦ εἰ ἀπεῖδον, πάλαι ἂν ἀπέγνων, πάλαι ἂν ἀπήλπισα· νῦν δὲ τῷ νόμῳ σου προσέχων καὶ τῷ λόγῳ σου, χρηστὰς ἔχω ἐλπίδας. Ποίῳ λόγῳ; Τῷ τῆς φιλανθρωπίας. Αὐτὸς γάρ ἐστιν ὁ λέγων· «Καθὼς ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, οὕτως ἀπέχουσιν αἱ βουλαί μου ἀπὸ τῆς βουλῆς ὑμῶν, καὶ αἱ ὁδοί μου ἀπὸ τῶν ὁδῶν ὑμῶν». Καὶ πάλιν· «Κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν». Καὶ πάλιν· «Καθ' ὅσον ἀπέχουσιν αἱ ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν». Τουτέστιν, οὐ κατορθώσαντας ἔσωσα μόνον, ἀλλὰ καὶ ἁμαρτανόντων ἐφεισάμην, καὶ μεταξὺ τῶν πλημμελημάτων τῶν σῶν τὴν ἀντίληψιν τὴν ἐμαυτοῦ καὶ τὴν κηδεμονίαν ἐπεδειξάμην. Ἄλλος φησίν, «Ὅπως ἐπίφοβος ἔσῃ, προσεδόκησα τὸν Κύριον». Ἐπίφοβος τίνι; Τοῖς ἐχθροῖς, τοῖς ἐπιβούλοις, τοῖς ἐχθραίνουσί μοι.

Τί δέ ἐστι πάλιν, «Ἕνεκεν τοῦ ὀνόματός σου»; Ὅτι εἰ καὶ ἁμαρτωλὸς ἐγώ, καὶ μυρίων γέμων κακῶν, φησίν, ἀλλ' ὅμως ᾔδειν, ὅτι ἵνα μὴ τὸ ὄνομά σου βεβηλωθῇ, οὐκ ἂν περιεῖδες ἡμᾶς ἀπολλυμένους. Ὃ καὶ αὐτὸς ἐν τῷ Ἰεζεκιὴλ λέγει· «Οὐ δι' ὑμᾶς ἐγὼ ποιῶ, ἀλλὰ διὰ τὸ ὄνομά μου, ἵνα μὴ βεβηλωθῇ ἐν τοῖς ἔθνεσιν». Τουτέστιν, ἡμεῖς μὲν οὐκ ἦμεν ἄξιοι σωθῆναι, οὐδὲ εἴχομέν τινα ἀπὸ τῶν πεπραγμένων ἡμῖν προσδοκίαν χρηστήν· διὰ δὲ τὸ ὄνομά σου προσδοκῶμεν σώζεσθαι, καὶ αὕτη ἡμῖν ὑπολέλειπται σωτηρίας ἐλπίς. Ἄλλος, «Ἕνεκεν φόβου ὑπέμεινα Κύριον». Ἄλλος, «Ἕνεκεν νόμου ὑπέμεινα Κύριον». «Ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου». Ἄλλος, «Προσεδόκησεν ἡ ψυχή μου τῷ ρήματι αὐτοῦ». Ἄλλος, «Ὑπέμεινεν ἡ ψυχή μου, καὶ τὸ ρῆμα αὐτοῦ ἐκαραδόκησα». Τουτέστιν, ἀπὸ τῶν ἐπαγγελιῶν καὶ τῶν συνεχῶν ὑποσχέσεων τῶν περὶ φιλανθρωπίας καὶ χρηστό-

9. Ἠσ. 55, 9.
10. Ψαλμ. 102, 11.
11. Ψαλμ. 102, 12.
12. Ἰεζ. 36, 22.

τὶς ἐλπίδες μου στὸν ἑαυτό μου θὰ εἶχα ἀπελπισθεῖ πρὶν ἀπὸ πολὺ καιρό, θὰ ἔχανα τὶς ἐλπίδες μου ἀπὸ παλαιά, ἐνῶ τώρα προσέχοντας στὸ νόμο σου καὶ στὸ λόγο σου, διατηρῶ καλὲς ἐλπίδες. Σὲ ποιὸ λόγο; Στὸ λόγο τῆς φιλανθρωπίας σου. Διότι αὐτὸς εἶναι ἐκεῖνος ποὺ λέγει· «Ὅσο ἀπέχει ὁ οὐρανὸς ἀπὸ τὴ γῆ, τόσο πολὺ ἀπέχουν οἱ σκέψεις μου ἀπὸ τὶς δικές σου καὶ οἱ δρόμοι μου ἀπὸ τοὺς δικούς σας δρόμους»[9]. Καὶ πάλι· «Διότι ὅσο ἀκαταμέτρητο εἶναι τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τὴ γῆ, τόσο μεγάλο καὶ ὁ Κύριος ὕψωσε τὸ ἔλεός του γιὰ ἐκείνους ποὺ φοβοῦνται αὐτόν»[10]. Καὶ πάλι· «Ὅσο ἀπέχει ἡ ἀνατολὴ ἀπὸ τή δύση, τόσο πολὺ ἀπομάκρυνε ἀπὸ ἐμᾶς τὶς ἀνομίες μας».[11]. Δηλαδή, δὲν σᾶς ἔσωσα μόνο ὅταν ἐπράξατε κατορθώματα, ἀλλὰ καὶ σᾶς εὐσπλαχνίσθηκα καὶ ὅταν ἁμαρτήσατε, καὶ ἐξεδήλωσα τὴ βοήθειά μου καὶ τὴν πρόνοιά μου καὶ ὅταν ἁμαρτήσατε. Ἄλλος λέγει, «Ἔλπισα σὲ σένα, Κύριε, γιὰ νὰ γίνεις φοβερός». Φοβερὸς σὲ ποιόν; Στοὺς ἐχθρούς, σ' ἐκείνους ποὺ μὲ ἐπιβουλεύονται, σ' ἐκείνους ποὺ μὲ πολεμοῦν.

Τί σημαίνει δὲ πάλι, «Ἐξ αἰτίας τοῦ ὀνόματός σου»; Ὅτι δηλαδή, λέγει, ἂν καὶ ἐγὼ εἶμαι ἁμαρτωλὸς καὶ γεμάτος ἀπὸ ἀμέτρητα κακά, ἀλλ' ὅμως γνώριζα, ὅτι γιὰ νὰ μὴ βεβηλωθεῖ τὸ ὄνομά σου, δὲν θὰ ἦταν δυνατὸ νὰ παραβλέψεις βλέποντάς μας νὰ χανόμαστε. Αὐτὸ ἀκριβῶς λέγει καὶ ὁ ἴδιος ὁ Θεὸς στὸν Ἰεζεκιήλ· «Δὲν τὰ κάμνω ἐγὼ αὐτὰ ἐπειδὴ τὸ ἀξίζετε, ἀλλὰ γιὰ χάρη τοῦ ὀνόματός μου, γιὰ νὰ μὴ βεβηλωθεῖ μεταξὺ τῶν ἐθνικῶν»[12]. Δηλαδή, ἐμεῖς μὲν δὲν ἤμασταν ἄξιοι νὰ σωθοῦμε, οὔτε ἔχουμε ἐξ αἰτίας τῶν πράξεών μας κάποια καλὴ ἐλπίδα, ἀλλὰ ἐλπίζουμε νὰ σωθοῦμε ἐξ αἰτίας τοῦ ὀνόματός σου, καὶ αὐτὴ ἡ ἐλπίδα σωτηρίας μᾶς ἀπέμεινε. Ἄλλος, «Ἀπὸ φόβο ὑπέμεινα τὸν Κύριο». Ἄλλος «Ἐξ αἰτίας τοῦ νόμου ὑπέμεινα τὸν Κύριο». «Στήριξε ἡ ψυχή μου τὶς ἐλπίδες της στὸ λόγο σου». Ἄλλος, «Στήριξε τὶς προσδοκίες της ἡ ψυχή μου στὸ λόγο αὐτοῦ». Ἄλλος «Ἔλπισε ἡ ψυχή μου καὶ ἀπέβλαψα στὸ λόγο αὐτοῦ». Δηλαδή, ἀπὸ τὶς ἐπαγγελίες καὶ τὶς συνεχεῖς ὑποσχέ-

τητος ἄγκυραν εἶχον ἱεράν, καὶ οὐκ ἀπηγόρευον τὰ κατὰ ἐμαυτόν.

«Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτὸς ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον». Πάντα τὸν βίον, φησί· τουτέστι, νύκτα καὶ ἡμέραν πᾶσαν. Οὐδὲν γὰρ πρὸς σωτηρίαν ἴσον τοῦ διαπαντὸς ὁρᾶν, καὶ τῆς ἐλπίδος ἐκκρέμασθαι ἐκείνης, κἂν μυρία συμπίπτῃ τὰ εἰς ἀπόγνωσιν ἐμβάλλοντα. Τοῦτο τεῖχος ἀρραγές, τοῦτο ἀσφάλεια ἀχείρωτος, τοῦτο πύργος ἄμαχος. Κἂν τὰ πράγματα τοίνυν θάνατον ἀπειλῇ, καὶ κίνδυνον, καὶ πανωλεθρίαν, μὴ ἀποστῇς ἐλπίζων εἰς Θεόν, καὶ προσδοκῶν τὴν παρ' αὐτοῦ σωτηρίαν. Ῥᾴδια γὰρ αὐτῷ πάντα καὶ εὔκολα, καὶ ἐξ ἀπόρων πόρον εὑρεῖν δυνήσεται. Μὴ τοίνυν κατὰ ῥοῦν φερομένων τῶν πραγμάτων προσδόκα ἀπολαύσεσθαι συμμαχίας μόνον, ἀλλὰ καὶ τότε μάλιστα, ὅταν κλυδώνιον ᾖ καὶ χειμών, καὶ ὁ περὶ τῶν ἐσχάτων ἐπικρέμαται κίνδυνος. Τότε γὰρ μάλιστα πλεῖον ὁ Θεὸς τὴν ἑαυτοῦ δύναμιν ἐνδείκνυται. Τοῦτο οὖν ἐστιν ὃ λέγει· διαπαντὸς δεῖ πρὸς Κύριον ἐλπίζειν πάντα τὸν βίον, πᾶσαν τὴν ζωήν.

«Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος, καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις. Καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ». Τί ἐστιν, «Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος»; Πηγὴ καὶ θυσαυρὸς ἐκεῖ φιλανθρωπίας, φησί, πηγάζων διηνεκῶς. Ὅπου δὲ ἔλεος, καὶ λύτρωσις· καὶ οὐχ ἁπλῶς λύτρωσις, ἀλλὰ καὶ πολλή, καὶ φιλανθρωπίας ἄπειρον πέλαγος. Κἂν τοίνυν ὑπὸ τῶν ἁμαρτημάτων ὦμεν προδεδομένοι, ἀναπίπτειν οὐ χρή, οὐδὲ ἀπαγορεύειν. Ὅπου γὰρ ἔλεος καὶ φιλανθρωπία, οὐ γίνονται τῶν πεπλημμελημένων ἀκριβεῖς αἱ εὐθῦναι, τοῦ δικάζοντος διὰ τὸν πολὺν ἔλεον, καὶ τὸ πρὸς φιλανθρωπίαν ἐπιρρεπές, τὰ πολλὰ παρατρέχοντος. Τοιοῦτον γὰρ ὁ Θεός, πρὸς τὸ ἐλεεῖν διηνεκῶς

σεις γιὰ τὴ φιλανθρωπία καὶ τὴν ἀγαθότητά του, εἶχα ἄγκυρα ἱερὴ καὶ δὲν ἔχανα τὶς ἐλπίδες μου.

«Ἀπὸ πολὺ πρωῒ καὶ μέχρι τὴ νύχτα ἂς ἔχει ὁ Ἰσραὴλ τὶς ἐλπίδες του στηριγμένες στὸν Κύριο». Σ' ὅλη τὴ ζωή, λέγει· δηλαδὴ ὅλη τὴ νύχτα καὶ τὴν ἡμέρα. Διότι τίποτε δὲν μπορεῖ νὰ ἐξισωθεῖ μὲ τὴν συνεχὴ ἐπαγρύπνηση καὶ τὴ στήριξη στὴν ἐλπίδα ἐκείνη, καὶ ἂν ἀκόμα συμβαίνει νὰ εἶναι ἀμέτρητα ἐκεῖνα ποὺ ὁδηγοῦν σὲ ἀπόγνωση. Αὐτὸ εἶναι τεῖχος ἀπόρθητο, αὐτὸ εἶναι ἀσφάλεια ἀκατάβλητη, αὐτὸ εἶναι πύργος ἀκαταμάχητος. Καὶ ἂν ἀκόμη λοιπὸν τὰ πράγματα ἀπειλοῦν θάνατο, καὶ κίνδυνο, καὶ πανωλεθρία, μὴ σταματήσεις νὰ ἐλπίζεις στὸ Θεὸ καὶ νὰ προσμένεις τὴ σωτηρία ἀπ' αὐτόν. Διότι ὅλα σ' αὐτὸν εἶναι κατορθωτὰ καὶ εὔκολα, καὶ μπορεῖ νὰ βρεῖ διέξοδο ἐκεῖ ὅπου ὑπάρχει ἀδιέξοδος. Μὴ λοιπὸν προσδοκᾶς μόνο, ὅταν τὰ πράγματα προχωροῦν φυσιολογικά, ν' ἀπολαύσεις τὴ βοήθεια τοῦ Θεοῦ, ἀλλὰ καὶ τότε πρὸ πάντων, ὅταν ὑπάρχει τρικυμία καὶ κακοκαιρία καὶ ἐπικρέμεται ὁ ἔσχατος κίνδυνος. Διότι τότε κατ' ἐξοχὴ ὁ Θεὸς φανερώνει περισσότερο τὴ δύναμή του. Αὐτὸ λοιπὸν εἶναι ἐκεῖνο ποὺ λέγει· διαπαντὸς πρέπει νὰ ἐλπίζει κανεὶς στὸν Κύριο, σ' ὅλο τὸ βίο του, σ' ὅλη τὴ ζωή του.

«Διότι μόνο κοντὰ στὸν Κύριο ὑπάρχει τὸ ἔλεος καὶ εἶναι μεγάλη ἡ σωτηρία ποὺ παρέχεται ἀπ' αὐτόν. Αὐτὸς θὰ λυτρώσει τὸν Ἰσραὴλ ἀπὸ ὅλες τὶς ἀνομίες του». Τί σημαίνει, «Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος»; Αὐτὸς εἶναι, λέγει, πηγὴ καὶ θησαυρὸς φιλανθρωπίας, ποὺ πηγάζει συνέχεια ἀπ' αὐτόν. Ὅπου δὲ ὑπάρχει εὐσπλαχνία, ἐκεῖ ὑπάρχει καὶ λύτρωση· καὶ ὄχι ἁπλῶς λύτρωση, ἀλλὰ καὶ πολλὴ καὶ ἄπειρο πέλαγος φιλανθρωπίας. Καὶ ἂν ἀκόμη λοιπὸν προδοθοῦμε ἀπὸ τὰ ἁμαρτήματά μας, δὲν πρέπει ν' ἀπελπιζόμαστε, οὔτε ν' ἀποκάμνουμε. Διότι ὅπου ὑπῆρχε εὐσπλαχνία καὶ φιλανθρωπία δὲν εἶναι βαριὲς οἱ εὐθύνες τῶν ἁμαρτημάτων, ἐπειδὴ ἐκεῖνος που δικάζει παρατρέχει τὰ περισσότερα ἀπ' αὐτὰ ἐξ αἰτίας τῆς μεγάλης εὐσπλαχνίας του καὶ τῆς ροπῆς του πρὸς φιλανθρωπία. Καθόσον τέτοιος εἶναι ὁ Θεός, ἔχει ἐκ φύσεως τὴ διάθεση καὶ εἶναι πρόθυμος πάν-

καὶ συγγνώμην διδόναι ἐπιρρεπὲς καὶ πρόχειρον. «Καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ». Εἰ τοίνυν τοιοῦτός ἐστι, καὶ κέχυται πανταχοῦ τῆς φιλανθρωπίας αὐτοῦ τὸ μέγεθος, εὔδηλον ὅτι καὶ τὸν λαὸν αὐτοῦ σώσει, καὶ ἀπαλλάξει οὐχὶ κολάσεως μόνον, ἀλλὰ καὶ τῶν ἁμαρτημάτων.

Ταῦτ' οὖν εἰδότες, μένωμεν παρακαλοῦντες, δεόμενοι, καὶ μηδέποτε ἀποστῶμεν, κἂν λάβωμεν, κἂν μὴ λάβωμεν. Εἰ γὰρ τοῦ δοῦναι κύριος, καὶ τοῦ πότε δοῦναι κύριός ἐστι, καὶ τὸν καιρὸν ἀκριβῶς οἶδεν αὐτός. Μένωμεν τοίνυν ἱκετεύοντες, παρακαλοῦντες, θαρροῦντες αὐτοῦ τῷ ἐλέει καὶ τῇ φιλανθρωπίᾳ, καὶ μηδέποτε τὴν ἑαυτῶν ἀπογινώσκωμεν σωτηρίαν, ἀλλὰ τὰ παρ' ἑαυτῶν εἰσφέρωμεν, καὶ πάντως ἕψεται τὰ παρ' ἐκείνου, ἐπειδὴ ἄφατον παρ' αὐτῷ τὸ ἔλεος καὶ ἄπειρος ἡ φιλανθρωπία· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

τοτε νὰ δίνει ἔλεος καὶ νὰ συγχωρεῖ. «Καὶ αὐτὸς θὰ λυτρώσει τὸν Ἰσραὴλ ἀπὸ ὅλες τὶς ἀνομίες του». Ἂν λοιπὸν εἶναι τέτοιος καὶ ἁπλώνεται παντοῦ τὸ μέγεθος τῆς φιλανθρωπίας του, εἶναι φανερό, ὅτι θὰ σώσει καὶ τὸ λαό του καὶ θὰ τὸν ἀπαλλάξει ὄχι μόνο ἀπὸ τὴν κόλαση, ἀλλὰ καὶ ἀπὸ τὰ ἁμαρτήματα.

Γνωρίζοντας λοιπὸν αὐτά, ἂς ἐπιμένουμε στὶς παρακλήσεις καὶ τὶς προσευχές μας καὶ ποτὲ νὰ μὴ παραιτούμαστε, εἴτε λάβουμε, εἴτε δὲν λάβουμε τὸ ζητούμενο. Διότι, ἂν σ' αὐτὸν ἀνήκει ἡ ἐξουσία νὰ δίνει τὰ ἀγαθά, σ' αὐτὸν ἀνήκει ἡ ἐξουσία καὶ πότε νὰ τὰ δίνει, καὶ αὐτὸς γνωρίζει ἀκριβῶς τὸν κατάλληλο καιρό. Ἂς ἐπιμένουμε λοιπὸν νὰ τὸν ἱκετεύουμε, νὰ τὸν παρακαλοῦμε, ἔχοντας ἐμπιστοσύνη στὴν εὐσπλαχνία καὶ τὴ φιλανθρωπία του, καὶ ποτὲ νὰ μὴ ἀπελπιζόμαστε γιὰ τὴ σωτηρία μας, ἀλλὰ νὰ κάμνουμε ὅ,τι ἐξαρτᾶται ἀπὸ ἐμᾶς καὶ ὁπωσδήποτε θὰ ἀκολουθήσουν καὶ αὐτὰ ποὺ ἐξαρτοῦνται ἀπὸ τὸ Θεό, διότι εἶναι ἀπερίγραπτο τὸ ἔλεός του καὶ ἄπειρη ἡ φιλανθρωπία του, τὴν ὁποία εὔχομαι ὅλοι μας νὰ ἐπιτύχουμε, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα ἀνήκει ἡ δόξα συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα, στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟΝ ΡΛ' ΨΑΛΜΟΝ.

«Κύριε, οὐχ ὑψώθη ἡ καρδία μου, οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου». Ἄλλος, «Οὐδὲ ὑψώθησαν». «Οὐδὲ ἐπορεύθην ἐν μεγάλοις, οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ». Ἄλλος, «Ἐν μεγαλωσύναις». Ἄλλος, «Ἐν μεγαλειότησιν, οὐδὲ ὑπερβάλλουσιν ὑπὲρ ἐμέ».

Τί τοῦτο; Ὁ Παῦλος, καὶ ἀνάγκης οὔσης, τὸ ἑαυτὸν ἐγκωμιάζειν ἀφροσύνην φησί· διὸ καὶ ἐπήγαγε λέγων· «Γέγονα ἄφρων καυχώμενος· ὑμεῖς με ἠναγκάσατε». Πῶς οὖν τοῦτο ἠγνόησεν ὁ προφήτης καὶ καυχᾶται νῦν οὐκ ἐπὶ δύο, καὶ τριῶν, καὶ δέκα, ἀλλ' ἐπὶ τῆς οἰκουμένης ἁπάσης, καὶ καυχᾶται λέγων, ταπεινός εἰμι καὶ μέτριος, καὶ ταπεινὸς καθ' ὑπερβολήν, καὶ ἁπλοῦς; Τοῦτο γάρ ἐστι τό, «Ὡς ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ». Τίνος οὖν ἕνεκεν τοῦτο ποιεῖ; Ὅτι οὐ πανταχοῦ τὸ πρᾶγμα κεκώλυται, ἀλλ' ἔστιν ὅπου καὶ ἀναγκαῖόν ἐστι, μᾶλλον δέ ἐστιν ὅπου οὐ καυχώμενοι, ἀλλὰ μὴ καυχώμενοι, ἄφρονες γινόμεθα. Διὸ καὶ ὁ Παῦλος λέγει· «Ὁ καυχώμενος, ἐν Κυρίῳ καυχάσθω». Καὶ γὰρ ὁ ἐπὶ τῷ σταυρῷ μὴ καυχώμενος πάντων ἐστὶν ἀφρονέστατος καὶ παρανομώτατος· ὁ ἐπὶ τῇ πίστει μὴ καυ-

---

* Τὸ Μασσωριτικὸ κείμενο καὶ ἡ Βουλγάτα ἀποδίδουν τὸν ψαλμὸ στὸ Δαυίδ, μέσα στὸν ὁποῖο διαφαίνεται ἡ ὅλη ταπεινοφροσύνη τοῦ μεγάλου αὐτοῦ ἄνδρα. Νεώτεροι ἑρμηνευτὲς τοποθετοῦν τὴ συγγραφὴ τοῦ ψαλμοῦ στοὺς χρόνους μετὰ τὴν ἐπιστροφὴ ἀπὸ τὴ βαβυλώνια αἰχμαλωσία. Ταπεινοφροσύνη λοιπόν, πλήρης ἀποστροφὴ πρὸς κάθε μεγαλομανία καὶ ἐναπόθεση ὅλων τῶν ἐλπίδων στὸ Θεό, εἶναι τὰ θέματα ποὺ κυριαρχοῦν στὸν ψαλμό.

ΟΜΙΛΙΑ

ΣΤΟΝ ΡΛ' ΨΑΛΜΟ*

«Κύριε, δὲν ὑπερηφανεύθηκε ἡ καρδιά μου, οὔτε οἱ ὀφθαλμοί μου ἀλαζονεύθηκαν». Ἄλλος ἑρμηνεύει, «Οὔτε ὑψώθηκαν». «Οὔτε πορεύθηκα πρὸς μεγάλους, οὔτε πρὸς θαυμαστούς, γιὰ ὠφέλειά μου». Ἄλλος «Πρὸς ἀνθρώπους μὲ μεγαλεῖα». Ἄλλος, «Οὔτε σὲ λαμπροὺς ἀνθρώπους, οὔτε σὲ πιὸ ἀνώτερους ἀπὸ ἐμένα γιὰ ν' ἀποκομίσω ὠφέλεια».

Τί σημαίνει αὐτό; Ὁ Παῦλος, τὸ νὰ ἐγκωμιάζει κανεὶς τὸν ἑαυτό του καὶ ἂν ἀκόμα ὑπάρχει ἀνάγκη, τὸ θεωρεῖ ἀφροσύνη· γι' αὐτὸ καὶ πρόσθεσε, λέγοντας· «Ἔγινα ἄφρων ἐπειδὴ καυχήθηκα· σεῖς μὲ ἀναγκάσατε»[1]. Πῶς λοιπὸν τὸ ἀγνόησε αὐτὸ ὁ προφήτης καὶ καυχιέται τώρα ὄχι γιὰ δυὸ καὶ τρία καὶ δέκα, ἀλλὰ γιὰ ὁλόκληρη τὴν οἰκουμένη, καὶ καυχιέται λέγοντας, εἶμαι ταπεινὸς καὶ μετριόφρονας, καὶ ὑπερβολικὰ ταπεινὸς καὶ ἁπλοϊκός; Διότι αὐτὸ σημαίνει τό, «Σὰν μικρὸ βρέφος ποὺ ἔχει ἀπογαλακτισθεῖ ἀπὸ τὴ μητέρα του». Γιὰ ποιὸ λόγο λοιπὸν τὸ κάμνει αὐτό; Διότι αὐτὸ δὲν ἀπαγορεύεται σ' ὅλες τὶς περιπτώσεις, ἀλλ' ὑπάρχουν καὶ περιπτώσεις ποὺ εἶναι καὶ ἀναγκαῖο, μᾶλλον δὲ ὑπάρχουν καὶ περιπτώσεις ποὺ δὲν γινόμαστε ἄφρονες ἐπειδὴ καυχιέμαστε, ἀλλ' ἐπειδὴ δὲν καυχιέμαστε. Γι' αὐτὸ καὶ ὁ Παῦλος λέγει· «Ἐκεῖνος ποὺ καυχιέται, ἂς καυχιέται στὸ ὄνομα τοῦ Κυρίου»[2]. Καθόσον ἐκεῖνος ποὺ δὲν καυχιέται γιὰ τὸ σταυρὸ ποὺ σηκώνει εἶναι ὁ πιὸ ἄφρων καὶ ὁ πιὸ παράνομος ἀπὸ ὅλους· ἐκεῖνος ποὺ δὲν καυχιέται γιὰ τὴν πίστη του εἶναι ὁ

1. Β' Κορ. 12, 11.
2. Β' Κορ. 10, 17.

χώμενος πάντων ἐστὶν ἀθλιώτερος· ὁ ἐπὶ τούτοις μὴ καυχώμενος καὶ παρρησιαζόμενος ἀπολεῖται πάντως. Διὰ τοῦτο θαρρῶν ὁ ἀπόστολος ἔλεγεν. «Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Καὶ πάλιν· «Μὴ καυχάσθω ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ, μηδὲ ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ, ἀλλ' ἐν τούτῳ καυχάσθω, ἐν τῷ συνιεῖν καὶ γινώσκειν τὸν Κύριον».

Πῶς δὲ κακὸν τὸ καυχᾶσθαι; Ἐὰν ὡς ὁ Φαρισαῖος αὐτὸ ποιῶμεν. Καὶ διὰ τί, φησίν, ὁ Παῦλος εἶπε, «Γέγονα ἄφρων καυχώμενος· ὑμεῖς με ἠναγκάσατε»; Ὅτι τὰ κατορθώματα αὐτοῦ διηγεῖτο τὰ ἐπὶ τοῦ βίου καὶ τῆς πολιτείας, ἅπερ οὐκ ἔδει προφέρειν ἀνάγκης μὴ οὔσης. Ἀλλαχοῦ δέ φησιν· «Ἐὰν καὶ θελήσω καυχήσασθαι, οὐκ ἔσομαι ἄφρων· ἀλήθειαν γὰρ ἐρῶ». Ὥστε ὁ τὰ ἀληθῆ λέγων, τοῦ καιροῦ καλοῦντος, οὐκ ἔστιν ἄφρων. Οὐκ ἄρα οὐδὲ ὁ προφήτης ἄφρων καυχώμενος· καὶ γὰρ ἀληθῆ ἔλεγεν. Ἀλλὰ τίς ἡ αἰτία, δι' ἣν εἰς τοῦτο κατήγαγε τὸν λόγον; Ὥστε παιδεῦσαι τοὺς ἀκροατὰς μὴ μετὰ τὴν ἀπαλλαγὴν τῶν κακῶν εἰς ἀπόνοιαν ἐπανελθεῖν, μηδὲ ἐλευθερωθέντας τοῦ δεσμοῦ ἀποσκιρτῆσαι πάλιν, καὶ εἰς ἀνάγκην ἐμπεσεῖν ἑτέρας αἰχμαλωσίας. Διὰ δὴ τοῦτο ἐν τῷ τὰ οἰκεῖα διηγεῖσθαι διορθοῖ τὸν ἀκροατήν· καὶ οὐ λέγει, 'ὅτι ὑψώθην μέν, κατέσχον δὲ τοῦ πάθους', ἀλλὰ τί; «Οὐχ ὑψώθη ἡ καρδία μου»· τουτέστιν, οὐδὲ ἥψατό μου τῆς ψυχῆς ἡ πονηρία. Οἷον γάρ τις λιμὴν ἀκύμαντος ἦν ἡ διάνοια, οὐ δεχομένη τὰ κύματα τοῦ νοσήματος, ὃ πάντων αἴτιον τῶν κακῶν, καὶ ῥίζα παρανομίας ἐσχάτης.

Τί ἐστιν ὃ λέγει, «Κύριε, οὐχ ὑψώθη ἡ καρδία μου, οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου»; Οὐκ ἀνέσπασα, φησί, τὰς ὀφρῦς, οὐδὲ ἀνέτεινα τὸν αὐχένα. Ἀπὸ γὰρ τῆς ἔνδοθεν πηγῆς τοῦ πάθους ὑπερβλύζον τὸ νόσημα καὶ τὸ σῶμα συσχηματίζει

3. Γαλ. 6, 14.
4. Ἰερ. 9, 23-24.
5. Λουκᾶ κεφ. 18.
6. Β' Κορ. 12, 6.

πιὸ ἄθλιος ἀπὸ ὅλους· ἐκεῖνος ποὺ δὲν καυχιέται γι' αὐτὰ καὶ δὲν ὁμιλεῖ γι' αὐτὰ μὲ παρρησία θὰ καταστρεφεῖ ὁπωσδήποτε. Γι' αὐτὸ ὁ ἀπόστολος μὲ θάρρος ἔλεγε· «Εἴθε νὰ μὴ μοῦ συμβεῖ νὰ καυχηθῶ γιὰ τίποτε ἄλλο, παρὰ μόνο γιὰ τὸ σταυρὸ τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ»[3]. Καὶ πάλι· «Ἂς μὴ καυχιέται ὁ πλούσιος γιὰ τὸν πλοῦτο του, οὔτε ὁ σοφὸς γιὰ τὴ σοφία του, ἀλλὰ γι' αὐτὸ ἂς καυχιέται, γιὰ τὸ ὅτι κατανοεῖ καὶ γνωρίζει τὸν Κύριο»[4].

Πῶς δὲ εἶναι κακὸ πράγμα ἡ καύχηση; Ἂν τὸ κάμνουμε αὐτὸ ὅπως καὶ ὁ Φαρισαῖος»[5]. Καὶ γιατί, λέγει, ὁ Παῦλος εἶπε, «Ἔγινα ἄφρων ἐπειδὴ καυχήθηκα· σεῖς μὲ ἀναγκάσατε»; Διότι διηγοῦνταν τὰ κατορθώματά του ποὺ εἶχαν σχέση μὲ τὴ ζωή του καὶ τὴ δράση του, ποὺ δὲν ἔπρεπε νὰ τὰ ἀναφέρει χωρὶς νὰ ὑπάρχει ἀνάγκη. Σὲ ἄλλη περίπτωση ὅμως λέγει· «Ἐὰν δὲ θελήσω νὰ καυχηθῶ, δὲν θὰ γίνω ἄφρων· διότι θὰ πῶ τὴν ἀλήθεια»[6]. Ὥστε, ἐκεῖνος ποὺ λέγει τὴν ἀλήθεια καὶ τὸ ἀπαιτοῦν καὶ οἱ περιστάσεις, δὲν εἶναι ἄφρων. Ἑπομένως οὔτε ὁ προφήτης δὲν εἶναι ἄφρων ἐπειδὴ καυχιέται· καθόσον αὐτὰ ποὺ ἔλεγε ἦταν ἀληθινά. Ἀλλὰ ποιὰ εἶναι ἡ αἰτία γιὰ τὴν ὁποία μετέφερε τὸ λόγο ἐδῶ; Γιὰ νὰ διδάξει τοὺς ἀκροατὲς νὰ μὴ ἐπιστρέφουν στὴν ἀφροσύνη μετὰ ἀπὸ τὴν ἀπαλλαγὴ ἀπὸ τὰ κακά, οὔτε, ἐπειδὴ ἐλευθερώθηκαν, ν' ἀποσκιρτήσουν πάλι ἀπὸ τὸ δεσμὸ καὶ νὰ περιέλθουν πάλι στὴν ἀνάγκη ἄλλης αἰχμαλωσίας. Γι' αὐτὸ λοιπόν, διηγούμενος τὰ δικά του κατορθώματα, διορθώνει τὸν ἀκροατή· καὶ δὲν λέγει, 'ὑπερηφανεύθηκα μέν, ἀλλὰ κατέστειλα τὸ πάθος μου', ἀλλὰ τί; «Δὲν ὑπερηφανεύθηκε ἡ καρδιά μου». δηλαδή, οὔτε κἂν ἄγγισε ἡ κακία τὴν ψυχή μου. Διότι σὰν κάποιο λιμάνι ἀκύμαντο ἦταν ἡ διάνοιά του, καὶ δὲν δεχόταν τὰ κύματα τοῦ νοσήματος, ποὺ εἶναι ἡ αἰτία ὅλων τῶν κακῶν καὶ ἡ ρίζα τῆς χειρότερης παρανομίας.

Τί σημαίνει δὲ αὐτὸ ποὺ λέγει, «Κύριε, δὲν ὑψώθηκε ἡ καρδιά μου οὔτε σηκώθηκαν ψηλὰ οἱ ὀφθαλμοί μου»; Δὲν σήκωσα, λέγει, τὰ φρύδια μου, οὔτε τέντωσα τὸν αὐχένα μου. Διότι τὸ νόσημα ἐκχειλίζοντας ἀπὸ τὴν ἐσωτερικὴ πηγὴ τοῦ πάθους,

πρὸς τὴν ἔνδοθεν φλεγμονήν. «Οὐδὲ ἐπορεύθην ἐν μεγάλοις, οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ». Τί ἐστιν, «Ἐν μεγάλοις»; Τοῖς ὑπερόγκοις ἀνδράσι, τοῖς πλουτοῦσι, τοῖς ἀλαζόσι, τοῖς ὑπερηφάνοις. Εἶδες ἀκρίβειαν ταπεινοφροσύνης; Οὐ μόνον αὐτὸς ἦν ἐκτὸς τοῦ νοσήματος, ἀλλὰ καὶ τοὺς οὕτω φλεγμαίνοντας ἔφευγε, καὶ τῶν τοιούτων ἀπεπήδα συλλόγων διὰ τὸ πολὺ πρὸς τὴν ἀλαζονείαν μῖσος. Ἐπειδὴ γὰρ ἀπεχθῶς εἶχε πρὸς τὴν κακίαν ταύτην, οὐ μόνον αὐτῆς ἀπεπήδα, οὐδὲ ἄβατον αὐτῇ τὸ χωρίον τῆς διανοίας ἐποίει μόνον, ἀλλὰ καὶ τοὺς μετιόντας αὐτὴν ἐκ πολλοῦ τοῦ διαστήματος ἔφευγεν, ὥστε μηδὲ ἐκεῖθέν τινα δέξασθαι λύμην. Οὐ μικρὸν δὲ τοῦτο κατόρθωμα τὸ φεύγειν τοὺς ὑπερόγκους, τὸ μισεῖν τοὺς ἀλαζόνας, τὸ ἀποστρέφεσθαι καὶ βδελύσσεσθαι· μεγίστη ἀρετῆς ἀσφάλεια, μεγίστη ταπεινοφροσύνης φυλακή.

«Οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ». Ἄλλος, «Οὐδὲ ὑπερβάλλουσιν ὑπὲρ ἐμέ». «Εἰ μὴ ἐταπεινοφρόνουν, ἀλλὰ ὕψωσα τὴν καρδίαν μου, ὡς τὸ ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ, ὡς ἀνταποδώσεις ἐπὶ τὴν ψυχήν μου». Ἄλλος, «Οὕτως ἀνταποδοθείη τῇ ψυχῇ μου». Καθ' ὑπέρβατόν ἐστι τὸ εἰρημένον, οἷον, «εἰ μὴ ἐταπεινοφρόνουν, ὡς τὸ ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ, ἀλλ' ὕψωσα τὴν καρδίαν μου, οὕτως ἀνταποδοθείη τῇ ψυχῇ μου». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὐ μόνον τῆς κακίας καθαρὸς ἤμην, τῆς ἀλαζονείας λέγω, οὐδὲ μόνον τῶν ἐχόντων αὐτὴν ἀλλότριος, ἀλλὰ καὶ τὴν ἀρετὴν τὴν ἐναντίαν αὐτῇ μετὰ πολλῆς ἐδεξάμην τῆς ὑπερβολῆς, τὴν ταπεινοφροσύνην, τὸ μετριάζειν, τὸ συντετρίφθαι. Τοῦτο ἐκεῖνο ὃ τοῖς μαθηταῖς ὁ Χριστὸς ἐκέλευσε λέγων· «Ἐὰν μὴ στραφῆτε, καὶ γένησθε ὡς

7. Ματθ. 18, 3.

δίνει στὸ σῶμα τὴν ἴδια μορφὴ μὲ τὴν ἐσωτερικὴ πληγή. «Οὔτε πορεύθηκα πρὸς μεγάλους, οὔτε πρὸς θαυμαστοὺς ἀνθρώπους γιὰ ν' ἀποκομίσω ὠφέλεια». Τί σημαίνει, «Ἐν μεγάλοις»; Πρὸς πάρα πολὺ σπουδαίους ἄνδρες, πρὸς πλούσιους, πρὸς ἀλαζόνες, πρὸς ὑπερήφανους. Εἶδες προσεγμένη ταπεινοφροσύνη; Δὲν ἦταν μόνο αὐτὸς ἀπαλλαγμένος ἀπὸ τὸ νόσημα, ἀλλὰ καὶ ἀπέφευγε καὶ ἐκείνους ποὺ ἔπασχαν ἀπὸ αὐτὴ τὴν ἀσθένεια, καὶ ἀπομακρυνόταν ἀπὸ τὶς παρόμοιες συγκεντρώσεις, ἐξ αἰτίας τοῦ μεγάλου μίσους του πρὸς τὴν ἀλαζονεία. Ἐπειδὴ δηλαδὴ ἔτρεφε πολὺ μῖσος πρὸς τὴν κακία αὐτή, ὄχι μόνο ἀπέφευγε αὐτή, οὔτε μόνο καταστοῦσε ἀδιάβατο σ' αὐτὴν τὸ χῶρο τῆς διάνοιάς του, ἀλλὰ καὶ ἀπὸ ἐκείνους ποὺ ἀσκοῦσαν αὐτὴν ἔφευγε πολὺ μακριά, ὥστε οὔτε ἀπὸ ἐκεῖ νὰ δεχθεῖ κάποια βλάβη. Δὲν εἶναι μικρὸ κατόρθωμα αὐτό, τὸ ν' ἀποφεύγει κάποιος τοὺς ὑπερήφανους, τὸ νὰ μισεῖ τοὺς ἀλαζόνες, τὸ νὰ τοὺς ἀποστρέφεται καὶ νὰ τοὺς σιχαίνεται· ἀποτελεῖ μέγιστη ἀσφάλεια τῆς ἀρετῆς, μέγιστη περιφρούρηση τῆς ταπεινοφροσύνης.

«Οὔτε πρὸς θαυμαστοὺς ἀνθρώπους γιὰ ν' ἀποκομίσω ὠφέλεια». Ἄλλος, «Οὔτε πρὸς ἀνθρώπους ποὺ βρίσκονται ψηλότερα ἀπὸ μένα πρὸς ὄφελός μου». «Ἂν δὲν ἔδειξα ταπεινοφροσύνη, ἀλλὰ ὑπερηφανεύθηκα, σὰν τὸ παιδὶ ποὺ ἀποκόβεται ἀπὸ τὸ γάλα τῆς μητέρας του, τότε τιμώρησε τὴν ψυχή μου». Ἄλλος, «τὴν ἴδια ἀνταπόδοση ἂς ἔχει ἡ ψυχή μου». Τὰ λόγια αὐτὰ λέχθηκαν μὲ ὑπερβατὸ σχῆμα λόγου· ἡ ὀρθὴ σειρὰ τῶν λέξεων εἶναι· «Ἂν δὲν ἔδειξα ταπεινοφροσύνη, σὰν τὸ μικρὸ παιδὶ ποὺ ἀποκόβεται ἀπὸ τὸ γάλα τῆς μητέρας του, ἀλλὰ ὑπερηφανεύθηκε ἡ καρδιά μου, τὴν ἴδια ἀνταπόδοση ἂς ἔχει ἡ ψυχή μου»[7]. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Ὄχι μόνο ἤμουν καθαρὸς ἀπὸ τὴν κακία, ἐννοῶ τὴν ἀλαζονεία, οὔτε ἤμουν μόνο ξένος πρὸς ἐκείνους ποὺ εἶχαν αὐτήν, ἀλλὰ καὶ τὴν ἀρετὴ ποὺ εἶναι ἀντίθετη πρὸς αὐτήν, δηλαδὴ τὴν ταπεινοφροσύνη, τὴν μετριοφροσύνη, τὴ συντριβὴ τῆς καρδιᾶς, σὲ ὑπερβολικὸ βαθμὸ τὰ ἐφάρμοσα. Αὐτὸ εἶναι ἐκεῖνο ποὺ παράγγειλε ὁ Χριστὸς στοὺς μαθητές, λέγοντας· «Ἂν δὲν ἀλλάξετε φρονήματα

τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν». Τοιαύτην, φησίν, ἐκτησάμην ταπεινοφροσύνην, ὡς τὸ ὑπομάζιον παιδίον. Ὥσπερ γὰρ ἐκεῖνο ἔχεται τῆς μητρός, τεταπείνωται, ἀλαζονείας ἁπάσης ἐστὶ καθαρόν, ἀφελείᾳ συζῇ καὶ ἁπλότητι· οὕτω καὶ ἐγὼ πρὸς τὸν Θεὸν ἤμην, ἐχόμενος αὐτοῦ διηνεκῶς. Οὐχ ἁπλῶς δὲ τοῦ ἀπογεγαλακτισμένου ἐμνήσθη, ἀλλὰ τὴν θλίψιν θέλων παραστῆσαι, τὴν στενοχωρίαν, τὴν ὀδύνην, τὸ μέγεθος τῶν κακῶν. Καθάπερ οὖν τὸ παιδίον ἄρτι τοῦ μαστοῦ ἀποσπασθέν, οὐδὲ οὕτως ἀφίσταται τῆς μητρός, ἀλλ' ὀδυνώμενον, θρηνοῦν, δυσχεραῖνον, ἀλῦον, κλαυθμυριζόμενον, ὅμως ἔχεται τῆς τεκούσης, καὶ οὐκ ἂν ἀποσταίη· οὕτω κἀγώ, φησί, καὶ ἐν θλίψει, καὶ ἐν στενοχωρίᾳ, καὶ ἐν πολλαῖς ὢν συμφοραῖς, εἰχόμην τοῦ Θεοῦ. Εἰ δὲ μὴ οὕτως ἤμην, ἀνταποδοθείη, φησίν, ἐπὶ τὴν ψυχήν μου, τουτέστι, δίκην δοίην τὴν ἐσχάτην.

«Ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος». Ὁρᾷς, ὅπερ ἔφην ἐξ ἀρχῆς, ὅτι ἐν μὲν τοῖς περὶ πίστεως καὶ δογμάτων, καὶ αἰτίας οὐκ οὔσης, διηνεκῶς δεῖ καυχᾶσθαι, καὶ ὁ μὴ καυχώμενος ἀπόλωλεν· ἐν δὲ τοῖς κατορθώμασι τοῦ βίου, τοῦ καιροῦ καλοῦντος οὐδέποτε παραιτεῖσθαι δεῖ τὸ καυχᾶσθαι. Ποῖος δὲ καιρός; Πολλοὶ καὶ διάφοροι, ὧν καὶ εἷς ἐστι τὸ παιδεῦσαι τὸν ἀκροατήν. Ὃ δὴ καὶ οὗτος εἰδώς, καὶ δεικνύς, ὅτι διὰ τοῦτο λέγει αὐτοῦ τὰ κατορθώματα, ἵνα τὸν ἀκροατὴν ἐπισπάσηται πρὸς τὸν αὐτὸν ζῆλον, ἐπήγαγε λέγων· «Ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος». Κἂν συμφοραί, φησί, κἂν ἀθυμίαι, κἂν πόλεμοι, κἂν αἰχμαλω-

καὶ δὲν γίνετε σὰν τὰ παιδιά, δὲν θὰ εἰσέλθετε στὴ βασιλεία τῶν οὐρανῶν». Τέτοια, λέγει, ταπεινοφροσύνη ἐπέδειξα, ὅπως τὸ παιδὶ ποὺ θηλάζει. Διότι, ὅπως ἀκριβῶς ἐκεῖνο εἶναι προσκολλημένο στὴ μητέρα του, συμπεριφέρεται μὲ ταπείνωση, εἶναι καθαρὸ ἀπὸ κάθε ἀλαζονεία, καὶ ζεῖ μὲ ἀφέλεια καὶ ἁπλότητα, ἔτσι καὶ ἐγὼ συμπεριφερόμουν πρὸς τὸ Θεό, ἔχοντας τὸν ἑαυτό μου συνέχεια προσκολλημένο σ' αὐτόν. Δὲν μνημόνευσε τυχαῖα τὸ παιδὶ ποὺ ἀποκόβεται ἀπὸ τὸ γάλα τῆς μητέρας του, ἀλλὰ θέλοντας νὰ παραστήσει τὴ θλίψη, τὴ στενοχώρια, τὸν πόνο, τὸ μέγεθος τῶν κακῶν. Ὅπως ἀκριβῶς λοιπὸν τὸ παιδὶ ποὺ μόλις πρὶν λίγο ἀποκόπηκε ἀπὸ τὸ μαστὸ τῆς μητέρας του, οὔτε ἔτσι ἀπομακρύνεται ἀπὸ τὴ μητέρα του, ἀλλ' ἂν καὶ ὑποφέρει, θρηνεῖ, δυσανασχετεῖ, θλίβεται, κλαίει, ὅμως εἶναι προσκολλημένο στὴ μητέρα του καὶ δὲν θὰ μποροῦσε ν' ἀπομακρυνθεῖ ἀπ' αὐτήν, ἔτσι καὶ ἐγώ, λέγει, ἤμουν προσκολλημένος στὸ Θεὸ καὶ ὅταν βρισκόμουν στὶς θλίψεις, καὶ ὅταν ἀντιμετώπιζα στενοχώριες, καὶ ὅταν περιβαλλόμουν ἀπὸ πολλὲς συμφορές. Ἂν δὲν ἤμουν τέτοιος, ἂς ἔχει, λέγει, ἡ ψυχή μου τὴν ἴδια ἀνταπόδοση, δηλαδὴ ἂς ὑποστῶ τὴ χειρότερη τιμωρία.

«Ἂς στηρίξει ὁ Ἰσραὴλ τὶς ἐλπίδες του στὸν Κύριο ἀπὸ τώρα καὶ μέχρι τὸν αἰώνα». Βλέπεις, ἐκεῖνο ποὺ εἶπα ἀπὸ τὴν ἀρχή, ὅτι πρέπει συνέχεια νὰ καυχιέται κάποιος ὅταν πρόκειται γιὰ τὰ θέματα τῆς πίστεως καὶ τῶν δογμάτων, καὶ ἂν ἀκόμη δὲν ὑπάρχει ἀνάγκη, καὶ ἐκεῖνος ποὺ δὲν καυχιέται θὰ χαθεῖ, ἐνῶ στὴν περίπτωση τῶν κατορθωμάτων τοῦ βίου, ποτὲ δὲν πρέπει νὰ παραιτούμαστε νὰ καυχιέμαστε, ὅταν τὸ ἀπαιτοῦν οἱ περιστάσεις. Ποιὲς δὲ περιστάσεις; Πολλὲς καὶ διάφορες ἀπὸ τὶς ὁποῖες καὶ μία μόνο μπορεῖ νὰ διδάξει τὸν ἀκροατή. Γνωρίζοντας λοιπὸν καὶ αὐτὸς αὐτό, καὶ γιὰ νὰ δείξει, ὅτι γι' αὐτὸ ἀναφέρει τὰ κατορθώματά του, γιὰ νὰ προσελκύσει τὸν ἀκροατὴ πρὸς τὸν ἴδιο ζῆλο, πρόσθεσε τὰ ἑξῆς· «Ἂς στηρίξει ὁ Ἰσραὴλ τὶς ἐλπίδες του στὸν Κύριο, ἀπὸ τώρα καὶ μέχρι τὸν αἰώνα». Καὶ ἂν ἀκόμα, λέγει, σὲ περικυκλώσουν συμφο-

σίαι, κἂν ὁτιοῦν τῶν ἀδοκήτων περισταίη δεινῶν, σὺ τῆς ἐλπίδος ἔχου τῆς εἰς τὸν Θεόν, καὶ τῆς προσδοκίας ἐκείνης, καὶ πάντως ἐπιτεύξῃ χρηστοῦ τοῦ τέλους, τοῦ Θεοῦ τῇ λύσει τῶν δεινῶν ἀμειβομένου σε τῆς καλῆς ταύτης ἐλπίδος, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ρές, καὶ ἂν ἀκόμα λύπες, καὶ ἂν ἀκόμα πόλεμοι, καὶ ἂν ἀκόμα αἰχμαλωσίες, καὶ ἂν ἀκόμα ὁποιοδήποτε ἀπὸ τὰ ἀπροσδόκητα κακά, σὺ στηρίξου ἀπὸ τὴν ἐλπίδα στὸ Θεὸ καὶ ἀπὸ τὴν προσδοκία ἐκείνη, καὶ ὁπωσδήποτε θὰ ἐπιτύχεις καλὸ τέλος, διότι ὁ Θεὸς θὰ ἀνταμείψει τὴν καλὴ αὐτὴ ἐλπίδα σου, ἀπαλλάσσοντάς σε ἀπὸ τὰ δεινά, μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟΝ ΡΛΑ' ΨΑΛΜΟΝ.

«Μνήσθητι, Κύριε, τοῦ Δαυΐδ, καὶ πάσης τῆς πραότητος αὐτοῦ».

1. Ἀλλαχοῦ μὲν ἀπὸ τῆς μνήμης τῶν προγόνων μόνον ἀξιοῦσι σώζεσθαι· ἐνταῦθα δὲ καὶ τὰ κατορθώματα λέγουσι, καὶ τὸ πάντων αἴτιον τῶν ἀγαθῶν, ἐπιείκειαν, ταπεινοφροσύνην, πραότητα, ἐν ᾧ μάλιστα ἐθαυμάζετο καὶ Μωϋσῆς. «Ἦν γὰρ πραότατος», φησί, «πάντων ἀνδρῶν τῶν ἐπὶ τῆς γῆς». Ἀλλά τινες τῶν αἱρετικῶν ἐπιλαμβανόμενοι τῆς πολιτείας αὐτοῦ, καὶ τοῦ εἰρημένου, φασί· τί λέγεις; πραότατος ἐκεῖνος ὁ λὰξ ἐναφεὶς τῷ Αἰγυπτίῳ, καὶ ἀνελών; ὁ τοὺς Ἰουδαίους ἐμφυλίων ἐμπλήσας αἱμάτων καὶ πολέμων; ὁ συγγενικοὺς κελεύσας ἐργάσασθαι φόνους; ὁ τὴν γῆν εὐχῇ διελών, καὶ κεραυνοὺς ἄνωθεν ἐνεγκών, καὶ τοὺς μὲν καταποντίσας, τοὺς δὲ καταφλέξας; οὗτος εἰ πρᾶος ἦν, τίς ὀργίλος καὶ σκληρός; Παῦσαι, μὴ περιττὰ φθέγγου. Ὅτι πρᾶος ἦν, καὶ πάντων ἀνθρώπων πραότατος, καὶ λέγω, καὶ οὐκ ἀποστήσομαι ταῦτα λέγων, καὶ εἰ βούλεσθε οὐχ ἑτέρωθεν, ἀλλ' ἀπ' αὐτῶν τούτων τῶν εἰρημένων δεῖξαι πειράσομαι αὐτοῦ τὴν πραότητα. Καίτοι γε ἐνῆν λέγειν τὰ περὶ τῆς ἀδελφῆς εἰρημένα αὐτῷ πρὸς τὸν Θεόν, τὴν ἱκετηρίαν, ἣν ὑπὲρ τοῦ ἔθνους ἀνέθηκε, πάντα τὰ ῥήματα ἐκεῖνα τὰ ἀποστολικά, καὶ τῶν οὐρανῶν ἀ-

---

* Ὁ ψαλμὸς αὐτὸς εἶναι ἕνας ἀπὸ τὶς ᾠδὲς τῶν ἀναβαθμῶν, μεσσιακοῦ περιεχομένου, λόγω τοῦ ὁποίου ἡ συγγραφή του ἀποδόθηκε ἀπὸ ἄλλους μὲν στὸ Δαυΐδ, ἀπὸ ἄλλους δὲ στὸ Σολομῶντα, ἀλλὰ καὶ στὸ Ζυροβάβελ ἀκόμα. Ὁ ποιητὴς προβάλλει τὰ ὅσα ὁ Δαυΐδ ἔκανε πρὸς δόξα τοῦ Θεοῦ καὶ ὅσα ὁ Θεὸς ὑποσχέθηκε στὸ Δαυΐδ καὶ ζητᾶ τὴν προστασία αὐτοῦ.

ΟΜΙΛΙΑ

ΣΤΟΝ ΡΛΑ΄ ΨΑΛΜΟ*

«Ἐνθυμήσου, Κύριε, τὸν Δαυὶδ καὶ ὅλη τὴν πραότητά του».

1. Σὲ ἄλλες μὲν περιπτώσεις ἔχουν τὴν ἀξίωση νὰ σωθοῦν ἀπὸ τὴν ἀνάμνηση μόνο τῶν προγόνων, ἐδῶ ὅμως καὶ τὰ κατορθώματα ἀναφέρουν, καὶ τὸ αἴτιο ὅλων τῶν ἀγαθῶν, τὴν ἐπιείκεια, τὴν ταπεινοφροσύνη καὶ τὴν πραότητα, γιὰ τὸ ὁποῖο πρὸ πάντων θαυμαζόταν ὁ Μωϋσῆς. «Διότι ἦταν», λέγει, ὁ πιὸ «πρᾶος ἀπὸ ὅλους τοὺς ἀνθρώπους τῆς γῆς»[1]. Ἀλλὰ μερικοὶ ἀπὸ τοὺς αἱρετικοὺς προβάλλοντας ἀντιρρήσεις γιὰ τὴ ζωή του καὶ γι' αὐτὸ ποὺ ἔχει λεχθεῖ, λέγουν· Τί λέγεις; πραότατος ἦταν ἐκεῖνος ποὺ μὲ κλωτσὲς ἔρριξε κάτω τὸν Αἰγύπτιο καὶ τὸν φόνευσε; ἐκεῖνος ποὺ ἔδωσε ἐντολὴ νὰ διαπράξουν συγγενικοὺς φόνους; ἐκεῖνος ποὺ μὲ τὴν προσευχὴ διαίρεσε τὴ γῆ καὶ προκάλεσε κεραυνοὺς ἀπὸ τὸν οὐρανὸ καὶ ἄλλους μὲν κατεπόντισε, ἄλλους δὲ κατέκαψε; ἂν αὐτὸς ἦταν πρᾶος, ποιὸς εἶναι ὁ ὀργίλος καὶ σκληρός; Παῦσε, μὴ λέγεις περιττά. Τὸ ὅτι ἦταν πρᾶος καὶ ὁ πιὸ πρᾶος ἀπὸ ὅλους τοὺς ἀνθρώπους καὶ τὸ λέγω καὶ δὲν θὰ παύσω αὐτὰ νὰ τὰ λέγω, καὶ ἂν θέλετε ὄχι ἀπὸ ἀλλοῦ, ἀλλ' ἀπ' αὐτὰ ποὺ ἔχουν λεχθεῖ θὰ προσπαθήσω ν' ἀποδείξω τὴν πραότητα αὐτοῦ. Ἂν καὶ βέβαια θὰ μποροῦσα ν' ἀναφέρω ἐκεῖνα ποὺ εἶπε αὐτὸς πρὸς τὸ Θεὸ γιὰ τὴν ἀδελφή του, τὴν ἱκεσία ποὺ ἔκαμε πρὸς τὸ Θεὸ ὑπὲρ τοῦ ἔθνους, ὅλα τὰ λόγια ἐκεῖνα τὰ ἀποστολικὰ καὶ τὰ ἄξια τῶν οὐρανῶν, τὴν ἐπιεί-

---

1. Ἀριθμ. 12, 3.

ξια, τὴν ἐπιείκειαν μεθ' ἧς τῷ δήμῳ διελέγετο. Ἐνῆν καὶ ταῦτα λέγειν, καὶ ἕτερα τούτων πλείονα ἀπαριθμεῖν· ἀλλ' εἰ βούλεσθε, ταῦτα παρέντες, φέρε ἀπ' αὐτῶν τούτων τῶν ἔμπροσθεν εἰρημένων παρὰ τῶν ἐχθρῶν δείξωμεν, ὅτι πραότατος ἦν, ἀφ' ὧν βαρὺν καὶ σκληρὸν καὶ ὀργίλον αὐτὸν εἶναι νομίζουσί τινες.

Πῶς οὖν δείξομεν; Εἰ πρότερον διακρίναιμεν, καὶ ὁρισαίμεθα, τί ποτέ ἐστι πραότης, καὶ τί τραχύτης. Οὐδὲ γὰρ τὸ πλήττειν, τραχύτητος ἁπλῶς, οὐδὲ τὸ φείδεσθαι, πραότητος· ἀλλὰ πρᾶος ἐκεῖνός ἐστιν, ὁ τὰ εἰς ἑαυτὸν πλημμελήματα φέρειν δυνάμενος, καὶ ὁ τοῖς ἀδικουμένοις ἀμύνων, καὶ σφοδρὸς ἔκδικος τῶν ἐπηρεαζομένων γινόμενος· ὡς ὅ γε μὴ τοιοῦτος, νωθής, καὶ ὑπνηλός, καὶ νεκροῦ οὐδὲν ἄμεινον διακείμενος, οὐ πρᾶος, οὐδὲ ἐπιεικής. Τὸ παρορᾶν ἀδικουμένους, τὸ μὴ ἀλγεῖν ὑπὲρ τῶν ἀδικουμένων, μηδὲ θυμοῦσθαι τοῖς ἐπηρεάζουσιν, οὐκ ἀρετῆς, ἀλλὰ κακίας· οὐκ ἄρα πραότητος, ἀλλὰ νωθείας. Ὥστε αὐτὸ δὴ τοῦτο δείκνυσιν αὐτοῦ τὴν πραότητα, καὶ ὅτι οὕτως ἦν θερμός, ὡς καὶ προπηδᾶν, ἐν οἷς ἑτέρους ἀδικουμένους ἑώρα, κατέχειν οὐ δυνάμενος τὴν ὑπὲρ τοῦ δικαίου ἀγανάκτησιν· ἡνίκα γοῦν αὐτὸς κακῶς ἔπασχεν, οὔτε ἠμύνατο, οὔτε ἐπεξῄει, ἀλλ' ἔμεινε φιλοσοφῶν διηνεκῶς. Εἰ δὲ τραχὺς ἦν καὶ ὀργίλος, οὐκ ἂν ὑπὲρ ἑτέρων ὁ οὕτω ζέων καὶ διαθερμαινόμενος, ὑπὲρ τῶν αὐτοῦ ἂν κατεδέξατο ἡσυχάσαι, ἀλλὰ πολὺ μᾶλλον τότε ἂν ἐξηγριώθη. Ἴστε γάρ, ὅτι μᾶλλον ἐπὶ τοῖς οἰκείοις ἢ τοῖς ἀλλοτρίοις ἀλγοῦμεν. Ἐκεῖνος δὲ τῶν μὲν ἄλλων πασχόντων κακῶς, αὐτῶν οὐκ ἔλαττον τῶν πασχόντων ἠμύνετο· τὰ δὲ εἰς αὐτὸν γινόμενα

κεια μὲ τὴν ὁποία συνομιλοῦσε μὲ τὸ λαό. Θὰ μποροῦσα καὶ αὐτὰ νὰ τὰ ἀναφέρω καὶ πολλὰ ἄλλα ἐκτὸς ἀπὸ αὐτὰ ν' ἀπαριθμήσω, ἀλλ' ἂν θέλετε, παραβλέποντας αὐτά, ἐμπρὸς ἂς ἀποδείξουμε ὅτι ἦταν πραότατος ἀπὸ αὐτὰ τὰ ἴδια τὰ λόγια ποὺ λέχθηκαν προηγουμένως ἀπὸ τοὺς ἐχθρούς, ἐξ αἰτίας τῶν ὁποίων μερικοὶ τὸν θεωροῦν καταπιεστή, σκληρὸ καὶ ὀργίλο.

Πῶς λοιπὸν θὰ τὸ ἀποδείξουμε; Ἂν προηγουμένως ξεχωρίζαμε καὶ ὁρίζαμε, τί τέλος πάντων εἶναι πραότητα καὶ τί σκληρότητα. Διότι οὔτε τὸ νὰ χτυπᾶ κάποιος εἶναι δεῖγμα γενικὰ σκληρότητας, οὔτε τὸ νὰ λυπᾶται εἶναι δεῖγμα πραότητας, ἀλλὰ πρᾶος εἶναι ἐκεῖνος ποὺ μπορεῖ νὰ ὑπομένει τὰ ἀδικήματα ποὺ γίνονται σ' αὐτόν, ποὺ ὑπερασπίζεται τοὺς ἀδικούμενους καὶ γίνεται αὐστηρὸς ἐκδικητὴς ἐκείνων ποὺ βλάπτονται· διότι ἐκεῖνος ποὺ δὲν εἶναι τέτοιος, ἀλλ' εἶναι νωθρὸς καὶ ἀδιάφορος καὶ δὲν εἶναι καθόλου καλύτερη ἡ συμπεριφορά του ἀπὸ τοῦ νεκροῦ, δὲ εἶναι πρᾶος, οὔτε ἐπιεικής. Τὸ νὰ παραβλέπει κανεὶς ἐκείνους ποὺ ἀδικοῦνται, τὸ νὰ μὴ νιώθει πόνο ὑπὲρ τῶν ἀδικουμένων, οὔτε νὰ ὀργίζεται ἐναντίον ἐκείνων ποὺ βλάπτουν, εἶναι δεῖγμα ὄχι ἀρετῆς, ἀλλὰ κακίας, εἶναι δεῖγμα ὄχι πραότητας, ἀλλὰ ἀδιαφορίας. Ὥστε λοιπὸν ἀκριβῶς αὐτὸ τὸ ἴδιο δείχνει τὴν πραότητα αὐτοῦ, καὶ ὅτι τόσο πολὺ θερμὸς ἦταν, ὥστε καὶ νὰ ἐπεμβαίνει, στὶς περιπτώσεις ποὺ ἔβλεπε ἄλλους νὰ ἀδικοῦνται, μὴ μπορώντας νὰ συγκρατήσει τὴν ἀγανάκτησή του γιὰ τὸ δίκιο· κάθε φορὰ βέβαια ποὺ ὁ ἴδιος ὑπέφερε, οὔτε ἀμυνόταν, οὔτε ἐπιτίθονταν, ἀλλ' ἀντιμετώπιζε πάντοτε ὅλα αὐτὰ μὲ φιλοσοφικότητα. Ἂν ὅμως ἦταν σκληρὸς καὶ ὀργίλος δὲν θὰ ἦταν δυνατὸ νὰ ἡσυχάσει ὅταν ὁ ἴδιος βλαπτόταν, αὐτὸς ποὺ τόσο πολὺ φλεγόταν καὶ καιόταν γιὰ τὶς βλάβες πρὸς ἄλλους, ἀλλὰ πολὺ περισσότερο τότε θὰ ἐξαγριωνόταν. Διότι γνωρίζετε, ὅτι περισσότερο πονοῦμε γι' αὐτὰ ποὺ συμβαίνουν σ' ἐμᾶς, παρὰ γιὰ ἐκεῖνα ποὺ συμβαίνουν στοὺς ξένους. Ἐκεῖνος ὅμως, ὅταν οἱ ἄλλοι κακοπαθοῦσαν, ὑπερασπιζόταν αὐτοὺς ὄχι λιγότερο ἀπὸ ὅ,τι αὐτοὶ οἱ ἴδιοι ποὺ κακοπαθοῦσαν, ἐνῶ τὰ ἀδικήματα ποὺ γίνονταν σ' αὐτὸν τὰ παρέτρεχε μὲ με-

πλημμελήματα μετὰ πολλῆς παρέτρεχε τῆς καρτερίας, ἐν ἑκατέροις ἄκρος ὤν, καὶ τῷ μὲν τὸ μισοπόνηρον, τῷ δὲ τὸ μακρόθυμον ἐπιδεικνύμενος.

Ἀλλὰ τί ποιεῖν ἐχρῆν, εἰπέ μοι; περιορᾷν τὴν ἀδικίαν γινομένην, καὶ εἰς τὸ πλῆθος ἐκβαῖνον τὸ κακόν; Ἀλλ' οὐκ ἦν τοῦτο δημαγωγοῦ, οὐδὲ μακροθύμου τινὸς καὶ ἀνεξικάκου, ἀλλὰ νωθροῦ καὶ ἀναπεπτωκότος. Σὺ δὲ ἰατρῷ μὲν οὐκ ἐγκαλεῖς τὴν σηπεδόνα βαδίζουσαν κατὰ παντὸς τοῦ σώματος προαναστέλλοντι τῇ τομῇ, ἐκεῖνον δὲ τραχύτατον εἶναι φῄς, τὸν νόσον πολλῷ σηπεδόνος χαλεπωτέραν κατὰ παντὸς ῥέουσαν τοῦ δήμου βουληθέντα ἀναχαιτίσαι πληγῇ τραχυτέρᾳ; Ἀλλὰ ταῦτα ἀγνώμονος δικαστοῦ. Τὸν γὰρ προστάτην δήμου τοσούτου, καὶ ἔθνος οὕτω σκληρὸν ἄγοντα, καὶ τραχύ, καὶ δυσήνιον, ἐν προοιμίοις ἀναστέλλειν ἐχρῆν, καὶ ἐκ προθύρων ἀνακόπτειν, ὥστε μὴ περαιτέρω προβαίνειν τὸ δεινόν. Ἀλλὰ κατέδυσε, φησί, Δαθάν, καὶ Ἀβειρών. Τί λέγεις; καὶ ἔδει περιιδεῖν ἱερωσύνην πατουμένην, καὶ Θεοῦ νόμους ἀνατρεπομένους, καὶ τὸ συνέχον ἅπαντα διαλυόμενον, λέγω δὴ τὸ τῆς ἱερωσύνης ἀξίωμα, καὶ πᾶσι βατὰ ποιῆσαι τὰ ἄδυτα, καὶ ἀπὸ τῆς περὶ τούτους ῥᾳθυμίας προθεῖναι τοῖς βουλομένοις τοὺς ἱεροὺς καταπατεῖν περιβόλους, καὶ πάντα ἄνω καὶ κάτω γίνεσθαι; Ἀλλὰ ταῦτα μάλιστα πραότητος οὐκ ἦν, ἀλλὰ ἀπανθρωπίας καὶ ὠμότητος, τὸ περιιδεῖν τοσοῦτον κακὸν αὐξόμενον, καὶ φειδόμενον διακοσίων, ἀπολέσαι μυριάδας τοσαύτας. Εἰπὲ γάρ μοι, ὅτε ἐκέλευσε σφάξαι τοὺς προσήκοντας, τί ποιῆσαι ἐχρῆν, ὀργιζομένου Θεοῦ, τῆς ἀσεβείας αὐξομένης, οὐδενὸς ὄντος τοῦ δυναμένου τῆς ὀργῆς αὐτοὺς ἐξαρπάσαι; ἀφεῖναι τὴν ἐκ τῶν οὐρανῶν πληγὴν ἐπὶ τὰς φυλὰς ἁπάσας ἐνεχθῆναι, καὶ πανωλεθρίᾳ παραδοῦναι τὸ γένος, καὶ μετὰ τῆς κο-

γάλη ὑπομονή, λαμβάνοντας καὶ στὶς δυὸ περιπτώσεις τὴν ἀκραία θέση καὶ δείχνοντας μὲ τὸ μὲν ἕνα τὸ μίσος του πρὸς τὴν κακία, μὲ τὸ δὲ ἄλλο τὴ μακροθυμία του.

᾿Αλλὰ πές μου, τί ἔπρεπε νὰ κάνει; νὰ ἀνεχόταν βλέποντας τὴν ἀδικία νὰ γίνεται καὶ νὰ ἄφηνε νὰ μεγαλώνει τὸ κακό; ᾿Αλλ' αὐτὸ δὲν ἦταν γνώρισμα ἀρχηγοῦ λαοῦ, οὔτε ἀνθρώπου μακρόθυμου καὶ ἀνεξίκακου, ἀλλὰ ἀδιάφορου καὶ δειλοῦ. Σὺ ὅμως τὸν μὲν ἰατρὸ δὲν τὸν κατηγορεῖς ποὺ σταματᾶ μὲ τὴν ἐγχείριση τὸ ξάπλωμα τοῦ σαπίσματος σ' ὅλο τὸ σῶμα, ὀνομάζεις ὅμως πάρα πολὺ σκληρὸ ἐκεῖνον ποὺ θέλησε νὰ ἐμποδίσει μὲ ἰσχυρότερο πλῆγμα ἀσθένεια ποὺ ἦταν πολὺ πιὸ χειρότερη ἀπὸ τὴ σήψη καὶ ποὺ ἀπλωνόταν σ' ὁλόκληρο τὸ λαό; ᾿Αλλ' αὐτὰ εἶναι λόγια ἄδικων δικαστῶν. Διότι ὁ προστάτης τόσου μεγάλου λαοῦ καὶ ἀρχηγὸς ἑνὸς τόσο πολὺ σκληροῦ, ἄκαμπτου καὶ ἀνυπότακτου ἔθνους, ἔπρεπε ἀπὸ τὴν ἀρχὴ νὰ ἀναστέλλει καὶ ἀπὸ τὴν πρώτη στιγμὴ νὰ ἀνακόπτει τὸ κακό, ὥστε νὰ μὴ προχωρεῖ παραπέρα. ᾿Αλλά, λέγει, καταβύθισε τὸν Δαθὰν καὶ τὸν ᾿Αβειρών. Τί λέγεις; καὶ ἔπρεπε νὰ ἀνεχθεῖ νὰ καταπατεῖται ἡ ἱερωσύνη καὶ νὰ ἀνατρέπονται οἱ νόμοι τοῦ Θεοῦ καὶ νὰ διαλύεται αὐτὸ ποὺ συγκρατεῖ τὰ πάντα, ἐννοῶ δηλαδὴ τὸ ἀξίωμα τῆς ἱερωσύνης, καὶ νὰ ἀφήσει νὰ γίνονται διαβατὰ σ' ὅλους τὰ ἄδυτα καὶ ἀπὸ τὴν ἀδιαφορία του πρὸς αὐτοὺς νὰ προτιμᾶ ἐκείνους ποὺ θέλουν νὰ καταπατοῦν τοὺς ἱεροὺς περιβόλους καὶ ὅλα νὰ γίνονται ἄνω κάτω; ᾿Αλλ' αὐτὰ πρὸ πάντων δὲν ἦταν δείγματα πραότητας, ἀλλὰ ἀπανθρωπιᾶς καὶ σκληρότητας, τὸ ν' ἀνεχθεῖ ν' αὐξάνεται ἕνα τόσο μεγάλο κακὸ καί, δείχνοντας λύπη γιὰ διακόσιους, νὰ ἀφήσει νὰ χαθοῦν τόσες χιλιάδες. Διότι πές μου, ὅταν πράσταξε νὰ σφάξουν τοὺς συγγενεῖς, τί ἔπρεπε νὰ κάνει, τὴ στιγμὴ ποὺ ὁ Θεὸς ἦταν ὀργισμένος, ἡ ἀσέβεια αὐξανόταν, καὶ δὲν ὑπῆρχε κανένας ποὺ νὰ μποροῦσε νὰ τοὺς σώσει ἀπὸ τὴν ὀργή του; ν' ἀφήσει τὴν τιμωρία ἀπὸ τὸν οὐρανὸ νὰ πέσει σ' ὅλες τὶς φυλὲς καὶ νὰ παραδώσει τὸ γένος του σὲ ὁλοκληρωτικὴ καταστροφὴ καὶ μαζὶ μὲ τὴν τιμωρία νὰ παραβλέψει καὶ ν' ἀφήσει τὴν ἁμαρτία

λάσεως περιιδεῖν καὶ τὴν ἁμαρτίαν ἀνίατον γινομένην, ἢ τιμωρίᾳ καὶ φόνῳ σωμάτων ὀλίγων τό τε ἁμάρτημα ἀνελεῖν, τήν τε ὀργὴν ἀναχαιτίσαι, τόν τε Θεὸν ἵλεω καταστῆσαι τοῖς τὰ τοιαῦτα πεπλημμεληκόσιν; Ἂν οὕτως ἐξετάζῃς τὰ τοῦ δικαίου, ὄψει μάλιστα ἐντεῦθεν ὄντα αὐτὸν πραότατον.

2. Ἀλλὰ ταῦτα ἐκ τῶν εἰρημένων τοῖς φιλομαθέσιν ἀφέντες ἀναλέγειν, ἵνα μὴ τὸ πάρεργον τοῦ μετὰ χεῖρας μεῖζον ποιήσωμεν, ἐπὶ τὸ προκείμενον ἴωμεν. Τί δὲ ἦν τὸ προκείμενον; «Μνήσθητι, Κύριε, τοῦ Δαυίδ, καὶ πάσης τῆς πραότητος αὐτοῦ· ὡς ὤμοσε τῷ Κυρίῳ, ηὔξατο τῷ Θεῷ Ἰακώβ». Προθεὶς εἰπεῖν περὶ πραότητος, ἀφεὶς διηγήσασθαι τὰ κατὰ τὸν Σαοὺλ, τὰ κατὰ τοὺς ἀδελφούς, τὰ τοῦ Ἰωνάθαν, τὴν μακροθυμίαν τὴν ἐπὶ τοῦ στρατιώτου τοῦ μυρίοις αὐτὸν περιβαλόντος ὀνείδεσιν, ἕτερα πλείονα τούτων, ἐφ' ἕτερον κεφάλαιον ἄγει τὸν λόγον, ὃ ζήλου μάλιστα ἦν πολλοῦ. Τίνος δὲ ἕνεκεν τοῦτο ποιεῖ; Δυοῖν ἕνεκα· ἑνὸς μέν, ἐπειδὴ τούτῳ μάλιστα ἐπιτέρπεται ὁ Θεός, «Ἐπὶ τίνα γὰρ ἐπιβλέψω», φησίν, «ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον καὶ ἡσύχιον, καὶ τρέμοντά μου τοὺς λόγους;», ἑτέρου δέ, ἐπειδὴ τὸ κατεπεῖγον τοῦτο μάλιστα ἦν, ἀνάστασις ναοῦ, καὶ οἰκοδομὴ πόλεως, καὶ ἡ τῆς παλαιᾶς πολιτείας ἀπόδοσις, πρὸς τοῦτο μάλιστα ἐπείγει τὸν λόγον, καὶ τὸ μὲν ὡς δῆλον καὶ ὡμολογημένον παρίησι, τὸ δὲ πᾶσι καταφανές, τὸ τῆς πραότητος, οὗ δὴ μάλιστα ἐδεῖτο εἰς τὸ προκείμενον, τοῦτο εἰς μέσον φέρει.

Τί γὰρ ἐπεθύμουν ἰδεῖν; Τὸν ναὸν ἀναστάντα, καὶ τὴν παλαιὰν ἁγιαστίαν ἀποδοθεῖσαν. Ἐπεὶ οὖν ἐν τούτῳ μάλιστα ἔλαμψεν ὁ Δαυίδ, ὥσπερ ἀμοιβὴν τῆς ἐκείνου σπουδῆς ἀπαιτεῖ τὸν Θεὸν τοῦ ναοῦ τὴν οἰκοδομήν, καί φησι· «Μνήσθητι, Κύριε, τοῦ

2. Ἠσ. 66, 2.

νὰ γίνεται ἀθεράπευτη, ἢ μὲ τὴν τιμωρία καὶ τὸ φόνο λίγων ἀνθρώπων καὶ τὸ ἁμάρτημα νὰ ἐξαλείψει καὶ τὴν ὀργὴ νὰ ἐμποδίσει καὶ τὸ Θεὸ νὰ καταστήσει εὐσπλαχνικὸ πρὸς ἐκείνους ποὺ εἶχαν διαπράξει τὰ ἁμαρτήματα αὐτοῦ τοῦ εἴδους; Ἂν ἔτσι ἐξετάζεις τὶς ἐνέργειες τοῦ δικαίου, θὰ διαπιστώσεις ἀπὸ ἐδῶ πρὸ πάντων ὅτι αὐτὸς ἦταν πραότατος.

2. Ἀλλ' ἀφοῦ ἀφήσουμε αὐτὰ τὰ συμπεράσματα νὰ τὰ βάλουν οἱ φιλομαθεῖς ἀπὸ τὰ ὅσα λέχθηκαν, γιὰ νὰ μὴ ἀφήσουμε νὰ πάρει ἔκταση τὸ δευτερεύουσας σημασίας θέμα, ἂς ἐπανέλθουμε στὸ ἐξεταζόμενο θέμα μας. Ποιὸ ἦταν τὸ ἐξεταζόμενο θέμα; «Ἐνθυμήσου, Κύριε, τὸν Δαυὶδ καὶ ὅλη τὴν πραότητά του· πῶς δηλαδὴ ὁρκίσθηκε στὸν Κύριο καὶ ἔκαμε τάμα στὸ Θεὸ τοῦ Ἰακώβ». Ἔχοντας τὴν πρόθεση νὰ μιλήσει γιὰ τὴν πραότητά του, ἀφοῦ παρέλειψε νὰ διηγηθεῖ τὰ σχετικὰ μὲ τὸν Σαούλ, μὲ τοὺς ἀδελφούς, μὲ τὸν Ἰωνάθαν, μὲ τὴ μακροθυμία ποὺ ἔδειξε πρὸς τὸ στρατιώτη ποὺ τὸν περιέβαλε μὲ ἀμέτρητες αἰτίες ἐντροπῆς καὶ μὲ ἄλλα πολὺ περισσότερα ἀπὸ αὐτά, μεταφέρει τὸ λόγο σὲ ἄλλο θέμα, ποὺ παρουσίαζε πολὺ πιὸ μεγαλύτερο ἐνδιαφέρον. Γιὰ ποιὸ δὲ λόγο τὸ κάμνει αὐτό; Γιὰ δυὸ λόγους· γιὰ τὸν ἕνα μέν, ἐπειδὴ μὲ αὐτὸ πρὸ πάντων εὐχαριστεῖται ὁ Θεός, διότι λέγει, «Σὲ ποιὸν νὰ ρίξω τὸ βλέμμα μου, παρὰ στὸν πρᾶο καὶ ἥσυχο καὶ ποὺ τρέμει τοὺς λόγους μου;»[2], γιὰ τὸν ἄλλο δέ, ἐπειδὴ αὐτὸ πρὸ πάντων ἦταν τὸ κατεπεῖγον, ἡ ἀνέγερση τοῦ ναοῦ, ἡ ἀνοικοδόμηση τῆς πόλεως καὶ ἡ ἐπαναφορὰ τοῦ παλαιοῦ τρόπου ζωῆς, πρὸς αὐτὸ κυρίως μεταφέρει τὸ λόγο, καὶ ἐκεῖνο μὲν ποὺ ἦταν ὁλοφάνερο καὶ παραδεκτὸ τὸ παραλείπει, ἐνῶ ἐκεῖνο ποὺ ἦταν φανερὸ σ' ὅλους, δηλαδὴ ἡ πραότητά του καὶ τὸ ὁποῖο χρειαζόταν κατ' ἐξοχὴ στὴν παροκειμένη περίπτωση, αὐτὸ φέρει στὸ μέσο.

Τί λοιπὸν ἐπιθυμοῦσαν νὰ δοῦν; Τὸ ναὸ ἀνεγερμένο καὶ τὸν παλιὸ τρόπο λατρείας ἀποκαταστημένο. Ἐπειδὴ λοιπὸν σ' αὐτὸ πρὸ πάντων διέλαμψε ὁ Δαυίδ, ζητεῖ ἀπὸ τὸ Θεὸ σὰν ἀμοιβὴ τῶν φροντίδων ἐκείνου τὴν ἀνοικοδόμηση τοῦ ναοῦ, καὶ λέγει· «Ἐνθυμήσου, Κύριε, τὸν Δαυὶδ καὶ ὅλη τὴν πραότητα

Δαυίδ, καὶ πάσης τῆς πραότητος αὐτοῦ· ὡς ὤμοσε τῷ Κυρίῳ, ηὔξατο τῷ Θεῷ Ἰακώβ· εἰ εἰσελεύσομαι εἰς σκήνωμα οἴκου μου, εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμνῆς μου, εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου, καὶ τοῖς βλεφάροις μου νυσταγμόν, καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου, ἕως οὗ εὕρω τόπον τῷ Κυρίῳ, σκήνωμα τῷ Θεῷ Ἰακώβ». Καὶ τί τοῦτο πρός σε; Ὅτι ἐκείνου, φησίν, ἔκγονός εἰμι, καὶ ἐπεὶ ἐκεῖνον ἀποδεξάμενος τῆς σπουδῆς, ἔφησας στήσειν αὐτοῦ τὸ γένος καὶ τὴν βασιλείαν, διὰ τοῦτο ταύτας ἀπαιτοῦμεν τὰς συνθήκας νῦν. Καὶ οὐκ εἶπεν, Ἕως οὗ οἰκοδομήσω' (τοῦτο γὰρ αὐτῷ οὐκ ἐφεῖτο), ἀλλ' «Ἕως οὗ εὕρω τόπον τῷ Κυρίῳ καὶ σκήνωμα». Εἶτα τὸν μὲν οἰκοδομήσαντα παρατρέχει, τὸν δὲ ἐπαγγειλάμενον εἰς μέσον τίθησιν, ἵνα μάθῃς πόσον ἐστὶ γνώμη ὀρθὴ ἀγαθόν, καὶ πῶς ἀεὶ τῇ προαιρέσει τὸν μισθὸν ὁ Θεὸς ὁρίζειν εἴωθε· διὰ δὴ τοῦτο αὐτοῦ μέμνηται μᾶλλον, ἐπειδὴ καὶ αὐτὸς μᾶλλόν ἐστιν ὁ ᾠκοδομηκώς, ἢ ὁ παῖς. Ὁ μὲν γὰρ ἐπηγγείλατο, ὁ δὲ ἐπετάγη. Καὶ ὅρα αὐτοῦ τὴν προθυμίαν. Οὐ μόνον εἰς οἰκίαν φησὶν οὐκ εἰσελεύσεσθαι, οὐδὲ εἰς κλίνην ἀναβήσεσθαι, ἀλλ' οὐδὲ ἃ ἀπὸ τῆς φυσικῆς ἀνάγκης ἦν, οὐδὲ τούτων ἀπολαύσεσθαι μετὰ ἀδείας, ἕως οὗ εὕρῃ τόπον καὶ σκήνωμα τῷ Θεῷ Ἰακώβ. Ὧν τὰ ἐναντία αὐτοὶ ἐνεκαλοῦντο παρὰ τοῦ Θεοῦ, λέγοντος· «Ὑμεῖς μὲν οἰκεῖτε ἐν οἴκοις κοιλοστάθμοις, ὁ δὲ οἶκός μού ἐστιν ἔρημος».

«Ἕως οὗ εὕρω τόπον τῷ Κυρίῳ, σκήνωμα τῷ Θεῷ Ἰακώβ». Ὅρα πάλιν καὶ ἐντεῦθεν τὴν σπουδήν, καὶ τὴν μεμεριμνημένην ψυχήν. Ὁ βασιλεὺς λέγει, «Ἕως οὗ εὕρω τόπον τῷ Κυρίῳ, σκήνωμα τῷ Θεῷ Ἰακώβ», ὁ πάντων κρατῶν. Οὐ γὰρ ἁπλῶς οἰκοδομῆσαι ἐβούλετο, ἀλλ' ἐν ἐπιτηδειοτάτῳ χωρίῳ, καὶ σφόδρα τῷ ναῷ πρέποντι, καὶ ζητήσεως ἐδεῖτο· οὕτως ἦν ἄγρυ-

3. Ἀγγ. 1, 4.

αὐτοῦ· διότι ὁρκίσθηκε στὸν Κύριο καὶ ἔκαμε τάμα στὸ Θεὸ τοῦ Ἰακώβ· δὲν θὰ εἰσέλθω στὴν σκηνή μου, δὲν θ' ἀνεβῶ στὸ στρῶμα τῆς κλίνης μου, δὲν θὰ παραδώσω τοὺς ὀφθαλμούς μου στὸν ὕπνο καὶ τὰ βλέφαρά μου στὸν νυσταγμό, οὔτε καὶ θ' ἀφήσω ν' ἀναπαυθοῦν οἱ κρόταφοί μου, μέχρι ποὺ νὰ βρῶ τόπο γιὰ τὸν Κύριο, κατοικία γιὰ τὸ Θεὸ τοῦ Ἰακώβ». Καὶ ποιὰ σχέση ἔχει αὐτὸ μὲ σένα; Διότι λέγει, εἶμαι ἀπόγονός του, καὶ ἐπειδὴ ἐπιδοκίμασες τὶς προσπάθειες ἐκείνου καὶ ὑποσχέθηκες νὰ καταστήσεις ἔνδοξο τὸ ἔθνος αὐτοῦ καὶ τὴ βασιλεία, γι' αὐτὸ ζητοῦμε τώρα αὐτὲς τὶς συμφωνίες. Καὶ δὲν εἶπε 'μέχρι ποὺ νὰ ἀνοικοδομήσω' (διότι αὐτὸ δὲν ἐπιτρεπόταν σ' αὐτόν), ἀλλά, «Μέχρι ποὺ νὰ βρῶ τόπο γιὰ τὸν Κύριο καὶ κατοικία». Ἔπειτα ἐκεῖνον μὲν ποὺ θὰ ἀνοικοδομήσει τὸ ναὸ τὸν παρατρέχει, ἀναφέρει ὅμως ἐκεῖνον ποὺ ἔδωσε τὴν ὑπόσχεση, γιὰ νὰ μάθεις πόσο μεγάλο ἀγαθὸ εἶναι ἡ ὀρθὴ γνώμη καὶ πῶς πάντοτε συνηθίζει ὁ Θεὸς νὰ ὁρίζει τὸ μισθὸ ἀνάλογα μὲ τὴν προαίρεση· γι' αὐτὸ λοιπὸν αὐτὸν φέρει περισσότερο στὴ σκέψη του, ἐπειδὴ αὐτὸς μᾶλλον οἰκοδόμησε τὸ ναό, παρὰ ὁ υἱός. Διότι αὐτὸς μὲν ἔδωσε τὴν ὑπόσχεση, ἐνῶ ἐκεῖνος διατάχθηκε. Καὶ πρόσεχε τὴν προθυμία του. Ὄχι μόνο λέγει ὅτι δὲν θὰ εἰσέλθει σὲ οἰκία καὶ δὲν θ' ἀνεβεῖ σὲ κλίνη, ἀλλ' οὔτε ἐκεῖνα ποὺ εἶναι ἐκ φύσεως ἀναγκαῖα δὲν θ' ἀπολαύσει μὲ ἄνεση, μέχρι ποὺ νὰ βρεῖ τόπο καὶ κατοικία γιὰ τὸ Θεὸ τοῦ Ἰακώβ. Αὐτὸς ὅμως κατηγοροῦνταν ἀπὸ τὸ Θεὸ γιὰ πράγματα ἀντίθετα ἀπὸ αὐτὰ μὲ τὰ λόγια· «Σεῖς μὲν κατοικεῖτε σὲ οἰκίες θολωτές, ἐνῶ ὁ δικός μου οἶκος εἶναι ἔρημος»[3].

«Μέχρι ποὺ νὰ βρῶ τόπο γιὰ τὸν Κύριο, κατοικία γιὰ τὸ Θεὸ τοῦ Ἰακώβ». Πρόσεχε πάλι καὶ ἀπὸ ἐδῶ τὴ φροντίδα καὶ τὴ γεμάτη ἀπὸ μέριμνα ψυχή του. Ὁ βασιλιὰς λέγει, «Μέχρι ποὺ νὰ βρῶ τόπο γιὰ τὸν Κύριο, κατοικία γιὰ τὸ Θεὸ τοῦ Ἰακώβ», αὐτὸς ποὺ ἐξουσιάζει τὰ πάντα. Δὲν ἤθελε δηλαδὴ ἁπλῶς νὰ οἰκοδομήσει ναό, ἀλλὰ καὶ σὲ καταλληλότατο τόπο, ποὺ ταιριάζει κατ' ἐξοχὴ σὲ ναό, καὶ χρειαζόταν προσπάθεια γιὰ τὴν ἐξεύρεσή του· τόσο πολὺ ἄγρυπνη ἦταν ἡ ψυχή του.

πνος τῇ ψυχῇ. «Ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθά, εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ». Τὰ παλαιὰ διηγεῖται νῦν, δεικνὺς ὅτι καὶ ἔμπροσθεν πολὺν περιῄει χρόνον ἡ κιβωτός, τόπον ἐκ τόπου ἀμείβουσα· διὰ τοῦτό φησιν· «Ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθά»· τουτέστι, ταῦτα διηγήσαντο ἡμῖν οἱ πατέρες ἡμῶν, ταῦτα ἐξ ἀκοῆς κατέχομεν, ὅτι καὶ τότε περιιοῦσα πανταχοῦ, ἐν πεδίοις καὶ ἀγροῖς, ἡδράσθη μετὰ ταῦτα· τοῦτο δὴ γενέσθω καὶ νῦν. Ἐφραθὰ ἐνταῦθα τὴν Ἰούδα λέγει φυλήν, εἰς ἣν μετὰ τὴν πολλὴν περίοδον εἰσηνέχθη.

«Εἰσελευσόμεθα εἰς τὰ σκηνώματα αὐτοῦ, προσκυνήσομεν εἰς τὸν τόπον, οὗ ἔστησάν οἱ πόδες αὐτοῦ». Εἶδες πόσῃ παχύτητι κέχρηται τῆς λέξεως διὰ τὴν πολλὴν τῶν ἀκουόντων ἀναισθησίαν, σκηνώματα λέγων τοῦ Θεοῦ, καὶ πόδας, καὶ τόπον, ἔνθα ἔστησαν οἱ πόδες. Ταῦτα δὲ πάντα τὸν τόπον λέγει τῆς κιβωτοῦ, ἐπειδὴ ἐκεῖθεν αἱ φρικταὶ φωναὶ ἐφέροντο περὶ τῶν ἐν τοῖς Ἰουδαίοις πραγμάτων λύουσαι τὰ ἀσαφῆ, καὶ περὶ τῶν μελλόντων προλέγουσαι. «Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου». Ἕτερος, «Τῆς ἰσχύος σου». Ἄλλος, «Τοῦ κράτους σου»· ἀμφότερα δὲ ἀληθῆ. Καὶ γὰρ ἡ ἁγιωσύνη ἐκεῖθεν ἐδίδοτο, καὶ ἁγιωσύνης ἦν ποιητικὰ τὰ γράμματα τὰ ἐπικείμενα, καὶ ἰσχύος.

3. Καλῶς οὖν οὕτως εἶπε· πολλὴν γὰρ ὁ Θεὸς ἐνεδείξατο δι᾽ αὐτῆς δύναμιν, καὶ ἅπαξ, καὶ δίς, καὶ πολλάκις, οἷον ὅτε ἐλήφθη παρὰ τῶν Ἀζωτίων, ὅτε τὰ εἴδωλα κατήνεγκεν, ὅτε ἔπληξε τοὺς εἰληφότας, ὅτε ἔστησε τὴν πληγὴν ἀποδοθείσης αὐτῆς, καὶ διὰ τῶν ἄλλων δέ, δι᾽ ὧν αὐτόθι εἰργάζετο, τὴν ἰσχὺν ἐπεδείκνυτο τὴν ἑαυτοῦ. Τί δέ ἐστιν, «Ἀνάστηθι εἰς τὴν ἀνάπαυσίν σου»; Στῆσον ἡμᾶς ἀλωμένους, φησί, καὶ τὴν κιβωτὸν περιφερομένην, καὶ ὀψὲ γοῦν ποτε ἀνάπαυσον αὐτήν.

«Νὰ ἀκούσαμε ὅτι ἡ κιβωτὸς τῆς διαθήκης του ἦταν στὴν Ἐφραθά, τὴν βρήκαμε δὲ στὶς δασώδεις πεδιάδες τῆς Καριαθιρείμ». Τὰ παλαιὰ γεγονότα διηγεῖται τώρα, γιὰ νὰ δείξει ὅτι καὶ παλαιότερα πολὺ χρόνο περιφερόταν ἡ κιβωτός, μεταφερόμενη ἀπὸ τόπο σὲ τόπο· γι' αὐτὸ λέγει· «Νὰ ἀκούσαμε ὅτι αὐτὴ ἦταν στὴν Ἐφραθά»· δηλαδή, αὐτὰ μᾶς τὰ διηγήθηκαν οἱ πατέρες μας, αὐτὰ τὰ γνωρίζουμε ἐξ ἀκοῆς, ὅτι δηλαδὴ καὶ τότε μεταφερόταν παντοῦ, στὶς πεδιάδες καὶ τοὺς ἀγρούς, καὶ στὴ συνέχεια ἐγκαταστάθηκε μόνιμα· αὐτὸ λοιὸν ἂς γίνει καὶ τώρα. Ἐφραθὰ ἐδῶ ὀνομάζει τὴ φυλὴ τοῦ Ἰούδα, στὴν ὁποία μεταφέρθηκε μετὰ ἀπὸ πολὺ χρόνο.

«Ἂς εἰσέλθουμε στὸν οἶκο αὐτοῦ, ἂς προσκυνήσουμε αὐτὸν στὸν τόπο ποὺ στάθηκαν τὰ πόδια του». Εἶδες πόσο ἀνθρωποπαθεῖς ἐκφράσεις χρησιμοποιεῖ, ἐξ αἰτίας τῆς μεγάλης διανοητικῆς ἀνωριμότητας τῶν ἀκροατῶν του, μιλώντας γιὰ κατοικία τοῦ Θεοῦ, γιὰ πόδια καὶ γιὰ τόπο, στὸν ὁποῖο στάθηκαν τὰ πόδια του. Ὅλα αὐτὰ ἐννοοῦν τὸν τόπο τῆς κιβωτοῦ, ἐπειδὴ ἀπὸ ἐκεῖ ἀκούονταν οἱ φρικτὲς φωνὲς γιὰ τὰ ἰουδαϊκὰ πράγματα, ποὺ ἐξηγοῦσαν τὰ ἀσαφὴ καὶ προέλεγαν τὰ μελλοντικά. «Σήκω, Κύριε, γιὰ νὰ μεταβεῖς στὸ γόνιμο τόπο κατοικίας σου, σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου». Ἄλλος, «Τῆς ἰσχύος σου». Ἄλλος, «Τῆς δυνάμεώς σου»· καὶ τὰ δύο εἶναι σωστά. Καθόσον ἡ ἁγιωσύνη ἀπὸ ἐκεῖ δινόταν, καὶ οἱ ἐντολὲς ποὺ ὑπῆρχαν μέσα σ' αὐτὴν παρεῖχαν ἁγιωσύνη καὶ δύναμη.

3. Σωστὰ λοιπὸν μίλησε ἔτσι· διότι μὲ αὐτὴν ὁ Θεὸς φανέρωσε μεγάλη δύναμη, μιά, δύο καὶ πολλὲς φορές, ὅπως ὅταν καταλήφθηκε ἀπὸ τοὺς Ἀζωτίους, ὅταν συνέτριψε τὰ εἴδωλα, ὅταν τιμώρησε ἐκείνους ποὺ τὴν εἶχαν ἁρπάξει, ὅταν σταμάτησε τὴν τιμωρία ἀφοῦ ἐπιστράφηκε, καὶ μὲ τὰ ἄλλα δέ, ποὺ ἔκαμνε μὲ αὐτήν, φανέρωνε τὴ δύναμή του. Τί σημαίνει δέ, «Ἀνάστηθι εἰς τὴν ἀνάπαυσίν σου»; Σταμάτησε τὴν περιπλάνησή μας, λέγει, καὶ τὴν περιφορὰ τῆς κιβωτοῦ καὶ μετὰ λοιπὸν ἀπὸ τόσο χρόνο ἀνάπαυσε ἐπὶ τέλους αὐτήν.

«Οἱ ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην». Ἕτερος, «Ἀμφιεσθήτωσαν». Ἄλλος, «Ἐνδυσάσθωσαν», ὅπερ μάλιστά ἐστι σαφέστερον· εὐχομένου γάρ ἐστιν, οὐχὶ προφητεύοντος, καὶ αἰτοῦντος τὴν τῆς ἀρετῆς κτῆσιν. Δικαιοσύνην δὲ ἐνταῦθά φησι τὴν ἁγιαστίαν, τὴν ἱερωσύνην, τὴν λατρείαν, τὰς θυσίας, τὰς προσφοράς, καὶ μετὰ τούτων τὴν ἀκριβῆ πολιτείαν, ἐπειδὴ μάλιστα καὶ παρὰ ἱερέων ταύτην ἀπαιτεῖσθαι χρή. «Καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται», τούτων γενομένων. Ὅρα αὐτὸν οὐ πόλεως ζητοῦντα οἰκοδομήν, οὐκ ἀφθονίαν ὠνίων, οὐ τὴν ἄλλην εὐπραγίαν, ἀλλὰ τὴν εὐπρέπειαν τοῦ ναοῦ, τὴν τῆς κιβωτοῦ κατάπαυσιν, τὸ τῶν ἱερέων πλήρωμα, τὴν ἁγιαστίαν, τὴν λατρείαν, τὴν ἱερωσύνην.

Εἶτα ἐπειδὴ ταῦτα ᾔτησαν, αὐτοὶ δὲ ὑπεύθυνοι ἁμαρτήμασιν ἦσαν πολλοῖς, ἐπὶ τὸν πρόγονον καταφεύγει πάλιν λέγων· «Ἕνεκεν Δαυὶδ τοῦ δούλου σου μὴ ἀποστρέψῃς τὸ πρόσωπον τοῦ χριστοῦ σου». Τί ἐστιν, «Ἕνεκεν Δαυὶδ τοῦ δούλου σου»; Οὐ διὰ τὴν ἀρετὴν ἐκείνου μόνον, φησίν, οὐδ' ὅτι τοσαύτην σπουδὴν ἐποιήσατο πρὸς τὸ τὸν ναὸν ἀναστῆσαι, ἀλλ' ὅτι καὶ συνθήκας ἔθου πρὸς αὐτόν. «Ἕνεκεν Δαυὶδ τοῦ δούλου σου μὴ ἀποστρέψῃς τὸ πρόσωπον τοῦ χριστοῦ σου». Τίνος φησί; Τοῦ τότε χρισθέντος καὶ δημαγωγοῦντος, καὶ προεστῶτος τοῦ λαοῦ. «Ὤμοσε Κύριος τοῦ Δαυὶδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσει αὐτήν. Ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου».

Ἐπειδὴ γὰρ ἐμνήσθη τοῦ Δαυίδ, καὶ τῆς ἀρετῆς τοῦ ἀνδρός, καὶ τῆς σπουδῆς τῆς πρὸς τὸν ναόν, καὶ τὰ παλαιὰ διηγήματα εἶπε, καὶ ἠξίωσεν ἐπὶ τῆς προτέρας αὐτοῦ φανῆναι πολιτείας, ὅπερ μέγιστον ἔχει κεφάλαιον, τοῦτο προβάλλεται, τὰς συνθήκας ἀναγινώσκων τοῦ Θεοῦ. Ποῖαι δὲ αὗταί εἰσιν; «Ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου». Ἀλλ' οὐχ ἁπλῶς αἱ

«Οἱ ἱερεῖς σου θὰ ἐνδυθοῦν δικαιοσύνη». Ἄλλος, «Ἂς φορέσουν τὰ ἄμφιά τους». Ἄλλος «Ἂς ἐνδυθοῦν», τὸ ὁποῖο εἶναι περισσότερο σαφέστερο· διότι εἶναι λόγια ἀνθρώπου ποὺ εὔχονται, καὶ ὄχι ποὺ προφυτεύει, καὶ ποὺ ζητεῖ τὴν ἀπόκτηση τῆς ἀρετῆς. Δικαιοσύνη δὲ ἐδῶ ὀνομάζει τὴν ἱεροτελεστία, τὴν ἱερωσύνη, τὴ λατρεία, τὶς θυσίες, τὶς προσφορές, καὶ μαζὶ μὲ αὐτὰ καὶ τὸν ὀρθὸ τρόπο ζωῆς, ἐπειδὴ πρέπει αὐτὸς ὁ τρόπος ζωῆς νὰ ἀπαιτεῖται πρὸ πάντων ἀπὸ τοὺς ἱερεῖς. «Καὶ οἱ ἀφοσιωμένοι σὲ σένα θὰ νιώσουν ἀγαλλίαση, ἐφόσον θὰ γίνουν αὐτά. Πρόσεχε ὅτι αὐτὸς δὲν ζητεῖ ἀνοικοδόμηση πόλεως, δὲν ζητεῖ ἀφθονία ἀγαθῶν, οὔτε τὴν εὐτυχία ποὺ πηγάζει ἀπὸ ἄλλα πράγματα, ἀλλὰ τὴ λαμπρότητα τοῦ ναοῦ, τὴ μόνιμη ἐγκατάσταση τῆς κιβωτοῦ, τὸ πλήρωμα τῶν ἱερέων, τὴν ἱεροτελεστία, τὴ λατρεία, τὴν ἱερωσύνη.

Ἔπειτα, ἐπειδὴ ζήτησε αὐτά, αὐτοὶ δὲ ἦταν ὑπεύθυνοι πολλῶν ἁμαρτημάτων, καταφεύγει πάλι στὸν πρόγονό τους, λέγοντας· «Γιὰ χάρη τοῦ δούλου σου Δαυὶδ μὴ δείξεις ἀποστροφὴ πρὸς τὸ πρόσωπο αὐτοῦ ποὺ σὺ τὸν ἔχρισες». Τί σημαίνει, «Γιὰ χάρη τοῦ δούλου σου Δαυίδ»; Ὄχι μόνο, λέγει ἐξ αἰτίας τῆς ἀρετῆς ἐκείνου, οὔτε ἐπειδὴ τόσο πολὺ φρόντισε γιὰ νὰ ἐνεγείρει ναό, ἀλλ' ἐπειδὴ ἔκαμε συμφωνίες μὲ αὐτόν. «Γιὰ χάρη τοῦ δούλου σου Δαυὶδ μὴ δείξεις ἀποστροφὴ πρὸς τὸ πρόσωπο ἐκείνου ποὺ σὺ τὸν ἔχρισες». Γιὰ χάρη ποιοῦ λέγει; Γιὰ χάρη ἐκείνου ποὺ τότε χρίσθηκε βασιλιὰς καὶ κυβερνοῦσε καὶ ἦταν προστάτης τοῦ λαοῦ. «Ἔδωσε ὁ Κύριος ἔνορκη καὶ ἀληθινὴ ὑπόσχεση στὸ Δαυὶδ καὶ δὲν θὰ παραβεῖ αὐτήν. Ἀπὸ τοὺς ἀπογόνους σου θὰ ἀνεβάζω διαδόχους στὸ θρόνο σου».

Ἐπειδὴ δηλαδὴ θυμήθηκε τὸν Δαυὶδ καὶ τὴν ἀρετὴ τοῦ ἄνδρα καὶ τὴ φροντίδα του γιὰ τὴν ἀνοικοδόμηση τοῦ ναοῦ, καὶ ἀνέφερε τὶς διηγήσεις γιὰ τὰ παλιὰ γεγονότα, καὶ ἔκρινε ἄξιο νὰ ἀναφέρει τὸ παλαιότερο τρόπο ζωῆς του, αὐτὸ ποὺ ἔχει μεγαλύτερη σπουδαιότητα, αὐτὸ προβάλλει, ἀναφέροντας τὶς ὑποσχέσεις τοῦ Θεοῦ. Ποιὲς δὲ εἶναι αὐτές; «Ἀπὸ τοὺς ἀπογόνους σου θὰ ἀνεβάζω διαδόχους στὸ θρόνο σου». Ὅμως οἱ ὑ-

συνθῆκαι ἐγένοντο, ἀλλὰ μετὰ διορισμοῦ τινος. Τίς δὲ ἦν ὁ διορισμός; Ἄκουε· ἐπάγει γάρ· «Ἐὰν φυλάξωνται οἱ υἱοί σου τὴν διαθήκην μου, καὶ τὰ μαρτύριά μου ταῦτα, ἃ διδάξω αὐτούς, καὶ οἱ υἱοὶ αὐτῶν ἕως τοῦ αἰῶνος καθιοῦνται ἐπὶ τοῦ θρόνου σου». Ταύτας τὰς συνθήκας θέμενος ὁ Θεός, αὐτοῖς ἐνεχείρισε τὸ χειρόγραφον· κἀκεῖνοι ἔλεγον, Πάντα ὅσα εἶπεν ὁ Κύριος ποιήσομεν καὶ ἀκουσόμεθα.

Εἶτα ἐπειδὴ ὁρᾷ τὸ ἓν μέρος παραβεβηκὸς τὰς συνθήκας, ἐπὶ τὸν τόπον ἄγει τὸν λόγον, πανταχόθεν κινῶν λόγους παρακλητικούς, καὶ λέγων· «Ὅτι ἐξελέξατο Κύριος τὴν Σιών, ᾑρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ. Αὕτη ἡ κατάπαυσίς μου εἰς αἰῶνα αἰῶνος. Ὧδε κατοικήσω, ὅτι ᾑρετισάμην αὐτήν». Τουτέστιν, οὐκ ἄνθρωπος τὸν τόπον ἐξελέξατο, ἀλλ' ὁ Θεὸς αὐτὸν ἐψηφίσατο, συγκαταβαίνων αὐτῶν τῇ ἀσθενείᾳ. Ὃ οὖν λέγει, τοιοῦτόν ἐστιν· ὃν εἵλου, ὃν ἐξελέξω, ὃν ἐψηφίσω, ὃν ἐδοκίμασας ἐπιτήδειον εἶναι, μὴ ἀφῇς διαρρυῆναι, μηδὲ ἀπολέσθαι. Ταῦτα γὰρ ἔλεγες, ὅτι Κατοικήσω ἐνταῦθα. Ἀλλὰ ταῦτα ἐλέγετο μετὰ τῶν συνθηκῶν ἐκείνων. Ποίων δὴ τούτων; «Ἐὰν φυλάξωνται οἱ υἱοί σου τὴν διαθήκην μου».

«Τὴν θήραν αὐτῆς εὐλογῶν εὐλογήσω». Ἕτερος, «Τὸν ἐπισιτισμόν». Θήραν λέγει τῶν ὠνίων τὴν ἀφθονίαν, τὴν εὐετηρίαν, καὶ εὔχεται πάντα αὐτοῖς ὡς ἀπὸ πηγῶν ἐπιρρεῖν. Καὶ γὰρ τοιαύτην εἶχον πολιτείαν οἱ Ἰουδαῖοι τὸ παλαιόν, οὐκ αἰσθανομένην τῶν φυσικῶν ἀναγκῶν, εἴποτε τὸν Θεὸν ἵλεων εἶχον· οὔτε γὰρ σιτοδεία τις ἦν παρ' αὐτοῖς, οὐ λιμός, ἢ λοιμός, οὐ θάνατος ἄωρος, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν, οἷα συμβαίνειν τοῖς ἀνθρώποις εἴωθεν, ἀλλὰ πάντα αὐτοῖς ὥσπερ ἐκ πηγῶν ἐπέρρει, τῆς τοῦ Θεοῦ χειρὸς τῶν ἀνθρωπίνων πραγμάτων τὴν ἀσθένειαν διορθουμένης. Τοῦτο οὖν φησιν ἐνταῦθα, ὅτι ὑπέσχου τὴν θήραν

ποσχέσεις αὐτὲς δὲν δόθηκαν στὴν τύχη, ἀλλὰ μὲ κάποιο ὅρο. Ποιὸς δὲ ἦταν ὁ ὅρος; Ἄκουε· διότι προσθέτει· «Ἐὰν φυλάξουν οἱ υἱοί σου τὴ διαθήκη μου καὶ τὶς ἐντολές μου αὐτὲς ποὺ θὰ τοὺς διδάξω, καὶ οἱ υἱοὶ αὐτῶν θὰ κάθονται αἰώνια στὸ θρόνο σου». Αὐτὲς τὶς ὑποσχέσεις ἀφοῦ ἔδωσε ὁ Θεός, παρέδωσε σ' αὐτοὺς τὸ χειρόγραφο· καὶ ἐκεῖνοι πάλι ἔλεγαν· ὅλα ὅσα εἶπε ὁ Κύριος θὰ τὰ κάνουμε καὶ θὰ ὑπακούσουμε σ' αὐτά».

Ἔπειτα, ἐπειδὴ βλέπει τὸ ἕνα μέρος νὰ παραβαίνει τὶς συμφωνίες, μεταφέρει τὸ λόγο στὸν τόπο, ἀναφέροντας κάθε εἴδους παρηγορητικοὺς λόγους, καὶ λέγει· «Διότι ὁ Κύριος ἐξέλεξε τὴ Σιών, καὶ προτίμησε αὐτὴν γιὰ κατοικία τοῦ ἑαυτοῦ του. Αὐτὴ εἶναι ὁ τόπος τῆς αἰώνιας διαμονῆς μου· ἐδῶ θὰ κατοικήσω, διότι αὐτὴ εἶναι ἡ προτίμησή μου». Δηλαδή, δὲν ἐξέλεξε ἄνθρωπος τὸν τόπο, ἀλλ' ὁ Θεὸς τὸν ἐξέλεξε, δείχνοντας συγκατάβαση στὴν πνευματικὴ ἀδυναμία τους. Αὐτὸ λοιπὸν ποὺ λέγει σημαίνει τὸ ἑξῆς· αὐτὸν τὸν τόπο ποὺ προτίμησες, αὐτὸν ποὺ ἐξέλεξες, αὐτὸν ποὺ ἐπιδοκίμασες, αὐτὸν ποὺ ἔκρινες ὅτι εἶναι κατάλληλος, μὴ ἐπιτρέψεις νὰ καταστραφεῖ οὔτε νὰ ἐξαφανισθεῖ. Διότι αὐτὰ ἔλεγες, ὅτι «Θὰ κατοικήσω ἐδῶ». Ἀλλ' αὐτὰ λέγονταν σύμφωνα μὲ τὶς συμφωνίες ἐκεῖνες. Ποιὲς λοιπὸν εἶναι αὐτές; «Ἐὰν φυλάξουν οἱ υἱοί σου τὴ διαθήκη μου».

«Τὰ ἀγαθὰ γιὰ τὴ διατροφή τους θὰ εὐλογήσω πλουσιοπάροχα». Ἄλλος, «Τὰ τρόφιμά τους». Θήρα ὀνομάζει τὴν ἀφθονία τῶν ἀγαθῶν, τὴν εὐημερία, καὶ εὔχεται νὰ τρέχουν σ' αὐτοὺς ὅλα σὰν ἀπὸ πηγές. Καὶ πράγματι τέτοιος ἦταν ὁ τρόπος ζωῆς τῶν Ἰουδαίων τὴν παλιὰ ἐποχή, ὥστε δὲν αἰσθάνονταν τὶς φυσικὲς ἀνάγκες, ἐφόσον εἶχαν τὸ Θεὸ βοηθό τους· διότι οὔτε ἔλλειψη τροφῶν ὑπῆρξε σ' αὐτούς, οὔτε πείνα, οὔτε ἀσθένεια, οὔτε θάνατος πρόωρος, οὔτε τίποτε ἄλλο παρόμοιο, ἀπὸ αὐτὰ ποὺ συνήθως συμβαίνουν στοὺς ἀνθρώπους, ἀλλὰ ὅλα σ' αὐτοὺς ἔτρεχαν σὰν ἀπὸ πηγές, διότι τὸ χέρι τοῦ Θεοῦ διόρθωνε τὴν ἀδυναμία τῶν ἀνθρώπινων πραγμάτων. Αὐτὸ λοιπὸν ἐννοεῖ ἐδῶ, ὅτι ὑποσχέθηκες νὰ εὐλογήσεις τὰ ἀγαθά τους, δηλα-

αὐτῆς εὐλογήσειν, τουτέστι, τὴν τῶν ἀναγκαίων ἀφθονίαν παρέξειν μετὰ πολλῆς τῆς ἀσφαλείας.

«Τοὺς πτωχοὺς αὐτῆς χορτάσω ἄρτων. Τοὺς ἱερεῖς αὐτῆς ἐνδύσω σωτηρίαν, καὶ οἱ ὅσιοι αὐτῆς ἀγαλλιάσει ἀγαλλιάσονται. Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαυίδ· ἡτοίμασα λύχνον τῷ χριστῷ μου. Τοὺς ἐχθροὺς αὐτοῦ ἐνδύσω αἰσχύνην· ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου». Ὅρα πανταχόθεν εὐημερίαν συγκεκροτημένην, ἀπὸ τοῦ μηδὲν τῶν ἀναγκαίων ἐνδεῖν, ἀπὸ τοῦ τοὺς ἱερεῖς ἐν ἀσφαλείᾳ εἶναι, ἀπὸ τοῦ τὸν λαὸν ἐν εὐφροσύνῃ, ἀπὸ τοῦ τὸν βασιλέα ἐν ἰσχύϊ. Λύχνον γὰρ ἐνταῦθα ἢ τὸν βασιλέα φησίν, ἢ ἀντίληψιν ἢ σωτηρίαν, ἢ φῶς· μετὰ δὲ τούτων τὸ μέγιστον τῆς εὐημερίας εἶδος. Ποῖον δὴ τοῦτο; Τὸ τοὺς ἐχθροὺς ἐγκαλύπτεσθαι, καὶ μηδένα εἶναι τὸν λυμαινόμενον τοῖς καλοῖς τούτοις. Καὶ οὐκ εἶπεν ἀπώλειαν ἁπλῶς, ἀλλ' αἰσχύνην, βουλόμενος ὥστε ζῶντας ἐγκαλύπτεσθαι, καὶ καταδύεσθαι, καὶ μαρτυρεῖν δι' ὧν πάσχουσι τὴν ἰσχὺν καὶ τὴν εὐημερίαν τῷ ἔθνει τούτῳ.

«Ἐπὶ δὲ αὐτόν ἐξανθήσει τὸ ἁγίασμά μου». Τί ἐστιν, «Ἐπὶ δὲ αὐτόν»; Ἐπὶ τὸν λαόν. «Τὸ ἁγίασμα» ἕτερος «Τὸ κέρας» εἶπεν. Ἄλλος, «Ἀφόρισμα αὐτοῦ». Ἄλλος, «Τὸ ἀφωρισμένον αὐτοῦ». Τί ποτ' οὖν ἐστι τὸ εἰρημένον; Ἐμοὶ δοκεῖ τὴν βασιλείαν. Ἅπερ ἐξ ἀρχῆς ἀφώρισα αὐτῷ, ταῦτα μενεῖ ἀνθοῦντα, φησί, βρύοντα, οὐ μαραινόμενα, οὐδὲ καταπίπτοντα· ἀλλὰ ταῦτα πάντα ἔσται, τοῦ διορισμοῦ τοῦ ἔμπροσθεν εἰρημένου μένοντος. Ποίου δὴ τούτου; «Ἐὰν φυλάξωνται οἱ υἱοί σου τὴν διαθήκην μου». Οὐ γὰρ μόναι αἱ ὑποσχέσεις τοῦ Θεοῦ παρέχουσιν ἡμῖν τὰ ἀγαθά, ἂν μὴ καὶ ἡμεῖς τὰ παρ' ἑαυτῶν ποιῶμεν, οὐδὲ χρὴ τού-

δὴ νὰ τοὺς δώσεις μὲ μεγάλη ἀσφάλεια ἀφθονία ἀναγκαίων ἀγαθῶν.

«Τοὺς φτωχούς τους θὰ τοὺς χορτάσω μὲ ἄρτους. Τοὺς ἱερεῖς τους θὰ περιβάλω μὲ σωτηρία καὶ ἐκεῖνοι ἀπὸ τοὺς κατοίκους της ποὺ εἶναι ἀφοσιωμένοι σὲ μένα θὰ νιώσουν μεγάλη ἀγαλλίαση. Ἐκεῖ θὰ κάνω ν' ἀνατείλει γιὰ χάρη τοῦ Δαυὶδ λαμπρὴ δύναμη, καὶ ἑτοίμασα ἔνδοξο λυχνάρι γι' αὐτὸν ποὺ τὸν ἔχρισα βασιλιὰ ἐγώ. Τοὺς ἐχθρούς του θὰ τοὺς περιβάλω μὲ ντροπή, σ' αὐτὸν δὲ θὰ ἀνθίσει καὶ θὰ λάμψει ἡ ἁγιωσύνη μου». Πρόσεχε ἀπὸ παντοῦ ὅτι ὑπάρχει εὐημερία ἁρμονική, ἀπὸ τὸ ὅτι δὲν ὑπάρχει ἔλλειψη κανενὸς ἀναγκαίου, ἀπὸ τὸ ὅτι οἱ ἱερεῖς βρίσκονται σὲ ἀσφάλεια, ἀπὸ τὸ ὅτι ὁ λαὸς νιώθει εὐφροσύνη, ἀπὸ τὸ ὅτι ὁ βασιλιὰς ἔχει δύναμη. Λύχνο λοιπὸν ἐδῶ ἢ τὸν βασιλιὰ ὀνομάζει, ἢ τὴ βοήθεια, ἢ τὴ σωτηρία, ἢ τὸ φῶς· μαζὶ δὲ μὲ ὅλα αὐτὰ ὑπάρχει καὶ τὸ πιὸ μεγαλύτερο εἶδος τῆς εὐτυχίας. Ποιὸ λοιπὸν εἶναι αὐτό; Ἡ ἐξαφάνιση τῶν ἐχθρῶν καὶ ἡ μὴ ὕπαρξη κανενὸς ποὺ νὰ καταστρέφει τὰ καλὰ αὐτά. Καὶ δὲν εἶπε ἁπλῶς ὅτι θὰ καταστραφοῦν, ἀλλὰ θὰ νιώθουν ντροπή, θέλοντας νὰ δείξει ὅτι ἐνῶ θὰ ζοῦν θὰ κρύβονται καὶ θὰ ἐξαφανίζονται καὶ θὰ ἐπιβεβαιώνουν μὲ ὅσα θὰ πάσχουν τὴ δύναμη καὶ τὴν εὐημερία τοῦ ἔθνους αὐτοῦ.

«Σ' αὐτὸν τὸ λαὸ ὅμως θὰ λάμψει ἡ ἁγιωσύνη μου». Τί σημαίνει, «Ἐπὶ δὲ αὐτόν»; Στὸ λαὸ αὐτό. Τὸ ἁγίασμα ἄλλος τὸ ἑρμήνευσε «Ἡ δύναμη». Ἄλλος, «Τὸ πιὸ ἐκλετὸ πράγμα αὐτοῦ». Ἄλλος, «Αὐτὸ ποὺ ξεχώρισε αὐτός». Τί τέλος πάντων σημαίνουν τὰ λόγια αὐτά; Ἐγὼ νομίζω ὅτι ἐννοεῖ τὴν εὐημερία, τὴν ἀσφάλεια, τὴ δύναμη, τὴ βασιλεία. Αὐτὰ ποὺ ἀπὸ τὴν ἀρχὴ ὅρισα γι' αὐτὸ τὸ λαό, αὐτά, λέγει, θὰ ἐξακολουθήσουν ν' ἀνθοῦν νὰ βλαστάνουν, χωρὶς νὰ μαραίνονται καὶ χωρὶς νὰ ἐξαφανίζονται· ἀλλ' ὅλα αὐτὰ θὰ ἰσχύουν, ἂν φυλάσσεται ὁ ὅρος ποὺ ἀναφέρθηκε προηγουμένως. Ποῖος λοιπὸν εἶναι αὐτός; «Ἂν φυλάξουν οἱ υἱοί σου τὴ διαθήκη μου. Διότι δὲν παρέχουν σὲ μᾶς τὰ ἀγαθὰ μόνες οἱ ὑποσχέσεις, ἂν καὶ ἐμεῖς δὲν κάμνουμε αὐτὰ ποὺ ἐξαρτοῦνται ἀπὸ ἐμᾶς, οὔτε πρέπει, ἔχοντας

τοις προσέχοντας ἀναπεπτωκέναι, καὶ ὑπτίους εἶναι. Πολλὰ γὰρ καὶ τῶν ἀγαθῶν ὧν ἐπηγγείλατο ὁ Θεός οὐ ποιεῖ, τῶν τὰς ἐπαγγελίας δεξαμένων ἀναξίων εὑρισκομένων· ὥσπερ καὶ τὰ κακά, ἃ ἠπείλησεν, εἰς ἔργον οὐκ ἄγει, τῶν παροξυνάντων αὐτὸν ὕστερον μεταβαλλομένων, καὶ τὴν ὀργὴν ἀποκρουσαμένων.

Ταῦτα οὖν εἰδότες, μήτε διὰ τὰς ὑποσχέσεις ρᾳθυμῶμεν, ἵνα μὴ καταπέσωμεν, μήτε διὰ τὰς ἀπειλὰς ἀπογινώσκωμεν, ἀλλὰ μεταβαλλώμεθα. Οὕτω γὰρ δυνησόμεθα τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

στραμμένη τὴν προσοχὴ μας σ' αὐτά, νὰ χάνουμε τὸ θάρρος μας καὶ νὰ γινόμαστε ἀδιάφοροι. Διότι πολλὰ ἀπὸ τὰ ἀγαθὰ ποὺ ὑποσχέθηκε ὁ Θεὸς δὲν τὰ χορηγεῖ, ἐπειδὴ εἶναι ἀνάξιοι ἐκεῖνοι ποὺ ἔλαβαν τὶς ὑποσχέσεις· ὅπως ἀκριβῶς καὶ τὰ κακὰ ποὺ ἀπείλησε, δὲν τὰ πραγματοποιεῖ, ἐπειδὴ ἐκεῖνοι ποὺ τὸν ἐξόργισαν στὴ συνέχεια μετανόησαν καὶ ἀπομάκρυναν τὴν ὀργή του.

Γνωρίζοντας λοιπὸν αὐτά, οὔτε ἐξ αἰτίας τῶν ὑποσχέσεων νὰ ἀδιαφοροῦμε, γιὰ νὰ μὴ χάσουμε αὐτές, οὔτε ἐξ αἰτίας τῶν ἀπειλῶν του νὰ μὴ ἀπογοητευόμαστε, ἀλλὰ νὰ ἀλλάζουμε τρόπο ζωῆς. Διότι ἔτσι θὰ μπορέσουμε νὰ ἐπιτύχουμε τὰ μελλοντικὰ ἀγαθά, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟΝ ΡΛΒ' ΨΑΛΜΟΝ.

«Ἰδοὺ δὴ τί καλόν, ἢ τί τερπνόν»· ἄλλος, «Ἰδοὺ τί ἀγαθόν, καὶ τί καλόν»· «ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό;».

1. Πολλὰ τῶν πραγμάτων ἐστὶ μὲν καλά, τὸ δὲ τερπνὸν οὐκ ἔχει· ἕτερα ἡδονὴν μὲν ἔχει πάλιν, τοῦ καλλίστου δὲ ἀπεστέρηται· ἀμφότερα δὲ συνελθεῖν, οὐ σφόδρα εὔπορον. Ἀλλ' ἐπὶ τούτου τοῦ εἰρημένου ἀμφότερα ταῦτα συνδεδράμηκε, καὶ ἡδονή, καὶ τὸ κάλλιστον. Τοῦτο γὰρ μάλιστα ἡ ἀγάπη κέκτηται· μετὰ τῆς ὠφελείας καὶ τὸ ῥᾷστον ἔχει, καὶ ἡδύ. Ταύτην γοῦν καὶ ἐνταῦθα ἀνυμνεῖ. Οὐ γὰρ ἁπλῶς τὴν οἴκησιν εἶπεν, οὐδὲ τῷ ἐνὶ συνέχεσθαι οἰκίσκῳ, ἀλλ' «ἐπὶ τὸ αὐτὸ κατοικεῖν», τουτέστι, μετὰ ὁμοφωνίας καὶ ἀγάπης· τοῦτο γὰρ ποιεῖ ψυχὴν εἶναι μίαν. Εἶτα εἰπὼν καλὸν καὶ τερπνόν, σαφέστερον ποιῶν τὸν λόγον, καὶ εἰς παράδειγμα ἐκφέρει τὸ εἰρημένον, καὶ σωματικὰς εἰκόνας τίθησι, δυναμένας σαφεστέραν τῷ ἀκροατῇ παραστῆσαι τὴν ὄψιν. Τίνες δέ εἰσιν αἱ εἰκόνες ὅρα. «Ὡς μύρον ἐπὶ κεφαλῆς, τὸ καταβαῖνον ἐπὶ τὸν πώγωνα, τὸν πώγωνα τὸν Ἀαρών, τὸ καταβαῖνον ἐπὶ τὴν ᾤαν τοῦ ἐνδύματος αὐτοῦ». Οὗτος γὰρ ἀρχιερεὺς ὤν, ἐχρίετο τῷ μύρῳ τούτῳ, καὶ κατεστάζετο πάντοθεν, καὶ σφόδρα ἐπίχαρις ἦν τοῖς ὁρῶσι, καὶ ἡδύς, καὶ ἐπέραστος ἀπὸ τῆς ἀλείψεως ταύτης. Ὥσπερ οὖν ἐκεῖνος, φησίν, ὁ ἠλειμμένος

---

* Σύντομη ᾠδὴ τῶν ἀναβαθμῶν, ποὺ ἡ συγγραφή της ἀποδίδεται ἀπὸ ὅλα τὰ κείμενα στὸ Δαυίδ. Τονίζεται τὸ πόσο ὡραῖο καὶ ὠφέλιμο πράγμα εἶναι ἡ

ΟΜΙΛΙΑ

ΣΤΟΝ ΡΛΒ′ ΨΑΛΜΟ*

«Πράγματι, τί εἶναι πιὸ καλὸ καὶ πιὸ εὐχάριστο»· ἄλλος, «τί εἶναι μεγαλύτερο ἀγαθὸ καὶ τί καλύτερο»· «ἀπὸ τὸ νὰ κατοικοῦν οἱ ἀδελφοὶ μὲ ὁμοφωνία;».

1. Πολλὰ ἀπὸ τὰ πράγματα εἶναι μὲν καλά, ὅμως δὲν προκαλοῦν εὐχαρίστηση· ἄλλα πάλι προκαλοῦν μὲν εὐχαρίστηση, στεροῦνται ὅμως τοῦ ὠφελίμου· ἡ συνύπαρξη δὲ καὶ τῶν δύο δὲν εἶναι πολὺ εὔκολη. Σ' αὐτὸ ὅμως ποὺ λέχθηκε συνυπάρχουν καὶ τὰ δύο· καὶ ἡ ἡδονὴ καὶ ἡ ὠφέλεια. Αὐτὸ τὸ ἔχει κατ' ἐξοχὴ ἡ ἀγάπη· μαζὶ μὲ τὴν ὠφέλεια ἔχει καὶ τὸ εὔκολο καὶ τὸ εὐχάριστο. Αὐτὴν λοιπὸν ἐξυμνεῖ καὶ ἐδῶ. Διότι δὲν εἶπε ἁπλῶς ὅτι συγκατοικοῦν, οὔτε ὅτι συνυπάρχουν σὲ ἕναν οἶκο, ἀλλ' ὅτι «κατοικοῦν ἐπὶ τὸ αὐτό», δηλαδή, μὲ ὁμοφωνία καὶ ἀγάπη· διότι αὐτὸ συντελεῖ στὴν ψυχικὴ ἕνωση. Ἔπειτα, ἀφοῦ εἶπε καλὸ καὶ εὐχάριστο, γιὰ νὰ κάνει σαφέστερο τὸ λόγο, παρουσιάζει αὐτὸ ποὺ εἶπε μὲ παραδείγματα, καὶ ἀναφέρει καὶ σωματικὲς εἰκόνες οἱ ὁποῖες μποροῦν νὰ βοηθήσουν τὸν ἀκροατὴ νὰ δεῖ τὰ πράγματα σαφέστερα. Καὶ πρόσεχε ποιὲς εἶναι οἱ εἰκόνες. «Εἶναι σὰν τὸ μύρο ποὺ χύθηκε ἐπάνω στὸ κεφάλι καὶ κατεβαίνει στὸν πώγωνα, στὸν πώγωνα τοῦ Ἀαρὼν καὶ στὸ περιλαίμιο τοῦ ἐνδύματός του». Διότι αὐτός, ποὺ ἦταν ἀρχιερέας χριόταν μὲ αὐτὸ τὸ μύρο, ποὺ ἔσταζε ἀπὸ παντοῦ, καὶ ἦταν, ἐξ αἰτίας αὐτῆς τῆς ἀλείψεως, γεμάτος ἀπὸ πάρα πολλὴ χάρη, πολὺ εὐχάριστος καὶ ἀξιαγάπητος. Ὅπως ἀκριβῶς λοιπὸν ἐ-

---

συνάντηση, ἡ συνένωση καὶ συγκατοίκηση ἀδελφῶν, ποὺ παραβάλλεται μὲ μύρο μὲ τὸ ὁποῖο χρίσθηκε ὁ Ἀαρών, καὶ μὲ τὴ δροσιὰ τοῦ Ἀερμών.

τῷ μύρῳ τούτῳ, ἐμπρέπει τῷ σχήματι, φαιδρός ἐστι τῷ προσώπῳ, πολλῆς εὐωδίας ἐμπέπλησται, χάριν παρέχει τοῖς ὁρῶσιν ὀφθαλμοῖς, οὕτως καὶ τοῦτό ἐστι καλόν· καὶ ὥσπερ ἐκεῖνο τὸ θέαμα οὐ μόνον ὡραῖόν ἐστιν ἰδεῖν, ἀλλὰ καὶ τέρπει τὰς ὄψεις, οὕτω καὶ τοῦτο τῇ ψυχῇ τὴν ἡδονὴν ἐντίθησιν.

«Ὡς δρόσος Ἀερμών, ἡ καταβαίνουσα ἐπὶ τὰ ὄρη Σιών». Καὶ ἑτέραν εἰκόνα παρήγαγε πολλὴν τὴν ἡδονὴν ἔχουσαν, καὶ τῷ θεατῇ τὴν τέρψιν παρεχομένην. Ταῦτα δὲ οὐχ ἁπλῶς τέθεικεν, ἀλλ' ἐπειδὴ πρὸ τῆς αἰχμαλωσίας αἱ δέκα φυλαὶ καὶ αἱ δύο διεσπαρμέναι ἦσαν, καὶ τοῦτο πολλῆς παρανομίας αἴτιον γέγονε, καὶ εἰς στάσεις, καὶ φιλονεικίας, καὶ πολέμους αὐτοὺς ἐνέβαλεν, ἵνα μὴ ταῦτα γένηται παραινεῖ, καὶ συμβουλεύει μηκέτι διεσπάσθαι τὸν δῆμον, ἀλλ' ὁμοῦ κατοικεῖν, καὶ συνῆφθαι, καὶ ὑπὸ ἑνὶ τάττεσθαι δημαγωγῷ καὶ βασιλεῖ καὶ τὴν ἀγάπην εἶναι ῥέουσαν ἀπ' ἀρχῆς καὶ μέχρι τέλους, ὥσπερ οὖν καὶ τὴν δρόσον διὰ πάντων διαβαίνουσαν. Καὶ παραβάλλει τὴν ἀγάπην μύρῳ καὶ δρόσῳ, δι' ἐκείνου μὲν τὴν εὐωδίαν, διὰ τούτου δὲ τὴν ἀνάπαυσιν καὶ τὸ τερπνὸν τῆς ὄψεως παραστῆσαι βουλόμενος.

2. «Ὅτι ἐκεῖ ἐνετείλατο Κύριος τὴν εὐλογίαν». Ποῦ, «Ἐκεῖ»; Ἐν τῇ τοιαύτῃ κατοικήσει, ἐν τῇ τοιαύτῃ συμφωνίᾳ, ἐν τῇ τοιαύτῃ ὁμοφωνίᾳ, ἐν τῇ τοιαύτῃ ὁμοσκηνίᾳ. Καὶ γὰρ εὐλογία τοῦτό ἐστιν, ὥσπερ οὖν τὸ ἐναντίον ἀρά. Διὸ καί τις ἐπαινεῖ τοῦτο λέγων· «Φιλία ἀδελφῶν, καὶ ὁμόνοια τῶν πλησίον, καὶ ἀνὴρ καὶ γυνὴ ἀλλήλοις συμπεριφερόμενοι». Καὶ ἕτερος αἰνιγματωδῶς αἰνιττόμενος τὸ ἰσχυρὸν αὐτοῦ, λέγει· «Ἐὰν κοιμηθῶσιν οἱ δύο, καὶ θέρμη αὐτοῖς, καὶ τὸ σπαρτίον τὸ ἔντριτον οὐ ταχὺ ἀπορραγήσεται». Καὶ γὰρ καὶ τὴν ἡδονὴν ἐνταῦθα καὶ τὴν ἰσχὺν ἐνδεί-

---

1. Ἐκκλ. 4, 11-12.

κεῖνος, λέγει, ὁ ἀλειμμένος μὲ τὸ μύρο αὐτό, παρουσιάζει εὐχάριστη μορφή, εἶναι χαρούμενο τὸ πρόσωπό του, εἶναι γεμάτος ἀπὸ πολλὴ εὐωδία, καὶ σκορπίζει μεγάλη χάρη στὰ μάτια ποὺ τὸν βλέπουν, ἔτσι καὶ αὐτὸ εἶναι καλό· καὶ ὅπως ἀκριβῶς ἐκεῖνο τὸ θέαμα δὲν εἶναι μόνο ὡραῖο νὰ τὸ βλέπει κάποιος, ἀλλὰ καὶ εὐχαριστεῖ τὰ μάτια, ἔτσι καὶ αὐτὸ θέτει μέσα στὴν ψυχὴ τὴν εὐχαρίστηση.

«Εἶναι σὰν τὴ δροσιὰ τῶν Ἀερμῶν ποὺ κατεβαίνει μέχρι καὶ στὰ ὄρη τῆς Σιών». Καὶ ἄλλη εἰκόνα παρουσίασε ποὺ προξενεῖ μεγάλη ἡδονὴ καὶ παρέχει στὸ θεατὴ τὴν εὐχαρίστηση. Αὐτὰ δὲ δὲν τὴ ἀνέφερε τυχαῖα, ἀλλ' ἐπειδὴ πρὶν ἀπὸ τὴν αἰχμαλωσία οἱ δώδεκα φυλὲς ἦταν διασκορπισμένες, καὶ αὐτὸ εἶχε γίνει αἰτία μεγάλης παρανομίας, καὶ ὑποκινοῦσε αὐτοὺς σὲ ἐπαναστάσεις, φιλονεικίες καὶ σὲ πολέμους, γιὰ νὰ μὴ συμβοῦν αὐτὰ προτρέπει καὶ συμβουλεύει τὸ λαὸ νὰ μὴ διασπᾶται στὸ ἑξῆς, ἀλλὰ νὰ κατοικοῦν ὅλοι μαζί, νὰ εἶναι ἑνωμένοι καὶ νὰ ὑποτάσσονται σὲ ἕνα ἄρχοντα καὶ βασιλιά, καὶ ἡ ἀγάπη νὰ κυριαρχεῖ ἀπὸ τὴν ἀρχὴ μέχρι τὸ τέλος, ὅπως ἀκριβῶς δηλαδὴ καὶ ἡ δροσιὰ προχωρεῖ μέσα ἀπὸ ὅλα. Καὶ παραβάλλει τὴν ἀγάπη μὲ τὸ μύρο καὶ τὴ δροσιά, θέλοντας νὰ παρουσιάσει μὲ τὸν μὲν μύρο τὴν εὐωδιά, μὲ τὴ δὲ δροσιὰ τὴν ἀνάπαυση καὶ τὴν εὐχαρίστηση τῆς ὄψεως.

«Διότι ἐκεῖ ὑποσχέθηκε ὁ Κύριος τὴν εὐλογία». Ποῦ, «Ἐκεῖ»; Στὴ συγκατοίκηση αὐτοῦ τοῦ εἴδους, στὴν παρόμοια συμφωνία, στὴν παρόμοια ὁμοφωνία, στὴν παρόμοια συστέγαση. Καθόσον αὐτὸ εἶναι εὐλογία, ὅπως ἀκριβῶς βέβαια τὸ ἀντίθετο εἶναι κατάρα. Γι' αὐτὸ καὶ κάποιος ἐπαινεῖ αὐτό, λέγοντας· «Ἀγάπη νὰ ὑπάρχει μεταξὺ τῶν ἀδελφῶν, ὁμόνοια μεταξὺ τῶν πλησίον καὶ ὁ ἄνδρας καὶ ἡ γυναίκα νὰ συμπεριφέρονται μὲ ἀμοιβαία κατανόηση». Καὶ ἄλλος γιὰ νὰ δείξει κατὰ τρόπο αἰνιγματικὸ τὴ δύναμη τῆς ἀγάπης, λέγει· «Ἂν κοιμηθοῦν δύο μαζί, θερμαίνονται, καὶ τὸ τρίκλωνο σχοινὶ δὲν θὰ κοπεῖ εὔκολα»[1]. Καθόσον καὶ ἐδῶ παρουσιάζει τὴν ἡδονὴ καὶ τὴ δύναμη, καὶ δείχνει ὅτι καὶ ὅταν ἀναπαύονται θὰ ὑπάρχει μεγάλη εὐχα-

κνυται, καὶ ἐμφαίνει ὅτι καὶ ἡσυχάζουσι πολλὴ ἔσται ἡ ἡδονή, καὶ ἐνεργοῦσι πολλὴ ἡ ἰσχύς. Καὶ πάλιν, «Ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρά». Καὶ ὁ Χριστὸς δέ φησιν, «Οὗ ἐὰν ὦσι δύο, ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν». Καὶ αὕτη δὲ ἡ φύσις τοῦτο ἀπαιτεῖ. Διὸ καὶ ἐξ ἀρχῆς ὁ Θεὸς τὸν ἄνθρωπον διαπλάττων ἔλεγεν, «Οὐ καλὸν τὸν ἄνθρωπον εἶναι μόνον»· καὶ ποιῶν τὸ ζῶον τοῦτο, τὴν γυναῖκα λέγω, τῇ τῆς χρείας ἀνάγκῃ συνέδησεν ἀνδρί, διὰ μυρίων τρόπων ἡμᾶς πρὸς ἀλλήλους συνάγων.

«Καὶ ζωὴν ἕως τοῦ αἰῶνος». Καλῶς τοῦτο προσέθηκεν. Ἔνθα γὰρ ἡ ἀγάπη, πολλὴ ἡ ἀσφάλεια, πολλὴ ἡ παρὰ τοῦ Θεοῦ ῥοπή. Αὕτη γὰρ μήτηρ τῶν ἀγαθῶν, αὕτη ῥίζα καὶ πηγή, αὕτη πολέμων ἀναίρεσις, φιλονεικίας ἀφανισμός. Διὸ καὶ τοῦτο δηλῶν, ἐπήγαγε, «Καὶ ζωὴν ἕως τοῦ αἰῶνος». Ὥσπερ γὰρ ἡ στάσις καὶ ἡ φιλονεικία θανάτους ἐργάζεται, καὶ θανάτους ἀώρους, οὕτω καὶ ἡ ἀγάπη καὶ ἡ ὁμοφωνία εἰρήνην καὶ ὁμόνοιαν· ὅπου δὲ εἰρήνη καὶ ὁμόνοια, τὰ τῆς ζωῆς μετὰ ἀδείας ἐστὶ καὶ μετὰ ἀσφαλείας ἁπάσης. Καὶ τί δεῖ λέγειν τὰ παρόντα; Τὸν γὰρ οὐρανὸν ἡμῖν αὕτη χαρίζεται, καὶ τὰ ἀπόρρητα ἀγαθά, καὶ βασιλίς ἐστι τῶν ἀρετῶν.

Ταῦτ' οὖν εἰδότες, μετὰ ἀκριβείας αὐτὴν διώκωμεν, ἵνα καὶ τῶν παρόντων ἀπολαύσωμεν ἀγαθῶν, καὶ τῶν μελλόντων· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

2. Παροιμ. 18, 19.
3. Ματθ. 18, 20.
4. Γεν. 2, 18.

ρίστηση, καὶ ὅταν θὰ ἐνεργοῦν θὰ εἶναι μεγάλη ἡ δύναμή της. Καὶ πάλι. «Ἀδελφὸς ποὺ βοηθεῖται ἀπὸ τὸν ἀδελφό του, μοιάζει μὲ πόλη ὀχυρωμένη»[2]. Καὶ ὁ Χριστὸς δὲ λέγει· «Ὅπου ὑπάρχουν δύο ἢ τρεῖς συγκεντρωμένοι στὸ ὄνομά μου, ἐκεῖ ἀνάμεσά τους βρίσκομαι καὶ ἐγώ»[3]. Καὶ ἡ ἴδια ἡ φύση ἔχει αὐτὴ τὴν ἀπαίτηση. Γι' αὐτὸ καὶ ὁ Θεὸς ἀπὸ τὴν ἀρχὴ πλάθοντας τὸν ἄνθρωπο, ἔλεγε· «Δὲν εἶναι ὡραῖο νὰ εἶναι ὁ ἄνθρωπος μόνος του»[4]· καὶ δημιουργώντας αὐτὸ τὸ ζῶο, ἐννοῶ τὴ γυναίκα, τὴν συνένωσε μὲ τὸν ἄνδρα μὲ τὴν ἀνάγκη τῆς ἀλληλοβοήθειας, συνδέοντάς μας μεταξύ μας μὲ ἄπειρους τρόπους.

«Καὶ ζωὴ αἰώνια». Ὀρθὰ πρόσθεσε αὐτό. Διότι ὅταν ὑπάρχει ἡ ἀγάπη, εἶναι μεγάλη ἡ ἀσφάλεια, εἶναι μεγάλη ἡ βοήθεια ἐκ μέρους τοῦ Θεοῦ. Διότι αὐτὴ εἶναι ἡ μητέρα τῶν ἀγαθῶν, αὐτὴ εἶναι ἡ ρίζα καὶ ἡ πηγὴ αὐτῶν, αὐτὴ εἶναι ἡ αἰτία ἄρσεως τῶν πολέμων καὶ ἐξαφανισμοῦ τῶν φιλονεικιῶν. Γι' αὐτὸ γιὰ νὰ δηλώσει καὶ αὐτό, πρόσθεσε. «Καὶ ζωὴ αἰώνια». Διότι ὅπως ἀκριβῶς ἡ ἔνοπλη ἐξέγερση καὶ ἡ φιλονεικία προξενοῦν θανάτους, καὶ μάλιστα πρόωρους θανάτους, ἔτσι καὶ ἡ ἀγάπη καὶ ἡ ὁμοφωνία γίνονται πρόξενοι εἰρήνης καὶ ὁμόνοιας· ὅπου δὲ ὑπάρχει εἰρήνη καὶ ὁμόνοια, τὰ πράγματα τῆς ζωῆς προχωροῦν χωρὶς φόβο, καὶ μὲ ἀσφάλεια. Καὶ γιατί πρέπει νὰ ἀναφέρω τὰ παρόντα πράγματα; Διότι αὐτὰ μᾶς χαρίζουν τὸν οὐρανὸ καὶ τὰ ἀπερίγραπτα ἀγαθά, καὶ εἶναι ἡ βασίλισσα τῶν ἀρετῶν.

Γνωρίζοντας λοιπὸν αὐτά, ἂς ἐπιδιώκουμε αὐτὴν μὲ κάθε φροντίδα, γιὰ ν' ἀπολαύσουμε καὶ τὰ παρόντα ἀγαθὰ καὶ τὰ μέλλοντα, τὰ ὁποῖα εἴθε νὰ ἐπιτύχουμε ὅλοι μας, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα ἀνήκει ἡ δόξα καὶ συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟΝ ΡΛΓ' ΨΑΛΜΟΝ.

«Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ δοῦλοι Κυρίου, οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου».

Ἐνταῦθα κατέλυσε τοὺς περὶ τῶν ἀναβαθμῶν ψαλμούς, εἰς καλὸν τέλος κατακλείσας τὸν λόγον, εὐφημίαν τε καὶ εὐλογίαν. Δούλους δὲ Κυρίου βούλεται εἶναι οὐ κατὰ τὰ δόγματα μόνον, ἀλλὰ καὶ κατὰ τὴν τῆς πολιτείας ἀκρίβειαν· διὸ καὶ προσέθηκεν, «Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου τοῦ Θεοῦ ἡμῶν». Τὸν γὰρ ἀκάθαρτον καὶ βέβηλον οὐδὲ ἐπιβῆναι τῶν ἱερῶν περιβόλων θέμις. Ὥστε εἴ τις ἄξιός ἐστιν ἐπιβαίνειν, καὶ εὐλογεῖν ἄξιός ἐστιν. Ὁ γὰρ οἶκος τοῦ Θεοῦ τῷ οὐρανῷ ἔοικε· καὶ καθάπερ ἐκεῖ τῶν ἀντικειμένων δυνάμεων μηδεμίαν ἐπιβῆναι θέμις, οὕτως οὐδὲ ἐν τῷ οἴκῳ τοῦ Θεοῦ. Ἐννόησον ἡλίκης ἀπολαύεις τῆς ἀξίας, ἄνθρωπε, ὅπου γε καὶ αὐτὸς ἐγένου ναός, ὅσην δίκαιος ἂν εἴης παρέχειν καθαρότητα.

Πῶς δὲ ἂν παράσχοις τὴν καθαρότητα; Εἰ πάντα λογισμὸν πονηρὸν ἐκβάλοις, εἰ διαβολικαῖς ἐνεργείαις ἄβατον ποιήσῃς τὸ χωρίον τῆς διανοίας, εἰ καθάπερ ἐν ἀδύτοις ἁγίοις μένεις καλλωπίζων τὴν διάνοιαν τὴν σαυτοῦ. Εἰ γὰρ ἐπὶ τοῦ ναοῦ τοῦ Ἰουδαϊκοῦ οὐ πᾶς τόπος ἅπασιν ἦν βατός, ἀλλὰ πολλοὶ καὶ διάφοροι διορισμοί, καὶ ὁ μὲν τοῖς προσηλύτοις, ὁ δὲ τοῖς ἐξ ἀρχῆς Ἰουδαίοις, ὁ δὲ τοῖς ἱερεῦσιν, ὁ δὲ τῷ ἀρχιερεῖ μόνῳ, καὶ οὐδὲ

---

* Εἶναι ἡ τελευταία ᾠδὴ τῶν δεκαπέντε ἀναβαθμῶν. Ὁ συγγραφέας, ἐξ ὀνόματος τοῦ λαοῦ, προσκαλεῖ τοὺς ἱερεῖς καὶ λευίτες γιὰ νὰ ὑψώσουν μέσα στὴ

ΟΜΙΛΙΑ

ΣΤΟ ΡΛΓ' ΨΑΛΜΟ*

«Νὰ λοιπὸν δοξολογεῖτε τὸν Κύριο ὅλοι οἱ δοῦλοι τοῦ Κυρίου ποὺ παραβρίσκονται μέσα στὸν οἶκο τοῦ Κυρίου».

Ἐδῶ τερμάτισε τοὺς ψαλμοὺς τῶν ἀναβαθμῶν, κλείνοντας τὸ λόγο μὲ καλὸ τέλος, καὶ μὲ δοξολογία καὶ μὲ εὐλογία. Θέλει δὲ νὰ εἶναι δοῦλοι τοῦ Κυρίου ὄχι μόνο ὡς πρὸς τὶς ἀλήθειες τῆς πίστεως, ἀλλὰ καὶ ὡς πρὸς τὸν ὀρθὸ τρόπο ζωῆς· γι' αὐτὸ καὶ πρόσθεσε. «Αὐτοὶ ποὺ παραβρίσκονται μέσα στὸν οἶκο τοῦ Κυρίου, μέσα στὶς αὐλὲς τοῦ οἴκου τοῦ Θεοῦ μας». Διότι ὁ ἀκάθαρτος καὶ ὁ βέβηλος δὲν πρέπει οὔτε στοὺς ἱεροὺς περιβόλους νὰ πατεῖ. Ὥστε, ἂν κάποιος εἶναι ἄξιος νὰ πατεῖ αὐτούς, εἶναι καὶ ἄξιος νὰ δοξολογεῖ αὐτόν. Διότι ὁ οἶκος τοῦ Θεοῦ μοιάζει μὲ τὸν οὐρανό· καὶ ὅπως ἀκριβῶς ἐκεῖ δὲν ἐπητρέπεται σὲ καμιὰ ἀπὸ τὶς ἀντίθετες δυνάμεις νὰ εἰσέλθει, ἔτσι οὔτε καὶ στὸν οἶκο τοῦ Θεοῦ. Σκέψου, ἄνθρωπε, πόσο μεγάλη ἀξία ἀπολαμβάνεις, ἀφοῦ βέβαια καὶ ὁ ἴδιος ἔγινες ναός, καὶ πόση, ἐξ αἰτίας αὐτοῦ, θὰ ἔπρεπε νὰ παρουσιάζεις καθαρότητα.

Πῶς δὲ θὰ μποροῦσες νὰ δείξεις καθαρότητα; Ἂν ἐκδιώξεις κάθε κακὴ σκέψη, ἂν καταστήσεις ἀδιάβατο τὸ χῶρο τῆς διάνοιας στὶς διαβολικὲς ἐνέργειες, ἂν κοσμεῖς τὴ διάνοιά σου σὰν νὰ μένεις μέσα στὰ ἄδυτα τῶν ἁγίων. Διότι, ἂν στὸν ἰουδαϊκὸ ναὸ δὲν ἦταν βατὸ σ' ὅλους τὸ κάθε μέρος αὐτοῦ, ἀλλ' ὑπῆρχαν πολλοὶ καὶ διάφοροι περιορισμοί, καὶ τὸ μὲν ἕνα μέρος ἦταν γιὰ τοὺς προσήλυτους, τὸ ἄλλο γιὰ τοὺς ἐκ γενετῆς Ἰουδαίους, τὸ ἄλλο γιὰ τοὺς ἱερεῖς, καὶ τὸ ἄλλο μόνο γιὰ τὸν ἀρ-

---

νύχτα τὰ χέρια τους πρὸς τὸν Κύριο καὶ νὰ ἐξυμνήσουν αὐτόν, μὲ τὴ βεβαιότητα ὅτι θ' ἀπολαύσουν ἀπ' αὐτὸν μεγαλύτερη καὶ πλουσιότερη εὐλογία.

τούτῳ ἀεί, ἀλλ' ἅπαξ τοῦ ἐνιαυτοῦ, πόσης ἐννόησον ἁγιωσύνης σοι δεῖ τῷ πολλῷ μείζονα σύμβολα δεξαμένῳ, ὧν ἐδέξατο τὰ ἅγια τῶν ἁγίων τότε. Οὐ γὰρ Χερουβὶμ ἔχεις, ἀλλ' αὐτὸν τῶν Χερουβὶμ Δεσπότην ἔχεις ἐνοικοῦντα, οὐδὲ στάμνον, καὶ μάννα, καὶ πλάκας λιθίνας, καὶ τὴν ῥάβδον τὴν Ἀαρών, ἀλλὰ σῶμα καὶ αἷμα δεσποτικόν, καὶ Πνεῦμα ἀντὶ τοῦ γράμματος, καὶ χάριν ὑπερβαίνουσαν λογισμὸν ἀνθρώπινον, καὶ δωρεὰν ἀνεκδιήγητον. Ὅσῳ δὲ μειζόνων ἠξιώθης συμβόλων καὶ φρικτῶν μυστηρίων, τοσούτῳ μείζονος εἶ ὑπεύθυνος τῆς ἁγιωσύνης, καὶ πλείονος κολάσεως, εἰ παραβαίης τὰ ἐπιτεταγμένα.

«Ἐν ταῖς νυξὶν ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια». Ἕτερος, «Ἁγίως». Ἄλλος, «Ἡγιασμένως». «Καὶ εὐλογεῖτε τὸν Κύριον». Διὰ τί φησιν, «Ἐν νυξί»; Παιδεύων ἡμᾶς μὴ τὴν πᾶσαν αὐτὴν εἰς ὕπνον δαπανᾶν, καὶ δεικνὺς τότε καθαρωτέρας εἶναι τὰς εὐχάς, ὅτε καὶ κουφότερος ὁ νοῦς, καὶ πλείων ἡ σχολή. Εἰ δὲ ἐν νυκτὶ παραγίνεσθαι εἰς τὰ ἅγια δεῖ, ἐννόησον ποίας τεύξεται συγγνώμης ὁ μηδὲ οἴκοι κατὰ τὸν καιρὸν ἐκεῖνον εὐχὰς ἐπιτελῶν. Ὁ μὲν γὰρ προφήτης ἀνίστησί σε ἀπὸ τῆς κλίνης, καὶ πρὸς τὸν ναὸν ἄγει, κελεύων ἐνταῦθα διανυκτερεύειν, σὺ δὲ οὐδὲ οἴκοι καθήμενος τοῦτο ποιεῖς. Καλῶς δὲ εἶπεν, «Ἁγίως», δηλῶν ὅτι χωρὶς διαλογισμῶν πονηρῶν εὔχεσθαι δεῖ, χωρὶς μνησικακίας, χωρὶς πλεονεξίας, χωρὶς ἄλλης τινὸς τοιαύτης ἁμαρτίας, λυμαινομένης τὴν διάνοιαν.

«Καὶ εὐλογεῖτε τὸν Κύριον». Τοῦτο γὰρ μάλιστά ἐστιν εὐλογία ἠκριβωμένη, ὅταν μετὰ τῶν ῥημάτων καὶ ὁ βίος σύμφωνα φθέγγηται, καὶ διὰ τῶν ἔργων δοξάσῃς τὸν ποιήσαντά σε Θεόν, κατὰ τὸ εὐαγγέλιον τὸ λέγον· «Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς». «Εὐλογήσαι σε

1. Ματθ. 5, 16.

χιερέα, καὶ αὐτὸ ὄχι πάντοτε, ἀλλὰ μιὰ φορὰ τὸ χρόνο, σκέψου πόση ἁγιωσύνη χρειάζεται νὰ ἔχεις ἐσὺ ποὺ δέχθηκες πολὺ πιὸ μεγαλύτερα σύμβολα, ἀπὸ ἐκεῖνα ποὺ δέχθηκαν τότε τὰ ἅγια τῶν ἁγίων. Διότι δὲν ἔχεις Χερουβίμ, ἀλλὰ τὸν ἴδιο τὸν Κύριο τῶν Χερουβὶμ νὰ κατοικεῖ μέσα σου, οὔτε στάμνα καὶ μάννα καὶ πλάκες λίθινες καὶ τὴ ράβδο τοῦ Ἀαρών, ἀλλὰ σῶμα καὶ αἷμα δεσποτικό, καὶ Πνεῦμα ἀντὶ τῶν γραπτῶν ἐντολῶν, καὶ χάρη ποὺ ξεπερνᾶ τὴν ἀνθρώπινη σκέψη καὶ δωρεὰ ἀπερίγραπτη. Ὅσο δὲ μεγαλύτερα σύμβολα καὶ φρικτὰ μυστήρια ἀξιώθηκες νὰ ἔχεις, τόσο μεγαλύτερη εὐθύνη ἁγιωσύνης ἔχεις καὶ τόσο μεγαλύτερης τιμωρίας ὑπεύθυνος εἶσαι, ἂν συμβεῖ νὰ παραβεῖς τὰ προστάγματα.

«Κατὰ τὶς νύχτες ὑψῶστε τὰ χέρια σας γιὰ προσευχὴ στρεφόμενοι πρὸς τὰ ἅγια». Ἄλλος, «Μὲ ἁγιότητα». Ἄλλος, «Ἐνῷ θὰ εἶσθε ἁγιασμένοι». «Καὶ δοξολογεῖτε τὸν Κύριο». Γιατί λέγει, «Κατὰ τὶς νύχτες»; Γιὰ νὰ μᾶς διδάξει νὰ μὴ δαπανοῦμε ὁλόκληρη τὴ νύχτα στὸν ὕπνο, καὶ γιὰ νὰ δείξει ἀκόμα ὅτι τότε εἶναι καθαρώτερες οἱ εὐχές, ὅταν καὶ ὁ νοῦς εἶναι ἐλαφρότερος καὶ μεγαλύτερη ἡ εὐκαιρία γιὰ πνευματικὰ ὀφέλη. Ἂν δὲ κατὰ τὴ νύχτα πρέπει νὰ προσερχόμαστε στὰ ἅγια, σκέψου ποιὰ συγγνώμη θὰ τύχει ἐκεῖνος ποὺ οὔτε στὸ σπίτι του δὲν κάμνει προσευχὲς κατὰ τὸ χρόνο αὐτό. Διότι ὁ μὲν προφήτης σὲ σηκώνει ἀπὸ τὴν κλίνη καὶ σὲ ὁδηγεῖ πρὸς τὸ ναό, δίνοντάς σου ἐντολὴ ἐδῶ νὰ διανυκτερεύσεις, σὺ ὅμως δὲν τὸ κάμνεις αὐτὸ οὔτε ἐνῷ διαμένεις στὸ σπίτι σου. Καλῶς δὲ εἶπε, «Ἁγίως», γιὰ νὰ δείξει ὅτι πρέπει νὰ προσευχόμαστε χωρὶς κακὲς σκέψεις, χωρὶς μνησικακία, χωρὶς πλεονεξία, χωρὶς μὲ κάποια ἄλλη παρόμοια ἁμαρτία ποὺ μολύνει τὴ σκέψη.

«Καὶ δοξολογεῖτε τὸν Κύριο». Διότι αὐτὸ πρὸ πάντων εἶναι σωστὴ δοξολογία, ὅταν μαζὶ μὲ τὰ λόγια ἀκολουθεῖ καὶ ἡ σύμφωνη μὲ αὐτὰ ζωή, καὶ μὲ τὰ ἔργα σου δοξάζεις τὸ δημιουργό σου Θεό, σύμφωνα μὲ τὸ εὐαγγέλιο ποὺ λέγει· «Ἂς λάμψει τὸ φῶς σας μπροστὰ στοὺς ἀνθρώπους, γιὰ νὰ δοῦν τὰ καλὰ ἔργα σας καὶ νὰ δοξάσουν τὸν οὐράνιο Πατέρα σας»[1]. «Εἴθε νὰ σὲ

Κύριος ἐκ Σιών, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν». Τουτέστιν, ἂν ταῦτα ποιῇς, τεύξῃ καὶ τῆς παρὰ τοῦ Θεοῦ εὐλογίας, ἂν διανυκτερεύῃς, ἂν εὔχῃ ἁγίως, ἂν ἄξιος ᾖς τοῦ ἑστάναι ἐν τῷ οἴκῳ Κυρίου, ἂν σαυτὸν ναὸν ἐπιτήδειον παράσχῃς. Παραινέσας τοίνυν ὡς ἐχρῆν, λοιπὸν εἰς εὐχὴν κατακλείει τὸν λόγον. Τοῦτο γὰρ ἀρίστου διδασκάλου, καὶ τῇ συμβουλῇ διορθοῦν τὸν ἀκροατήν, καὶ ταῖς εὐχαῖς νευροῦν.

Τί βούλεται δηλοῦν διὰ τοῦ εἰπεῖν, «Ἐκ Σιών»; Ποθεινὸν αὐτοῖς τὸ ὄνομα ἦν, καὶ ἐκεῖ τῆς ἁγιαστίας ἁπάσης ἡ ὑπόθεσις ἐτελεῖτο. Διὰ δὴ τοῦτο ἐπεύχεται αὐτοῖς ἀπολαβεῖν τὴν προτέραν πολιτείαν, καὶ ἐν ἐκείνῃ γενέσθαι τῇ ἁγιαστίᾳ, καὶ ταύτης ἀπολαύειν τῆς εὐλογίας. Εἶτα εἰς ὑψηλότερα αὐτοὺς ἀνάγων δόγματα, καὶ παιδεύων ὅτι πανταχοῦ ὁ Θεός ἐστι, τὸν δὲ ναὸν διὰ τὴν ἐκείνων ἀσθένειαν ἐνομοθέτησεν οἰκοδομηθῆναι, καὶ δεῖ πανταχόθεν αὐτὸν καλεῖν, ἐπήγαγεν, «Ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν». Ἀλλ' ἐκεῖνοι μὲν τότε αὐτὸν ἐκάλουν ἐκεῖ, ἡμεῖς δὲ ἐν παντὶ τόπῳ, ἐν παντὶ χωρίῳ, καὶ ἐν οἰκίᾳ, καὶ ἐν ἀγορᾷ, καὶ ἐν ἐρημίᾳ καὶ ἐν πλοίῳ, καὶ ἐν πανδοχείῳ, καὶ ὅπουπερ ἂν ὦμεν. Οὐδὲν γὰρ ἀπὸ τοῦ τόπου κωλύεται τὰ τῆς εὐχῆς, μόνον ἐὰν ὁ τρόπος ᾖ τῇ εὐχῇ συμβαίνων.

Τοῦτο τοίνυν κατορθώσαντες, πανταχοῦ τὸν Θεὸν καλῶμεν, καὶ παραστήσεται, καὶ συνεφάψεται, καὶ πάντα ἡμῖν τὰ δύσκολα εὔκολα καὶ ῥάδια ἐργάσεται, καὶ τῶν μελλόντων ἡμᾶς ἀγαθῶν ἀξιώσει· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

εὐλογήσει ὁ Κύριος ἀπὸ τὴ Σιών, ὁ ὁποῖος δημιούργησε τὸν οὐρανὸ καὶ τὴ γῆ». Δηλαδή, ἂν τὰ κάμνεις αὐτά, θὰ ἐπιτύχεις καὶ τὴν εὐλογία τοῦ Θεοῦ, ἂν δηλαδὴ ξενυχτᾶς, ἂν προσεύχεσαι κατὰ τρόπο ἅγιο, ἂν εἶσαι ἄξιος νὰ στέκεσαι στὸν οἶκο τοῦ Κυρίου, ἂν καταστήσεις τὸν ἑαυτό σου ναὸ κατάλληλο. Ἀφοῦ λοιπὸν ἔδωσε τὶς κατάλληλες συμβουλές, τελειώνει τὸ λόγο πλέον μὲ εὐχή. Διότι αὐτὸ εἶναι τὸ γνώρισμα τοῦ ἄριστου δασκάλου, καὶ μὲ τὴ συμβουλὴ νὰ διορθώνει τὸν ἀκροατὴ καὶ μὲ τὶς εὐχὲς νὰ τὸν ἐνισχύει.

Τί θέλει νὰ δηλώσει μὲ τὰ λόγια, «Ἀπὸ τὴ Σιών»; Ἦταν πολὺ ἀγαπητὸ σ' αὐτοὺς τὸ ὄνομα αὐτὸ καὶ ἐκεῖ τελοῦνταν ὅλες οἱ ἱεροτελεστίες. Γι' αὐτὸ λοιπὸν εὔχεται σ' αὐτοὺς ν' ἀποκτήσουν τὸν παλιὸ ἐκεῖνο τρόπο ζωῆς καὶ νὰ ἀξιωθοῦν ὅλων ἐκείνων τῶν ἱεροτελεστιῶν καὶ ν' ἀπολαμβάνουν αὐτὴ τὴν εὐλογία. Στὴ συνέχεια μεταφέροντας αὐτοὺς σὲ ψηλότερες ἀλήθειες καὶ διδάσκοντας ὅτι ὁ Θεὸς βρίσκεται παντοῦ, τὸν δὲ ναὸ ἔδωσε ἐντολὴ νὰ οἰκοδομηθεῖ ἐξ αἰτίας τῆς πνευματικῆς ἀνωριμότητας ἐκείνων, καὶ ὅτι πρέπει νὰ ἐπικαλοῦνται αὐτὸν ἀπὸ ὁποιοδήποτε μέρος, πρόσθεσε, «Ὁ ὁποῖος δημιούργησε τὸν οὐρανὸ καὶ τὴ γῆ». Ἀλλ' ἐκεῖνοι μὲν τότε ἐπικαλοῦνταν τὸ Θεὸ ἐκεῖ, ἐμεῖς ὅμως σὲ κάθε τόπο, σὲ κάθε μέρος, καὶ στὴν οἰκία, καὶ στὴν ἀγορά, καὶ στὴν ἐρημιά, καὶ στὸ πλοῖο, καὶ στὸ πανδοχεῖο, καὶ ὅπου ἀλλοῦ συμβαίνει νὰ βρισκόμαστε. Διότι τίποτε ἀπὸ αὐτὰ ποὺ ζητοῦμε μὲ τὴν προσευχὴ δὲν ἐμποδίζεται ἀπὸ τὸν τόπο, ἀρκεῖ μόνο νὰ εἶναι κατάλληλος ὁ τρόπος τῆς προσευχῆς.

Ἀφοῦ λοιπὸν κατορθώσουμε αὐτό, ἂς ἐπικαλοῦμαστε τὸ Θεὸ σὲ ὁποιοδήποτε μέρος καὶ ὁπωσδήποτε θὰ παραβρεθεῖ ἐκεῖ καὶ θὰ μᾶς βοηθήσει καὶ θὰ κάνει ὅλα τὰ δύσκολα εὔκολα καὶ κατορθωτὰ καὶ θὰ μᾶς καταστήσει ἄξιους καὶ τῶν μελλοντικῶν ἀγαθῶν, τὰ ὁποῖα εὔχομαι ὅλοι μας νὰ ἐπιτύχουμε μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

Ο Μ Ι Λ Ι Α
ΕΙΣ ΤΟΝ ΡΛΔ' ΨΑΛΜΟΝ.

«Αἰνεῖτε τὸ ὄνομα Κυρίου, αἰνεῖτε, δοῦλοι, Κύριον. Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν. Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθὸς Κύριος».

1. Πάλιν ἐπὶ τὴν θυσίαν ταύτην αὐτοὺς παρακαλεῖ τὴν διὰ τῶν αἴνων. Καὶ γὰρ θυσία τοῦτο τῷ Θεῷ καὶ προσφορά. Διὸ καὶ ἀλλαχοῦ φησιν· «Αἰνέσω τὸ ὄνομα τοῦ Θεοῦ μου μετ' ᾠδῆς, μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει· καὶ ἀρέσει τῷ Θεῷ ὑπὲρ μόσχον νέον, κέρατα ἐκφέροντα καὶ ὁπλάς». Συνεχῶς δὲ μέμνηται τοῦ οἴκου καὶ τῶν αὐλῶν, προσηλῶν αὐτοὺς τῷ τόπῳ, καὶ οὐκ ἐῶν ἀποπηδᾶν. Ἐπειδὴ καὶ παρὰ τὴν ἀρχὴν διὰ τοῦτο αὐτὸν ἐνομοθέτησεν ἀνεγείρειν, ὥστε πάσης ἀσεβείας τε καὶ εἰδωλολατρίας ἀναίρεσιν αὐτοῖς γενέσθαι τὸ πρὸς ἕνα τόπον πάντας συνάγεσθαι, ἀλλὰ μὴ ἀπαυθαδιαζομένους καὶ ἐλευθεριάζοντας πανταχοῦ πλανᾶσθαι, καὶ ἄλση, καὶ πηγάς, καὶ βουνούς, καὶ ὄρη ὑπόθεσιν λαμβάνειν εἰς ἀσεβείας ἀφορμήν, θύοντας ἐκεῖ, καὶ σπένδοντας ἐπὶ τῶν ὑψηλῶν. Διὰ δὴ τοῦτο καὶ φόνῳ κρίνει τὸν ἔξω που θύοντα τοῦ ναοῦ, λέγων· «Ὃς ἂν μὴ ἐνέγκῃ εἰς τὴν σκηνὴν καὶ θύ-

---

* Ψαλμὸς λειτουργικοῦ περιεχομένου. Καλοῦνται καὶ ἐδῶ οἱ λειτουργοὶ τοῦ Θεοῦ νὰ ἐξυμνήσουν τὸ ὄνομα τοῦ Κυρίου γιὰ τὰ θαυμαστὰ ἔργα ποὺ ἔκανε τόσο στὴ φύση, ὅσο καὶ κατὰ τὴν ἀπελευθέρωση τοῦ Ἰσραὴλ ἀπὸ τοὺς Αἰγυπτίους καὶ τὴν ἐγκατάστασή του στὴ γῆ τῆς ἐπαγγελίας. Πιθανοὶ χρόνοι συγγραφῆς τοῦ ψαλμοῦ μετὰ τὴ βαβυλώνια αἰχμαλωσία.

ΟΜΙΛΙΑ

ΣΤΟΝ ΡΛΔ΄ ΨΑΛΜΟ*

«Δοξολογεῖτε τὸ ὄνομα τοῦ Κυρίου, δοξολογεῖτε, δοῦλοι, τὸν Κύριο, σεῖς ποὺ στέκεσθε στὸν οἶκο τοῦ Κυρίου καὶ ὑπηρετεῖτε αὐτόν, σεῖς ποὺ βρίσκεσθε στὶς αὐλὲς τοῦ οἴκου τοῦ Θεοῦ μας. Δοξολογεῖτε τὸν Κύριο, διότι εἶναι ἀγαθὸς ὁ Κύριος».

1. Πάλι προτρέπει αὐτοὺς γιὰ τὴ θυσία αὐτὴ ποὺ γίνεται μὲ τοὺς ὕμνους. Καθόσον αὐτὸ εἶναι γιὰ τὸ Θεὸ θυσία καὶ προσφορά. Γι' αὐτὸ καὶ ἀλλοῦ λέγει· «Θὰ δοξολογήσω τὸ ὄνομα τοῦ Θεοῦ μου μὲ ὕμνους, θὰ διακηρύξω τὸ μεγαλεῖο αὐτοῦ μὲ ὕμνους δοξολογίας καὶ θὰ ἀρέσει αὐτὸ στὸ Θεὸ περισσότερο ἀπὸ νέο μόσχο, ποὺ μόλις ἀρχίζουν νὰ φυτρώνουν τὰ κέρατά του καὶ τὰ νύχια του»[1]. Συνέχεια δὲ ὑπενθυμίζει τὸν οἶκο καὶ τὶς αὐλές, προσηλώνοντάς τους στὸν τόπο καὶ μὴ ἀφήνοντάς τους ν' ἀπομακρύνονται. Ἐπειδὴ καὶ ἀπὸ τὴν ἀρχὴ γι' αὐτὸ ὅρισε νὰ ἀνεγείρουν αὐτόν, ὥστε ἡ συγκέντρωση ὅλων στὸν ἴδιο τόπο νὰ ἐμποδίζει αὐτοὺς νὰ ὑποπέσουν στὴν ἀσέβεια καὶ τὴν εἰδωλολατρία, καθὼς ἐπίσης καὶ γιὰ νὰ μὴ συμβαίνει, περιφερόμενοι παντοῦ σύμφωνα μὲ τὴν ἀτομικὴ τους προαίρεση καὶ ὄχι σύμφωνα μὲ τὰ πρέποντα ἤθη καὶ ἔθιμα, νὰ λαμβάνουν σὰν ἀφορμὴ γιὰ ἀσέβεια τὰ δάση, τὶς πηγές, τὰ βουνὰ καὶ τὰ ὄρη, θυσιάζοντας ἐκεῖ καὶ προσφέροντας σπονδὲς στὶς κορυφές τους. Γι' αὐτὸ λοιπὸν καὶ κρίνει ἄξιο θανάτου ἐκεῖνον ποὺ θυσιάζει κάπου ἔξω ἀπὸ τὸ ναό, λέγοντας· «Ἐκεῖνος ποὺ δὲν θὰ φέρει

---

1. Ψαλμ. 68, 31-32.

ση, αἷμα αὐτῷ λογισθήσεται». Τούτου χάριν πανταχόθεν αὐτοὺς εἰς τὸν τόπον ἐκεῖ συνάγει, ἵνα καὶ ἀκούοντες σωφρονῶσιν, καὶ τῆς πεπλανημένης ἀπέχωνται διανοίας. Ἄδειν δὲ καὶ ψάλλειν παρακελεύεται καὶ αἰνεῖν, ὅτι οἱ αἶνοι οἱ εἰς τὸν Θεὸν γινόμενοι καὶ εὐσεβείας ἦσαν ὑποθέσεις αὐτοῖς, τὰ παλαιὰ ἔχοντες διηγήματα, τὰ ἐν Αἰγύπτῳ, τὰ περὶ τοῦ νόμου, τὰ ἐν τῷ Σινᾷ ὄρει, τὰ τῶν πολέμων· καὶ τὸ αὐτὸ ὁμοῦ τε εἰς τὸν Θεὸν εὐφημία ἐγίνετο, ὁμοῦ τε τοῖς ᾄδουσι διδασκαλίας ὑπόθεσις, καὶ τὸν βίον ρυθμίζουσα, καὶ πρὸς δογμάτων ἀκρίβειαν χειραγωγοῦσα.

«Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθὸς Κύριος». Ἄλλος φησίν, «Ὅτι χρηστός». Ὅπερ μάλιστα τοῖς ἀκούουσι ποθεινόν, τοῦτο συνεχῶς τίθησι, τὴν φιλανθρωπίαν, τὸν ἔλεον, τὴν χρηστότητα. «Ψάλατε τῷ ὀνόματι αὐτοῦ, ὅτι καλόν». Τοῦτό φησι δεικνὺς ὅτι ἔχει τινὰ καὶ καθ' ἑαυτὸ ἡδονὴν τὸ πρᾶγμα μετὰ τῆς ὠφελείας. Τὸ μὲν γὰρ κέρδος αὐτοῦ τὸ προηγούμενον, τὸ εἰς τὸν Θεὸν ὕμνους λέγειν, τὸ τὴν ψυχὴν ἐκκαθαίρειν, τὸ μετάρσιον ποιεῖν τὸν λογισμόν, τὸ παιδεύεσθαι δόγματα ἀκριβῆ, τὸ φιλοσοφεῖν περὶ τῶν παρόντων καὶ περὶ τῶν μελλόντων. Ἔχει δὲ μετὰ τούτων διὰ τῆς μελῳδίας καὶ ἡδονὴν πολλὴν καὶ παραμυθίαν τινὰ καὶ ἄνεσιν, καὶ σεμνὸν ποιεῖ τὸν ᾄδοντα. Καὶ ὅτι τοιούτους ἐργάζεται, δῆλον ἐκ τοῦ τὸν μὲν τῶν ἑρμηνευτῶν εἰπεῖν, «Ὅτι εὐπρεπές», τὸν δέ, «Ὅτι ἡδύ». Ἀμφότεροι δὲ τὰ ἀληθῆ λέγουσι. Κἂν γὰρ μυριάκις ἀσελγὴς ὁ ψάλλων ᾖ, αἰδούμενος τὸν ψαλμόν, κατακοιμίζει τῆς ἀσελγείας τὴν τυραννίδα· κἂν μυρίοις ᾖ κακοῖς βεβαρημένος, καὶ ὑπὸ ἀθυμίας κατεχόμενος, κατακηλούμενος ὑπὸ

---

2. Λευιτ 17, 4.

τὸ σφάγιο γιὰ νὰ τὸ θυσιάσει μπροστὰ στὴ σκηνὴ τοῦ Μαρτυρίου, θὰ θεωρηθεῖ ἔνοχος σὰν ἐκεῖνον ποὺ ἔχυσε αἷμα ἀνθρώπου»[2]. Ἐξ αἰτίας αὐτοῦ συγκεντρώνει αὐτοὺς ἀπὸ παντοῦ στὸν τόπο ἐκεῖνο, γιὰ νὰ σωφρονίζονται ἀκούοντας τὰ λόγια τοῦ Κυρίου καὶ ν' ἀπέχουν ἀπὸ τὶς πλανημένες σκέψεις. Προτρέπει δὲ νὰ ψάλλουν καὶ νὰ ὑμνοῦν καὶ νὰ δοξολογοῦν τὸν Κύριο, διότι οἱ ὕμνοι, οἱ ἀναπεμπόμενοι πρὸς τὸ Θεό, ἦταν καὶ ἀφορμὴ εὐσέβειας γι' αὐτούς, περιγράφοντας τὰ παλαιὰ γεγονότα ποὺ συνέβηκαν στὴν Αἴγυπτο, στὴν ἔρημο, στὴ γῆ τῆς ἐπαγγελίας, τὰ σχετικὰ μὲ τὸ νόμο, τὰ συμβάντα στὸ ὄρος Σινᾶ, τὰ πολεμικά κατορθώματα· καὶ τὸ ἴδιο πράγμα γινόταν συγχρόνως καὶ δοξολογία πρὸς τὸ Θεὸ καὶ ἀφορμὴ διδασκαλίας γιὰ ἐκείνους ποὺ ἔψαλλαν, ρυθμίζοντας τὴ ζωή τους καὶ καθοδηγώντας τους πρὸς τὴν ὀρθὴ γνώση τῶν ἀληθειῶν.

Δοξολογεῖτε τὸν Κύριο, διότι εἶναι ἀγαθὸς ὁ Κύριος». Ἄλλος λέγει, «Ὅτι εἶναι χρηστός». Ἐκεῖνο ποὺ ἦταν κατ' ἐξοχὴ ποθητὸ ἀπὸ τοὺς ἀκροατές, αὐτὸ ἀναφέρει συνέχεια, τὴ φιλανθρωπία δηλαδή, τὴν εὐσπλαχνία καὶ τὴν ἀγαθότητα τοῦ Κυρίου. «Ψάλατε ὕμνους δοξολογίας στὸ ὄνομα αὐτοῦ, διότι αὐτὸ εἶναι ὠφέλιμο». Αὐτὸ τὸ λέγει, γιὰ νὰ δείξει ὅτι τὸ πράγμα αὐτὸ καθ' ἑαυτὸ ἔχει μαζὶ μὲ τὴν ὠφέλεια καὶ κάποια εὐχαρίστηση. Διότι τὸ πρωταρχικὸ κέρδος ἀπ' αὐτὸ τὸ πράγμα εἶναι τὸ ὅτι ἀναπέμπει κανεὶς ὕμνους στὸ Θεό, τὸ ὅτι καθαρίζει τὴν ψυχή του, τὸ ὅτι ἐξυψώνει τὸ λογισμό του, τὸ ὅτι διδάσκεται ὑψηλὲς ἀλήθειες, τὸ ὅτι φιλοσοφεῖ γιὰ τὰ παρόντα καὶ τὰ μέλλοντα. Ἔχει δὲ ἀπὸ τὴ μελωδία, μαζὶ μὲ αὐτά, καὶ μεγάλη εὐχαρίστηση καὶ κάποια παρηγοριὰ καὶ ἀνακούφιση, καὶ κάμνει σεμνὸ ἐκεῖνον ποὺ ψάλλει. Καὶ τὸ ὅτι κάμνει τέτοιους ἐκείνους ποὺ τὸν δοξολογοῦν, γίνεται φανερὸ ἀπὸ τὸ ὅτι ὁ μὲν ἕνας ἀπὸ τοὺς ἑρμηνευτὲς εἶπε, «Διότι εἶναι εὐπρεπές», ὁ δὲ ἄλλος, «Διότι εἶναι εὐχάριστο». Καὶ οἱ δυὸ λέγουν τὴν ἀλήθεια. Διότι καὶ ἂν ἀκόμα αὐτὸς ποὺ ψάλλει σὲ ἀμέτρητο βαθμὸ εἶναι ἀναιδής, κατακοιμίζει τὴν τυραννίδα τῆς ἀναίδειας· καὶ ἂν ἀκόμα βαρύνεται μὲ ἄπειρα κακὰ καὶ εἶναι κυριευμένος ἀπὸ λύπη, καταγοη-

τῆς ἡδονῆς, κουφίζει τὸν λογισμόν, πτεροῖ τὴν διάνοιαν, καὶ μετάρσιον ἐργάζεται τὴν ψυχήν.

«Ὅτι τὸν Ἰακὼβ ἐξελέξατο ἑαυτῷ ὁ Κύριος, Ἰσραὴλ εἰς περιουσιασμὸν ἑαυτῷ». Οὐ λέγει τὰς κοινὰς εὐεργεσίας, ἃς μετὰ τῶν ἄλλων ἔχουσιν, ἀλλὰ τὴν ἰδίαν καὶ ἐξαίρετον αὐτῶν. Τίς δὲ αὕτη ἦν; Τὸ τὸν λαὸν ἐκλέξασθαι, καὶ ἑαυτῷ ἀναθεῖναι, καὶ ἰδιάζουσάν τινα παρὰ τοὺς ἄλλους εἰς αὐτοὺς πρόνοιαν ἐπιδείξασθαι. Καὶ πανταχοῦ τοῦτο ποιοῦσι οἱ προφῆται, ἀπὸ τῶν εἰς ἑαυτοὺς εὐεργεσιῶν τὰ πολλὰ τῶν λόγων ὑφαίνοντες. Τί δέ ἐστιν, «Εἰς περιουσιασμὸν ἑαυτῷ»; Εἰς πλοῦτον, εἰς περιουσίαν. Εἰ γὰρ καὶ ὀλίγον τὸ ἔθνος, ἀλλὰ τοῦτο ὡς πλοῦτον ἑαυτῷ ἐξελέξατο, οὐ τῇ ὀλιγότητι, ἀλλὰ τῇ ἀρετῇ προσέχων, πρὸς ἣν αὐτοὺς χειραγωγῆσαι βουλόμενος ἐκλέγεται, ὡς τῶν ἄλλων ἀνθρώπων οὐ τοσοῦτον αὐτῷ ποιούντων πλοῦτον, ὅσον οὗτος ὁ δῆμος, ὡς τοῦτο καὶ γέγονεν ἀπό τε τῆς εὐνοίας τοῦ ἑλομένου, ἀπό τε τῆς παιδαγωγίας αὐτῶν. Οἶδε γὰρ πλοῦτον ὁ Παῦλος τὴν σωτηρίαν τῶν ἀνθρώπων καλεῖν, ὡς ὅταν λέγῃ· «Ὁ γὰρ αὐτὸς Κύριος πλουτῶν εἰς πάντας, καὶ ἐπὶ πάντας τοὺς ἐπικαλουμένους αὐτόν». Καὶ πάλιν, «Τῷ ἰδίῳ Κυρίῳ στήκει, ἢ πίπτει». Ὁρᾷς πῶς τὴν ἀγάπην ἐνεδείξατο τοῦ Θεοῦ τὴν περὶ αὐτούς, τὴν πρόνοιαν, τὴν κηδεμονίαν, τὴν διάθεσιν, ὅπου γε περιουσιασμὸν αὐτοὺς ἐκάλεσε. Δι' ἀμφοτέρων τοίνυν τούτων δείκνυσιν αὐτοῦ τὴν ἀξαίρετον περὶ αὐτοῦ πρόνοιαν, ὅτι τε ἐξελέξατο, ὅτι τε εἰς περιουσιασμὸν ἑαυτῷ. Εἶδες πῶς παρέστησεν αὐτοῦ τὴν φιλανθρωπίαν; Διὰ τοῦτο ἀρχόμενος ἔλεγεν. «Αἰνεῖτε αὐτόν, ὅτι ἀγαθὸς Κύριος».

«Ὅτι ἐγὼ ἔγνωκα, ὅτι μέγας ὁ Κύριος». Ἰδοὺ καὶ ἄλλην αἰτίαν τίθησι τοῦ ὑμνεῖν. Εἰπὲ δή μοι· σὺ ἔγνωκας, οἱ δὲ ἄλλοι οὐκ ἴσασι; Ἴσασι μέν, οὐχ οὕτως δὲ ὡς ἐγώ. Τῶν γὰρ μάλιστα ἀ-

---

3. Ρωμ. 10, 12.
4. Ρωμ. 14, 4.

τευόμενος ἀπὸ τὴν ἡδονή, ἀνακουφίζει τὸ λογισμό του, ἀναπτερώνει τὴ διάνοιά του καὶ ἀνυψώνει τὴν ψυχή του.

«Διότι ἐξέλεξε ὁ Κύριος τὸν Ἰακὼβ γιὰ τὸν ἑαυτό του, τὸν Ἰσραὴλ γιὰ ν' ἀποτελεῖ τὴν περιουσία του». Δὲν ἀναφέρει τὶς κοινὲς εὐεργεσίες, τὶς ὁποῖες ἔχουν μαζὶ μὲ τοὺς ἄλλους, ἀλλὰ τὴν ἰδιαίτερη καὶ ἐξαίρετη αὐτῶν. Ποιὰ δὲ ἦταν αὐτή; Τὸ ὅτι ἐξέλεξε τὸ λαὸ καὶ τὸν ἔθεσε κάτω ἀπὸ τὴν προστασία του καὶ ἔδειξε πρὸς αὐτούς, σὲ ἀντίθεση πρὸς τοὺς ἄλλους, κάποια ἰδιαίτερη πρόνοια. Καὶ παντοῦ αὐτὸ κάμνουν οἱ προφῆτες, συνθέτοντας τοὺς περισσότερους ἀπὸ τοὺς λόγους τους ἀπὸ τὶς εὐεργεσίες ποὺ ἔγιναν πρὸς αὐτοὺς τοὺς ἴδιους. Τί σημαίνει δέ, «Εἰς περιουσιασμὸν ἑαυτῷ»; Γιὰ νὰ ἀποτελεῖ τὸν πλοῦτο του, τὴν περιουσία του. Διότι, ἂν καὶ ἦταν μικρὸ τὸ ἔθνος, ἀλλ' ὅμως αὐτὸ ἐξέλεξε γιὰ τὸν ἑαυτό του σὰν πλοῦτο του, προσέχοντας ὄχι τὴν ὀλιγότητα, ἀλλὰ τὴν ἀρετή, τοὺς ὁποίους ἐκλέγει θέλοντας νὰ τοὺς ὁδηγήσει πρὸς αὐτήν, διότι οἱ ἄλλοι ἄνθρωποι δὲν ἀποτελοῦν γι' αὐτὸν τόσο πολὺ πλοῦτο, ὅσο αὐτὸς ὁ λαός, πράγμα ποὺ ἀποδείχθηκε καὶ ἀπὸ τὴν εὔνοια ἐκείνου ποὺ τὸν ἐξέλεξε καὶ ἀπὸ τὴν διαπαιδαγώγηση αὐτῶν. Διότι γνωρίζει καὶ ὁ Παῦλος νὰ ὀνομάζει πλοῦτο τὴ σωτηρία τῶν ἀνθρώπων, ὅπως ὅταν λέγει· «Διότι ὁ ἴδιος ὁ Κύριος χαρίζει πλούσια τὴ σωτηρία σ' ὅλους ἐκείνους ποὺ ἐπικαλοῦνται αὐτόν»[3]. Καὶ πάλι· «Γιὰ τὸν δικό του Κύριο στέκεται ἢ πέφτει πνευματικά»[4]. Βλέπεις πῶς παρουσίασε τὴν ἀγάπη τοῦ Θεοῦ πρὸς αὐτούς, τὴν πρόνοια, τὴν κηδεμονία, τὴ διάθεση, μὲ τὸ ὅτι ὀνόμασε αὐτοὺς «περιουσιασμόν του»; Καὶ μὲ τὰ δύο λοιπὸν αὐτὰ δείχνει τὴν ἐξαίρετη πρόνοια αὐτοῦ πρὸς αὐτούς, καὶ μὲ τὸ ὅτι δηλαδὴ τοὺς ἐξέλεξε καὶ μὲ τὸ ὅτι τὸ ἔκαμε αὐτὸ γιὰ ν' ἀποτελοῦν τὸν πλοῦτο του. Εἶδες πῶς παρουσίασε τὴ φιλανθρωπία αὐτοῦ; Γι' αὐτὸ ἀρχίζοντας τὸν ψαλμὸ ἔλεγε· «Ὑμνεῖτε αὐτόν, διότι εἶναι ἀγαθὸς ὁ Κύριος».

«Διότι ἐγὼ τὸ γνώρισα, ὅτι ὁ Κύριος εἶναι μεγάλος». Ναὶ ἀναφέρει και ἄλλη αἰτία τῆς ἐξυμνήσεως τοῦ Κυρίου. Πές μου λοιπὸν σὲ παρακαλῶ· σὺ τὸ γνώρισες, οἱ δὲ ἄλλοι δὲν τὸ γνωρί-

γίων καὶ ἀναβεβηκότων ἐστὶ τὸ ἀκριβέστερον εἰδέναι αὐτοῦ τὴν μεγαλωσύνην, οὐ πᾶσαν, ἥτις ἐστὶ (τοῦτο γὰρ ἀδύνατον), ἀλλὰ τῶν ἄλλων σαφέστερον. «Καὶ ὁ Κύριος ἡμῶν παρὰ πάντας τοὺς θεούς». Ἰδού, φησίν, ὁ εἰπὼν ὅτι μέγας Κύριος, καὶ ὅτι σὺ ἔγνωκας, προϊὼν ἐλαττοῖ τὸν λόγον, καὶ συγκρίνει αὐτὸν τοῖς ἄλλοις, καὶ κατὰ σύγκρισιν αὐτῷ δίδωσι τὴν ὑπεροχήν. Οὐδαμῶς, φησίν, ἀλλὰ πρὸς τὴν ἀσθένειαν τῶν ἀκουόντων τότε διελέγετο, κατὰ μικρὸν αὐτοὺς ἀναβιβάζων ἐπὶ τοῦτο. Οὐ σφόδρα γὰρ παραστατικὸν τοῦτο τοῦ μεγάλου, τὸ μείζονα τὸν Θεὸν λέγεσθαι, καὶ ὑπὲρ ἐκείνους εἶναι μέγαν· ἀλλ', ὅπερ ἔφθην εἰπών, συμμετρεῖ τὸν λόγον ἐν τῇ εὐτελείᾳ τῶν ἀκροατῶν, κατὰ μικρὸν αὐτοὺς ἀνάγων. Καὶ γὰρ ἀγαπητὸν ἦν αὐτοὺς τέως τοῦτο ἀκοῦσαι, καὶ πεισθῆναι.

2. Ἐπεὶ ὅτι πάντων ἀσυγκρίτως ὑπερέχει, διὰ τῶν ἑξῆς δηλοῖ, τεκμήριον αὐτοῦ τῆς δυνάμεως τιθεὶς μέγιστον, καὶ δηλῶν, ὅτι καὶ τὰ πρότερα διὰ τὴν ἀσθένειαν τῶν ἀκροατῶν εἴρηται· διά τοι τοῦτο ὅταν μὲν ἀποφαίνηται, μικρὰ λέγει, ὅταν δὲ κατασκευάζῃ καὶ ἀποδεικνύῃ καὶ παρέχῃ τῆς μεγαλωσύνης αὐτοῦ τὴν ἀπόδειξιν, τὰ μεγάλα τίθησι. Τί τοίνυν τίθησι μετὰ ταῦτα ἄξιον αὐτοῦ, καὶ ὃ Θεοῦ μόνον ἐστίν; Ὅρα· ἐπάγει γάρ· «Πάντα ὅσα ἠθέλησεν ὁ Κύριος, ἐποίησεν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, ἐν ταῖς θαλάσσαις, καὶ ἐν πάσαις ταῖς ἀβύσσοις». Εἶδες παναρκῆ δύναμιν; εἶδες πηγὴν ζωῆς; εἶδες ἰσχὺν ἄμαχον; εἶδες ἀσύγκριτον ὑπεροχήν; εἶδες ἐξουσίαν οὐδαμοῦ κωλυομένην; εἶδες πάντα αὐτῷ ῥᾴδια καὶ εὔκολα; «Πάντα» γάρ, φησίν, «ὅσα ἠθέλησεν, ἐ-

ζουν; Τὸ γνωρίζουν μέν, ὄχι ὅμως ἔτσι, ὅπως ἐγώ. Διότι στοὺς κατ' ἐξοχὴ ἁγίους καὶ σ' ἐκείνους ποὺ ἀνέβηκαν πνευματικὰ ψηλὰ ἀνήκει τὸ γνώρισμα τῆς πληρέστερης γνώσεως τῆς μεγαλωσύνης αὐτοῦ, ὄχι ὁλόκληρης, ποὺ ὑπάρχει σ' αὐτὸν (διότι αὐτὸ εἶναι ἀδύνατο), ἀλλὰ νὰ γνωρίσουν αὐτὴν σαφέστερα ἀπὸ τοὺς ἄλλους. «Καὶ ὁ Κύριός μας εἶναι ἀνώτερος ἀπὸ ὅλους τοὺς θεούς». Νά, λέγει, ἐκεῖνος ποὺ εἶπε ὅτι ὁ Κύριος εἶναι μεγάλος, καὶ ὅτι αὐτὸς γνώρισε αὐτόν, προχωρώντας μειώνει τὸ λόγο, καὶ συγκρίνει αὐτὸν μὲ τοὺς ἄλλους θεούς, καί, κάμνοντας τὴ σύγκριση, δίνει τὴν ὑπεροχὴ σ' αὐτόν. Κάθε ἄλλο, λέγει, ἀλλὰ τότε ὁ λόγος του ἦταν ἀνάλογος μὲ τὴν πνευματικὴ ἀδυναμία τῶν ἀκροατῶν του, ἀνεβάζοντας αὐτοὺς σιγὰ-σιγὰ πρὸς τὴν ἀνώτερη αὐτὴ γνώση. Διότι αὐτὸ δὲν ἀποτελεῖ σὲ μεγάλο βαθμὸ ἀπόδειξη τοῦ μεγάλου, τὸ νὰ ὀνομάζεται δηλαδὴ ὁ Θεὸς μεγαλύτερος καὶ νὰ εἶναι ἀνώτερος ἀπὸ τοὺς θεοὺς ἐκείνους, ἀλλά, ὅπως προανέφερα, προσαρμόζει τὸ λόγο πρὸς τὴν πνευματικὴ ἀδυναμία τῶν ἀκροατῶν, ἀνεβάζοντας αὐτοὺς ψηλότερα σιγὰ-σιγά. Καθόσον ἦταν ἀγαπητὸ σ' αὐτοὺς κατ' ἀρχὴ ν' ἀκούσουν αὐτό, καὶ νὰ πεισθοῦν.

2. Διότι, τὸ ὅτι ὑπερέχει ἀσύγκριτα ὅλων τῶν ἄλλων θεῶν, τὸ δηλώνει μὲ τὰ ἑξῆς, θέτοντας μέγιστη ἀπόδειξη τῆς δυνάμεως αὐτοῦ καὶ δηλώνοντας, ὅτι καὶ τὰ προηγούμενα λέχθηκαν ἐξ αἰτίας τῆς πνευματικῆς ἀδυναμίας τῶν ἀκροατῶν· γι' αὐτὸ λοιπὸν ὅταν μὲν ἐκφράζει τὴ γνώμη του, χρησιμοποιεῖ ταπεινὰ λόγια, ὅταν ὅμως παριστάνει, ἀποδεικνύει καὶ προβάλει τὴν ἀπόδειξη τῆς μεγαλωσύνης αὐτοῦ, ἀναφέρει λόγια μὲ ὑψηλὰ νοήματα. Τί λοιπὸν ἀναφέρει στὴ συνέχεια ἄξιο αὐτοῦ καὶ τὸ ὁποῖο εἶναι γνώρισμα μόνο τοῦ Θεοῦ; Πρόσεχε· διότι προσθέτει· «Ὅλα, ὅσα θέλησε ὁ Κύριος, τὰ δημιούργησε, ὅσα ὑπάρχουν στὸν οὐρανό, στὴ γῆ, στὶς θάλασσες καὶ σ' ὅλες τὶς ἀβύσσους». Εἶδες δύναμη πανίσχυρη; εἶδες πηγὴ ζωῆς; εἶδες δύναμη ἀκαταμάχητη; εἶδες ὑπεροχὴ ἀσύγκριτη; εἶδες ἐξουσία ποὺ ἀπὸ τίποτε δὲν ἐμποδίζεται; εἶδες ποὺ ὅλα σ' αὐτὸν εἶναι εὔκολα καὶ κατορθωτά; Διότι λέγει, «Ὅλα, ὅσα θέλησε, τὰ δη-

ποίησεν». Εἰπὲ καὶ ποῦ; «Ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ». Τουτέστιν, οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ἐν τῷ οὐρανῷ. Οὐκ ἐν τῷ οὐρανῷ μόνον, ἀλλὰ καὶ ἐν τῇ γῇ. Οὐκ ἐν τῇ γῇ μόνον, ἀλλὰ καὶ «Ἐν ταῖς θαλάσσαις, καὶ ἐν πάσαις ταῖς ἀβύσσοις». Διὰ γὰρ τῆς ἀβύσσου τὰ ὑποκάτω λέγει τῆς γῆς, ὥσπερ διὰ τοῦ εἰπεῖν, «Ἐν τῷ οὐρανῷ», τὰ ὑπεράνω τῶν οὐρανῶν. Ὑφ' ὧν καὶ τοσούτων ὄντων οὐδαμοῦ τὸ θέλημα αὐτοῦ ἐμποδίζεται, ἀλλὰ πάντα ἔπεισι, καὶ τὸ δὴ θαυμαστόν, ὃ ποιήσας, οὐ πόνῳ, οὐ μόχθῳ, οὐκ ἐπιτάγματι, ἀλλὰ θελήματι ἐποίησε· μόνον γὰρ ἐβουλήθη, καὶ τὸ ἔργον εἵπετο.

Εἶδες πῶς καὶ τὴν εὐκολίαν παρέστησε, καὶ τὴν ἀφθονίαν τῶν δημιουργημάτων, καὶ τὴν ἐξουσίαν τὴν ἀκώλυτον; Εἶτα ἀφεὶς εἰπεῖν τὸν οὐρανὸν καὶ τὴν θάλασσαν, τὰ ἐν αὐτοῖς τίθησι, καὶ οὐδὲ τὰ ἐν αὐτοῖς πάντα, ἀλλὰ παραδραμὼν τὰ ἐν τῷ οὐρανῷ, καίτοι θαυμαστότερα ὄντα, λέγει τὰ περὶ τὸν οὐρανόν. Τί δήποτε; Ὅτι τὰ μέν, εἰ καὶ μεγάλα ἦν, ἀλλ' ἄδηλα ἦν τοῖς πολλοῖς, ταῦτα δέ, εἰ καὶ ἐλάττονα, ὅμως φαινόμενα, καὶ πάντας ἔχοντα θεωρούς. Ἐπεὶ οὖν πρὸς ἀνθρώπους ἦν ὁ λόγος αὐτῷ, οὐ τοσοῦτον πίστει παιδευομένους τῶν ἀφανῶν ἔχειν ἔννοιαν, ὅσον ἀπὸ τῶν φαινομένων χειραγωγουμένους ἐντεῦθεν ὑφαίνει τὸν λόγον, καὶ τῆς διδασκαλίας ἄρχεται, ὃ τοῖς ἄλλοις παρῄνεσε ποιεῖν, τοῦτο καὶ αὐτὸς ποιῶν. Ποῖον δὴ τοῦτο; Τὸ αἰνεῖν τὸν Θεὸν ἀπὸ τῶν ἔργων αὐτοῦ, καὶ εὐφημίας ἀναφέρειν αὐτῷ, ἕκαστον τῶν γενομένων καταμανθάνοντα, καὶ ὑπὲρ ἑκάστου δοξολογοῦντα. Ἐπειδὴ γάρ περὶ τοῦ τὸν Θεὸν αἰνεῖν παραινῶν, συνεχῶς εἶπεν, «Αἰνεῖτε τὸ ὄνομα Κυρίου, αἰνεῖτε, δοῦλοι, τὸν Κύριον», δείκνυσι καὶ πῶς δεῖ αἰνεῖν, ἐπιόντα τὸ σῶμα τῆς κτίσεως, καὶ θαυμάζοντα, καὶ ἐκπληττόμενον τὴν σοφίαν, τὴν πρό-

μιούργησε». Πὲς καὶ ποῦ; «Στὸν οὐρανὸ καὶ στὴ γῆ». Δηλαδή, ὄχι μόνο ἐδῶ, ἀλλὰ καὶ στὸν οὐρανό. Ὄχι στὸν οὐρανὸ μόνο, ἀλλὰ καὶ στὴ γῆ. Ὄχι στὴ γῆ μόνο, ἀλλὰ καὶ «Στὶς θάλασσες καὶ σ' ὅλες τὶς ἀβύσσους». Διότι μὲ τὴν ἄβυσσο ἐννοεῖ ἐκεῖνα ποὺ βρίσκονται κάτω ἀπὸ τὴ γῆ, ὅπως πάλι μὲ τὸ νὰ πεῖ «Στὸν οὐρανό», ἐννοεῖ τὰ ὅσα βρίσκονται ἐπάνω ἀπὸ τοὺς οὐρανούς. Ἀπὸ αὐτά, ἂν καὶ εἶναι τόσα πολλά, καθόλου δὲν ἐμποδίζεται τὸ θέλημά του, ἀλλὰ ὅλα ὑποτάσσονται σ' αὐτό, καὶ τὸ θαυμαστὸ βέβαια εἶναι, ὅτι ἐκεῖνος ποὺ τὰ δημιούργησε, δὲν τὰ δημιούργησε μὲ κόπο καὶ μόχθο, οὔτε μὲ πρόσταγμά του, ἀλλὰ μὲ τὸ θέλημά του· διότι μόνο θέλησε, καὶ τὸ ἔργο ἀκολούθησε.

Εἶδες πῶς καὶ τὴν εὐκολία παρέστησε, καὶ τὴν ἀφθονία τῶν δημιουργημάτων καὶ τὴν ἐξουσία τὴν ἀνεμπόδιστη; Ἔπειτα, σταματώντας τὸ λόγο γιὰ τὸν οὐρανὸ καὶ τὴ θάλασσα, ἀναφέρει τὰ ὅσα ὑπάρχουν μέσα σ' αὐτά, καὶ ὄχι ὅλα ὅσα ὑπάρχουν μέσα σ' αὐτά, ἀλλὰ παραλείποντας τὰ ὅσα ὑπάρχουν μέσα στὸν οὐρανό, ἂν καὶ βέβαια εἶναι θαυμαστότερα, ἀναφέρει ἐκεῖνα ποὺ ὑπάρχουν γύρω ἀπὸ τὸν οὐρανό. Γιατὶ τέλος πάντων; Διότι τὰ μέν, ἂν καὶ ἦταν μεγάλα, ἀλλ' ὅμως δὲν ἦταν γνωστὰ στοὺς πολλούς, ἐνῶ αὐτά, ἂν καὶ εἶναι μικρότερα, ὅμως φαίνονται καὶ ὅλοι τὰ βλέπουν. Ἐπειδὴ λοιπὸν ὁ λόγος του ἀπευθυνόταν πρὸς ἀνθρώπους, ποὺ δὲν ἦταν παιδευμένοι νὰ κατανοοῦν τὰ ἀόρατα μὲ τὴν πίστη τόσο, ὅσο ὁδηγοῦνταν στὴν κατανόηση αὐτῶν ἀπὸ τὰ ὁρατά, ἀπὸ αὐτὰ συνθέτει τὸ λόγο του καὶ ἀπὸ αὐτὰ ἀρχίζει τὴ διδασκαλία του, κάμνοντας καὶ αὐτὸς αὐτὸ ποὺ συμβούλεψε τοὺς ἄλλους νὰ κάμνουν. Ποιὸ λοιπὸν εἶναι αὐτό; Τὸ νὰ ὑμνεῖ κανεὶς τὸ Θεὸ ἀπὸ τὰ ἔργα του καὶ νὰ ἀναπέμπει δοξολογίες σ' αὐτόν, κατανοώντας τὸ καθένα ἀπὸ τὰ δημιουργήματα καὶ δοξολογώντας τὸ δημιουργὸ γιὰ τὸ καθένα. Ἐπειδὴ λοιπὸν προτρέποντας τοὺς ἀκροατὲς νὰ δοξολογοῦν τὸ Θεὸ ἐπανέλαβε τό, «Δοξολογεῖτε τὸ ὄνομα τοῦ Κυρίου, δοξολογεῖτε, δοῦλοι, τὸν Κύριο», δείχνει καὶ πῶς πρέπει νὰ τὸν δοξολογοῦν, ἀπαριθμώντας τὸν κόσμο τῆς κτίσεως καὶ θαυμάζοντας καὶ νιώθοντας ἔκπληξη γιὰ τὴ σο-

νοιαν, τὴν δύναμίν, τὴν κηδεμονίαν. Ἐντεῦθεν μανθάνομεν, ὅτι οὐ μία τίς ἐστι θάλασσα αὕτη ἡ καθ' ἡμᾶς, ἀλλὰ πολλαὶ καὶ διάφοροι, καὶ πελάγη ἄπειρα. Ἔφη γάρ, «Ἐν ταῖς θαλάσσαις καὶ ἐν πάσαις ταῖς ἀβύσσοις». Ἥ τε γὰρ Κασπία, ἥ τε Ἰνδική, ἥ τε Ἐρυθρὰ διῃρημέναι σχεδὸν ταύτης εἰσί, καὶ ἔξωθεν περικείμενος ὁ Ὠκεανός.

«Ἀνάγων νεφέλας ἐξ ἐσχάτων τῆς γῆς». Ἄλλος, «Ἀναβιβάζων». Ἕτερος, «Ἀνασπᾷ ἀπ' ἄκρων». Ἄλλος, «Ἐκ τελέσματος». Τοῦτο καὶ ἐν τῷ Ἰὼβ εἴρηται· «Ὁ δεσμεύων ὕδωρ ἐν νεφέλαις αὐτοῦ». Καὶ ὁ Σολομῶν· «Συνέχων ὕδωρ ἐν ἱματίῳ». Οὗτος δὲ οὐ τοῦτό φησιν, ἀλλ' ἕτερον θαυμαστόν. Ποῖον δὴ τοῦτο; Ὅτι παχύτερος ὢν ὁ ἀήρ, τὴν ἄνω φέρεται φοράν, καὶ διαβαστάζεται, καὶ ἄνεισι τὸ βαρύ, τὴν ἐναντίαν ἐρχόμενον ὁδόν. Θαυμαστὸν μὲν οὖν καὶ τὸ στέγεσθαι τὸ ὕδωρ ἐν αὐτῷ, πολὺ δὲ θαυμαστότερον τὸ φέρεσθαι στεγόμενον ἐπὶ τοῦ κούφου· καὶ τὸ δὴ ἔτι παραδοξότερον, ὅτι τὸ στεγόμενον ὑπ' ἐκείνου τοῦ ἀέρος, ἐπειδὰν ἐκρυῇ τοῦ νέφους, οὐκέτι κατέχεται τῷ μετ' αὐτὸν ἀέρι, καὶ στέγεται, ἀλλὰ διαρρεῖ πανταχόθεν, καὶ εἰς τὴν γῆν φέρεται. Καὶ μὴν εἰ κατὰ φύσιν ἐστέγετο τοῦτο, ἔδει καὶ ἐν τῷ ἀέρι στέγεσθαι. Ὥσπερ γὰρ ἀσκὸν εἴ τις εἴασεν εἰς τὸν ἀέρα πεπληρωμένον ὕδατος, εἶτα ἐφέρετο ὑπὸ τοῦ ἀέρος, ἠνέχθη ἂν καὶ τὸ ἔνδον στεγόμενον ὕδωρ διαρρυὲν ἐκ τοῦ ἀσκοῦ, οὕτως ἀκόλουθον καὶ ἐνταῦθα γίνεσθαι. Ἀλλ' ἐπειδὴ πάντα θαύματος γέμει, καὶ παράδοξα τὰ γινόμενα, ὑπὲρ ἀκολουθίαν, ὑπὲρ λόγον ἅπαντα ταῦτα γίνεται. Καὶ γὰρ τὸ στεγόμενον ἐν τῷ ἀέρι τῆς νεφέλης, οὐ στέγεται ἐν τῷ ἀέρι τῷ μετὰ ταῦτα.

Εἶδες τὸ παράδοξον, καὶ πῶς ὃ δοκεῖ τῶν ἄλλων εἶναι καταδεέστερον, τοῦτο θείς, ἔδειξεν ὂν θαυμαστόν; Εἶτα καὶ ἄλλο

---

5. Παροιμ. 30, 4.

φία, τὴν πρόνοια, τὴ δύναμη καὶ τὴν κηδεμονία τοῦ Θεοῦ. Ἀπὸ ἐδῶ μαθαίνομε, ὅτι δὲν ὑπάρχει μόνο ἡ δική μας θάλασσα, ἀλλ' ὑπάρχουν πολλὲς καὶ διάφορες καὶ ἄπειρα πελάγη. Καθόσον εἶπε, «Στὶς θάλασσες καὶ σ' ὅλες τὶς ἀβύσσους». Διότι καὶ ἡ Κασπία καὶ ἡ Ἰνδική, καὶ ἡ Ἐρυθρὰ θάλασσα εἶναι σχεδὸν χωρισμένες ἀπὸ αὐτήν, καὶ αὐτὲς τὶ περιβάλλει ὁ Ὠκεανός.

«Αὐτὸς ὑψώνει τὰ σύννεφα ἀπὸ τὰ ἀπομακρυσμένα μέρη τῆς γῆς». Ἄλλος λέγει, «Αὐτὸς ἀνεβάζει». Ἄλλος, «Τὰ ἀνασύρει ἀπὸ τὰ ἄκρα τῆς γῆς». Ἄλλος, «Ἀπὸ ἐκεῖ ποὺ τελειώνει ἡ γῆ». Αὐτὸ ἔχει λεχθεῖ καὶ στὸν Ἰὼβ· «Αὐτὸς ποὺ συγκεντρώνει τὸ νερὸ στὰ νέφη του». Καὶ ὁ Σολομών· «Αὐτὸς ποὺ δεσμεύει τὸ νερὸ στὸ ἔνδυμά του»[5]. Αὐτὸς ὅμως δὲν λέγει αὐτό, ἀλλ' ἄλλο θαυμαστό. Ποιὸ λοιπὸν εἶναι αὐτό; Ὅτι δηλαδή, ἐπειδὴ εἶναι πυκνότερος ὁ ἀέρας, φέρεται πρὸς τὰ ἐπάνω καὶ βαστᾶ ἔτσι καὶ συγκρατεῖ τὸ βαρύ, ποὺ ἀκολουθεῖ τὴν ἀντίθετη κατεύθυνση. Βέβαια θαυμαστὸ μὲν εἶναι τὸ ὅτι ὑπάρχει τὸ νερὸ μέσα στὸν ἀέρα, πολὺ πιὸ θαυμαστὸ ὅμως εἶναι τὸ ὅτι βαστάζεται ἀπὸ κάτι ποὺ εἶναι ἐλαφρύ· καὶ τὸ ἀκόμα παραδοξότερο βέβαια εἶναι, ὅτι τὸ νερό, ποὺ ὑποβαστάζεται ἀπὸ τὸν ἀέρα αὐτό, ὅταν ἀπαλλαγεῖ ἀπὸ τὸ νέφος, δὲν συγκρατεῖται καὶ δὲν ὑποβαστάζεται πλέον αὐτὸ ἀπὸ τὸν ἀέρα, ἀλλὰ διασκορπίζεται ἀπὸ παντοῦ καὶ πέφτει ἐπάνω στὴ γῆ. Καὶ ὅμως ἂν κατὰ φυσικὸ τρόπο ὑποβασταζόταν αὐτό, ἔπρεπε καὶ στὸν ἀέρα νὰ συγκρατεῖται. Διότι ὅπως ἀκριβῶς ἂν κάποιος ἄφηνε ἀσκὸ στὸν ἀέρα γεμάτο μὲ νερὸ καὶ στὴν συνέχεια ἂν μεταφερόταν αὐτὸς ἀπὸ τὸν ἀέρα, θὰ μεταφερόταν καὶ τὸ νερὸ ποὺ ὑπῆρχε μέσα σ' αὐτόν, ἂν συνέβαινε νὰ διαρεύσει ἀπὸ τὸν ἀσκό, ἔτσι ἑπόμενο εἶναι καὶ ἐδῶ νὰ συμβαίνει. Ἀλλ' ἐπειδὴ ὅλα συμβαίνουν κατὰ τρόπο θαυμαστὸ καὶ εἶναι γεμάτα ἀπὸ παραδοξότητα, ὅλα αὐτὰ συμβαίνουν κατὰ τρόπο ἀφύσικο καὶ πέρα ἀπὸ κάθε λογική. Καθόσον τὸ νερὸ ποὺ ὑποβαστάζεται ἀπὸ τὸν ἀέρα τῆς νεφέλης, δὲν ὑποβαστάζεται στὴ συνέχεια ἀπὸ τὸν ἀέρα.

Εἶδες τὸ παράδοξο καὶ πῶς ἐκεῖνο ποὺ φαίνεται ὅτι εἶναι κατώτερο, αὐτὸ ἀναφέροντας τὸ παρουσίασε γεμᾶτο ἀπὸ θαυ-

δείκνυσι θαυμαστόν, «Ἐξ ἐσχάτων» λέγων «τῆς γῆς», ἤ, «Ἀπ' ἄκρων τῆς γῆς». Οὐ γὰρ δὴ μόνον ἀνιᾶσιν, ἀλλὰ καὶ βαδίζουσιν, οὐδ' ἔνθα ἂν φανῶσιν, ἐκεῖ καὶ τὸν ὑετὸν ἀφιᾶσιν, ἀλλὰ πολλὰ πολλάκις παραδραμόντα χωρία ἀλλαχοῦ τὸν ὑετὸν ἐργάζονται, καὶ πόλεις καὶ ἔθνη παρελθοῦσαι. Οὐ τοῦτο τοίνυν τὸ θαυμαστὸν μόνον, ὅτι ἀνάγονται, ἀλλ' ὅτι καὶ βαδίζουσι καθάπερ ἐν ὑπερῴοις, ὄγκον φέρουσαι τοσούτων ὑδάτων.

3. «Ἀστραπὰς εἰς ὑετὸν ἐποίησεν». Ὅρα παράδοξον ἕτερον πάλιν, καὶ ἐναντίας φύσεις συνιούσας. Οὔτε γὰρ ἀστραπῆς τι πυρωδέστερον, οὔτε ὑδάτων ψυχρότερον, ἀλλ' ὅμως ἀναμίγνυνται αὗται, καὶ οὐ συγχέονται, οὐδὲ κεράννυνται, ἀλλὰ τοὺς οἰκείους ἑκάστη διατηρεῖ ὅρους. Μένον γὰρ τὸ πῦρ ἐν τῷ ὕδατι, καὶ τὸ ὕδωρ ἐν τῷ πυρί, οὔτε τοῦτο ἐκεῖνο ἀνεξήρανεν, οὔτε ἐκεῖνο τοῦτο κατέσβεσε. Καίτοι ἡ ἀστραπὴ τοῦ ἡλιακοῦ πυρὸς ὀξύτερον, φανότερον, τομώτερον. Καὶ μαρτυροῦσιν αἱ ὄψεις αὐταῖς ἀκτῖσι διηνεκῶς προσβάλλουσαι, ἐκείνης δὲ τὴν φορὰν οὐδὲ πρὸς βραχὺ δυνάμεναι ἐνεγκεῖν. Καὶ ὁ μὲν ἥλιος διὰ πάσης ἡμέρας διατρέχει τὸν οὐρανόν, αὕτη δὲ ἐν μιᾷ καιροῦ ῥοπῇ τὴν οἰκουμένην ἅπασαν· καθάπερ καὶ ὁ Χριστὸς μαρτυρεῖ λέγων· «Ὥσπερ ἡ ἀστραπὴ πορεύεται ἐξ ἀνατολῶν, καὶ φαίνεται ἕως δυσμῶν».

«Ὁ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ». Αὕτη πάλιν ἑτέρα φύσις, χρείαν οὐ μικρὰν ἡμῖν παρέχουσα, ἀλλὰ τοσαύτην, ὥστε εἰς τὸ πολὺ τῆς ζωῆς ἡμῶν συντελεῖν, καὶ κεκμηκότα ἀνακτᾶσθαι τὰ σώματα, καὶ καταψύχειν, καὶ τὸν ἀέρα κουφότερον ποιεῖν. Τοῦτο γὰρ ἔργον ἀνέμων, ἀναρριπίζειν τὸν ἀέρα, ὥστε μὴ ἀκίνητον ὄντα φθείρεσθαι, πεπαίνειν τοὺς καρπούς, τρέφειν

6. Ματθ. 24, 25.

μασμό; Ἔπειτα καὶ ἄλλο θαυμαστὸ δείχνει, λέγοντας ὅτι «Ὑψώνει τὰ νέφη ἀπὸ τὰ ἀπομακρυσμένα μέρη τῆς γῆς», ἤ, «Ἀπὸ ἐκεῖ ποὺ τελειώνει ἡ γῆ». Διότι βέβαια δὲν ὑψώνονται μόνο, ἀλλὰ καὶ βαδίζουν, οὔτε ἐκεῖ ποὺ θὰ ἐμφανισθοῦν, ἐκεῖ ρίχνουν καὶ τὴ βροχή, ἀλλὰ πολλὲς φορές, ἀφοῦ προσπεράσουν πολλὰ μέρη, ρίχνουν ἀλλοῦ τὴ βροχή, προσπερνώντας πόλεις καὶ ἔθνη. Δὲν εἶναι λοιπὸν μόνο αὐτὸ τὸ θαυμαστό, τὸ ὅτι ὑψώνονται τὰ νέφη, ἀλλὰ καὶ τὸ ὅτι βαδίζουν σὰν ἐπάνω σὲ ὑπερῷα, μεταφέροντας ὄγκο τόσων ὑδάτων.

3. «Αὐτὸς μετατρέπει τὶς ἀστραπὲς σὲ βροχή». Πρόσεχε ἄλλο πάλι παράδοξο καὶ τὴ συνύπαρξη ἀντίθετων στοιχείων. Διότι οὔτε ἀπὸ τὴν ἀστραπὴ ὑπάρχει κάτι πιὸ πύρινο, οὔτε ἀπὸ τὰ ὕδατα πιὸ ψυχρό, ἀλλ' ὅμως ἀνακατώνονται αὐτά, χωρὶς βέβαια νὰ συγχέονται οὔτε νὰ συγχωνεύονται, ἀλλὰ τὸ καθένα διατηρεῖ τὰ δικά του γνωρίσματα. Διότι παραμένοντας ἡ φωτιὰ μέσα στὸ νερό, καὶ τὸ νερὸ μέσα στὴ φωτιά, οὔτε ἡ φωτιὰ ἀποξήρανε τὸ νερό, οὔτε τὸ νερὸ κατέσβησε τὴ φωτιά. Ἂν καὶ βέβαια ἡ ἀστραπὴ εἶναι περισσότερο καυστικὴ ἀπὸ τὴν ἡλιακὴ φωτιά, λαμπρότερη καὶ περισσότερο διαπεραστική. Καὶ τὸ ἐπιβεβαιώνουν τὰ πρόσωπα τῶν ἀνθρώπων ποὺ ἀνέχονται μὲν συνέχεια τὶς προσβολὲς τῶν ἀκτίνων τοῦ ἡλίου, ἐνῶ οὔτε πρὸς στιγμὴ μποροῦν νὰ ὑποφέρουν τὴν ὁρμητικὴ κίνηση τῆς ἀστραπῆς. Καὶ ὁ μὲν ἥλιος κατὰ τὴ διάρκεια ὅλης τῆς ἡμέρας διατρέχει τὸν οὐρανό, αὐτὴ ὅμως διασχίζει ὁλόκληρη τὴν οἰκουμένη σὲ μιὰ μόνο στιγμή, ὅπως ἀκριβῶς τὸ ἐπιβεβαιώνει καὶ ὁ Χριστός, λέγοντας· «Ὅπως ἀκριβῶς ἡ ἀστραπὴ ποὺ ἐμφανίζεται στὴν ἀνατολὴ καὶ φαίνεται μέχρι τὴ δύση»[6].

«Αὐτὸς ἐξαπολύει τοὺς ἀνέμους ἀπὸ τὰ θησαυροφυλάκιά του». Αὐτὸ πάλι εἶναι ἄλλο στοιχεῖο τῆς φύσεως, ποὺ μᾶς παρέχει ὄχι μικρὴ ὠφέλεια, ἀλλὰ τόσο μεγάλη, ὥστε νὰ συντελεῖ στὴν μακροημέρευση τῆς ζωῆς μας, στὸ ν' ἀποκτοῦν τὰ καταπονεμένα σώματα τὴ δύναμή τους, στὸ νὰ δροσίζονται, καὶ νὰ κάμνει περισσότερο ἀνάλαφρο τὸν ἀέρα. Διότι αὐτὸ εἶναι τὸ ἔργο τῶν ἀνέμων, νὰ ἀνακινοῦν τὸν ἀέρα, ὥστε νὰ μὴ μολύνε-

τὰ σώματα. Τί ἂν τις εἴποι τὰς ἐν ναυτιλίᾳ χρείας αὐτῶν, τοὺς καιρούς, καθ' οὓς τεταγμένως ἐφίστανται, καὶ παραχωροῦσιν ἀλλήλοις, χορεύοντες ἐν τῷ πελάγει, καὶ τοὺς πλωτῆρας διαβιβάζοντες; Καὶ ὁ μὲν παρέπεμψεν, ὁ δὲ διεδέξατο, καὶ ἐναντίας ὁδεύουσιν ὁδούς, καὶ διακονοῦνται, καὶ ἡ μάχη αὐτῶν τῷ βίῳ πάλιν γίνεται χρήσιμος. Καὶ μυρία ἕτερα ἂν τις εἴποι τῶν ἀνέμων ἔργα. Ἀλλ' ὅμως ταῦτα πάντα παραδραμὼν ὁ προφήτης, καὶ καταλιπὼν τῷ ἀκροατῇ ἀναλέγεσθαι, αὐτὸς μόνον τὴν εὐκολίαν τῆς δημιουργίας παρέστησε. Τὸ γὰρ εἰπεῖν, «Ἐκ θησαυρῶν αὐτοῦ», οὐ τοῦτο δηλοῦντός ἐστιν, ὅτι θησαυροί τινές εἰσιν ἀνέμων, ἀλλὰ τὸ εὔκολον τοῦ ἐπιστατοῦντος, τὸ ἕτοιμον τῆς κτίσεως, τὸ παρεσκευασμένον. Ὥσπερ γὰρ ὁ ἐν θησαυρῷ ἔχων, μετ' ἀδείας ἐξάγει πάντα, καὶ ὅτε βούλεται, οὕτω καὶ ὁ τοῦ παντὸς δημιουργὸς πάντα εὐκόλως ἐποίησε, καὶ τῇ φύσει παρέδωκεν.

Εἶδες πόση καὶ ἐν ἀέρι διαφορά, καθάπερ καὶ ἐν ὕδατι καὶ ἐν πυρὶ πολλαὶ ἐναλλαγαί; Καὶ γὰρ τοῦ ὕδατος τὸ μέν ἐστι πηγαῖον, τὸ δὲ θαλάττιον, τὸ δὲ ἀέριον, τὸ δὲ ἐν νεφέλαις, τὸ δὲ οὐράνιον, τὸ δὲ ὑπεράνω τῶν οὐρανῶν, τὸ δὲ ὑπόγειον. Καὶ ἐν τῷ πυρί, τὸ μέν ἐστιν ἐν ἡλίῳ, τὸ δέ ἐστιν ἐν σελήνῃ, τὸ δὲ ἐστιν ἐν ἄστροις, τὸ δὲ ἐν ἀστραπαῖς, τὸ δὲ ἐν ἀέρι, τὸ δὲ ἀπὸ ξύλων, τὸ περὶ ἡμᾶς, καὶ τὸ λυχνιαῖον, τὸ δὲ ἀπὸ γῆς· καὶ γάρ ἐστι πολλαχοῦ τοιοῦτον ἀπὸ γῆς ἀναδιδόμενον, ὥσπερ αἱ πηγαὶ τῶν ὑδάτων· τὸ δὲ ἐν λίθοις παρατριβομένοις, τὸ δὲ ἐν κόμαις δένδρων, καὶ αὐτῶν παρατριβομένων, τὸ δὲ ἐν κεραυνοῖς. Οὕτω δὴ καὶ ἐν ἀέ-

ται παραμένοντας ἀκίνητος, νὰ ὡριμάζουν τοὺς καρπούς, νὰ τρέφουν τὰ σώματα. Τί θὰ μποροῦσε νὰ πεῖ κανένας γιὰ τὴ χρησιμότητα αὐτῶν στὴ ναυτιλία, τὶς ἐποχὲς κατὰ τὶς ὁποῖες πνέουν σύμφωνα μὲ προκαθορισμένο σχέδιο, παραχωρώντας τὴ θέση του ὁ ἕνας στὸν ἄλλο, πνέοντας κατὰ τρόπο τρελλὸ στὸ πέλαγος καὶ μεταφέροντας αὐτοὺς ποὺ ταξιδεύουν; Καὶ ὁ μὲν ἕνας παραχωρεῖ τὴ θέση του στὸν ἄλλο, ὁ δὲ ἄλλος διαδέχεται αὐτόν, καὶ διασχίζουν ἀντίθετους δρόμους, καὶ ἀλληλοβοηθοῦνται καὶ ἡ διαμάχη αὐτῶν ἀποβαίνει πάλι ὠφέλιμη. Καὶ ἄπειρα ἄλλα ἔργα τῶν ἀνέμων θὰ μποροῦσε ν' ἀναφέρει κάποιος. Ἀλλ' ὅμως παραλείποντας ὅλα αὐτὰ ὁ προφήτης καὶ ἀφήνοντάς τα νὰ τὰ ἀναλογίζεται ὁ ἀκροατής, αὐτὸς μόνο τὴν εὐκολία τῆς δημιουργίας παρουσίασε. Διότι μὲ τὸ νὰ πεῖ, «Ἀπὸ τὸ θυσαυροφυλάκιό του», δὲν θέλει νὰ δηλώσει, ὅτι ὑπάρχουν ὁρισμένοι θησαυροὶ ἀνέμων, ἀλλὰ θέλει νὰ δείξει τὴν εὐκολία αὐτοῦ ποὺ τοὺς ἐποπτεύει, τὴν ἑτοιμότητα τῆς κτίσεως καὶ τὴν προθυμία αὐτῆς. Διότι ὅπως ἀκριβῶς ἐκεῖνος, ποὺ ἔχει πράγματα φυλαγμένα στὸ θησαυροφυλάκιο, τὰ βγάζει ἀπὸ μέσα ὅλα μὲ πολλὴ εὐκολία καὶ ὅταν θέλει, ἔτσι καὶ ὁ δημιουργὸς τοῦ παντὸς ὅλα τὰ δημιούργησε μὲ εὐκολία καὶ τὰ παρέδωσε στὴ φύση.

Εἶδες πόση διαφορὰ ὑπάρχει καὶ στὸν ἀέρα καθὼς ἐπίσης καὶ πόσες ἐναλλαγὲς μέσα στὸ νερὸ καὶ στὸ πῦρ; Καθόσον ἄλλο μὲν ἀπὸ τὸ νερὸ εἶναι πηγαῖο, ἄλλο θαλάσσιο, ἄλλο ἀέριο, ἄλλο μέσα στὰ σύννεφα, ἄλλο οὐράνιο, ἄλλο ἐπάνω ἀπὸ τοὺς οὐρανοὺς καὶ ἄλλο ὑπόγειο. Καὶ ὡς πρὸς τὸ πῦρ, ἄλλο μὲν ὑπάρχει στὸν ἥλιο, ἄλλο στὴ σελήνη, ἄλλο στὰ ἄστρα, ἄλλο στὶς ἀστραπές, ἄλλο στὸν ἀέρα, ἄλλο δημιουργεῖται ἀπὸ τὶς ὕλες, ἄλλο ὑπάρχει τριγύρω μας, ἄλλο δημιουργεῖται ἀπὸ τὴ λυχνία καὶ ἄλλο ἀπὸ τὴ γῆ· καθόσον ὑπάρχει παρόμοιο πῦρ ποὺ ἀναδίδεται ἀπὸ πολλὰ μέρη τῆς γῆς, ὅπως οἱ πηγὲς τῶν ὑδάτων· καὶ ἄλλο μὲν δημιουργεῖται ἀπὸ τὴν τριβὴ τῶν λίθων, ἄλλο ἀπὸ τὰ κλαδιὰ τῶν δένδρων μετὰ ἀπὸ προστριβὴ αὐτῶν, ἄλλο δὲ ὑπάρχει στοὺς κεραυνούς. Ὅμοια λοιπὸν καὶ στὸν ἀέ-

ρι, ὁ μέν ἐστι παχύτερος, ὁ περὶ ἡμᾶς, ὁ δὲ λεπτότερος, ὁ δὲ ἀνώτερος πάλιν πυρωδέστερος. Καὶ τῶν ἀνέμων πολλαὶ αἱ διαφοραί· ὁ μὲν γὰρ λεπτότερος, ὁ δὲ παχύτερος· ὁ μὲν ψυχρότερος, ὁ δὲ ξηρότερος· ὁ μὲν ὑγρότερος, ὁ δὲ θερμότερος. Ἀὴρ δὲ καὶ νέφος, τὸ μὲν σχολαιότερον, τὸ δὲ ταχύτερον χωρεῖ, καθάπερ ἐφ' ἵππων. Οὕτω δὴ καὶ ἐπὶ νεφελῶν καὶ ἀνέμων, αἱ μὲν ἐοίκασιν ὑδροφόροις σκεύεσι, ποτὲ μὲν ὑδάτων ἐμπεπλησμέναι, ποτὲ δὲ κεναὶ φερόμεναι· αἱ δὲ ῥιπίδι ἐοίκασι. Σὺ δὲ ταῦτα ὁρῶν καὶ τὴν διαφορὰν καὶ τὴν ποικιλίαν αὐτῶν, θαύμαζε τὸν δημιουργόν.

«Ὃς ἐπάταξε τὰ πρωτότοκα Αἰγύπτου». Εἰπὼν τὰ καθόλου, καὶ δείξας τοῦ Θεοῦ τὴν πρόνοιαν τὴν περὶ τὴν οἰκουμένην ἅπασαν, διὰ τῶν ἀστραπῶν, διὰ τῶν ἀνέμων, διὰ τῶν ἀέρων, διὰ τῶν νεφελῶν, διὰ τῶν ὑετῶν, καὶ ἐλέγξας τὴν ληδωρίαν τῶν μέχρι σελήνης πρόνοιαν λεγόντων εἶναι, ἐπὶ τὸ μερικὸν ἔρχεται τὸ περὶ Ἰουδαίους μέρος. Ὅτι μὲν γὰρ γῆ, καὶ οὐρανός, καὶ τὰ ὁρώμενα πάντα τῆς αὐτοῦ φιλανθρωπίας ἀπολαύει, ἔδειξε διὰ τῶν εἰρημένων· ἵνα δὲ εὐγνωμονεστέρους Ἰουδαίους ἐργάσηται, καὶ τὰ μερικὰ διηγεῖται, δεικνὺς ὅτι ὁ καθόλου Θεός, καὶ τῶν ἁπάντων προνοῶν, ἰδικὰς αὐτοῖς τινας εὐεργεσίας ἐχαρίσατο. Καίτοι καὶ τὰ εἰς ἐκείνους γινόμενα, καθολικὰ πάλιν ἦν. Τό τε γὰρ ἐκ τῶν ἄλλων αὐτοὺς ἐξειλέχθαι, παραζηλοῦν ἐκείνους ἐποίει· ὅπερ καὶ ὁ Παῦλος δεικνὺς λέγει· «Τῷ αὐτῶν παραπτώματι ἡ σωτηρία τοῖς ἔθνεσιν, εἰς τὸ παραζηλῶσαι αὐτούς». Καὶ γὰρ ὥσπερ πατὴρ ἐπὶ παιδίων ἀφισταμένων αὐτοῦ, λαβὼν ἓν ἐξ αὐτῶν ἐπὶ τῶν γονάτων καθίζει, καὶ οὐ δι' ἐκεῖνο τοῦτο ποιεῖ, ἀλλὰ πολλῷ μᾶλλον διὰ τὰ ἄλλα, ὥστε δηχθέντα αὐτὰ τῇ τιμῇ

---

7. Ρωμ. 11, 11.

ρα, ἄλλος μὲν εἶναι πυκνότερος, αὐτὸς δηλαδὴ ποὺ μᾶς περιβάλλει, ἄλλος ἀραιότερος, ὁ δὲ ἄλλος ποὺ βρίσκεται ψηλότερα εἶναι πιὸ φλογερός. Καὶ στοὺς ἀνέμους δὲ ὑπάρχουν πολλὲς διαφορές· διότι ἄλλος μὲν εἶναι λεπτότερος, ἄλλος δὲ πυκνότερος· ἄλλος μὲν εἶναι ψυχρότερος, ἄλλος δὲ ξηρότερος· ἄλλος μὲν εἶναι ὑγρότερος, ἄλλος δὲ θερμότερος. Σχετικὰ δὲ μὲ τὸν ἀέρα καὶ τὸ σύννεφο, τὸ μὲν ἕνα κινεῖται μὲ βραδύτητα, τὸ δὲ ἄλλο προχωρεῖ ταχύτερα, σὰν ἀκριβῶς τοὺς ἔφιππους. Ἔτσι λοιπὸν καὶ στὴν περίπτωση τῶν νεφῶν καὶ τῶν ἀνέμων, τὰ μὲν νέφη μοιάζουν μὲ ὑδροφόρα σκεύη, ποὺ ἄλλοτε μὲν εἶναι γεμάτα ἀπὸ νερό, ἄλλοτε δὲ διασχίζουν τὸν οὐρανὸ ἄδεια, οἱ δὲ ἄνεμοι μοιάζουν μὲ ἀνεμιστῆρα. Σὺ ὅμως βλέποντας αὐτὰ καὶ τὴ διαφορὰ καὶ τὴ ποικιλία αὐτῶν, θαύμαζε τὸ δημιουργό.

«Αὐτὸς εἶναι ἐκεῖνος ποὺ ἐπάταξε μὲ θάνατο τὰ πρωτότοκα τῆς Αἰγύπτου». Ἀφοῦ μίλησε γιὰ τὰ γενικὰ πράγματα καὶ ἔδειξε τὴν πρόνοια τοῦ Θεοῦ γιὰ ὁλόκληρη τὴ οἰκουμένη ποὺ ἐκδηλώνεται μὲ τὶς ἀστραπές, μὲ τοὺς ἀνέμους, μὲ τὸν ἀέρα, μὲ τὰ νέφη, μὲ τὶς βροχὲς καὶ ἔλεγξε τὴ μωρολογία ἐκείνων ποὺ ἰσχυρίζονται ὅτι ἡ πρόνοιά του φθάνει μέχρι τὴ σελήνη, ἔρχεται στὰ ἐπὶ μέρους, δηλαδὴ σ' ἐκεῖνα ποὺ ἀφοροῦν τοὺς Ἰουδαίους. Διότι τὸ ὅτι μὲν ἡ γῆ, ὁ οὐρανὸς καὶ ὅλα τὰ ὁρατὰ ἀπολαμβάνουν τὴ φιλανθρωπία αὐτοῦ, τὸ ἔδειξε μὲ τὰ ὅσα εἶπε, γιὰ νὰ κάνει ὅμως πιὸ εὐγνώμονες τοὺς Ἰουδαίους, διηγεῖται καὶ τὰ ἐπὶ μέρους, γιὰ νὰ δείξει ὅτι ὁ Θεὸς τοῦ σύμπαντος καὶ προνοητὴς τῶν πάντων χάρισε σ' αὐτοὺς μερικὲς εἰδικὲς εὐεργεσίες. Ἂν καὶ βέβαια καὶ ἐκεῖνα ποὺ ἔγιναν σ' ἐκείνους ἦταν πάλι γενικά. Διότι ἡ ἐκλογὴ αὐτῶν ἀπὸ τοὺς ἄλλους παρακινοῦσε ἐκείνους σὲ ζηλοτυπία, πράγμα ποὺ καὶ ὁ Παῦλος γιὰ νὰ δηλώσει, λέγει· «Ἐξ αἰτίας τοῦ ἁμαρτήματος αὐτῶν ἦλθε ἡ σωτηρία στοὺς ἐθνικούς, γιὰ νὰ παρακινήσει σὲ ζηλοτυπία τοὺς Ἰσραηλίτες»[7]. Καθόσον ὅπως ἀκριβῶς ἕνας πατέρας, ἀπὸ τὸν ὁποῖο ἀπομακρύνονται τὰ παιδιά του, ἀφοῦ λάβει ἕνα ἀπὸ αὐτὰ τὸ καθίζει στὰ γόνατά του, καὶ δὲν τὸ κάνει αὐτὸ τόσο γιὰ ἐκεῖνο, ἀλλὰ πολὺ περισσότερο γιὰ τὰ ἄλλα, ὥστε, ἀφοῦ κατα-

προσδραμεῖν πρὸς τὸν πατέρα τῆς αὐτῆς ἀπολαύσοντα θεραπείας, οὕτω καὶ ὁ Θεὸς ἐπὶ τῶν Ἰουδαίων ἐποίησε. Λαβὼν γὰρ αὐτοὺς οὐκ ἐπὶ τῶν γονάτων, ἀλλ' ἐπὶ τῶν βραχιόνων (καθάπερ ὁ προφήτης φησί), καὶ ἐπὶ τῶν μεταφρένων ἀνέλαβεν αὐτούς, χαρίζεται τὰ ἐκείνοις ποθεινά, ναόν, θυσίας, ἃ μάλιστα ἐζήτουν μετὰ πλείονος τῆς ἀκριβείας, προστασίας τὰς ἐν πολέμοις, νίκας, τρόπαια, τὴν ἀπὸ τῆς γῆς εὐθηνίαν, τὴν τῆς φύσεως εὐετηρίαν, τούτοις τε τούτους καλλωπίζων, καὶ τοὺς ἄλλους εἰς ζῆλον ἄγων. Ἀλλ' ἐπειδὴ ἔμελλον φαῦλοι γίνεσθαι διαπαντὸς κολακευόμενοι, καὶ διὰ τῶν τιμωριῶν αὐτοὺς ῥυθμίζει. Πολλὴ γὰρ ἡ τοῦ Θεοῦ σοφία, καὶ ἐξ ἀμηχάνων εὑρίσκει πόρους.

4. Καὶ ὅρα προφήτου σύνεσιν· ἀπὸ τῶν καθόλου εἰς ταῦτα τὸν λόγον ἐξαγαγών, ἵνα μή τις τῶν ἀνοήτων μερικὸν νομίσῃ τὸν Θεὸν εἶναι, ὅτε ἐπὶ τὰ καθόλου ἦλθε, τότε τούτων ἅπτεται τῶν λόγων, καί φησιν· «Ὃς ἐπάταξε τὰ πρωτότοκα Αἰγύπτου». Ἆρα οὐ δοκεῖ μᾶλλον ὑμῖν διὰ τοὺς Ἰουδαίους γεγενῆσθαι ταῦτα; Ἂν τοίνυν δείξω, ὅτι δι' ἑτέρους ταῦτα ἐγένετο, τί ἐροῦσιν οἱ μὴ καθόλου τοῦ Θεοῦ τὴν πρόνοιαν λέγοντες; Πῶς οὖν ἐστι δεῖξαι; Μάλιστα μὲν γὰρ ἀρκεῖ ἡ τοῦ Θεοῦ ἀπόφασις, ἡ σαφῶς αὐτὸ δηλοῦσα, καὶ λέγουσα· «Ὅπως ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου, καὶ ὅπως διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ». Εἶδες πληγέλιον τὸν θάνατον γινόμενον, καὶ κήρυγμα τὴν θεήλατον πληγὴν ἐκείνην, πανταχοῦ περιιοῦσαν, καὶ ἀνακηρύττουσαν τὴν τοῦ Θεοῦ δύναμιν; Προνοεῖ τοίνυν τῆς οἰκουμένης ἁπάσης, καὶ ἡνίκα τὰ Ἰουδαίων διοικεῖ. Καίτοι γε ἐγνώρισε τὴν δύναμιν αὐτοῦ καὶ πάλαι, οἷον ἐπὶ τοῦ Ἰωσήφ, ἐπὶ τοῦ Ἀβραάμ, ἀλλ' ὅμως νῦν σαφέστερον.

Πῶς; Τότε μὲν δι' εὐεργεσίας, ὕστερον δὲ καὶ διὰ πληγῆς·

---

8. Ὠσηὲ 11, 3.
9. Δευτ. 32, 11.
10. Ἐξ. 9, 16 καὶ Ρωμ. 9, 17.

πληγωθοῦν αὐτὰ ἐξ αἰτίας τῆς τιμῆς πρὸς ἐκεῖνο, νὰ τρέξουν πρὸς τὸν πατέρα τους καὶ ν' ἀπολαύσουν τὴν ἴδια φροντίδα, ἔτσι καὶ ὁ Θεὸς ἔκαμε μὲ τοὺς Ἰουδαίους. Διότι, ἀφοῦ πῆρε αὐτοὺς ὄχι στὰ γόνατά του, ἀλλὰ στὰ χέρια του[8] (ὅπως ἀκριβῶς λέγει ὁ προφήτης), καὶ τοὺς σήκωσε στοὺς ὤμους του[9], χαρίζει σ' αὐτοὺς ἐκεῖνα ποὺ ποθοῦσαν, τὸ ναό, τὶς θυσίες, τὰ ὁποῖα κατ' ἐξοχὴ ζητοῦσαν μὲ πάρα πολὺ μεγάλο ζῆλο, προστασία στοὺς πολέμους, νίκες, τρόπαια, τὴν ἀφθονία τῶν ἀγαθῶν τῆς γῆς, τὴν εὐημερία τῆς φύσεως, καλλωπίζοντας αὐτοὺς μὲ ὅλα αὐτὰ καὶ παρακινώντας τοὺς ἄλλους σὲ ζῆλο. Ἀλλ' ἐπειδὴ ἐπρόκειτο νὰ φανοῦν ἀνάξιοι καὶ ἀδιάφοροι ἀπὸ τὶς συνεχεῖς κολακεῖες, σωφρονίζει αὐτοὺς καὶ μὲ τὶς τιμωρίες. Διότι μεγάλη εἶναι ἡ σοφία τοῦ Θεοῦ, ποὺ βρίσκει διεξόδους καὶ ἐκεῖ ποὺ ὑπάρχουν ἀδιέξοδοι.

4. Καὶ πρόσεχε σύνεση προφήτη· μεταφέροντας τὸ λόγο ἀπὸ τὰ γενικὰ σ' αὐτά, γιὰ νὰ μὴ νομίσει κάποιος ἀπὸ τοὺς ἀνόητους ὅτι ὁ Θεὸς εἶναι Θεὸς μόνο μερικῶν, ὅταν ἔφερε τὸ λόγο στὰ γενικά, τότε κάμνει λόγο καὶ γι' αὐτά, καὶ λέγει· «Αὐτὸς εἶναι ἐκεῖνος ποὺ ἐπάταξε μὲ θάνατο τὰ πρωτότοκα τῆς Αἰγύπτου». Ἄραγε δὲν νομίζετε ὁπωσδήποτε ὅτι αὐτὰ ἔχουν γίνει γιὰ χάρη τῶν Ἰουδαίων; Ἂν λοιπὸν ἀποδείξω, ὅτι αὐτὰ ἔγιναν καὶ γιὰ χάρη ἄλλων, τί θὰ ποῦν ἐκεῖνοι ποὺ ὑποστηρίζουν ὅτι δὲν εἶναι καθολικὴ ἡ πρόνοια τοῦ Θεοῦ; Πῶς λοιπὸν μπορεῖ νὰ ἀποδειχθεῖ αὐτό; Ὁπωσδήποτε βέβαια ἀρκεῖ ὁ λόγος τοῦ Θεοῦ, ποὺ δείχνει μὲ σαφήνεια αὐτὸ καὶ λέγει· «Γιὰ νὰ δείξω μὲ σένα τὴ δύναμή μου καὶ γιὰ νὰ κηρυχθεῖ τὸ ὄνομά μου σ' ὅλη τὴ γῆ»[10]. Εἶδες τὸ θάνατο ποὺ γίνεται εὐαγγέλιο καὶ τὴ θεόσταλτη ἐκείνη τιμωρία ποὺ γίνεται κήρυγμα, ποὺ μεταφέρεται παντοῦ καὶ διακηρύσσει τὴ δύναμη τοῦ Θεοῦ; Προνοεῖ λοιπὸν γιὰ ὅλη τὴν οἰκουμένη καὶ ὅταν φροντίζει γιὰ τὰ ἰουδαϊκὰ πράγματα. Ἂν καὶ βέβαια γνώρισε τὴ δύναμή του καὶ παλαιότερα, ὅπως στὴ περίπτωση τοῦ Ἰωσὴφ καὶ τοῦ Ἀβραάμ, ἀλλ' ὅμως τώρα πιὸ ξεκάθαρα.

Πῶς; Τότε μὲν μὲ εὐεργεσία, ἀργότερα δὲ καὶ μὲ τιμωρία·

καὶ οὐ διαλιμπάνει, ὃ καὶ πολλάκις ἔφθην εἰπών, συνεχῶς καὶ καθ' ἑκάστην γενεὰν ἀναδεικνὺς ἑαυτὸν διὰ τῶν πραγμάτων, καὶ γνωρίζων. Οὐχ ὁμοίως δὲ ἀεὶ τοῦτο ποιεῖ, ἀλλὰ ποικίλως καὶ διαφόρως· τότε μὲν γὰρ διὰ τῆς γυναικὸς τοῦ Ἀβραάμ, πηρώσας τὰς ὠδῖνας τῆς φύσεως, ὕστερον δὲ διὰ λιμοῦ, καὶ δι' εὐετηρίας· μετὰ δὲ ταῦτα διὰ τῶν πληγῶν τῶν ἐπαλλήλων. Ἐπειδὴ οὖν ἀσθένειαν τοῦ Θεοῦ κατεψηφίζοντο, καὶ ἀνῄρουν αὐτοὶ τὰ πρωτότοκα, καὶ τὸν ποταμὸν ἐφοίνιξαν, δείκνυσι μὲν αὐτοῖς καὶ παρ' αὐτὸν τὸν καιρὸν δι' ἀμυδροτέρων αὐτοῦ τὴν ἰσχύν. Αἱ γὰρ μαῖαι τῶν Αἰγυπτίων καταφρονήσασαι τῶν ἐπιταγμάτων τῶν ὠμῶν ἐκείνων, καὶ παραλογισάμεναι τὸ ἀπηνὲς τοῦ βασιλέως δόγμα, πολλῆς ἀπέλαυσαν τῆς εὐετηρίης. Ταῦτα δὲ ἀμφότερα τῆς τοῦ Θεοῦ προνοίας ἦν· τό τε γὰρ γυναῖκας ἀνδρειοτέρας ἀποφῆναι τῶν τὰ διαδήματα φορούντων, τό τε ἀμοιβὰς ταύταις ἀποδιδόναι, καὶ εἰς πλῆθος αὐτὰς ἐκτεῖναι πολύ. Τὸ γάρ, «Εὖ ἐποίει ταῖς μαίαις», τοῦτό ἐστιν, ἐξετάθη αὐτῶν ἡ συγγένεια· δι' ὧν γὰρ εὐηργέτουν τοὺς Ἰουδαίους, διὰ τούτων ἐλάμβανον παρὰ τοῦ Θεοῦ τὰς ἀμοιβάς.

Ἐπειδὴ τοίνυν οὐκ ἀνῄρουν αὐτῶν τὰ τέκνα, καὶ αὐταῖς πολυπαιδίαν ὁ Θεὸς ἐχαρίσατο. Ἐπειδὴ δὲ ἐπέμενον ἀναισθήτως διακείμενοι, δὀξυτέραν ἐπήγαγε τὴν πληγήν, καὶ ἐμάνθανε μὲν ἡ οἰκουμένη, ἐμάνθανον δὲ καὶ οἱ Αἰγύπτιοι· καὶ ἐκεῖνοι μὲν ἐξ ἀκοῆς, οὗτοι δὲ ἐν τοῖς οἰκείοις πάθεσι, καὶ ὄψει, καὶ πείρᾳ τοῦ Θεοῦ τὴν δύναμιν ἑώρων. Διὰ γὰρ τοῦτο καὶ προέλεγεν αὐτοῖς, ἵνα μὴ συντυχίας τινὸς εἶναι νομισθείη ἡ πληγὴ καὶ αὐτομάτου θανάτου. Ὅπερ οὖν ἀλλαχοῦ εἴρηται περὶ τοῦ Σωτῆρος, τοῦτο δὴ καὶ ἐνταῦθά ἐστιν εἰπεῖν. Ποῖον δή τοῦτο; «Καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου». Οὐ γὰρ εἰς ἔρημον αὐτοὺς ἐξαγαγών, οὐδὲ ἀλλαχοῦ που, ἀλλ' ἐν αὐτῇ τῇ πόλει τὴν πληγὴν ἐπήγαγε. Καὶ ὅρα καὶ ἐν τῇ πληγῇ φιλανθρωπίαν. Ἀπὸ γὰρ κτηνῶν πρότε-

11. Ἐξ. 1, 20.

12. Ψαλμ. 109, 2.

καὶ δὲν παύει, ὅπως καὶ πολλὲς φορὲς προανέφερα, συνέχεια καὶ σὲ κάθε γενεὰ νὰ καθιστᾶ φανερὸ τὸν ἑαυτό του μὲ τὰ ἔργα του καὶ νὰ τὸν γνωρίζει. Ὅμως δὲν τὸ κάνει αὐτὸ μὲ τὸν ἴδιο τρόπο, ἀλλὰ κατὰ τρόπο ποικίλο καὶ διάφορο· διότι τότε μὲν τὸ ἔκανε μὲ τὴ γυναίκα τοῦ Ἀβραὰμ καθιστώντας ἀνίσχυρους τοὺς φυσικοὺς νόμους, ὕστερα δὲ μὲ τὴν πείνα καὶ μὲ τὴν εὐημερία τῶν ἀγαθῶν, στὴ συνέχεια δὲ καὶ μὲ τὶς ἀλλεπάλληλες τιμωρίες. Ἐπειδὴ δηλαδὴ ἀπέδιδαν στὸ Θεὸ ἀδυναμία καὶ φόνευαν αὐτοὶ τὰ πρωτότοκα καὶ κατέβαφαν κόκκινο τὸν ποταμό, δείχνει μὲν τὴ δύναμή του καὶ κατὰ τὸν ἴδιο χρόνο μὲ ἀμυδρὸ τρόπο. Πράγματι οἱ μαῖες τῶν Αἰγυπτίων περιφρονώντας τὰ ἀπάνθρωπα ἐκεῖνα προστάγματα καὶ μὴ λογαριάζοντας τὸ σκληρὸ βασιλικὸ διάταγμα, ἀπόλαυσαν μεγάλης εὐεργεσίας. Αὐτὰ δὲ καὶ τὰ δύο ἦταν ἀποτέλεσμα τῆς πρόνοιας τοῦ Θεοῦ· καὶ τὸ ὅτι δηλαδὴ οἱ γυναῖκες ἀποδείχθηκαν ἀνδρειότερες ἀπὸ ἐκείνους ποὺ φοροῦν τὰ βασιλικὰ στέμματα, καὶ τὸ ὅτι ἀπέδωσε σ' αὐτὲς ἀμοιβές, καὶ αὔξησε πάρα πολὺ τὸ πλῆθος αὐτῶν. Διότι τό, «Εὐεργέτησε τὶς μαῖες»[11], αὐτὸ σημαίνει, ὅτι δηλαδὴ αὐξήθηκε ἡ συγγένεια αὐτῶν· διότι μὲ ἐκεῖνα ποὺ εὐεργετοῦσαν τοὺς Ἰουδαίους, μὲ αὐτὰ λάμβαναν τὶς ἀμοιβὲς ἀπὸ τὸ Θεό.

Ἐπειδὴ λοιπὸν δὲν φόνευαν τὰ τέκνα αὐτῶν, χάρισε ὁ Θεὸς καὶ σ' αὐτὲς πολλὰ παιδιά. Ἐπειδὴ δὲ ἐπέμεναν νὰ συμπεριφέρονται ἀναίσθητα, πρόσθεσε σκληρότερη τὴν τιμωρία, καὶ ἔτσι διδασκόταν μὲν ὅλη ἡ οἰκουμένη, διδάσκονταν δὲ καὶ οἱ Αἰγύπτιοι· καὶ οἱ μὲν κάτοικοι τῆς οἰκουμένης ἐξ ἀκοῆς, οἱ δὲ Αἰγύπτιοι μὲ τὰ παθήματά τους, μὲ τὰ μάτια τους καὶ μὲ τὴν πείρα τους ἔβλεπαν τὴ δυναμη τοῦ Θεοῦ. Γι' αὐτὸ καὶ πρόλεγε σ' αὐτούς, γιὰ νὰ μὴ νομισθεῖ ἡ τιμωρία σὰν κάποιο τυχαῖο γεγονὸς καὶ φυσικὸς θάνατος. Ἐκεῖνο δηλαδὴ ποὺ ἔχει λεχθεῖ ἀλλοῦ γιὰ τὸν Σωτῆρα, αὐτὸ λοιπὸν μποροῦμε καὶ ἐδῶ νὰ ποῦμε. Ποιὸ λοιπὸν εἶναι αὐτό; «Καὶ ἐξουσίαζε ἀνάμεσα στοὺς ἐχθρούς σου»[12]. Διότι δὲν τοὺς μετέφερε στὴν ἔρημο, οὔτε κάπου ἀλλοῦ, ἀλλ' ἐπέβαλε τὴν τιμωρία μέσα στὴν ἴδια τὴν πόλη τους. Καὶ πρόσεχε τὴ φιλανθρωπία τοῦ Θεοῦ καὶ μέσα ἀπὸ τὴν

ρον ἤρξατο, καὶ τότε ἐπὶ τοὺς ἀνθρώπους ἐχώρησε. Τίς οὖν οὐκ ἂν ἀγάσαιτο τὴν δύναμιν, πῶς ἅπαντα ἐν μιᾷ καιροῦ ροπῇ κατήνεγκε, τὴν φειδώ, τὴν σοφίαν τὴν ἀπόρρητον; Οὔτε γὰρ πρώτην αὐτὴν ἐπήγαγε πληγήν, δι' ἑτέρων αὐτοὺς διορθῶσαι βουλόμενος, οὔτε ἐπειδὴ ἐπήγαγε, χωρὶς προρρήσεως ἐπήγαγε. Τί δήποτε; Ἵνα τοῖς ρήμασιν αὐτοὺς σωφρονίσῃ, καὶ μὴ ἔλθωσιν εἰς πεῖραν τῶν πραγμάτων· οὔτε πάλιν ἐπειδὴ οὐ διορθώθησαν, ἀφῆκεν ἀμφίβολον γενέσθαι τὴν πληγήν.

Ἵνα γὰρ μή τις αὐτόματον αὐτὴν νομίσῃ ἢ νόσον, ἢ λοιμὸν αὐτὴν ἐπιοῦσαν, ὅρα πόσα γίνεται. Πρῶτον ὅτι ἐν μιᾷ νυκτὶ πάντες. Δεύτερον ὅτι τὰ πρωτότοκα πάντα. Εἰ γὰρ λοιμὸς ἦν, οὐκ ἂν τῶν πρωτοτόκων πάντων μόνον ἥψατο, καὶ τῶν δευτέρων ἐφείσατο, ἀλλ' ἀδιακρίτως ἂν ἐπὶ πάντας ἦλθε. Τρίτον, ὅτι εἰ λοιμὸς ἦν, οὐκ ἂν τῶν Ἰουδαίων ἀπέσχετο καθόλου, καὶ τῶν Αἰγυπτίων ἥψατο μόνον, ἀλλ' ἐκεῖνα πολλῷ πλέον ἂν κατειργάσατο τὰ σώματα, τὰ πόνῳ καὶ ταλαιπωρίᾳ καὶ τοσούτοις κατειργασμένα κακοῖς, τὰ ἐν πενίᾳ καὶ λιμῷ ἐπὶ τοσοῦτον ταριχευθέντα· οὐχὶ τὰ βασιλικά, οὐδὲ τὰ ἐν ἀξιώμασι, τὰ πολλῆς ἀπολαύοντα ἀδείας, καὶ πολλῆς μετέχοντα τῆς θεραπείας. Εἰ λοιμὸς ἦν οὐκ ἂν ἀθρόον ἐπῆλθεν, ἀλλὰ πάντα τὰ προοίμια ἐπιδεικνύμενος τῆς ἐλεύσεως πρότερον. Νῦν δὲ ὁμοῦ ταῦτα γίνεται, ἵνα ἐλέγχηται τῶν Αἰγυπτίων ἡ ἀγνωμοσύνη.

Καὶ γὰρ μετὰ τὴν πληγὴν ταύτην, καὶ τὸ σαφῶς μαθεῖν, ὅτι θεήλατος ἦν ἡ πληγή, ἀπελθόντας κατεδίωκον τοὺς Ἰουδαίους, ὅπερ τῆς ἐσχάτης ἦν αὐτῶν ἀγνωμοσύνης σημεῖον, καὶ ὑπὲρ τοῦ Θεοῦ μεγίστη ἀπολογία. Ἐπειδὴ γὰρ ἔμελλε παύεσθαι τὰ ση-

τιμωρία. Διότι στὴν ἀρχὴ ἄρχισε τὴ τιμωρία ἀπὸ τὰ κτήνη, καὶ μετὰ προχώρησε στοὺς ἀνθρώπους. Ποιὸς λοιπὸν θὰ μποροῦσε νὰ μὴ θαυμάσει τὴ δύναμη τοῦ Θεοῦ, τὸ πῶς δηλαδὴ μέσα σὲ μιὰ στιγμὴ χρόνου ἔδειξε καὶ τὴ φιλανθρωπία του καὶ τὴν ἀπερίγραπτη σοφία του; Διότι οὔτε πρῶτα ἐπέβαλε αὐτὴν τὴν τιμωρία, θέλοντας αὐτοὺς νὰ διορθώσει μὲ ἄλλο τρόπο, οὔτε ὅταν ἐπέβαλε αὐτήν, τὴν ἐπέβαλε χωρὶς προειδοποίηση. Γιατί τέλος πάντων; Γιὰ νὰ σωφρονίσει αὐτοὺς μὲ τὰ λόγια καὶ νὰ μὴ φθάσουν νὰ δοκιμάσουν τὴν ἔμπρακτη τιμωρία· ἀλλ' οὔτε πάλι, ἐπειδὴ δὲν διορθώθηκαν, ἄφησε νὰ δημιουργηθεῖ ἀμφιβολία γιὰ τὴν τιμωρία.

Γιὰ νὰ μὴ νομίσει λοιπὸν κάποιος αὐτὴν σὰν τιμωρία ποὺ συνέβηκε τυχαῖα, ἢ νόσο, ἢ ἐπιδημία, πρόσεχε πόσα συμβαίνουν. Πρῶτα τὸ ὅτι σὲ μιὰ νύχτα προσβλήθηκαν ὅλοι. Δεύτερο τὸ ὅτι πέθαναν ὅλα τὰ πρωτότοκα. Διότι, ἂν ἦταν ἐπιδημία, δὲν θὰ πρόσβαλλε μόνο ὅλα τὰ πρωτότοκα καὶ θὰ λυπόταν τὰ δευτερότοκα, ἀλλὰ θὰ τὰ πρόσβαλλε ὅλα ἀδιάκριτα. Τρίτο, τὸ ὅτι, ἂν ἦταν ἐπιδημία, δὲν θὰ ἦταν δυνατὸ ν' ἄφηνε ἀπρόσβλητα γενικὰ τὰ παιδιὰ τῶν Ἰουδαίων, καὶ νὰ πρόσβαλλε μόνο τῶν Αἰγυπτίων, ἀλλὰ πολὺ περισσότερο θὰ πρόσβαλλε τὰ σώματα τῶν παιδιῶν τῶν Ἰουδαίων, ποὺ εἶχαν καταβληθεῖ ἀπὸ τὸν πόνο, τὴν ταλαιπωρία καὶ τόσα πολλὰ κακά, καὶ ἦταν ἐξαντλημένα ἐπὶ τόσο χρόνο ἀπὸ τὴν πείνα καὶ τὴ στέρηση· δὲν θὰ προσβάλλονταν τὰ παιδιὰ τῶν βασιλέων, οὔτε τῶν ἀξιωματούχων, ποὺ ἀπολάμβαναν πολλὴ ἄνεση καὶ εἶχαν στὴ διάθεσὴ τους μεγάλη περιποίηση. Ἂν ἦταν ἐπιδημία δὲν θὰ ἐκδηλωνόταν σὲ μιὰ στιγμή, ἀλλὰ θὰ παρουσίαζε πρῶτα ὅλα τὰ συμπτώματα τῆς ἐμφανίσεώς της. Τώρα ὅμως ὅλα αὐτὰ γίνονται συγχρόνως, γιὰ νὰ γίνεται φανερὴ ἡ ἀγνωμοσύνη τῶν Αἰγυπτίων.

Καὶ πράγματι μετὰ τὴν τιμωρία αὐτὴ καὶ ἀφοῦ γνώρισαν πολὺ καλὰ ὅτι ἦταν θεόσταλτη ἡ τιμωρία, βγῆκαν ἔξω καὶ καταδίωκαν τοὺς Ἰουδαίους, πράγμα ποὺ ἦταν δεῖγμα τῆς χειρότερης μορφῆς ἀχαριστίας αὐτῶν καὶ ἡ πιὸ μεγάλη δικαιολογία ὑπὲρ τοῦ Θεοῦ. Διότι, ἐπειδὴ ἐπρόκειτο νὰ σταματήσει τὰ θαύ-

μεῖα, ἐν τοιούτῳ αὐτὰ σημείῳ ἔπαυσεν, ἐν ᾧ καὶ περὶ τῶν ἔμπροσθεν ἀπελογήσατο τοῖς βουλομένοις προσέχειν. Ἵνα γὰρ μή τις λέγῃ τί δήποτε πάντες κολάζονται, τοῦ βασιλέως κατέχοντος τοὺς Ἰουδαίους καὶ διαμαρτάνοντος; διὰ τοῦ ἐσχάτου λύει τὴν ἀπορίαν ταύτην. Πῶς διὰ τοῦ ἐσχάτου; Ὅτι ἡνίκα τὰ πρωτότοκα αὐτῶν ἐπλήγη, καὶ ἄκοντος τοῦ βασιλέως τοὺς Ἰουδαίους ἐξέβαλλον. Ὥστε εἰ καὶ ἐκ προοιμίων ἐβούλοντο, ἴσχυσαν ἂν περιγενέσθαι ἐκείνου. Οὐκ ἄρα παρὰ τὸ μὴ δύνασθαι, ἀλλὰ παρὰ τὸ μὴ βούλεσθαι, οὐκ ἐκράτουν τοῦ βασιλέως. Καὶ ἡ δίωξις δὲ ἡ μετὰ ταῦτα κατηγορίας ἐπίτασις.

5. Τοῦτο δὴ καὶ ἐπὶ Σαοὺλ συνέβη. Ὅτε μὲν γὰρ ἔδει τὸν υἱὸν ἐξελέσθαι, πάντες κοινῇ κολακεύοντες τὸν βασιλέα, καὶ παρανομήσαντα ἐξείλοντο· ὅτε δὲ ἱερέας ἐβούλετο σφάξαι τοσούτους, οὐδὲ φωνὴν ἔρρηξαν, οὐδὲ προέστησαν. Εἰ δὲ τότε τὴν φύσιν εἶχον συμπράττουσαν, ἀλλὰ καὶ ἐνταῦθα τοῦ δικαίου τὴν φύσιν. Ἱερεῖς γὰρ ἦσαν, καὶ ἡ σφαγὴ παράνομος ἦν, καὶ θυμὸς κρίσεως οὐκ ὀρθῆς. Ἀλλ' αἴτιον ἦν ἡ ῥᾳθυμία, καὶ τὸ μὴ σφόδρα ἀλγεῖν ὑπὲρ τῶν ἱερέων. Ὅρα γοῦν οἷα αὐτοὺς μετὰ ταῦτα κατελάμβανε κακά· τῆς γὰρ ὀλιγωρίας ἐκείνης οὐ τὴν τυχοῦσαν ἔτισαν δίκην. Ὅταν οὖν τι παράνομον γένηται, μηδεὶς ἔστω νωθής, ἀλλὰ πυρὸς θερμότερος, καὶ τῶν ἀδικουμένων μὴ ἔλαττον ἀλγείτω, καὶ οὕτω τὰ πλείονα στήσεται τῶν κακῶν.

«Ἀπὸ ἀνθρώπου ἕως κτήνους». Τί δήποτε καὶ τὰ κτήνη; Ἐπειδὴ δι' ἀνθρώπους ταῦτα ἐγίνετο, δι' ἄνθρωπον καὶ κολάζει αὐτά, ὥστε αὐξῆσαι τὸν φόβον, ὥστε ἐπιτεῖναι τὴν συμφοράν, ὥστε δεῖξαι θεήλατον οὖσαν τὴν πληγήν, καὶ ἐκ τῶν οὐρανῶν

---

13. Α' Βασι. 14, 45 καὶ 22, 17.

ματα, μὲ αὐτὸ τὸ θαῦμα κατέπαυσε αὐτά, τὸ ὁποῖο καὶ γιὰ τὰ προηγούμενα ἀποτελοῦσε ἀπολογία αὐτοῦ σ' ἐκείνους ποὺ ἤθελαν νὰ προσέχουν. Γιὰ νὰ μὴ λέγει δηλαδὴ κάποιος, γιατί τέλος πάντων τιμωροῦνται ὅλοι, ἀφοῦ ὁ βασιλιὰς εἶχε τοὺς Ἰουδαίους κάτω ἀπὸ τὴν ἐξουσία του καὶ διέπραττε ἐγκλήματα σὲ βάρος τους; μὲ τὸ τελευταῖο θαῦμα λύει τὴν ἀπορία αὐτή. Πῶς μὲ τὸ τελευταῖο θαῦμα; Μὲ τὸ ὅτι, ὅταν πέθαναν τὰ πρωτότοκά τους, καταδίωκαν τοὺς Ἰουδαίους καὶ χωρὶς τὴ θέληση τοῦ βασιλέως. Ὥστε ἂν τὸ ἤθελαν ἀπὸ τὴν ἀρχή, θὰ μποροῦσαν νὰ ὑπερισχύσουν ἐκείνου. Ἑπομένως δὲν ὑπερίσχυαν τοῦ βασιλέως ὄχι ἐπειδὴ δὲν μποροῦσαν, ἀλλ' ἐπειδὴ δὲν ἤθελαν. Καὶ ἡ καταδίωξη δὲ ποὺ ἀκολούθησε στὴ συνέχεια αὐξάνει τὴν ἐναντίον τους κατηγορία.

5. Αὐτὸ λοιπὸν συνέβηκε καὶ στὴν περίπτωση τοῦ Σαούλ. Διότι, ὅταν μὲν ἔπρεπε νὰ σώσουν τὸν υἱό, κολοκεύοντας τὸ βασιλιὰ ὅλοι μαζί, ἔσωσαν αὐτὸν ἂν καὶ παρανόμησε[13], ὅταν ὅμως ἤθελε νὰ σφάξει τόσους ἱερεῖς, οὔτε λέξη δὲν εἶπαν, οὔτε τοὺς ὑπερασπίσθηκαν. Ἂν δὲ τότε εἶχαν συμπαραστάτη τὴ φυσική συγγένεια, ἀλλὰ καὶ ἐδῶ ὑπερασπιστὴς ἦταν ἡ φύση τοῦ δικαίου. Διότι ἦταν ἱερεῖς, καὶ ἡ σφαγὴ ἦταν παράνομη καὶ θυμὸς ποὺ δὲν ἐπέτρεπε τὴν ὀρθὴ κρίση τοῦ πράγματος. Ἀλλ' αἰτία ἦταν ἡ ἀδιαφορία καὶ τὸ ὅτι δὲν ἔνιωθαν καμιὰ λύπη γιὰ τοὺς ἱερεῖς. Πρόσεχε λοιπὸν ποιὲς συμφορὲς τοὺς βρῆκαν στὴ συνέχεια· διότι δὲν ἦταν τυχαία ἡ τιμωρία ποὺ δοκίμασαν ἀπὸ τὴν ἀδιαφορία ἐκείνη. Ὅταν λοιπὸν συμβαίνει κάτι τὸ παράνομο, κανένας νὰ μὴ παραμένει ἀδιάφορος, ἀλλὰ νὰ γίνεται θερμότερος ἀπὸ τὴ φωτιά, καὶ νὰ μὴ πονᾶ λιγώτερο ἀπὸ ἐκείνους ποὺ ἀδικοῦνται καὶ ἔτσι θὰ ἐμποδίσει τὰ περισσότερα ἀπὸ τὰ κακά.

«Ἀπὸ τὸν ἄνθρωπο μέχρι τὰ κτήνη». Γιατί τέλος πάντων τιμωροῦνται καὶ τὰ ζῶα; Ἐπειδὴ ἔγιναν γιὰ τοὺς ἀνθρώπους, ἐξ αἰτίας τοῦ ἀνθρώπου τιμωρεῖ καὶ αὐτά, ὥστε ν' αὐξήσει τὸ φόβο, ὥστε νὰ μεγαλώσει τὴ συμφορά, ὥστε νὰ δείξει ὅτι τὸ πλῆγμα εἶναι θεόσταλτο, καὶ ὅτι ὁ πέλεμος προέρχεται ἀπὸ

τὸν πόλεμον ἥκοντα. «Ἐξαπέστειλε σημεῖα καὶ τέρατα ἐν μέσῳ σου, Αἴγυπτε». Τί ἐστι τό, «Ἐν μέσῳ σου»; Ἢ τὸν τόπον φησίν, ἢ τὸ φανερῶς. Τὸ γάρ, «Ἐν μέσῳ», πανταχοῦ τὸ φανερῶς δηλοῖ, ὡς ὅταν ἀλλαχοῦ λέγῃ· «Εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς»· ἐπειδὴ τὸ μέσον ἅπασι κατάδηλον. «Ἐξαπέστειλε σημεῖα καὶ τέρατα ἐν μέσῳ σου, Αἴγυπτε». Εἰκότως· πρὸς γὰρ διόρθωσιν τὰ γινόμενα ἐγίνετο, καὶ πρὸς ἐπίδειξιν τῶν ὀφειλόντων κερδαίνειν· οὐ γὰρ ἁπλῶς συνέβαινεν, ἀλλὰ μετὰ πολλῆς τῆς παραδοξοποιίας, ὥστε καὶ τῷ πλήττειν, καὶ τῷ παραδόξως, διπλῆν ἐμποιεῖν τὴν ὠφέλειαν. «Ἐν Φαραώ, καὶ ἐν πᾶσι τοῖς δούλοις αὐτοῦ». Εἶδες τὴν δύναμιν τὴν ἄφατον; πῶς ὁμοῦ πάντων ὄντων, τούτους ἐπεγίνωσκεν ἡ τιμωρία, καὶ ἔπασχον μὲν ἐκεῖνοι, ἐκέρδαινον δὲ ἕτεροι; Πῶς δέ φησιν, «Ἐν πᾶσι τοῖς δούλοις αὐτοῦ»; Καίτοι γε οὐ πάντες εἶχον πρωτότοκα, ἀλλὰ περὶ τῶν ἄλλων σημείων λέγει, καὶ ἐν μὲ Αἰγύπτῳ πληττομένων τούτων ἐκέρδαινον οἱ Ἰουδαῖοι, ἐν δὲ τῇ ἐρήμῳ εὐεργετουμένων Ἰουδαίων, ὠφελοῦντο ἕτεροι· καὶ τὰς μὲν πληγὰς τοῖς πολεμίοις ἐπήγαγε, τὰς δὲ εὐεργεσίας τούτοις, δι' ἑκατέρων πάντας ὠφελῶν.

Καὶ τίνος ἕνεκεν οὐκ εὐεργετεῖ καὶ τούτους; Ὅτι εἰώθασιν οἱ πλείους τῶν ἀνθρώπων πληττόμενοι μᾶλλον ἢ εὐεργετούμενοι τὸν Θεὸν ἐπιγινώσκειν. Ἐπεὶ ὅτι γε αὐτὸς οὐκ ἐβούλετο κολάζει, ὅρα αὐτὸν συνεχῶς ἀνέχοντα τὰς πληγάς, καὶ δι' ἑκατέρων αὐτοῦ δεικνύντα καὶ τὴν δύναμιν καὶ τὴν φιλανθρωπίαν. Καίτοι γε ἤρκει μετὰ μίαν, καὶ δευτέραν, καὶ τρίτην, ὡς ἀνίατα νοσοῦντας ἀπολέσαι πάντῃ· ἀλλ' ἐβούλετο, ἀλλὰ καίτοι τὰ μέλλοντα προειδώς, καὶ ὅτι οὐδὲ πέμπτῃ, οὐδὲ ἕκτῃ, οὐδὲ δεκάτῃ γενήσονται βελτίους, τὰ αὐτοῦ ποιῶν οὐκ ἐπαύετο· ὅθεν μάλι-

---

14. Ψαλμ. 73, 12.

τοὺς οὐρανούς. «Αὐτὸς ἔστειλε ἀνάμεσά σου, Αἴγυπτε, θαύματα καὶ καταπληκτικὰ σημεῖα». Τί σημαίνει τὸ «ἐν μέσῳ σου»; Ἤ τὸν τόπο ἐννοεῖ, ἢ τὸ ὅτι τὰ ἔκανε αὐτὰ φανερά. Διότι τὸ «Ἐν μέσῳ» παντοῦ δηλώνει τὸ φανερό, ὅπως ὅταν λέγει σὲ ἄλλο μέρος· «Χάρισε τὴ σωτηρία στὸ μέσο τῆς γῆς»[14]· ἐπειδὴ τὸ μέσο εἶναι ὁλοφάνερο σ' ὅλους. «Ἐξαπέστειλε ἀνάμεσά σου, Αἴγυπτε, θαύματα καὶ καταπληκτικὰ σημεῖα». Πολὺ σωστά, διότι τὰ ὅσα γίνονταν εἶχαν σὰν σκοπὸ τὴ διόρθωση καὶ τὴν ἐπίδειξη πρὸς ἐκείνους ποὺ ἔπρεπε νὰ ὠφεληθοῦν· διότι δὲν συνέβαιναν στὴν τύχη, ἀλλὰ μὲ τρόπο πάρα πολὺ παράδοξο, ὥστε καὶ μὲ τὸ πλῆγμα καὶ μὲ τὸν παράδοξο τρόπο ποὺ συνέβαιναν αὐτὰ νὰ παρεῖχαν διπλὴ ὠφέλεια. «Ἐναντίον τοῦ Φαραὼ καὶ ἐναντίον ὅλων τῶν δούλων αὐτοῦ». Εἶδες τὴν ἀπερίγραπτη δύναμη; πῶς, ἐνῶ ἦταν ὅλοι μαζί, αὐτοὺς ἔπληττε ἡ τιμωρία, καὶ δέχονταν μὲν ἐκεῖνοι τὰ κακοπαθήματα, ὠφελοῦνταν δὲ ἄλλοι; Πῶς ὅμως λέγει, «Καὶ ἐναντίον ὅλων τῶν δούλων αὐτοῦ»; Καὶ βέβαια δὲν εἶχαν ὅλοι πρωτότοκα, ἀλλ' ἐννοεῖ καὶ τὰ ἄλλα θαύματα, καὶ ὅτι στὴν μὲν Αἴγυπτο, ἐνῶ δέχονται αὐτοὶ τὰ πλήγματα, ὠφελοῦνταν οἱ Ἰουδαῖοι, στὴν ἔρημο ὅμως, ἐνῶ εὐεργετοῦνταν οἱ Ἰουδαῖοι, ὠφελοῦνταν ἄλλοι· καὶ τὰ μὲν πλήγματα ἐπέφερε ἐναντίον τῶν ἐχθρῶν, τὶς δὲ εὐεργεσίες σ' αὐτούς, ὠφελώντας καὶ μὲ τὰ δύο ὅλους.

Καὶ γιὰ ποιὸ λόγο δὲν εὐεργετεῖ καὶ αὐτούς; Διότι συνήθως οἱ περισσότεροι ἀπὸ τοὺς ἀνθρώπους συναισθάνονται τὸ Θεὸ περισσότερο ὅταν τιμωροῦνται παρὰ ὅταν εὐεργετοῦνται. Διότι, τὸ ὅτι βέβαια αὐτὸς δὲν ἤθελε νὰ τοὺς τιμωρεῖ, πρόσεχε αὐτὸν ποὺ συνέχεια ἀναβάλλει τὰ πλήγματα καὶ δείχνει καὶ μὲ τὰ δύο καὶ τὴ δύναμή του καὶ τὴ φιλανθρωπία του. Ἄν καὶ βέβαια θὰ μποροῦσε, μετὰ ἀπὸ μιά, δύο καὶ τρεῖς τιμωρίες, νὰ ἐξολοθρεύσει ἐξ ὁλοκλήρου αὐτούς, ἀφοῦ ἔπασχαν ἀθεράπευτα· ὅμως δὲν ἤθελε, ἀλλ' ἂν καὶ προγνώριζε αὐτὰ ποὺ ἐπρόκειτο νὰ συμβοῦν στὸ μέλλον, καὶ ὅτι οὔτε μὲν τὴν πέμπτη, οὔτε μὲ τὴν ἕκτη, οὔτε καὶ μὲ τὴ δέκατη τιμωρία θὰ γίνουν καλύτεροι, δὲν ἔπαυε νὰ κάμνει αὐτὰ ποὺ ἐξαρτοῦνταν ἀπ' αὐτόν· ἑπομένως

στα καὶ τὴν δύναμιν αὐτοῦ, καὶ τὴν κηδεμονίαν, καὶ τὴν σοφίαν, καὶ τὴν ἀγαθότητά ἐστι θαυμάσαι. Τὴν δύναμιν, ὅτι ἔπληξε· τὴν κηδεμονίαν, ὅτι ἀνέσχε· τὴν σοφίαν, ὅτι εἰδὼς τὰ μέλλοντα τὸ αὐτοῦ ἐποίει· ὃ μάλιστα καὶ αὐτὸ φιλανθρωπίας ἐστί, τὸ ἀπὸ τῶν μικροτέρων ἄρχεσθαι, τὸ ἀπὸ τῶν ἀλογωτέρων. Καὶ προϊὼν δὲ καὶ τοῦ βασιλέως ἥπτετο, ὃ καὶ μάλιστα ἐκκηρυχθῆναι ἐποίει τὰ συμβαίνοντα. Τὰ μὲν γὰρ ἐπὶ τῶν ἰδιωτῶν γινόμενα, εἰκὸς καὶ λαθεῖν, ὅταν δὲ ὁ δεχόμενος τὴν πληγὴν περιφανὴς ᾖ, τὸ κωλύον οὐδὲν πανταχοῦ τὰ πράγματα ἐξηχηθῆναι.

Εἰπὼν τοίνυν τὴν αἰτίαν, δι' ἣν ἐπάταξε, λέγει καὶ τὰς πληγάς, καὶ οὐδὲ ταύτας καταλέγει πολλάκις, οὐδὲ κατ' εἶδος, ἀλλ' ἑνὶ ῥήματι πάσας αὐτὰς αἰνιξάμενος παρέδραμε τῷ εἰπεῖν, «Ἐξαπέστειλε σημεῖα καὶ τέρατα ἐν μέσῳ σου, Αἴγυπτε». Εἶτα πάλιν ἐξ Αἰγύπτου τὸν λαὸν ἐξάγει εἰς τὴν ἔρημον, πανταχοῦ δεικνὺς ὅτι οὐ μερικὸς ὁ Θεός, οὐδὲ εἰς μίαν χώραν κρατῶν, ἀλλὰ πανταχοῦ τῆς οἰκουμένης. Διὸ ἐπήγαγε λέγων· «Ὃς ἐπάταξεν ἔθνη πολλά, καὶ ἀπέκτεινε βασιλεῖς κραταιούς», διὰ πάσης τῆς ὁδοῦ ἐνέχυρα ποικίλως τῆς δυνάμεως αὐτοῦ διδούς, καὶ ἐν τῷ διδάσκειν αὐτοὺς διὰ τῶν πραγμάτων στρατηγῶν. Καὶ γὰρ διὰ τῶν πολέμων καὶ τὰ πρότερα ἐδίδασκεν, ὅτι οὐκ ἀέρος φύσις, οὐ στοιχείων δύναμις, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν, ἀλλ' ἡ στρατηγοῦσα αὐτῶν ἐπολέμει χείρ· καὶ δι' ἑκατέρων ἑκάτερα ἐδείκνυτο, διὰ τῶν ἐν Αἰγύπτῳ τὰ ἐν τῇ ἐρήμῳ, καὶ διὰ τῶν ἐν ἐ-

ἀπὸ αὐτὸ πρὸ πάντων μποροῦμε νὰ θαυμάσουμε καὶ τὴ δύναμη αὐτοῦ, καὶ τὴ φροντίδα του, καὶ τὴ σοφία, καὶ τὴν ἀγαθότητά του. Τὴ δύναμή του, διότι ἐπέφερε ἐναντίον τους πλήγματα· τὴ φροντίδα του, διότι ἀνέβαλε τὴν τιμωρία· τὴ σοφία του, διότι, ἂν καὶ γνώριζε τὰ μελλοντικά, ἔκαμνε ὅ,τι ἐξαρτοῦνταν ἀπ' αὐτόν, πράγμα βέβαια ποὺ κατ' ἐξοχὴ ἀποτελεῖ δεῖγμα τῆς φιλανθρωπίας του, τὸ ὅτι ἔκαμνε τὴν ἀρχὴ ἀπὸ τὰ μικρότερα καὶ ἀπὸ τὰ πιὸ ἄλογα πράγματα. Προχωρώντας ὅμως ἐπέφερε πλήγματα καὶ ἐναντίον τοῦ βασιλέως, πράγμα ποὺ κατ' ἐξοχὴ συντελοῦσε στὸ νὰ γίνουν γνωστὰ τὰ συμβάντα. Διότι, τὰ μὲν πλήγματα ἐναντίον τῶν ἰδιωτῶν, φυσικὸ ἦταν νὰ λησμονηθοῦν, ὅταν ὅμως αὐτὸς ποὺ δέχεται τὸ πλῆγμα εἶναι ἄνθρωπος λαμπρός, τίποτε δὲν ἐμποδίζει τὰ πράγματα νὰ διαδοθοῦν παντοῦ.

'Αφοῦ λοιπὸν ἀνέφερε τὴν αἰτία, γιὰ τὴν ὁποία ἐπέφερε τὶς πληγές, λέγει καὶ τὶς πληγές, καὶ πολλὲς φορὲς οὔτε αὐτὲς τὶς κατονομάζει, οὔτε τὴν κάθε μιὰ ξεχωριστά, ἀλλὰ τὶς παρατρέχει, ὑπονοώντας αὐτὲς ὅλες μαζὶ μὲ ἕνα λόγο, λέγοντας, «'Εξαπέστειλε θαύματα καὶ καταπληκτικὰ σημεῖα ἀνάμεσά σου, Αἴγυπτε». Ἔπειτα πάλι ἀπὸ τὴν Αἴγυπτο μεταφέρει τὸ λαὸ στὴν ἔρημο, γιὰ νὰ δείξει παντοῦ ὅτι ὁ Θεὸς δὲν ἀνήκει σὲ ἕνα μέρος, οὔτε ἐξουσιάζει σὲ μιὰ χώρα, ἀλλὰ σ' ὅλα γενικὰ τὰ μέρη τῆς οἰκουμένης. Γι' αὐτὸ πρόσθεσε, λέγοντας· «Ὁ ὁποῖος ἔδωσε ἰσχυρὰ πλήγματα σὲ πολλὰ ἔθνη καὶ θανάτωσε βασιλεῖς ἰσχυρούς», παρέχοντας σ' αὐτοὺς μὲ κάθε τρόπο ποικίλες ἐγγυήσεις τῆς δυνάμεως αὐτοῦ καὶ καθοδηγώντας αὐτοὺς μὲ διδάγματα ἀπὸ τὰ ἴδια τὰ γεγονότα. Καθόσουν μὲ τοὺς πολέμους δίδασκε καὶ τὰ προηγούμενα, ὅτι δηλαδὴ δὲν κατόρθωνε αὐτὰ οὔτε ἡ φύση τοῦ ἀέρα, οὔτε ἡ δύναμη τῶν στοιχείων, οὔτε κανένα ἄλλο παρόμοιο, ἀλλὰ οἱ πόλεμοι κερδίζονταν μὲ τὸ χέρι τοῦ Θεοῦ ποὺ καθοδηγοῦσε αὐτούς· καὶ μὲ τὰ γεγονότα τῆς μιᾶς περιπτώσεως γίνονταν φανερὰ καὶ τὰ γεγονότα τῆς ἄλλης· μὲ ἐκεῖνα δηλαδὴ ποὺ συνέβηκαν στὴν Αἴγυπτο ἀποδεικνύονταν καὶ τὰ ὅσα συνέβηκαν στὴν ἔρημο, καὶ μὲ τὰ ὅσα συνέβηκαν

ρήμῳ, τὰ ἐν Αἰγύπτῳ. Ὅτε γὰρ αὐτοὶ χωρὶς ὅπλων, καὶ παρατάξεων, καὶ μάχης, ἔβαλλον τοὺς πολεμίους, δῆλον αὐτοῖς ἐποίει, ὅτι καὶ ἐν Αἰγύπτῳ οὐ στοιχείων δεόμενος ταῦτα ἐκίνησε κατ' αὐτῶν, ἀλλὰ ποικίλως καὶ διαφόρως τὴν ἑαυτοῦ δύναμιν ἐνδείξασθαι θέλων, τοῖς οὖσιν εἰς ταῦτα ἐκέχρητο.

«Τὸν Σηὼν βασιλέα τῶν Ἀμορραίων, καὶ τὸν Ὢγ βασιλέα τῆς Βασάν». Οὐκ ἔπεισι τὰς πόλεις, οὐδὲ κατὰ μικρὸν λέγει τὴν παράταξιν, ἀλλὰ πάλιν μεγαλοψύχως παρατρέχει μυρίας νιφάδας θαυμάτων. Δυνάμενος γὰρ ἐνδιατρῖψαι, καὶ τὴν τραγῳδίαν ἐκείνην ἐξογκῶσαι, τοῦτο οὐ ποιεῖ, ἀλλὰ καὶ ἐν πλήθει ὢν καὶ περιουσίᾳ τῶν ἔργων τοῦ Θεοῦ, ἐκ παραδρομῆς ἅπαντα ἔπεισι. Καίτοι γε οἱ μὲν ὡπλισμένοι ἦσαν, καὶ τειχήρεις πόλεις οἰκοῦντες καὶ τὰ τακτικὰ μεμελετηκότες, οἱ δὲ φυγάδες, πολέμων ἄπειροι, δουλείας μακρᾶς ἀπηλλαγμένοι καὶ τυραννίδος χρονίας, λιμῷ ἀναλωθέντες καὶ τιμωρίᾳ, πᾶσι προκείμενοι πρὸς τὸ κακῶς πάσχειν· ἀλλὰ πάντων ἦσαν δυνατώτεροι διὰ τὴν στρατηγοῦσαν αὐτῶν χεῖρα. Εἶχε δὲ καὶ τὸ δίκαιον ὁ πόλεμος. Οὐ γὰρ αὐτοὶ ἐπῄεσαν, ἀλλ' ἐκείνων τὰς αἰτίας παρεχόντων, ἀποτειχιζόντων αὐτοῖς τὴν ὁδόν, ὅπερ ἐσχάτης ἀπανθρωπίας ἦν· τούς τε Ἰδουμαίους οὐκ ἀφῆκεν εἰς πόλεμον εἰσελθεῖν. Ἵνα γὰρ μὴ τῇ σιγῇ θαρροῦντες μετὰ ταῦτα πάλιν ἐπίωσιν, ἀλλ' εἰδῶσι τίσι μὲν πολεμεῖν, τίνων δὲ φείδεσθαι χρή, ἐν τῇ ἐρήμῳ τοῦτο ποιεῖ, διὰ τῶν πραγμάτων νόμον αὐτοῖς τιθείς, πῶς δεῖ κεχρῆσθαι τοῖς ἀπαντῶσι.

6. «Καὶ πάσας τὰς βασιλείας Χαναάν». Εἶδες τὴν οἰκουμένην ἅπασαν ἐντεῦθεν παιδευομένην; Καθάπερ γὰρ πῦρ ἀκάνθαις, οὕτως ἐπῄεσαν ἅπασι, καὶ οὐδεὶς αὐτοὺς φέρειν ἐδύνατο. Ἀ-

στὴν ἔρημο γίνονταν φανερὰ καὶ τὰ γεγονότα τῆς Αἰγύπτου. Διότι ὅταν αὐτοὶ χωρὶς ὅπλα καὶ στρατὸ καὶ μάχη κατέβαλλαν τοὺς ἐχθρούς, φανέρωνε αὐτὸ σ' αὐτούς, ὅτι καὶ στὴν Αἴγυπτο κίνησε ἐναντίον αὐτῶν τὰ φυσικὰ στοιχεῖα ὄχι ἐπειδὴ χρειαζόταν αὐτά, ἀλλά, θέλοντας νὰ δείξει μὲ ποικίλο καὶ διάφορο τρόπο τὴ δύναμή του, χρησιμοποιοῦσε γιὰ τὸ σκοπὸ αὐτὸ τὰ ὑπάρχοντα στοιχεῖα.

«Τὸ βασιλιὰ τῶν 'Αμορραίων Σηὼν καὶ τὸν Ὤγ, τὸ βασιλιὰ τῆς Βασάν». Δὲν ἀναφέρει τὶς πόλεις, οὔτε κἂν κάμνει λόγο γιὰ τὴν παράταξη, ἀλλὰ πάλι μὲ μεγαλοψυχία παρατρέχει ἀμέτρητα πλήθη θαυμάτων. Διότι, ἐνῶ μποροῦσε νὰ ἀσχοληθεῖ μὲ αὐτά, καὶ νὰ ἐξογκώσει τὴν τραγωδία ἐκείνη, δὲν τὸ κάμνει αὐτό, ἀλλ', ἐνῶ βρίσκεται μέσα σὲ πλῆθος καὶ σὲ ἀφθονία ἔργων τοῦ Θεοῦ, τὰ παρατρέχει ὅλα ἐκ παραδρομῆς. Ἂν καὶ βέβαια οἱ μὲν ἐχρθοὶ ἦταν ὁπλισμένοι καὶ κατοικοῦσαν σὲ περιτειχισμένες πόλεις καὶ εἶχαν καλομελετημένα τὰ σχετικὰ μὲ τὸν πόλεμο, ἐνῶ αὐτοὶ ἦταν φυγάδες, ἄσχετοι μὲ πολέμους, μόλις εἶχαν ἀπαλλαγεῖ ἀπὸ μακροχρόνια καὶ τυραννικὴ δουλεία, εἶχαν κακοπαθήσει ἀπὸ τὴν πείνα καὶ τὶς τιμωρίες, καὶ ἦταν ἐκτεθειμένοι σ' ὅλα τὰ κακοπαθήματα, ἀλλ' ὅμως ἦταν δυνατότεροι ἀπὸ ὅλους, γιὰ τὸ λόγο ὅτι τὸ χέρι τοῦ Θεοῦ καθοδηγοῦσε αὐτούς. 'Αλλ' εἶχε ὁ πόλεμος καὶ τὸ δίκιο μὲ τὸ μέρος του. Διότι δὲν ἐπετίθονταν αὐτοί, ἀλλ' ἐκεῖνοι παρεῖχαν τὶς ἀφορμές, ἐμποδίζοντας τὸ δρόμο τους, πράγμα ποὺ ἦταν ἡ χειροτερη μορφὴ ἀπανθρωπιᾶς· καὶ τοὺς 'Ιδουμαίους δὲν τοὺς ἐπέτρεψε νὰ προχωρήσουν σὲ πόλεμο. Διότι, γιὰ νὰ μὴ πάρουν θάρρος ἀπὸ τὴ σιωπὴ καὶ στὴ συνέχεια πάλι τοὺς ἐπιτεθοῦν, ἀλλὰ γιὰ νὰ μάθουν ποιοὺς μὲν πρέπει νὰ πολεμοῦν, ποιοὺς δὲ νὰ εὐσπλαχνίζονται, τὸ κάμνει αὐτὸ στὴν ἔρημο, ὁρίζοντας νόμο μὲ τὰ ἴδια τὰ πράγματα, πῶς πρέπει νὰ συμπεριφέρονται ἐκείνους ποὺ συναντοῦν.

6. «Καὶ ὅλους τοὺς βασιλεῖς τῆς Χαναάν». Εἶδες ποὺ ὅλη ἡ οἰκουμένη διδάσκεται ἀπὸ ἐδῶ; Διότι, ὅπως ἀκριβῶς ἡ φωτιὰ ὁρμᾶ πρὸς τὰ ἀγκάθια, ἔτσι ἐπιτίθονταν ἐναντίον ὅλων, καὶ

κουε γοῦν τί φησιν ὁ Βαλαάμ, οὐκ ἀπὸ τῶν προφητῶν, οὐκ ἀπὸ Μωϋσέως μαθών, ἀλλ' ἀπὸ τῶν πραγμάτων· «Τὸ ἔθνος τοῦτό ἐστι τὸ ἐκλεῖχον πᾶσαν τὴν γῆν»· Εἶδες τὴν μεταφορὰν κυρίως εἰρημένην; Οὐκ εἶπε, τὸ πολεμοῦν, τὸ καταβάλλον, ἀλλά, «Τὸ ἐκλεῖχον», τὸ ἀπονητὶ τῆς νίκης παραστῆσαι βουλόμενος, καὶ τὰ ἀναιμωτὶ γινόμενα τρόπαια, καὶ τὴν ἐξ ἐπιδρομῆς κράτησιν. Οὐδὲ παρατάξεως δέονται, φησί, καὶ συμβολῆς, ἀλλ' ἀρκεῖ μόνον ἐπελθεῖν, καὶ ἅπαντα ἐξίσταται καὶ παραχωρεῖ. Οὐ γὰρ δὴ μόνον νόμῳ πολέμου καὶ παρατάξεως κρατεῖν αὐτοὺς ἐποίει, ἵνα μή τις αὐτοῖς λογίσηται τὰ γινόμενα, ἀλλὰ τὰ στοιχεῖα τῆς οἰκουμένης κατ' αὐτῶν ἐκίνει· διὸ καὶ προκατέβαλλεν αὐτῶν τὰς διανοίας, καὶ χάλαζα κατενεχθεῖσα πολλοὺς ἀπώλεσε, καὶ ἥλιος ἔστη, καὶ τῷ πολέμῳ μῆκος ἔδωκε, καὶ πολλὰ παράδοξα τοιαῦτα ἐγίνετο, καὶ ἠχὴ σαλπίγγων πυρὸς σφοδρότερον τοῖς πύργοις προσβάλλουσα τὰ τείχη κατήνεγκε. Τοῦτο δὲ ἑκατέρους ὠφέλει. Ἐκεῖνοί τε γὰρ ἐμάνθανον, ὡς οὐ παρ' ἀνθρώπων ἐστὶν ὁ πόλεμος, καὶ οὗτοι ἐπαιδεύοντο πρὸς τὸν Θεὸν βλέπειν, καὶ μηδέποτε ἐπὶ τοῖς κατορθώμασι μεγαλοφρονεῖν, ἀλλὰ καὶ καλλωπίζεσθαι καὶ μετριάζειν. Τοῦ γὰρ κρατῆσαι τὸ οὕτω κρατῆσαι μᾶλλον αὐτοὺς ἐκόσμει, ὅπερ καὶ σεμνοὺς ἐποίει, καὶ μετριάζειν ἐδίδασκε· σεμνοὺς μέν, ὅτι τοιοῦτον εἶχον στρατηγόν, μετριάζειν δέ, ὅτι οὐκ οἰκείοις ἐφυσῶντο κατορθώμασι.

«Καὶ ἔδωκε τὴν γῆν αὐτῶν κληρονομίαν, κληρονομίαν Ἰσραὴλ λαῷ αὐτοῦ». Καὶ τοῦτο μέγιστον θαῦμα, τὸ μὴ μόνον ἐκβάλλειν, ἀλλὰ καὶ δυνηθῆναι κατασχεῖν τὴν γῆν, καὶ πόλεις νείμασθαι· ὃ καὶ πολλὴν παρεῖχεν αὐτοῖς τὴν ἡδονήν, πολὺν τὸν

---

15. Ἀριθμ. 22, 4.

κανένας δὲν μποροῦσε νὰ τοὺς ἀντιμετωπίσει. Ἄκουε λοιπὸν τί, λέγει ὁ Βαλαάμ, ποὺ τὸ διδάχθηκε ὄχι ἀπὸ τοὺς προφῆτες, οὔτε ἀπὸ τὸν Μωϋσῆ, ἀλλ' ἀπὸ τὰ ἴδια τὰ γεγονότα. «Τὸ ἔθνος αὐτὸ εἶναι ἐκεῖνο ποὺ θὰ κατακυριεύσει ὅλη τὴ γῆ»[15]. Εἶδες τὴν κυριολεκτικὴ μεταφορικὴ σημασία τῶν λόγων αὐτῶν; Δὲν εἶπε, αὐτὸ ποὺ πολεμᾶ, αὐτὸ ποὺ καταβάλλει, ἀλλὰ «Αὐτὸ ποὺ θὰ κυριεύσει», θέλοντας νὰ παρουσιάσει τὴν χωρὶς κόπο νίκη, καὶ τὰ τρόπαια ποὺ κατορθώθηκαν χωρὶς νὰ χυθεῖ αἷμα, καὶ τὴν ἐπικράτησή τους ἐξ ἐπιδρομῆς. Δὲν χρειάζονται, λέγει, πολεμικῆς παρατάξεως καὶ συγκρούσεως κατὰ μέτωπο, ἀλλ' ἀρκεῖ καὶ μόνο νὰ ἐπιτεθοῦν καὶ τὰ πάντα τρομάζουν καὶ ὑποχωροῦν. Δὲν ἔκαμνε δηλαδὴ αὐτοὺς νὰ ἐπικρατοῦν μόνο μὲ τὸ νόμο τοῦ πολέμου καὶ τὴ στρατιωτικὴ παράταξη, γιὰ νὰ μὴ ἀποδώσει κάποιος τὰ γεγονότα σ' αὐτούς, ἀλλ' ἐξαπέλυε ἐναντίον αὐτῶν τὰ φυσικὰ στοιχεῖα· γι' αὐτὸ καὶ συγκλόνισε ἀπὸ τὴν πρώτη στιγμὴ τὴ σκέψη τους, καὶ πολλοὺς ἐξολόθρευσε μὲ τὴν πτώση τῆς χάλαζας, καὶ ὁ ἥλιος σταμάτησε, καὶ παρέτεινε τὴ διάρκεια τοῦ πολέμου, καὶ πολλὰ παρόμοια παράδοξα συνέβηκαν, καὶ ἦχος σαλπίγγων, προσβάλλοντας ὁρμητικότερα ἀπὸ τὴ φωτιὰ τοὺς πύργους, κατέστρεψε τὰ τείχη. Αὐτὸ δὲ καὶ τοὺς δύο ὠφελοῦσε. Διότι καὶ ἐκεῖνοι μάθαιναν, ὅτι ὁ πόλεμος αὐτὸς δὲν εἶναι ἀνθρώπινος, καὶ αὐτοὶ διδάσκονταν νὰ ἔχουν στραμμένο τὸ βλέμμα τους πρὸς τὸ Θεὸ καὶ νὰ μὴ ὑπερηφανεύονται ποτὲ γιὰ τὰ κατορθωματά τους, ἀλλὰ νὰ συμπεριφέρονται καὶ μὲ σεμνότητα καὶ μὲ μετριοφροσύνη. Διότι τὸ νὰ ἐπικρατήσουν μ' αὐτὸ τὸν τρόπο καὶ ὄχι μὲ τὴ δύναμή τους, ἀποτελοῦσε μεγαλύτερη τιμὴ γι' αὐτούς, πράγμα ποὺ τοὺς ἔκαμνε καὶ σεμνοὺς καὶ τοὺς δίδασκε νὰ εἶναι μετριόφρονες· σεμνοὺς μέν, διότι εἶχαν τέτοιο καθοδηγητή, μετριόφρονες δέ, διότι δὲν ὑπερηφανεύονταν γιὰ δικά τους κατορθώματα.

«Καὶ ἔδωσε τὴ γῆ τους κληρονομία, κληρονομία στὸ λαό του τὸν Ἰσραήλ». Καὶ αὐτὸ εἶναι πάρα πολὺ μεγάλο θαῦμα, τὸ ὄχι μόνο νὰ ἐκδιώξουν τοὺς ἐχθρούς, ἀλλὰ καὶ νὰ μπορέσουν νὰ κυριεύσουν τὴ γῆ τους, καὶ τὶς πόλεις νὰ θέσουν στὴν κατο-

κόσμον, πολλὴν τὴν φαιδρότητα. Καὶ τοῦτο τῆς τοῦ Θεοῦ δυνάμεως. Οὐ γὰρ μικρὸν κατασχεῖν πολεμίων χώραν, ἀλλὰ πολλῆς καὶ ἐνταῦθα χρεία ροπῆς. «Κύριε, τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν». Ἄλλος, «Ἡ ἀνάμνησίς σου». Ἐνταῦθα τῇ δοξολογίᾳ τὸ συνεχὲς δικόπτει τοῦ λόγου, ὅπερ τοῖς ἁγίοις ποιεῖν ἔθος ἀεί. Ἐπειδὰν γὰρ ἀρξάμενοί τι λέγειν τῶν τοῦ Θεοῦ θαυμάτων, πυρωθῶσιν, οὐ πρότερον ἐπὶ τὸ τέλος ἔρχονται, ἕως ἂν ὑπὲρ τῶν εἰρημένων δοξάσωσι τὸν Θεόν, καὶ εὐφημήσωσι, καὶ τὴν ἐπιθυμίαν ἐμπλήσωσι τὴν ἑαυτῶν. Ὅπερ καὶ ὁ Παῦλος πανταχοῦ ποιεῖ, καὶ ἐν προοιμίοις δὲ μάλιστα τῶν ἐπιστολῶν, ὡς ὅταν λέγῃ ταῖς Ἐκκλησίαις τῆς Γαλατίας· «Χάρις ὑμῖν, καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ, τοῦ δόντος ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὸ θέλημα τοῦ Θεοῦ καὶ Πατρὸς ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν». Καὶ ἐν τῇ πρὸς Ρωμαίους· «Ὧν ἡ υἱοθεσία, καὶ ἡ δόξα, καὶ ἡ λατρεία, καὶ ἡ ἐπαγγελία, ὧν οἱ πατέρες, καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν». Καὶ πάλιν ἀλλαχοῦ· «Τῷ δὲ βασιλεῖ τῶν αἰώνων ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ σοφῷ Θεῷ τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν».

Οὕτω δὴ καὶ ὁ προφήτης ἐνταῦθα ἐννοήσας τὴν πρόνοιαν τὴν καθόλου, τὴν ἐν Αἰγύπτῳ πληγήν, τὰς ἐπὶ τῇ ἐρήμῳ γενομένας εὐεργεσίας, τὰς ποικίλας καὶ διαφόρους, τὰς εἰς Ἰουδαίους, τὰς ὑπὲρ ἐκείνων εἰς τοὺς πολεμίους, καὶ πυρωθεὶς ἀπὸ τῆς ἀφάτου αὐτοῦ φιλανθρωπίας, δοξολογίαν ἀνήνεγκε, λέγων· «Κύριε, τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ τὸ μνημόσυνόν σου εἰς γε-

16. Γαλ. 1, 3-5.
17. Ρωμ. 9, 4.
18. Α' Τιμ. 1, 17.

χή τους, πράγμα πού παρεῖχε σ' αὐτοὺς καὶ μεγάλη εὐχαρίστηση καὶ μεγάλη τιμὴ καὶ μεγάλη χαρά. Καὶ αὐτὸ ἦταν ἀποτέλεσμα τῆς δυνάμεως τοῦ Θεοῦ. Διότι δὲν ἦταν μικρὸ πράγμα ἡ κατάκτηση τῆς χώρας τῶν ἐχθρῶν, ἀλλὰ χρειαζόταν καὶ ἐδῶ μεγάλη βοήθεια. «Κύριε, τὸ ὄνομά σου θὰ μένει στὸν αἰῶνα, καὶ θὰ μνημονεύεσαι ἀπὸ τὴ μιὰ γενεὰ στὴν ἄλλη». Ἄλλος λέγει, «Ἡ ἀνάμνησή σου». Ἐδῶ μὲ τὴ δοξολογία διακόπτει τὸ λόγο, πράγμα πού συνηθίζουν πάντοτε νὰ κάμνουν οἱ ἅγιοι. Διότι ὅταν, ἀρχίζοντας νὰ ὁμιλοῦν γιὰ τὰ θαυμαστὰ ἔργα τοῦ Θεοῦ, διαθερμανθοῦν, δὲν τερματίζουν τὸ λόγο πρὶν δοξάσουν τὸ Θεὸ γι' αὐτὰ πού μίλησαν καὶ πρὶν ἀπευθύνουν ὕμνους εὐχαριστίας πρὸς αὐτόν, καὶ ἱκανοποιήσουν ἔτσι τὴν ἐπιθυμία τους. Αὐτὸ ἀκριβῶς κάμνει παντοῦ καὶ ὁ Παῦλος, καὶ μάλιστα στὴν ἀρχὴ τῶν ἐπιστολῶν του, ὅπως ὅταν λέγει πρὸς τὶς Ἐκκλησίες τῆς Γαλατίας· «Χάρη νὰ δίνεται σὲ σᾶς καὶ εἰρήνη ἀπὸ τὸ Θεὸ καὶ Πατέρα μας καὶ ἀπὸ τὸν Κύριό μας τὸν Ἰησοῦ Χριστό, πού ἔδωσε τὸν ἑαυτό του γιὰ τὶς ἁμαρτίες μας, σύμφωνα μὲ τὸ θέλημα τοῦ Θεοῦ καὶ Πατέρα μας, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν»[16]. Καὶ στὴν Πρὸς Ρωμαίους λέγει· «Στοὺς ὁποίους ἀνήκει ἡ υἱοθεσία, καὶ ἡ δόξα, καὶ ἡ λατρεία καὶ ἡ ὑπόσχεση, ἀπὸ τοὺς ὁποίους προέρχονται οἱ πατέρες καὶ ἀπὸ τοὺς ὁποίους προέρχεται ἀπὸ ἀνθρώπινης πλευρᾶς ὁ Χριστός, ὁ ὁποῖος εἶναι ὑπεράνω ὅλων, Θεὸς εὐλογητὸς στοὺς αἰῶνες. Ἀμήν»[17]. Καὶ πάλι ἀλλοῦ λέγει· «Στὸν δὲ βασιλιὰ τῶν αἰώνων, τὸν ἄφθαρτο, τὸν ἀόρατο, τὸ μόνο σοφὸ Θεὸ ἂς ἀναπέμπεται τιμὴ καὶ δόξα στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν»[18].

Ἔτσι λοιπὸν καὶ ὁ προφήτης ἐδῶ, ἀφοῦ ἔφερε στὴ σκέψη του τὴν γενικὴ πρόνοια τοῦ Θεοῦ, τὶς πληγὲς τῆς Αἰγύπτου, τὶς εὐεργεσίες πού τοὺς ἔγιναν στὴν ἔρημο, τὶς ποικίλες καὶ διάφορες, αὐτὲς πού ἔγιναν στοὺς Ἰουδαίους, αὐτὲς πού ἔγιναν γιὰ χάρη αὐτῶν πρὸς τοὺς ἐχθρούς τους, καὶ ἀφοῦ διαθερμάνθηκε ἀπὸ τὴν ἀπερίγραπτη φιλανθρωπία του, ἀνέπεμψε δοξολογία, λέγοντας· «Κύριε, τὸ ὄνομά σου μένει στὸν αἰῶνα, καὶ θὰ μνη-

νεὰν καὶ γενεάν». Τουτέστιν, ἡ δόξα σου διηνεκής. Οὐδὲν γὰρ αὐτὴν λυμαίνεται, οὐδὲν αὐτὴν διακόπτει, ἀλλ' ἔστιν ἀεί, καὶ μένει ἄτρεπτος, ἀμετάβλητος, ἀνθοῦσα, ἀκμάζουσα. Τί δέ ἐστι, «Τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν»; Ἡ μνήμη, φησίν, ἡ περὶ σοῦ, ἀτελεύτητος καὶ πέρας οὐκ ἔχουσα.

«Ὅτι κρινεῖ Κύριος τὸν λαὸν αὐτοῦ, καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται». Ἢ ἀμφότερα ταῦτα περὶ τοῦ λαοῦ ἔστιν εἰπεῖν, ὅτι δίκην ἀπαιτήσει, καὶ μετὰ ταῦτα παύσεται καὶ ἀνακτήσεται αὐτούς, ἢ διελόντας, τὸ μὲν «Παρακληθήσεται», περὶ τοῦ λαοῦ, τὸ δὲ «Κρινεῖ», περὶ τῶν πολεμίων. Τουτέστι, τοὺς μὲν ἀνακτήσεται· τοῦτο γάρ ἐστι τό, «Παρακληθήσεται». Κρινεῖ δὲ τοὺς πολεμίους, τουτέστι, δίκην ἀπαιτήσει ὑπὲρ αὐτῶν. Εἶτα ἐπειδὴ οὐκ εἶχεν ἀπὸ βίου κατορθώματα αὐτῶν εἰπεῖν, τοῖς δικαιώμασι τούτοις κέχρηται, τῷ ὀνόματι τοῦ λαοῦ, καὶ τῷ ὀνόματι τῶν δούλων. Εἰπὼν δέ, «Παρακληθήσεται», δείκνυσι τῆς τοῦ Θεοῦ φιλανθρωπίας τὴν καταλλαγήν, οὐ τῆς ἐκείνων ἀξίας. Ὅπου γὰρ παράκλησις, συγγνώμης χρεία· ὅπου δὲ συγγνώμης χρεία, οὐκ ἀξία κατορθωμάτων, ἀλλὰ φιλανθρωπίας καιρός. Ἐπειδὴ τοίνυν εἶπεν ἀνωτέρω, «Τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν», μόνοι δὲ τῶν ἄλλων ἐθνῶν αὐτοὶ Θεὸν ἐπεγράφοντο τότε, τοιοῦτόν τι αἰνίττεται διὰ τούτου, καὶ λέγει, ὅτι ἡ σωτηρία ἐπὶ τὸν λαὸν τὴν δόξαν τὴν παρὰ τοῖς πολλοῖς περὶ σοῦ οὖσαν δείκνυσιν. Ἡ μὲν γὰρ φύσει προσοῦσα αὐτῷ δόξα, κἂν μηδεὶς ὁ θεραπεύων ᾖ, μένει ἀμείωτος, ἀκατάλυτος, ἀναλλοίωτος· ἡ δὲ παρὰ πολλοῖς εὐφημία, καὶ ἀπὸ τῆς ἡμετέρας σωτηρίας δειχθήσεται, ἀπολαβόντων ἡμῶν τὴν πόλιν, καὶ τὸ ἱερόν, καὶ τὸν ναόν, καὶ ἐπὶ τῆς προτέρας γενομένων πολιτείας πάλιν.

7. «Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χει-

μονεύεται ἀπὸ τὴ μιὰ γενεὰ στὴν ἄλλη». Δηλαδὴ ἡ δόξα σου εἶναι αἰώνια. Διότι τίποτε δὲν τὴν καταστρέφει, οὔτε τὴν διακόπτει, ἀλλὰ πάντοτε ὑπάρχει, καὶ μένει ἀμετάτρεπτη, ἀμετάβλητη, ἀνθίζει καὶ ἀκμάζει. Τί σημαίνει, «Τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν»; Ἡ ἀνάμνησή σου, λέγει, εἶναι ἀπέραντη καὶ δὲν ἔχει τέλος.

«Διότι ὁ Κύριος θὰ κρίνει τὸ λαό του καὶ θὰ θελήσει νὰ βοηθήσει τοὺς δούλους του». Ἢ καὶ τὰ δυὸ αὐτὰ μποροῦμε νὰ ποῦμε ὅτι ἀναφέρονται γιὰ τὸ λαό του, ὅτι δηλαδὴ θὰ ἐπιβάλει τιμωρία σ' αὐτοὺς καὶ μετὰ ἀπὸ αὐτὸ θὰ σταματήσει καὶ θὰ τοὺς ξανακάνει πάλι δικούς του, ἢ ξεχωρίζοντάς τα, τὸ μὲν «παρακληθήσεται» λέγεται γιὰ τὸ λαό, τὸ δὲ «κρινεῖ», γιὰ τοὺς ἐχθρούς. Δηλαδή, αὐτοὺς μὲν θὰ τοὺς ξανακάνει δικούς του· διότι αὐτὸ σημαίνει τὸ «παρακληθήσεται»· θὰ κρίνει δὲ τοὺς ἐχθρούς, δηλαδὴ θὰ τοὺς τιμωρήσει γιὰ χάρη τους. Ἔπειτα, ἐπειδὴ δὲν εἶχε ν' ἀναφέρει κατορθώματα τῆς ζωῆς τους, χρησιμοποιεῖ αὐτὰ ποὺ δικαιοῦνταν, τὸ ὄνομα τοῦ λαοῦ καὶ τὸ ὄνομα τῶν δούλων. Λέγοντας δὲ τὸ «παρακληθήσεται», δείχνει τὴ φιλανθρωπικὴ διάθεση τοῦ Θεοῦ πρὸς συμφιλίωση, καὶ ὄχι κάτι ποὺ ἄξιζαν αὐτοί. Διότι ὅπου ὑπάρχει παράκληση, ἐκεῖ χρειάζεται καὶ συγχώρηση· ὅπου δὲ χρειάζεται συγχώρηση, δὲν ἔχουν ἀξία τὰ κατορθώματα, ἀλλ' εἶναι καιρὸς φιλανθρωπίας. Ἐπειδὴ λοιπὸν εἶπε προηγουμένως, «Τὸ ὄνομά σου θὰ μνημονεύεται ἀπὸ τὴ μία γενεὰ στὴν ἄλλη», μόνοι δὲ αὐτοὶ τότε ἀπὸ ὅλα τὰ ἄλλα ἔθνη σέβονταν τὸ Θεό, κάτι παρόμοιο ὑπαινίσσεται μ' αὐτό, καὶ λέγει, ὅτι ἡ σωτηρία τοῦ λαοῦ φανερώνει τὴ δόξα τοῦ ὀνόματός σου ἐκ μέρους τῶν ἄλλων ἀνθρώπων. Διότι ἡ δόξα ποὺ ἔχει αὐτὸς ἐκ φύσεως, καὶ ἂν ἀκόμη δὲν ὑπάρχει κανένας ποὺ νὰ σέβεται αὐτόν, παραμένει ἀμείωτη, ἀκατάλυτη καὶ ἀναλλοίωτη, ἡ δοξολογία ὅμως ἐκ μέρους τῶν πολλῶν ἀνθρώπων θ' ἀποδειχθεῖ ἀπὸ τὴ δική μας σωτηρία, ποὺ ξαναποκτήσαμε τὴν πόλη μας, τὸ ἱερό μας, τὸ ναό μας, καὶ ἐπιστρέψαμε καὶ πάλι στὸν προηγούμενο τρόπο ζωῆς μας.

7. «Τὰ εἴδωλα λατρείας τῶν ἐθνικῶν εἶναι ἀπὸ ἄργυρο καὶ

ρῶν ἀνθρώπων». Ἐπειδὴ ἀρχόμενος ἔλεγεν, «Ὁ δὲ Κύριος ἡμῶν παρὰ πάντας τοὺς θεούς», καὶ ἔδοξέ τινα κατὰ σύγκρισιν ὑπεροχὴν εἰσάγειν διὰ τὴν ἀσθένειαν τῶν ἀκουόντων, ὅρα τοῦτο πῶς ἐπιτείνει τῷ λόγῳ. Ἀρξάμενος γὰρ ἀπὸ τῆς τοῦ Θεοῦ δυνάμεως, καὶ εἰπὼν τὰ ἐν τῷ οὐρανῷ, τὰ ἐν τῇ γῇ, τὰ ἐν ταῖς ἀβύσσοις, τὰ εἰς Ἰουδαίους, τὰ ἐπὶ τῆς οἰκείας, τὰ ἐπὶ τῆς ἀλλοτρίας, τὰ ἐπὶ τῶν πολεμίων, τὰ ἐπὶ τῶν ἐθνῶν, εἶτα ἀναμνήσας τὴν χρηστότητα, τὴν φιλανθρωπίαν, τὴν κηδεμονίαν, τὴν σοφίαν, τὴν δύναμιν, καὶ δείξας καθόλου Θεὸν ὄντα, καὶ τῆς οἰκουμένης προνοοῦντα, κωμῳδεῖ λοιπὸν καὶ τῶν εἰδωλικῶν θεῶν τὴν ἀσθένειαν, καὶ εὐθέως ἀπὸ τῆς φύσεως αὐτῆς καταφορικῶς κέχρηται τῷ λόγῳ, μᾶλλον δὲ καὶ τὸ ὄνομα αὐτῶν εἰς κατηγορίαν παράγει. Τὸ γὰρ εἴδωλον οὐδὲν ἕτερόν ἐστιν, ἢ ἀδρανές τι καὶ εὐτελές, καὶ ἀσθενείας ὄνομα ἐπιτεταμένης. Διόπερ ἐντεῦθεν ἄρχεται λέγων· «Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον». Πρῶτον, ὅτι εἴδωλον· δεύτερον, ὅτι ἄψυχος ὕλη καὶ κωφή· τρίτον, ὅτι αὐτὸ τὸ εἴδωλα εἶναι, οὐ μόνον παρ᾽ ἑαυτῶν ἔχουσι τὸ μικρόν, καὶ ἀσθενές, καὶ εὐτελές, ἀλλὰ καὶ παρὰ τῶν ἀνθρώπων. Διὸ καὶ ἐπήγαγεν, «Ἔργα χειρῶν ἀνθρώπων», ὅπερ μεγίστη κατηγορία τῶν θεραπευόντων αὐτούς· ὅτι καὶ αὐτοῦ τοῦ εἶναι αὐτὰ αὐτοὶ ὄντες αἴτιοι, ἐν αὐτοῖς τῆς σωτηρίας τὰς ἐλπίδας ἔχουσι.

«Στόμα», φησίν, «ἔχουσι, καὶ οὐ λαλήσουσιν. Ὀφθαλμοὺς ἔχουσι, καὶ οὐκ ὄψονται. Ὦτα ἔχουσι, καὶ οὐκ ἐνωτισθήσονται. Οὐ γάρ ἐστι πνεῦμα ἐν τῷ στόματι αὐτῶν. Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτά, καὶ πάντες οἱ πεποιθότες ἐπ᾽ αὐτοῖς». «Στόμα», φησίν, «ἔχουσι, καὶ οὐ λαλήσουσιν». Εἶδες πῶς ἐπι-

χρυσὸ καὶ εἶναι κατασκευασμένα ἀπὸ χέρια ἀνθρώπων». Ἐπειδή, ἀρχίζοντας τὸν ψαλμό, ἔλεγε, «Ὁ δὲ Κύριός μας εἶναι ἀνώτερος ἀπὸ ὅλους τοὺς ψευδοθεούς», καὶ φάνηκε ὅτι παρουσίαζε κάποια ὑπεροχὴ αὐτοῦ σὲ σύγκριση μὲ τοὺς ἄλλους θεούς, καὶ αὐτὸ ἐξ αἰτίας τῆς πνευματικῆς ἀδυναμίας τῶν ἀκροατῶν, πρόσεχε πῶς ἐπεκτείνει αὐτὸ μὲ τὸ λόγο. Διότι, ἀφοῦ ἄρχισε ἀπὸ τὴ δύναμη τοῦ Θεοῦ καὶ μίλησε γιὰ τὰ τοῦ οὐρανοῦ, τῆς γῆς, τῶν ἀβύσσων, γιὰ τὰ ὅσα συνέβηκαν στοὺς Ἰουδαίους τόσο στὴ χώρα τους, ὅσο καὶ στὴν ξένη χώρα, γιὰ τὰ ὅσα συνέβηκαν στοὺς ἐχθρούς, στοὺς εἰδωλολάτρες καὶ στὴ συνέχεια, ἀφοῦ ὑπενθύμισε τὴν ἀγαθότητα, τὴ φιλανθρωπία, τὴ φροντίδα, τὴ σοφία καὶ τὴ δύναμη τοῦ Θεοῦ, καὶ ἔδειξε ὅτι εἶναι Θεὸς ὅλου τοῦ κόσμου, καὶ ὅτι φροντίζει γιὰ ὅλη τὴν οἰκουμένη, χλευάζει πλέον καὶ τὴν ἀδυναμία τῶν εἰδωλολατρικῶν θεῶν καὶ ἀμέσως ἀπὸ τὴν ἴδια τὴν φύση στρέφει τὸ λόγο ἐναντίον αὐτῶν, μᾶλλον δὲ καὶ τὸ ὄνομα αὐτῶν τὸν περιβάλλει μὲ κατηγορίες. Διότι, τὸ εἴδωλο τίποτε ἄλλο δὲν εἶναι, παρὰ κάτι τὸ ἀδρανὲς καὶ τελείως ἀσήμαντο, καὶ ὄνομα ποὺ περιέχει πάρα πολὺ μεγάλη ἀδυναμία. Γι' αὐτὸ ἀκριβῶς ἀπὸ ἐδῶ ἀρχίζει τὸ λόγο ἐναντίον αὐτοῦ καὶ λέγει· «Τὰ εἴδωλα τῶν ἐθνικῶν εἶναι κατασκευασμένα ἀπὸ ἄργυρο καὶ χρυσό». Πρῶτα, ὅτι εἶναι εἴδωλο· δεύτερο, ὅτι εἶναι ἄψυχη ὕλη καὶ ἀναίσθητη· τρίτο, τὸ ὅτι εἶναι εἴδωλα, ὄχι μόνο ἀπὸ τὴ φύση τους ἔχουν τὴ μικρότητα, τὴν ἀδυναμία καὶ τὴν εὐτέλεια, ἀλλὰ καὶ ἀπὸ τοὺς ἀνθρώπους. Γι' αὐτὸ καὶ πρόσθεσε, ὅτι «Εἶναι ἔργα ἀνθρώπινων χεριῶν», πράγμα ποὺ ἀποτελεῖ πάρα πολὺ μεγάλη κατηγορία αὐτῶν ποὺ τὰ λατρεύουν· διότι, ἐνῶ αὐτοὶ οἱ ἴδιοι εἶναι αἴτιοι τῆς ὑπάρξεως αὐτῶν, σ' αὐτὰ ἔχουν στηριγμένες τὶς ἐλπίδες τῆς σωτηρίας τους.

«Στόμα ἔχουν καὶ δὲν ὁμιλοῦν. Μάτια ἔχουν καὶ δὲν πρόκειται νὰ δοῦν. Αὐτιὰ ἔχουν καὶ δὲν πρόκειται ν' ἀκούσουν· διότι δὲν ὑπάρχει πνοὴ στὸ στόμα τους. Ἂς γίνουν ὅμοιοι μὲ αὐτὰ αὐτοὶ ποὺ τὰ κατασκευάζουν καὶ ὅλοι ἐκεῖνοι ποὺ στηρίζουν τὶς ἐλπίδες τους σ' αὐτά». «Στόμα», λέγει, «ἔχουν καὶ δὲν

τείνει τὴν κωμῳδίαν, καὶ διελέγχει τὴν ἀπάτην; Ἐπειδὴ γὰρ πολλάκις αὐτὰ δαίμονες κινοῦσιν, ἀπαμφιέννυσι τὴν ὑπόκρισιν καὶ τὸ δρᾶμα, δεικνὺς ὅτι οὐκ ἔστι πνεῦμα ἐν τῷ στόματι αὐτῶν. Καὶ τίνος ἕνεκεν ὁ πονηρὸς δαίμων οὐ χωρὶς ἐκείνων δρᾷ οὐδὲ φθέγγεται; Ἐπειδὴ πορνείας, μοιχείας, μυρίας κακίας αἱ στῆλαι τῶν εἰδώλων εἰσὶν οἱ τύποι τούτων, παιδεύων τοὺς ἀπατωμένους διὰ τῆς ὄψεως τῶν ξοάνων μιμεῖσθαι τὰ πράγματα, ὧν σχήματά ἐστι τὰ εἴδωλα, προσεδρεύει καὶ παρακάθηται κινῶν τε αὐτά, καὶ ἀπατῶν. Εἶτα πάλιν ἕτερον κωμῳδίας εἶδος κινεῖ λέγων· «Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτά». Ἐννόησον ἡλίκοι θεοί, ὧν ἡ ὁμοίωσις ἐν τάξει κεῖται ἀρᾶς. Ἀλλ' οὐ τὰ παρ' ἡμῖν τοιαῦτα. Ἔσχατος γὰρ ἀρετῆς ὅρος, καὶ πρὸς αὐτὴν τὴν κορυφὴν ἀναβῆναι τῶν ἀγαθῶν ποιοῦν, τὸ πρὸς τὸν Θεὸν ὁμοιωθῆναι, κατὰ τὸ ἐγχωροῦν ἡμῖν. Παρὰ δὲ ἐκείνοις ἡ λατρεία, φησί, καὶ οἱ θεοὶ τοιοῦτοι, ὡς τὴν πρὸς αὐτοὺς ὁμοίωσιν ἐν τάξει εἶναι ἀρᾶς τῆς ἐσχάτης. Ὥστε καὶ δι' ὧν ἄψυχός εἰσιν ὕλη, καὶ δι' ὧν παρὰ τῶν θεραπευόντων γίνονται, καὶ δι' ὧν εἴδωλα ἀσχημοσύνης εἰσί, καὶ δι' ὧν ἀναίσθητα κεῖται, καὶ δι' ὧν ἐν τάξει ἀρᾶς προσέθηκε τὴν πρὸς αὐτοὺς ὁμοίωσιν, διὰ πάντων γὰρ δείκνυται τῆς πλάνης ἡ ὑπερβολή.

Εἰπὼν τοίνυν αὐτῶν τὴν ἀσθένειαν, τὴν ἀπάτην, τὴν τῶν δαιμόνων πονηρίαν, τὴν τῶν ποιούντων αὐτὰ ἄνοιαν, καὶ ταχέως αὐτῶν ἀπαλλαγείς, ἐπὶ τὴν δοξολογίαν κατακλείει τὸν λόγον, οὐκέτι διηγούμενος τὰ περὶ τοῦ Θεοῦ, ἀλλ' ὡς ἀποδείξας σαφῶς, ἐπὶ ὡμολογημένοις πᾶσι τὴν εὐφημίαν ἀπαιτῶν παρὰ τῶν τῆς εὐεργεσίας ἀπολαυόντων αὐτοῦ· διὸ καὶ καλεῖ πάντας εἰς δοξολογίαν, οὕτω λέγων· «Οἶκος Ἰσραήλ, εὐλογήσατε τὸν Κύριον. Οἶκος Ἀαρών, εὐλογήσατε τὸν Κύριον. Οἶκος Λευί, εὐ-

θὰ μιλήσουν». Εἶδες πῶς ἐπεκτείνει τὴ διακωμώδηση καὶ ἐλέγχει τὴν ἀπάτη; Ἐπειδὴ δηλαδὴ αὐτὰ πολλὲς φορὲς τὰ κινοῦν οἱ δαίμονες, φανερώνει τὴν ὑποκρισία καὶ τὸν τρόπο ἐνέργειας αὐτῶν, δείχνοντας ὅτι δὲν ὑπάρχει πνοὴ στὸ στόμα τους. Καὶ γιὰ ποιὸ λόγο ὁ πονηρὸς δαίμονας δὲν ἐνεργεῖ καὶ δὲν ὁμιλεῖ χωρὶς ἐκεῖνα; Ἐπειδὴ οἱ στῆλες τῶν εἰδώλων εἶναι οἱ τύποι τῆς πορνείας, τῆς μοιχείας καὶ ἀμέτρητων ἄλλων κακῶν, γιὰ νὰ διδάξει ἐκείνους ποὺ περιπίπτουν στὴν ἀπάτη αὐτὴ νὰ ἐφαρμόζουν στὴν πράξη αὐτὰ ποὺ βλέπουν στὰ ἀγάλματα, σχήματα τῶν ὁποίων εἶναι τὰ εἴδωλα, κάθεται κοντὰ σ' αὐτά, τὰ κινεῖ καὶ ἐξαπατᾶ τοὺς ἀνθρώπους. Ἔπειτα πάλι προβάλλει ἄλλο εἶδος χλευασμοῦ καὶ λέγει· «Ἂς γίνουν ὅμοιοι μὲ αὐτὰ αὐτοὶ ποὺ τὰ κατασκευάζουν». Σκέψου τί λογῆς θεοὶ εἶναι ἐκεῖνοι, ἡ ὁμοίωση πρὸς τοὺς ὁποίους ἐπέχει θέση κατάρας. Ἀλλὰ δὲν εἶναι παρόμοια τὰ δικά μας. Διότι τελευταῖος στόχος τῆς ἀρετῆς, ποὺ μᾶς βοηθεῖ ν' ἀνεβοῦμε στὴν κορυφὴ τῶν ἀγαθῶν, εἶναι ἡ ὁμοίωσή μας πρὸς τὸ Θεό, ὅσο φυσικὰ εἶναι δυνατὸ σὲ μᾶς. Σ' ἐκείνους ὅμως, λέγει, ἡ λατρεία καὶ οἱ θεοὶ εἶναι τέτοιοι, ὥστε ἡ ὁμοίωση μὲ ἐκείνους ν' ἀποτελεῖ τὴ χειρότερη μορφὴ κατάρας. Ὥστε καὶ γιὰ τὸ λόγο ὅτι οἱ θεοί τους εἶναι ἄψυχη ὕλη, καὶ γιὰ τὸ λόγο ὅτι κατασκευάζονται ἀπὸ ἐκείνους ποὺ τοὺς λατρεύουν, καὶ γιὰ τὸ λόγο ὅτι εἶναι εἴδωλα ἀσχημοσύνης, καὶ γιὰ τὸ λόγο ὅτι εἶναι ἀναίσθητα, καὶ γιὰ τὸ λόγο ὅτι ἡ ὁμοίωση μὲ αὐτοὺς εἶναι ἄξια κατάρας, μὲ ὅλα αὐτὰ λοιπὸν γίνεται φανερὴ ἡ ὑπερβολικὴ πλάνη.

Ἀφοῦ λοιπὸν ἀνέφερε τὴν ἀδυναμία αὐτῶν, τὴν ἀπάτη, τὴν πονηρία τῶν δαιμόνων, τὴν παραφροσύνη αὐτῶν ποὺ τὰ κατασκευάζουν, καὶ ἀφοῦ ἀπεμάκρυνε ἀμέσως τὸ λόγο ἀπὸ αὐτά, τελειώνει αὐτὸν μὲ δοξολογία, χωρὶς πλέον νὰ διηγεῖται τὰ σχετικὰ μὲ τὸ Θεό, ἀλλ' ἐπειδὴ ἀπέδειξε αὐτὰ μὲ σαφήνεια, ζητεῖ τὴ δοξολογία ἀπὸ ἐκείνους ποὺ ἀπόλαυσαν τίς εὐεργεσίες του βάσει ἐκείνων ποὺ ἀναγνωρίζονται ἀπὸ ὅλους· γι' αὐτὸ καὶ καλεῖ ὅλους σὲ δοξολογία, λέγοντας τὰ ἑξῆς· «Σεῖς ὁ λαὸς τοῦ Ἰσραὴλ δοξολογῆστε τὸν Κύριο. Σεῖς οἱ ἀπόγονοι τοῦ Ἀαρὼν

λογήσατε τὸν Κύριον. Οἱ φοβούμενοι τὸν Κύριον, εὐλογήσατε τὸν Κύριον. Εὐλογητὸς Κύριος ἐκ Σιών, ὁ κατοικῶν Ἰερουσαλήμ». Τί δήποτε οὐ πάντας ὁμοῦ καλεῖ, ἀλλ' εἰς τάγματα διαιρῶν; Ἵνα μάθῃς, ὅτι πολλὴ ἡ διαφορὰ τῆς εὐλογίας. Ἄλλως γὰρ ὁ ἱερεύς, ἄλλως ὁ Λευΐτης, ἄλλως ὁ λαϊκός, ἄλλως ὁ πολὺς λαὸς εὐλογεῖ. Τὸ δὲ εἰπεῖν, «Εὐλογήσατε», δεικνύντος ἐστὶ τὴν μακαρίαν καὶ ἀκήρατον φύσιν ἐκείνην. Εὐλογήσατε γάρ, φησίν, ὅτι τῶν ἐναντίων ἀπηλλάγητε, ὅτι τοιοῦτον κατηξιώθητε προσκυνεῖν Θεόν, ὅτι τὴν ἀλήθειαν ἐπέγνωτε. Ἔστι μὲν γὰρ καὶ αὐτὸς εὐλογητός, ἐν τῇ φύσει ἔχων τὴν εὐλογίαν, οὐ δεόμενος τῆς παρ' ἑτέρων εὐφημίας· πλὴν καὶ ὑμεῖς εὐλογεῖτε, οὐχ ὡς ἐκείνῳ τι προστιθέντες, ἀλλ' ὡς αὐτοί τι μέγα καρπούμενοι. Εἰ γὰρ καὶ φύσει ἐστὶν εὐλογητός, ὥσπερ οὖν καὶ ἔστιν, ἀλλὰ βούλεται καὶ παρ' ἡμῶν εὐλογεῖσθαι.

Καὶ πάλιν δὲ τῆς Σιὼν μέμνηται, καὶ τῆς Ἰερουσαλήμ. Ἐπειδὴ γὰρ ἐκεῖ τὰ τῆς πολιτείας αὐτοῖς συγκεκρότητο, καὶ τὰ τῆς λατρείας ὑπόθεσιν εἶχε ταύτην, καὶ ἐκεῖθεν ἐπαιδεύοντο, καὶ ἐρρυθμίζοντο, βούλεται ποιῆσαι τοὺς τόπους σεμνοὺς τῇ ἐπωνυμίᾳ τοῦ Θεοῦ, ἵνα αἰδέσιμοι ὄντες, μᾶλλον αὐτοῖς ὦσι περισπούδαστοι, περισπούδαστοι δὲ ὄντες, μᾶλλον αὐτοὺς ἐφέλκωνται, ἐφελκόμενοι δέ, προσηλῶσι τῇ λατρείᾳ, προσηλοῦντες δέ, εἰς μείζονα ἄγωσιν ἀρετήν, δι' ἣν πάντα ἐγένετο. Ἀλλὰ τότε μὲν Ἰερουσαλὴμ καὶ Σιών, σήμερον δὲ ὁ οὐρανὸς καὶ τὰ ἐν τοῖς οὐρανοῖς.

Τούτῳ δὴ καὶ ἡμεῖς ὦμεν, παρακαλῶ, προσηλωμένοι, ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

δοξολογῆστε τὸν Κύριο. Σεῖς οἱ διάδοχοι τοῦ Λευί, δοξολογῆστε τὸν Κύριο. Σεῖς ποὺ σέβεστε τὸν Κύριο, δοξολογῆστε τὸν Κύριο. Ἂς δοξολογεῖται ὁ Κύριος ἀπὸ τὴ Σιών, ὁ Κύριος ποὺ κατοικεῖ στὴν Ἰερουσαλήμ». Γιατί τέλος πάντων δὲν τοὺς καλεῖ ὅλους μαζὶ σὲ δοξολογία, ἀλλὰ τοὺς διαιρεῖ σὲ ὁμάδες; Γιὰ νὰ μάθεις ὅτι εἶναι μεγάλη ἡ διαφορὰ τῆς εὐλογίας. Διότι κατ' ἄλλο τρόπο δοξολογεῖ ὁ ἱερέας, κατ' ἄλλο ὁ Λευίτης, κατ' ἄλλο ὁ λαϊκὸς καὶ κατ' ἄλλο ὁ πολὺς λαός. Μὲ τὸ νὰ πεῖ δέ, «Δοξολογῆστε», θέλει νὰ δείξει τὴ μακάρια ἐκείνη καὶ ἀμόλυντη φύση. Δοξολογῆστε τον δηλαδὴ λέγει, διότι ἀπαλλαχτήκατε ἀπὸ τοὺς ἐχθρούς, διότι ἀξιωθήκατε νὰ προσκυνεῖτε τέτοιο Θεό, διότι γνωρίσατε τὴν ἀλήθεια. Βέβαια καὶ ὁ ἴδιος ἀπὸ μόνος εἶναι δοξασμένος, ἔχοντας τὴ δόξα στὴ φύση του, καὶ δὲν ἔχει ἀνάγκη ἀπὸ τὴ δική μας δοξολογία· πλὴν ὅμως καὶ σεῖς δοξολογῆστε αὐτόν, ὄχι διότι προσθέτετε κάτι σ' ἐκεῖνον, ἀλλ' ἐπειδὴ οἱ ἴδιοι ἀποκομίζετε μεγάλη ὠφέλεια. Διότι ἂν καὶ ἐκ φύσεως εἶναι δοξασμένος, ὅπως βέβαια καὶ εἶναι, ἀλλᾶ θέλει καὶ ἀπὸ μᾶς νὰ δοξολογεῖται.

Καὶ πάλι δὲ θυμᾶται τὴ Σιὼν καὶ τὴν Ἰερουσαλήμ. Διότι, ἐπειδὴ ἐκεῖ εἶχαν συγκροτηθεῖ τὰ σχετικὰ μὲ τὸν τρόπο ζωῆς τους, καὶ αὐτὴ ἀποτελοῦσε τὴ βάση τῆς λατρείας, καὶ ἀπὸ αὐτὴν διδάσκονταν καὶ ρύθμιζαν τὴ θρησκευτικὴ ζωή τους, θέλει νὰ τιμήσει τοὺς τόπους αὐτοὺς μὲ τὸ ὄνομα τοῦ Θεοῦ, ὥστε, ἀφοῦ θὰ εἶναι σεβαστοί, νὰ εἶναι περισσότερο ἐνδιαφέροντες γι' αὐτούς, ἀφοῦ δὲ θὰ εἶναι περισσότερο ἐνδιαφέροντες, νὰ προσελκύουν περισσότερο αὐτούς, ἀφοῦ δὲ θὰ τοὺς προσελκύουν νὰ τοὺς κάνουν νὰ εἶναι προσηλωμένοι στὴ λατρεία, ἀφοῦ δὲ θὰ εἶναι προσηλωμένοι, νὰ τοὺς ὁδηγοῦν σὲ μεγαλύτερη ἀρετή, ἐξ αἰτίας τῆς ὁποίας ἔγιναν τὰ πάντα. Ἀλλά, τότε μὲν ὑπῆρχαν ἡ Ἰερουσαλὴμ καὶ ἡ Σιών, σήμερα δὲ ὑπάρχει ὁ οὐρανὸς καὶ τὰ ἀγαθὰ τῶν οὐρανῶν.

Σ' αὐτὸν λοιπὸν παρακαλῶ ἂς εἴμαστε καὶ ἐμεῖς προσηλωμένοι, ὥστε καὶ τὰ μελλοντικὰ ἀγαθὰ νὰ ἐπιτύχουμε, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

Ο Μ Ι Λ Ι Α

ΕΙΣ ΤΟΝ ΡΛΕ' ΨΑΛΜΟΝ.

«Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ».

1. Εἰπὼν ἄνω περὶ τῆς εὐεργεσίας τοῦ Θεοῦ τῆς εἰς ἀνθρώπους γενομένης, καὶ περὶ τῆς ποσότητος τοῦ ἐλέους αὐτοῦ διαλέγεται, οὐ μετρῶν (οὐδὲ γὰρ δυνατόν), ἀλλὰ τῷ ἀπείρῳ τὸ μέγεθος αὐτοῦ παραστῆσαι βουλόμενος, καὶ παρακαλεῖ πρὸς δοξολογίαν ἅπαντας, καλῶν καὶ λέγων· «Ἐξομολογεῖσθε τῷ Κυρίῳ» τουτέστιν, εὐχαριστεῖτε, εὐφημεῖτε αὐτόν. «Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ». Τί δέ ἐστιν, Εἰς τὸν αἰῶνα»; Οὐ ποτὲ μέν, φησίν, εὐεργετεῖ, ποτὲ δὲ ἀφίσταται, οὐδὲ ποτὲ μὲν ἐλεεῖ, ποτὲ δὲ παύεται, ὅπερ ἐπ' ἀνθρώπων συμβαίνει, καὶ πάθει κωλυομένων, καὶ εὐτελείᾳ διακοπτομένων, καὶ θεραπείᾳ ἐμποδιζομένων, καὶ περιστάσει πραγμάτων οὐ συγχωρουμένων· ἀλλ' ὁ Θεὸς οὐ τοιοῦτος, ἀλλὰ διηνεκῶς ἐλεεῖ, καὶ οὐδέποτε παύεται τοῦτο ποιῶν, κἂν διαφόρως καὶ ποικίλως ἐπιτελῇ. Ἀεὶ οὖν ἐλεεῖ, καὶ οὐδέποτε ἵσταται τοὺς ἀνθρώπους εὐεργετῶν.

Εἶτα εἰπών, ὅτι ἐλεεῖ διαπαντός, δείκνυσι καὶ τὰ δείγματα τοῦ ἐλέους, καὶ τοῦ διαπαντὸς μένειν αὐτοῦ τὸν ἔλεον, ἐκ τῶν ὁρωμένων ποιούμενος τὴν ἀπόδειξιν· καὶ ἐπειδὴ πρὸς εὐσέβειαν

---

* Ψαλμὸς καὶ αὐτὸς λειτουργικός. Ὁ συγγραφέας προτρέπει τὸ λαὸ νὰ δοξάσουν τὸν Κύριο γιὰ τὰ θαυμαστὰ ἔργα ποὺ ἔκανε στὸν κόσμο, καὶ ἰδιαίτερα γιὰ τὶς θαυμαστὲς ἐπεμβάσεις του πρὸς ἀπελευθέρωση τοῦ Ἰσραὴλ ἀπὸ τὴ

ΟΜΙΛΙΑ

ΣΤΟΝ ΡΛΕ' ΨΑΛΜΟ*

«Εὐχαριστεῖτε τὸν Κύριον, διότι εἶναι ἀγαθὸς καὶ διότι τὸ ἔλεός του μένει στὸν αἰώνα».

1. Ἀφοῦ στὸν προηγούμενο ψαλμὸ μίλησε γιὰ τὴν εὐεργεσία τοῦ Θεοῦ ποὺ ἔγινε στοὺς ἀνθρώπους, ὁμιλεῖ τώρα καὶ γιὰ τὸ μέγεθος τῆς ἀγαθότητας αὐτοῦ, ὄχι μετρώντας αὐτὴν (διότι αὐτὸ δὲν εἶναι δυνατό), ἀλλὰ θέλοντας μὲ τὸ ἄπειρο νὰ παραστήσει τὸ μέγεθος αὐτῆς, καὶ παρακαλεῖ ὅλους νὰ προβοῦν σὲ δοξολογία, καλώντας αὐτοὺς καὶ λέγοντας· «Ἐξομολογεῖσθε στὸν Κύριο»· δηλαδή, εὐχαριστεῖτε, ἐξυμνεῖτε αὐτόν. «Διότι ἡ ἀγαθότητά του παραμένει αἰώνια». Τί σημαίνει δέ, «τὸν αἰώνα»; Δὲν εὐεργετεῖ μὲν ἄλλοτε, λέγει, καὶ ἄλλοτε ἀποφεύγει αὐτό, οὔτε ἄλλοτε μὲν ἐκδηλώνει τὴν ἀγαθότητά του, ἄλλοτε δὲ σταματᾶ νὰ κάμνει αὐτό, πράγμα ποὺ συμβαίνει μὲ τοὺς ἀνθρώπους ποὺ καὶ ἐμποδίζονται ἀπὸ κάποιο πάθος τους, καὶ διακόπτονται ἀπὸ τὴν ἀνέχεια καὶ ἐμποδίζονται ἀπὸ τὶς φροντίδες καθὼς καὶ ἀπὸ ἄλλες καταστάσεις ποὺ δὲν ἐπιτρέπουν τὴν εὐεργεσία· ὅμως ὁ Θεὸς δὲν εἶναι τέτοιος, ἀλλὰ συνέχεια εὐεργετεῖ καὶ δὲν παύει ποτὲ νὰ κάμνει αὐτό, ἔστω καὶ ἂν αὐτὸ τὸ κάμνει κατὰ τρόπο διάφορο καὶ ποικίλο. Πάντοτε λοιπὸν ἐλεεῖ καὶ δὲν σταματᾶ ποτὲ νὰ εὐεργετεῖ τοὺς ἀνθρώπους.

Στὴ συνέχεια, ἀφοῦ εἶπε ὅτι εὐεργετεῖ συνέχεια, παρουσιάζει ἀποδείξεις καὶ τῆς εὐεργεσίας καὶ τοῦ ὅτι εἶναι διαρκὴς ἡ εὐεργεσία του, παρουσιάζοντας ἀποδείξεις ἀπὸ τὰ ὁρατά· καὶ

δουλεία τῶν Αἰγυπτίων. Πιθανοὶ χρόνοι σύγγραφῆς του οἱ μετὰ τὴν αἰχμαλωσία.

αὐτοὺς ἐχειραγώγει, ὅρα πῶς πάλιν πρὸς τοὺς τῶν Ἑλλήνων θεοὺς ἀποτείνεται, πάλιν τῇ αὐτῇ συγκαταβάσει κεχρημένος. Τί γάρ φησιν· «Ἐξομολογεῖσθε τῷ Θεῷ θεῶν», καθ' ἕκαστον ἐπιλέγων, «Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ». Καί, «Τῷ Κυρίῳ τῶν κυρίων». Ἐν μὲν οὖν τῷ προτέρῳ ψαλμῷ ἔλεγεν, ὅτι παρὰ πάντας τοὺς θεούς ἐστιν, ἐνταῦθα δὲ ἔτι πλέον, ὅτι καὶ Κύριος αὐτῶν καὶ Δεσπότης αὐτῶν ἐστιν, ἄν τε τῶν εἰδώλων λέγῃς, ἄν τε τῶν δαιμόνων. Εἰ γὰρ καὶ ἠτιμωμένοι, καὶ προσκεκρουκότες οἱ δαίμονες, ἀλλὰ δοῦλοι καὶ ὑποκύπτοντες. Διὰ τοῦτο οὖν ἐξομολογεῖσθε, φησίν, ὅτι Θεὸν ἔχετε πάντων Κύριον. Καίτοι τῶν εὐαρεστούντων καλεῖται Θεός, ὡς ὅταν λέγῃ· «Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραάμ, καὶ ὁ Θεὸς Ἰσαάκ, καὶ ὁ Θεὸς Ἰακώβ». Πῶς οὖν ἐνταῦθα τῶν δαιμόνων φησίν; Ἀλλ' ἑτέρως ἐκεῖνο, καὶ ἑτέρως τοῦτο. Ἐκεῖ μὲν γὰρ ἵνα τὴν οἰκείωσιν παραστήσῃ, καὶ τὴν πολλὴν πρὸς αὐτοὺς ἀγάπην, ἐνταῦθα δέ, ἵνα τὴν ὑπεροχὴν γνωρίσῃ.

«Τῷ ποιοῦντι θαυμάσια μεγάλα μόνῳ· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ». Ἐπειδὴ ἀπεφήνατο, ὅτι Κύριός ἐστι τῶν θεῶν, καὶ Δεσπότης, τῇ ἀποφάσει παρέχει λοιπὸν τὴν ἀπόδειξιν, καὶ κατασκευάζει τὸ εἰρημένον, ἀπὸ τῆς δυνάμεως αὐτὸν πάλιν ἀνακηρύττων. Καὶ οὐκ εἶπε, 'τῷ ποιήσαντι', ἀλλά, «Τῷ ποιοῦντι», δεικνὺς αὐτὸν διηνεκῶς εὐεργετοῦντα, καὶ θαυματοποιοῦντα, καὶ παράδοξα ἐργαζόμενον. Καὶ δύο ταῦτα αὐτοῦ τίθησιν ἐξαίρεται, ὅτι τε ποιεῖ, καὶ ὅτι μόνος ποιεῖ· μᾶλλον δὲ καὶ τρία, καὶ τέσσαρα· καὶ γὰρ ὅτι ποιεῖ, καὶ ὅτι θαύματα, καὶ μεγάλα θαύματα, καὶ ὅτι μόνος ποιεῖ. Ταῦτα δὲ οὐ πρὸς ἀθέτησιν τοῦ Παιδός,

---

1. Ἐξ. 3, 6.

ἐπειδὴ τοὺς καθοδηγοῦσε πρὸς τὴν εὐσέβεια, πρόσεχε πῶς πάλι μεταφέρει τὸ λόγο πρὸς τοὺς θεοὺς τῶν Ἑλλήνων, χρησιμοποιώντας πάλι τὴν ἴδια συγκατάβαση. Τί λοιπὸν λέγει; «Εὐχαριστεῖτε τὸ Θεὸ τῶν θεῶν», προσθέτοντας στὸ τέλος κάθε στίχου, «διότι τὸ ἔλεός του μένει στὸν αἰώνα». Καὶ «τὸν Κύριο τῶν κυρίων». Στὸν μὲν λοιπὸν προηγούμενο ψαλμὸ ἔλεγε, ὅτι βρίσκεται ὑπεράνω ὅλων τῶν θεῶν, ἐνῶ ἐδῶ λέγει καὶ κάτι παραπάνω, «Ὅτι εἶναι καὶ Κύριος αὐτῶν καὶ Δεσπότης αὐτῶν», εἴτε ἐννοεῖς τὰ εἴδωλα, εἴτε τοὺς δαίμονες. Διότι ἂν καὶ οἱ δαίμονες ἔχασαν τὴν τιμὴ καὶ ἦλθαν σὲ σύγκρουση μὲ τὸ Θεό, ἀλλ' ὅμως εἶναι δοῦλοι καὶ ὑποκύπτουν σ' αὐτόν. Γι' αὐτὸ λοιπὸν λέγει, προσφέρετε ὕμνους δοξολογίας, διότι ἔχετε Θεὸ ἀνώτερο ἀπὸ ὅλους, τοῦ ὁποίου ὅμοιος δὲν ὑπάρχει καὶ ποὺ εἶναι Δεσπότης ὅλων καὶ Κύριος τῶν πάντων. Ἂν καὶ βέβαια ὀνομάζεται Θεὸς ἐκείνων ποὺ τὸν ἀγαποῦν, ὅπως ὅταν λέγει· «Ἐγὼ εἶμαι ὁ Θεὸς τοῦ Ἀβραὰμ καὶ ὁ Θεὸς τοῦ Ἰσαὰκ καὶ ὁ Θεὸς τοῦ Ἰακώβ»[1]. Πῶς λοιπὸν ἐδῶ λέγει ὅτι εἶναι Κύριος τῶν δαιμόνων; Ἀλλὰ μὲ ἄλλη ἔννοια τὸ λέγει ἐκεῖνο καὶ μὲ ἄλλη αὐτό. Διότι ἐκεῖ τὸ λέγει γιὰ νὰ δείξει τὴν οἰκειότητα καὶ τὴν μεγάλη ἀγάπη του πρὸς αὐτούς, ἐδῶ δὲ γιὰ νὰ φανερώσει τὴν ὑπεροχή του.

«Δοξολογεῖτε αὐτὸν ποὺ εἶναι ὁ μόνος ποὺ ἐπιτελεῖ ἔργα μεγάλα καὶ θαυμαστά· διότι τὸ ἔλεός του μένει στὸν αἰώνα». Ἐπειδὴ ἔδειξε ὅτι εἶναι Κύριος τῶν θεῶν καὶ Δεσπότης, παρουσιάζει πλέον ἀπόδειξη γι' αὐτὸ ποὺ εἶπε, καὶ κατοχυρώνει αὐτὸ ποὺ εἶπε, διακηρύσσοντας πάλι αὐτὸν ἀπὸ τὴ δύναμή του. Καὶ δὲν εἶπε 'αὐτὸν ποὺ ἔκαμε', ἀλλὰ «Αὐτὸν ποὺ κάμνει», γιὰ νὰ δείξει ὅτι αὐτὸς διαρκῶς εὐεργεῖ καὶ ἐπιτελεῖ ἔργα θαυμαστὰ καὶ παράδοξα. Καὶ ἀναφέρει ἐδῶ δυὸ ἰδιαίτερα γνωρίσματα αὐτοῦ, καὶ ὅτι ἐπιτελεῖ θαυμαστὰ ἔργα, καὶ ὅτι εἶναι ὁ μόνος ποὺ τὰ ἐπιτελεῖ· μᾶλλον δὲ ἀναφέρει τρία καὶ τέσσερα· δηλαδὴ καὶ ὅτι ἐπιτελεῖ ἔργα, καὶ ὅτι αὐτὰ εἶναι θαυμαστά, καὶ ὅτι εἶναι πάρα πολὺ θαυμαστά, καὶ ὅτι μόνος αὐτὸς τὰ ἐπιτελεῖ. Αὐτὰ δὲ δὲν λέχθηκαν πρὸς ἀθέτηση τοῦ Υἱοῦ, ἀλλὰ γιὰ νὰ γίνει διάκρι-

ἀλλὰ πρὸς ἀντιδιαστολὴν εἴρηται τῶν δαιμόνων. Καὶ τίνα ταῦτά ἐστι τὰ θαύματα ἴδωμεν, τὰ μεγάλα, ἃ μόνος ποιεῖ. Καίτοι γε ἀρχόμενος οὐ περὶ δυνάμεως διελέχθη ἡμῖν, ἀλλὰ περὶ φιλανθρωπίας καὶ ἀγαθότητος. «Ἐξομολογεῖσθε» γάρ, φησί «τῷ Κυρίῳ, ὅτι ἀγαθός». Πῶς οὖν εἰς τὸν περὶ δυνάμεως ἐμπίπτει λόγον ἐνταῦθα λοιπόν; Ὅτι οὐχὶ δυνάμεως μόνον, ἀλλὰ φιλανθρωπίας ταῦτά ἐστι τὰ θαύματα. Τίνα δέ ἐστι τὰ θαύματα δεικνύς, ἐπάγει λέγων· «Τῷ ποιήσαντι τοὺς οὐρανοὺς ἐν συνέσει, τῷ στερεώσαντι τὴν γῆν ἐπὶ τῶν ὑδάτων». Ἕτερος, «τῷ πιλήσαντι τὴν γῆν παρ' ὕδασι». «Τῷ ποιήσαντι φῶτα μεγάλα μόνῳ. Τὸν ἥλιον εἰς ἐξουσίαν τῆς ἡμέρας. Τὴν σελήνην καὶ τοὺς ἀστέρας εἰς ἐξουσίαν τῆς νυκτός». Ταῦτα εἰ καὶ τὴν δύναμιν αὐτοῦ καὶ τὴν σοφίαν ἐμφαίνει, ἀλλ' ὅμως καὶ πολλὴν τὴν φιλανθρωπίαν δείκνυσι. Τὸ μὲν γὰρ οὕτω μεγάλα γενέσθαι, καὶ καλὰ καὶ διαρκῆ, τὴν ἰσχὺν ἀνακηρύττει, καὶ τὴν σοφίαν, τὸ δὲ δι' ἡμᾶς αὐτὰ γενέσθαι, καὶ τὴν χρείαν τὴν ἡμετέραν, τὴν φιλανθρωπίαν καὶ τὴν ἀγαθότητα τὴν διηνεκῆ.

Ὁρᾷς πῶς εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ; Οὐ γὰρ πρὸς δέκα καὶ εἴκοσι ἔτη πεποίηκεν αὐτά, οὐδὲ πρὸς ἑκατόν, καὶ διακόσια, καὶ χίλια, ἀλλὰ παρὰ πᾶσαν τὴν ζωὴν ἡμῶν ἐξέτεινεν αὐτά. Διὸ καὶ τοῦτο δηλῶν, ἐν ἑκάστῳ στίχῳ ἐπιλέγει, «Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ». Καὶ τὸ δὴ ἐκπλῆττον, ὅτι ἐποίησε μὲν καὶ ἔδωκεν ἐξ ἀρχῆς γενόμενα, ἐπειδὴ δὲ παρέβη ὁ ἄνθρωπος, οὐδὲ οὕτως αὐτὸν ἐξέβαλεν, ἀλλὰ ἅπερ ἔδωκεν οὐχ ἁμαρτόντι, τούτοις ἀφῆκε καὶ μετὰ τὴν ἁμαρτίαν ἐνδιατᾶσθαι, καὶ οὐκ ἐκώλυσεν αὐτῶν τὴν χρῆσιν μετὰ τὴν ἁμαρτίαν ἐκείνην. Καὶ οὐκ ἐποίησεν οὐρανὸν ἕνα μόνον, ἀλλὰ καὶ ἕτερον, ἐκ προοιμίων δεικνύς, ὅτι οὐκ ἐναφίησιν ἡμᾶς τῇ γῇ, ἀλλ' ἐκεῖ μεταστήσει. Εἰ γὰρ μὴ ἔμελλεν ἐκεῖ μεθιστᾷν, τίνος ἕνεκεν καὶ οὐρανὸς παρήγετο; Οὐ

ση αὐτοῦ ἀπὸ τοὺς δαίμονες. Καὶ ἂς δοῦμε ποιὰ εἶναι αὐτὰ τὰ μεγάλα θαυμαστὰ ἔργα, τὰ ὁποῖα μόνος αὐτὸς ἐπιτελεῖ. Ἂν καὶ βέβαια ἀρχίζοντας τὸν ψαλμὸ δὲν μᾶς μίλησε γιὰ τὴ δύναμή του, ἀλλὰ γιὰ τὴ φιλανθρωπία καὶ τὴν ἀγαθότητά του. Διότι λέγει, «Εὐχαριστεῖτε τὸν Κύριο, διότι εἶναι ἀγαθός». Πῶς λοιπὸν στὴ συνέχεια μεταφέρει ἐδῶ τὸ λόγο γιὰ τὴ δύναμή του; Διότι αὐτὰ τὰ θαύματα δὲν εἶναι ἀποτέλεσμα μόνο τῆς δυνάμεώς του, ἀλλὰ καὶ τῆς φιλανθρωπίας του. Γιὰ νὰ δείξει δὲ ποιὰ εἶναι τὰ θαύματα, προσθέτει τὰ ἑξῆς λόγια· «Δοξολογεῖτε αὐτὸν ποὺ δημιούργησε τοὺς οὐρανοὺς μὲ σύνεση καὶ στερέωσε τὴ γῆ ἐπάνω στὰ ὕδατα». Ἄλλος, «Αὐτὸν ποὺ συμπίεσε τὴ γῆ πλησίον τῶν ὑδάτων». «Αὐτὸν ποὺ μόνος δημιούργησε τοὺς μεγάλους ἀστέρες. Τὸν ἥλιο γιὰ νὰ ἐξουσιάζει τὴν ἡμέρα, τὴ δὲ σελήνη καὶ τὰ ἀστέρια γιὰ νὰ ἐξουσιάζουν τὴ νύχτα». Αὐτὰ ἂν καὶ βέβαια παρουσιάζουν τὴ δύναμη καὶ τὴ σοφία αὐτοῦ, ἀλλ' ὅμως φανερώνουν καὶ τὴ μεγάλη φιλανθρωπία του. Διότι τὸ ὅτι μὲν ἔγιναν τόσο μεγάλα καὶ καλὰ καὶ διαρκῆ, διακηρύσσουν τὴ δύναμη καὶ τὴ σοφία του, τὸ ὅτι δὲ αὐτὰ ἔγιναν γιὰ χάρη μας καὶ γιὰ τὶς δικές μας ἀνάγκες, φανερώνουν τὴ φιλανθρωπία καὶ τὴν διαρκὴ ἀγαθότητά του.

Βλέπεις πῶς τὸ ἔλεός του εἶναι αἰώνιο; Διότι δὲν τὰ ἔκαμε αὐτὰ γιὰ δέκα καὶ εἴκοσι χρόνια, οὔτε γιὰ ἑκατὸ καὶ διακόσια καὶ χίλια, ἀλλὰ ἐπεξέτεινε αὐτὰ σὲ ὅλη τὴ ζωή μας. Γι' αὐτὸ γιὰ νὰ δείξει καὶ αὐτὸ προσθέτει στὸν κάθε στίχο, «Διότι τὸ ἔλεός του εἶναι αἰώνιο». Καὶ τὸ ἐκπληκτικὸ βέβαια εἶναι ὅτι τὰ δημιούργησε μὲν καὶ τὰ ἔθεσε ἀπὸ τὴν ἀρχὴ στὴ διάθεση τοῦ ἀνθρώπου, ἐπειδὴ ὅμως αὐτὸς παρέβηκε τὴν ἐντολή του, οὔτε καὶ ἔτσι τὸν ἀπομάκρυνε ἀπὸ αὐτά, ἀλλ' ἐκεῖνα ἀκριβῶς ποὺ τοῦ ἔδωσε πρὶν ἁμαρτήσει, αὐτὰ τοῦ ἄφησε νὰ τὰ χρησιμοποιεῖ καὶ μετὰ τὴν ἁμαρτία, καὶ δὲν ἐμπόδισε τὴ χρήση αὐτῶν μετὰ τὴν ἁμαρτία ἐκείνη. Καὶ δὲν δημιούργησε μόνο ἕνα οὐρανό, ἀλλὰ καὶ ἄλλο, γιὰ νὰ δείξει ἀπὸ τὴν ἀρχή, ὅτι δὲν θὰ μᾶς ἀφήσει ἐδῶ στὴ γῆ, ἀλλὰ θὰ μᾶς μεταφέρει ἐκεῖ. Διότι, ἐὰν δὲν ἐπρόκειτο νὰ μᾶς μεταφέρει ἐκεῖ, γιὰ ποιὸ λόγο δημιουργήθηκε καὶ ὁ

γὰρ δὴ αὐτῷ χρήσιμον τοῦτο τὸ στοιχεῖον (οὐδενὸς γὰρ δεῖται), ἀλλὰ τοὺς ἀπὸ γῆς ἐκεῖ μεθιστᾶν βουλόμενος, παρεσκεύασε τὰ οἰκήματα. Διὸ καὶ ὁ προφήτης ταῦτα εἰδώς, ἐφ' ἑκάστῳ, «Εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ», ἐπιλέγει, ἐκπληττόμενος αὐτοῦ τὴν φιλανθρωπίαν.

2. «Τῷ στερεώσαντι τὴν γῆν ἐπὶ τῶν ὑδάτων». Ὅρα πάλιν κἀνταῦθα τὴν φιλανθρωπίαν. Ἐπειδὴ γὰρ ἐγενόμεθα θνητοί, καὶ ἐν πολλαῖς χρείαις κατέστημεν, οὐδὲ οὕτως ἐγκατέλιπεν, ἀλλὰ καὶ ἐνταῦθα κατάλληλον ἡμῖν καταγώγιον δέδωκε τὸν μεταξὺ χρόνον, καὶ τοσούτων τὴν γῆν δειγμάτων τῆς αὐτοῦ φιλανθρωπιας ἐνέπλησεν, ὡς μηδὲ λόγῳ παραστῆναι δύνασθαι. Ὁ γοῦν προφήτης ἐμπεσὼν εἰς τὴν ἄβυσσον τῶν εὐεργετημάτων τούτων, καὶ ἰδὼν τὸ πέλαγος ἀχανές, ἀπεπήδησε μέγα βοήσας καὶ εἰπών· «Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε. Πάντα ἐν σοφίᾳ ἐποίησας». Καὶ τὸν ἥλιον δὲ εἴ τις κατίδοι, καὶ τὴν σελήνην, καὶ τὴν διάταξιν τῶν καιρῶν, πάλιν ὄψεται αὐτοῦ τὴν φιλανθρωπίαν ἅπασαν. Οὐ γὰρ μικρὸν ἡμῖν εἰς εὐταξίαν ζωῆς, καὶ εἰς αὐτὴν τὴν ζωὴν ταῦτα συντελεῖ τὰ στοιχεῖα, τρέφοντα, καρποὺς πεπαίνοντα, ὧν ἄνευ ζῆσαι οὐκ ἦν, καιροὺς ἡμῖν δεικνύτα, ὥρας χαρακτηρίζοντα, δρόμους ἡμέρας καὶ νυκτὸς διαστέλλοντα, ὁδοιπόρους γῆς καὶ θαλάττης ὁδηγοῦντα, μυρίαν ἑτέραν χρείαν παρεχόμενα. Εἶδες πῶς εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, καὶ πῶς καθ' ἕκαστον τῶν στίχων τοῦτο ἐπιλέγει ὁ προφήτης; Ἕτερος δὲ ἑρμηνευτής, «Εἰς ἐξουσίαν τῆς ἡμέρας», «Ἐπικρατεῖν» εἶπε «τῆς ἡμέρας». Ἄλλος, «Εἰς ἐξουσίαν ἐν νυκτί».

«Τῷ πατάξαντι Αἴγυπτον σὺν τοῖς πρωτοτόκοις αὐτῶν· καὶ ἐξαγαγόντι τὸν Ἰσραὴλ ἐκ μέσου αὐτῶν. Ἐν χειρὶ κραταιᾷ, καὶ ἐν βραχίονι ὑψηλῷ». Συνεχῶς περιστρέφει τὸ θαῦμα τὸ ἐν Αἰγύ-

---

2. Ψαλ. 103, 24.

οὐρανός; καθόσον βέβαια αὐτὸ τὸ στοιχεῖο δὲν εἶναι χρήσιμο σ' αὐτόν (διότι δὲν ἔχει ἀνάγκη ἀπὸ τίποτε), ἀλλὰ κατασκεύασε τὰ οἰκήματα αὐτά, θέλοντας νὰ μᾶς μεταφέρει ἀπὸ τὴ γῆ ἐκεῖ. Γι' αὐτὸ καὶ ὁ προφήτης γνωρίζοντας αὐτὰ προσθέτει στὸ καθένα, «Διότι τὸ ἔλεός του εἶναι αἰώνιο», νιώθοντας ἔκπληξη γιὰ τὴ φιλανθρωπία του.

2. «Αὐτὸν ποὺ στερέωσε τὴ γῆ ἐπάνω στὰ ὕδατα». Πρόσεχε πάλι καὶ ἐδῶ τὴ φιλανθρωπία του. Διότι, ἐπειδὴ γίναμε θνητοὶ καὶ ἔγιναν οἱ ἀνάγκες μας πάρα πολλές, οὔτε ἔτσι μᾶς ἐγκατέλειψε, ἀλλὰ καὶ ἐδῶ μᾶς ἔδωσε κατάλληλο τόπο διαμονῆς γιὰ τὸ χρόνο ποὺ θὰ μεσολαβήσει, καὶ γέμισε τὴ γῆ μὲ τόσα πολλὰ δείγματα τῆς φιλανθρωπίας του, ὥστε νὰ μὴ μπορεῖ κάποιος νὰ τὰ παρουσιάσει μὲ λόγια. Ὁ προφήτης λοιπὸν ἐπειδὴ βρέθηκε μέσα στὴν ἄβυσσο αὐτῶν τῶν εὐεργετημάτων καὶ εἶδε τὸ ἀπέραντο πέλαγος, ἀνεπήδησε ἀπὸ χαρὰ καὶ βροντοφώναξε μὲ μεγάλη φωνὴ καὶ εἶπε· «πόσο μεγάλα καὶ θαυμαστὰ εἶναι τὰ ἔργα σου Κύριε. Ὅλα μὲ σοφία τὰ ἔκαμες»[2]. Καὶ ἂν κάποιος προσέξει τὸν ἥλιο καὶ τὴ σελήνη καὶ τὴ διάταξη τῶν ἐποχῶν, πάλι θὰ διαπιστώσει τὴ μεγάλη φιλανθρωπία αὐτοῦ. Διότι αὐτὰ τὰ στοιχεῖα δὲν συμβάλλουν λίγο στὴν καλὴ ρύθμιση τῆς ζωῆς μας καὶ στὴν ἴδια ἀκόμα τὴν ὕπαρξή μας, μὲ τὸ νὰ μᾶς τρέφουν, μὲ τὸ νὰ ὡριμάζουν τοὺς καρπούς, χωρὶς τοὺς ὁποίους θὰ ἦταν ἀδύνατη ἡ ζωή, μὲ τὸ νὰ προσδιορίζουν τοὺς καιρούς, νὰ καθορίζουν τὶς ἐποχές, νὰ ρυθμίζουν τὴν περίοδο τῆς ἡμέρας καὶ τῆς νύχτας, νὰ ὁδηγοῦν τοὺς ὁδοιπόρους τῆς γῆς καὶ τῆς θάλασσας, καὶ νὰ μᾶς παρέχουν ἄπειρη ἄλλη ἐξυπηρέτηση. Εἶδες πῶς τὸ ἔλεός του εἶναι αἰώνιο καὶ πῶς αὐτὸ προσθέτει ὁ προφήτης μετὰ ἀπὸ κάθε στίχο; Ἄλλος δὲ ἑρμηνευτὴς μετέφρασε τὸ «Γιὰ νὰ ἐξουσιάζει τὴν ἡμέρα», «Γιὰ νὰ εἶναι κυρίαρχος τῆς ἡμέρας». Ἄλλος, «Γιὰ νὰ ἐξουσιάζει κατὰ τὴ νύχτα».

«Δοξολογεῖτε αὐτὸν ποὺ ἔδωσε θανατηφόρο πλῆγμα στὴν Αἴγυπτο καὶ θανάτωσε τὰ πρωτότοκά τους, καὶ ἔβγαλε μέσα ἀπὸ αὐτοὺς τὸν Ἰσραηλιτικὸ λαό, μὲ τὸ παντοδύναμο χέρι του

πτῳ, διὰ τὴν πολλὴν αὐτῶν ἀγνωμοσύνην, καὶ τὸ ἀεὶ τούτων ἀκούοντας ἐπιλανθάνεσθαι. Οὐ μικρὸν δὲ καὶ τὸ ἔλεος σημεῖον· τοῦτο γὰρ ἀπήλλαξεν αἰχμαλωσίας ἐκείνους, δουλείας, καὶ τοῖς μετὰ ταῦτα γέγονε θεογνωσίας ὑπόθεσις. Καὶ ἕτερον δὲ ἐνταῦθα αἰνίττεται. Ποῖον δὴ τοῦτο; Ὅτι καὶ μετὰ τὴν πληγὴν ἐκείνην τῆς αὐτοῦ δυνάμεως γέγονε τὸ ἀπαλλάξαι αὐτοὺς τῆς δουλείας, κατασείσαντος αὐτοὺς τῷ φόβῳ, καὶ καταποντίσαντος τῇ θαλάσσῃ. Ταῦτα δὲ λέγει, ἵνα μή τις τῶν ἀνοητοτέρων νομίσῃ, ὅτι κελεύων αὐτοῖς τὸ χρυσίον λαβεῖν, καὶ τὰ σκεύη τὰ ἀργυρᾶ, δι' ἀσθένειαν ἐκέλευε. Καὶ γὰρ καὶ τοῦτο ἐποίησε πανταχόθεν βουλόμενος εἶναι φοβερὸς τοῖς πολεμίοις, καὶ δεῖξαι ὅτι καὶ δυνάμει καὶ μετὰ αὐθεντίας ἅπαντα δύναται ἐργάζεσθαι, καὶ ἀπατᾶν αὐτούς, καὶ παρακρούεσθαι. Ἅ τε γὰρ φανερῶς ἐποίησεν, οὐ διὰ τοῦτο ἐποίησεν, ὡς οὐ δυνάμενος ἀπατῆσαι· ἅ τε ἀπατήσας, οὐ διὰ τοῦτο ἐποίησεν, ὡς οὐ δυνάμενος φανερῶς λαβεῖν, ἀλλ' ἐν ἑκατέρῳ τῷ μέρει τὴν ἰσχὺν τὴν ἑαυτοῦ δεικνύς. Ὅτι γὰρ καὶ τοῦτο μέγαν φόβον ἐνέθηκε τοῖς ἀλλοφύλοις, ἄκουσον τί φασι μετὰ ταῦτα οἱ μάντεις οἱ Ἀζωτίων· Οὗτος ὁ Θεὸς ὁ σκληρός, ὃς ἐπάταξε τὴν Αἴγυπτον, καὶ ὅτε ἐνέπαιξεν αὐτοῖς, τότε ἐξήγαγεν αὐτούς. Ὁρᾷς αὐτοὺς καὶ διὰ τοῦτο τρέμοντας αὐτόν, διὰ τὴν κλοπήν, διὰ τὴν ἀπάτην, διὰ τὸ ἀποχρήσασθαι αὐτούς;

«Τῷ καταδιελόντι τὴν ἐρυθρὰν θάλασσαν εἰς διαιρέσεις». Ἕτερος, «Εἰς τομάς». Ἄλλος, «Εἰς τμήματα». Τινὲς γάρ φασιν, ὅτι οὐ μία γέγονεν ἡ ὁδός, ἀλλὰ καθ' ἑκάστην φυλὴν τὸ ὕδωρ ἐσχίζετο, ὡς πολλὰς γενέσθαι τὰς διαβάσεις. Ἀλλὰ ταῦτα πάντα

---

3. Α' Βασ. 6, 6.

καὶ τὸν πανίσχυρο βραχίονά του». Συνέχεια περιστρέφεται γύρο ἀπὸ τὸ θαῦμα τῆς Αἰγύπτου, ἐξ αἰτίας τῆς μεγάλης ἀχαριστίας αὐτῶν καὶ ἐπειδὴ πάντοτε λησμονοῦσαν αὐτὰ ποὺ ἄκουαν. Δὲν εἶναι δὲ μικρὸ θαῦμα καὶ ἡ εὐσπλαχνία αὐτὴ ποὺ ἔδειξε πρὸς αὐτούς· διότι αὐτὴ ἀπάλλαξε ἐκείνους ἀπὸ τὴν αἰχμαλωσία καὶ τὴ δουλεία, καὶ ὑπῆρξε στοὺς μεταγενέστερους αἰτία θεογνωσίας. Καὶ κάτι ἄλλο δὲ ὑπονοεῖ ἐδῶ. Ποιὸ λοιπὸν εἶναι αὐτό; Ὅτι δηλαδὴ καὶ μετὰ ἀπὸ τὸ πλῆγμα ἐκεῖνο, ἀποτέλεσμα τῆς δυνάμεώς του ὑπῆρξε τὸ ὅτι ἀπαλλάχθηκαν αὐτοὶ ἀπὸ τὴ δουλεία, ἀφοῦ τοὺς συντάραξε μὲ τὸ φόβο καὶ τοὺς καταπόντισε στὴ θάλασσα. Αὐτὰ δὲ τὰ λέγει, γιὰ νὰ μὴ νομίσει κάποιος ἀπὸ τοὺς πιὸ ἀνόητους, ὅτι, προτρέποντάς τους νὰ πάρουν μαζί τους τὰ χρυσὰ καὶ τὰ ἀργυρὰ σκεύη τους, τὸ ἔκαμνε αὐτὸ ἀπὸ ἀδυναμία. Καθόσον καὶ αὐτὸ τὸ ἔκαμε θέλοντας μὲ κάθε τρόπο νὰ δημιουργήσει φόβο στοὺς ἐχθροὺς καὶ νὰ δείξει, ὅτι μπορεῖ ὅλα νὰ τὰ κάμνει μὲ δύναμη καὶ ἐξουσία, καὶ ἐξαπατώντας αὐτοὺς καὶ ἐνεργώντας κατὰ τρόπο φανερό. Διότι ἐκεῖνα ποὺ ἔκαμε σ' αὐτοὺς φανερά, δὲν τὰ ἔκαμε γι' αὐτό, ἐπειδὴ δὲν μποροῦσε δηλαδὴ νὰ τοὺς ἐξαπατήσει, καὶ ἐκεῖνα ποὺ τοὺς ἔκαμε ἐξαπατώντας τους, δὲν τὰ ἔκαμε γι' αὐτό, ἐπειδὴ δὲν μποροῦσε φανερὰ νὰ ἐνεργήσει, ἀλλὰ μὲ τὴν κάθε μιὰ περίπτωση ἤθελε νὰ δείξει τὴ δύναμή του. Διότι τὸ ὅτι καὶ αὐτὸ ἐνέβαλε πάρα πολὺ μεγάλο φόβο στοὺς ἀλλοεθνεῖς, ἄκουσε τί λέγουν στὴ συνέχεια οἱ μάντεις τῶν Ἀζωτίων· Αὐτὸς εἶναι ὁ Θεὸς ὁ σκληρός, αὐτός, ποὺ ἐπέφερε μεγάλο πλῆγμα στὴν Αἴγυπτο, «Καὶ τότε ἔβγαλε ἀπὸ τὴν Αἴγυπτο αὐτούς, ὅταν ἐξαπάτησε αὐτούς»[3]. Βλέπεις αὐτοὺς ποὺ καὶ γι' αὐτὸ τὸν τρέμουν, καὶ ἐξ αἰτίας τῆς κλοπῆς καὶ ἐξ αἰτίας τῆς ἀπάτης, καὶ ἐξ αἰτίας τὶς τιμωρίας;

«Δοξολογεῖτε αὐτὸν ποὺ διαίρεσε τὴν Ἐρυθρὰ Θάλασσα σὲ δύο μέρη». Ἄλλος «Σὲ κομμάτια». Ἄλλος «Σὲ τμήματα». Διότι μερικοὶ λέγουν, ὅτι δὲν ἄνοιξε μόνο ἕνας δρόμος, ἀλλὰ γιὰ τὴν κάθε μιὰ φυλὴ διαχωριζόταν τὸ νερό, ὥστε νὰ γίνουν πολλὲς διαβάσεις. Ἀλλ' ὅλα αὐτά, ἂν καὶ παρουσίαζαν τὴ με-

εἰ καὶ πολλὴν τὴν ἰσχὺν ἐπεδείκνυτο, καὶ φοβερὸν αὐτὸν ἀπέφαινε καὶ μέγαν, ἀλλ' οὖν πολὴν καὶ τὴν φιλανθρωπίαν εἶχεν, οὐχὶ τοῖς ἀπολαύουσι μόνον, ἀλλ', εἰ προσέχειν ἐβούλοντο, καὶ τοῖς ἐναντίοις. Οὐ γὰρ ἁπλῶς κατεπόντισεν αὐτούς, ἀλλὰ μετὰ τοσαύτην θαυματουργίαν βουλομένους κατατολμῆσαι τῶν ὑδάτων· ἔδει δὲ αὐτούς, εἰ καὶ πάντων ἦσαν ἀναισθητότεροι, τά τε πρότερα ἐννοήσαντας, τά τε παρόντα καὶ πρὸ τῶν ὀφθαλμῶν, ἐκπλαγῆναι αὐτοῦ τὴν ἰσχύν, καὶ προσκυνῆσαι, καὶ παύσασθαι τῆς ἀκαίρου φιλονεικίας. Οἱ δὲ τὴν κτίσιν ἅπασαν ὁρῶντες πρὸς τὸ δοκοῦν αὐτῷ μεταστοιχειουμένην, καὶ πολεμοῦσαν αὐτοῖς, οὐδὲ οὕτως ἔληξαν τῆς μανίας, ἀλλὰ καὶ τὸ παράδοξον ἐκεῖνο θαῦμα βλέποντες, κατετόλμησαν τῆς ξένης καὶ καινῆς ὁδοιπορίας. Διὸ καὶ τάφος αὐτοῖς τὸ πέλαγος γίνεται· οὐδὲ γὰρ φύσεως ἦν ἔργον, ἀλλὰ θεηλάτου πληγῆς τὸ γενόμενον· διὰ δὴ τοῦτο ἐν βραχείᾳ καιροῦ ροπῇ τὰ ἐναντία εἰργάζετο· καὶ οὐ καθ' ἓν ἐτέμνετο μέρος, ἀλλὰ κατὰ ἀριθμὸν τῶν φυλῶν ἁπασῶν. Καθ' ἕκαστον δὲ τῶν σημείων ἐλέους μνημονεύει, ὅτι τοῦτο μάλιστα ἦν τῷ Θεῷ περισπούδαστον, ἐπειδὴ διὰ τῶν στοιχείων ἐγίνετο τὰ θαύματα, μὴ φυσικῆς τινος ἀκολουθίας εἶναι νομισθῇ τὰ γινόμενα, ἀλλὰ τῆς ἄνωθεν ροπῆς παραδοξοποιούσης τὰ θαύματα. Ὃ δὴ καὶ ἐπὶ τῆς θαλάττης συνέβαινε, καὶ δῆλον ἐγίνετο, οὐκ ἐκ τοῦ συμβῆναι τότε, ἀλλ' ἐκ τοῦ μετ' ἐκεῖνο μηκέτι γενέσθαι· πάλιν δὲ τὰ φυσικῶς γινόμενα, συνεχῆ καὶ πυκνά, καὶ κατὰ καιρὸν ἐπιτελεῖσθαι πέφυκε.

3. «Καὶ διαγαγόντι τὸν Ἰσραὴλ διὰ μέσου αὐτῆς· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ». Ὁρᾷς πῶς δικαίως καθ' ἕκαστον στί-

4. Δηλαδὴ τὸ διαχωρισμὸ τῆς θάλασσας.

γάλη δύναμη τοῦ Θεοῦ, καὶ φανέρωναν αὐτὸν φοβερὸ καὶ μεγάλο, ἀλλ' ὁπωσδήποτε περιεῖχαν καὶ μεγάλη φιλανθρωπία, ὄχι μόνο γιὰ ἐκείνους ποὺ ἀπολάμβαναν τὶς εὐεργεσίες αὐτές, ἀλλὰ καὶ πρὸς τοὺς ἐχθρούς, ἂν αὐτοὶ ἤθελαν νὰ προσέξουν. Διότι δὲν καταπόντισε αὐτοὺς στὰ καλὰ καθούμενα, ἀλλ' ἐπειδὴ ἤθελαν μετὰ ἀπὸ τόσα θαύματα νὰ τοὺς καταδιώξουν καὶ μέσα στὰ ὕδατα· ἔπρεπε δὲ αὐτοί, καὶ ἂν ἀκόμα ἦταν ἀναισθητότεροι ἀπὸ ὅλους, σκεπτόμενοι τὰ προηγούμενα καὶ αὐτὰ ποὺ ἔβλεπαν μπροστά τους ἐκείνη τὴ στιγμή[4], νὰ ἐκπλαγοῦν ἀπὸ τὴ δύναμή του, νὰ τὸν προσκυνήσουν καὶ νὰ σταματήσουν τὴν ἀνώφελη φιλονεικία. Ἀλλ' ἐκεῖνοι, ἂν καὶ ἔβλεπαν ὁλόκληρη τὴν κτίση νὰ μεταβάλλει τὴ μορφή της σύμφωνα μὲ τὴν ἀπόφαση τοῦ Θεοῦ καὶ νὰ τοὺς πολεμεῖ, οὔτε ἔτσι σταμάτησαν τὴ μανία τους, ἀλλὰ καί, βλέποντας τὸ παράδοξο ἐκεῖνο θαῦμα, ἐπιχείρησαν τὴν παράξενη ἐκείνη καὶ πρωτοφανὴ ὁδοιπορία. Γι' αὐτὸ καὶ γίνεται τὸ πέλαγος τάφος αὐτῶν· διότι αὐτὸ δὲν ἦταν ἔργο τῆς φύσεως, ἀλλὰ τὸ συμβὰν αὐτὸ ἦταν πλῆγμα θεόσταλτο, καὶ γι' αὐτὸ λοιπὸν μέσα σὲ μιὰ στιγμὴ χρόνου ἐνεργοῦσε ἀντίθετα ἀπὸ τὴ φύση του· καὶ δὲν διαχωριζόταν ἀφήνοντας ἕνα μόνο μέρος, ἀλλὰ ἀνάλογα μὲ τὸν ἀριθμὸ ὅλων τῶν φυλῶν. Τὸ καθένα δὲ ἀπὸ τὰ θαύματα ὑπενθυμίζει τὴν ἀγαθότητα τοῦ Θεοῦ, διότι αὐτὸ πρὸ πάντων ἦταν ἐκεῖνο γιὰ τὸ ὁποῖο ἐνδιαφερόταν ὁ Θεός, ἐπειδὴ δηλαδὴ τὰ θαύματα γίνονταν μὲ τὴ βοήθεια τῶν φυσικῶν στοιχείων, νὰ μὴ θεωρηθοῦν τὰ ὅσα γίνονταν σὰν κάποιο φυσικὸ ἀποτέλεσμα, ἀλλὰ σὰν ἀποτέλεσμα τῆς οὐράνιας δυνάμεως ποὺ ἐπιτελεῖ τὰ παράδοξα θαύματα, πράγμα βέβαια ποὺ συνέβαινε καὶ στὴν περίπτωση τῆς θάλασσας καὶ γινόταν φανερὸ ὄχι ἀπὸ τὸ ὅτι συνέβηκε τότε, ἀλλ' ἀπὸ τὸ ὅτι ποτὲ ἀπὸ τότε δὲν συνέβηκε ξανά, ἐνῶ ἐκεῖνα ποὺ γίνονται σύμφωνα μὲ τοὺς φυσικοὺς νόμους, γίνονται συχνὰ καὶ πυκνά, καὶ τελοῦνται, ὅπως εἶναι φυσικό, σὲ ὁρισμένα χρονικὰ διαστήματα.

3. «Καὶ ὁδήγησε τὸν Ἰσραηλιτικὸ λαὸ μέσα ἀπὸ αὐτήν, διότι τὸ ἔλεος αὐτοῦ εἶναι αἰώνιο». Βλέπεις πόσο δίκαια σὲ κά-

χον λέγει τό, «Εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ»; Ταῦτα γὰρ ἅπαντα τὴν διηνεκῆ κηδεμονίαν ἐδείκνυ. Εἰ γὰρ καὶ τὰ γενόμενα τέλος εἶχεν, ἀλλ' αἱ μνῆμαι αὐτῶν τοῖς μετὰ ταῦτα πολλὴν θεογνωσίας παρεῖχον ὑπόθεσιν. Καὶ γὰρ τῇ μνήμῃ εἰς ἐγγόνους παραπεμπόμενα ἐχειραγώγει πρὸς φιλοσοφίαν πολλήν. Ἄλλως δὲ οὐκ ἐκεῖνα ἐπράχθη μόνον, καὶ ἐπαύσατο ἡ τοῦ Θεοῦ κηδεμονία, οὐδὲ μέχρι τῶν Αἰγυπτιακῶν ἔστη τὰ τῆς φιλανθρωπίας, ἀλλ' ἕκαστος καιρὸς καὶ χρόνος ἅπας ἔχει παρατεινόμενα τῆς ἀφάτου αὐτοῦ φιλανθρωπίας τὰ δείγματα. Ὑπὲρ ὧν καὶ αὐτὸς ἐκπληττόμενος, συνεχῶς ἐπιλέγει, τό, «Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ». Καὶ καλῶς ἐπήγαγε, «Τῷ διαγαγόντι τὸν Ἰσραὴλ διὰ μέσου αὐτῆς»· ἐπεὶ καὶ τοῦτο τῆς τοῦ Θεοῦ δυνάμεως. Οὐ γὰρ ἤρκει τὸ τὴν θάλασσαν ὑπονοστῆσαι, καὶ ῥᾳδίαν αὐτοῖς ποιῆσαι τὴν δίοδον· ἀλλ' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα ἂν αὐτοὺς ἐξέπληξε, καὶ ἐφόβησε, καὶ ἀπεῖρξε τολμᾶν, τῷ παραδόξῳ πολλὴν δειλίαν ἐμποιοῦν· ἀλλὰ τῆς τοῦ Θεοῦ δυνάμεως ἐγένετο τὸ καὶ μετὰ τὴν ἀναχώρησιν τῆς θαλάσσης θάρσος αὐτοῖς ἐνθεῖναι, καὶ πεῖσαι διαβῆναι τὴν καινὴν ἐκείνην καὶ ξένην ὁδόν. Καὶ γὰρ ἐν ἑκατέρῳ τμήματι κορυφουμένων τῶν ὑδάτων, ὑψηλῆς τινος καὶ γενναίας ἔδει ψυχῆς αὐτοῖς, ὥστε μὴ δεῖσαι τὴν διάβασιν, μηδὲ ὑποπτεῦσαι, ὅτι κορυφούμενα ἑκατέρωθεν τὰ πελάγη ἐπελεύσεται αὐτοῖς, καὶ καταποντίσει τὸ στρατόπεδον ἅπαν.

«Καὶ ἐκτινάξαντι Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ εἰς θάλασσαν ἐρυθράν». Τὴν εὐκολίαν βουλόμενος δεῖξαι τοῦ καταποντισμοῦ, τῇ λέξει ταύτῃ ἐχρήσατο. Σὺ δέ μοι σκόπει, πῶς μετὰ τῆς δυνάμεως καὶ τῆς ἀγανακτήσεως καὶ τὴν μακροθυμίαν ἐπεδείξατο, οὐ πρότερον αὐτοὺς ἀνελών, καίτοι οὕτως ἀναισχύντως καὶ

θε στίχο λέγει τό, «Διότι τὸ ἔλεος αὐτοῦ μένει στὸν αἰῶνα»; Διότι ὅλα αὐτὰ ἔδειχναν τὴ συνεχὴ φροντίδα του. Ἂν καὶ βέβαια τὰ συμβάντα ἐλάμβαναν τέλος, ἀλλ' ὅμως οἱ ἀναμνήσεις αὐτῶν παρεῖχαν στοὺς μεταγενέστερους μεγάλη ἀφορμὴ θεογνωσίας. Καθόσον μεταβιβαζόμενα μὲ τὴν ἀνάμνηση στοὺς ἀπογόνους τους, καθοδηγοῦσαν αὐτοὺς σὲ μεγάλη εὐσέβεια. Ἐξ ἄλλου δὲ δὲν διεπράχθηκαν μόνο ἐκεῖνα, καὶ σταμάτησε ἡ φροντίδα τοῦ Θεοῦ, οὔτε σταμάτησαν τὰ τῆς φιλανθρωπίας του μέχρι τὰ αἰγυπτιακὰ γεγονότα, ἀλλὰ κάθε ἐποχὴ καὶ ὁλόκληρος ὁ χρόνος ἐξακολουθεῖ νὰ παρουσιάζει δείγματα τῆς ἀπερίγραπτης φιλανθρωπίας αὐτοῦ. Γι' αὐτὰ καὶ ὁ προφήτης νιώθοντας ἔκπληξη, προσθέτει συνέχεια τό, «Διότι τὸ ἔλεος αὐτοῦ μένει στὸν αἰῶνα». Καὶ σωστὰ πρόσθεσε, «Αὐτὸν ποὺ ὁδήγησε τὸν Ἰσραηλιτικὸ λαὸ ἀνάμεσα ἀπὸ αὐτήν»· διότι καὶ αὐτὸ ἀποτελεῖ δεῖγμα τῆς δυνάμεως αὐτοῦ. Διότι δὲν ἦταν ἀρκετὸ τὸ νὰ στρέψει πίσω τὴ θάλασσα καὶ νὰ καταστήσει εὔκολη τὴ διάβαση σ' αὐτούς· καὶ αὐτὸ ἀκριβῶς βέβαια θὰ μποροῦσε νὰ ἐκπλήξει αὐτοὺς καὶ νὰ φοβήσει καὶ νὰ τοὺς ἐμποδίσει νὰ ἐπιχειρήσουν τὸ τόλμημα, τὸ ὅτι μὲ τὸ παράδοξο αὐτὸ κυριεύθηκαν ἀπὸ μεγάλη δειλία· ἀλλὰ τῆς δυνάμεως τοῦ Θεοῦ ἦταν ἀποτέλεσμα τὸ ὅτι καὶ μετὰ τὴν ὑποχώρηση τῆς θάλασσας κυριεύθηκαν αὐτοὶ ἀπὸ θάρρος καὶ πείσθηκαν νὰ διαβοῦν τὸν πρωτοφανὴ ἐκεῖνο καὶ παράξενο δρόμο. Καθόσον, βλέποντας στὸ καθένα ἀπὸ τὰ δύο μέρη νὰ ὑψώνονται τὰ ὕδατα μέχρι τὴν κορυφή, χρειάζονταν αὐτοὶ μεγάλη καὶ γενναία ψυχή, ὥστε νὰ μὴ φοβηθοῦν τὴ διάβαση, οὔτε νὰ σκεφθοῦν, ὅτι τὰ ὑψούμενα καὶ ἀπὸ τὰ δύο μέρη, μέχρι τὴν κορυφή, πελάγη θὰ πέσουν ἐπάνω τους καὶ θὰ καταποντίσουν ὁλόκληρο τὸ στρατόπεδο.

«Καὶ ἔρριψε μέσα στὴν Ἐρυθρὰ θάλασσα τὸ Φαραὼ καὶ τὴ δύναμη αὐτοῦ». Χρησιμοποίησε αὐτὴ τὴ λέξη θέλοντας νὰ παρακινήσει τὴν εὐκολία τοῦ καταποντισμοῦ. Σὺ ὅμως σὲ παρακαλῶ πρόσεχε, πῶς μαζὶ μὲ τὴ δύναμη καὶ τὴν ἀγανάκτηση φανέρωσε καὶ τὴ μακροθυμία, μὲ τὸ νὰ μὴ τοὺς θανατώσει προηγουμένως, ἂν καὶ βέβαια ἡ συμπεριφορά τους ἦταν τόσο

φιλονείκως διακειμένους, ἕως ὅτε φέροντες αὐτοὶ ἑαυτοὺς ἑκόντες κατεκρήμνισαν. Οὐδ' εἰκῇ δὲ καὶ τὸ στρατόπεδον κολάζεται· ἀλλ' ἐπειδὴ τῶν ἁμαρτημάτων ἐκοινώνησαν, καὶ τῆς διώξεως μετέσχον, κοινωνοῦσι καὶ τῆς κολάσεως καὶ τῆς τιμωρίας.

«Τῷ διαγαγόντι τὸν λαὸν αὐτοῦ ἐν τῇ ἐρήμῳ· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ». Τοῦτο οὐκ ἔλαττον τοῦ διὰ τῆς θαλάττης διαγαγεῖν. Εἰ γὰρ καὶ ξηρὰ ὑπέκειτο γῆ, δυναμένη στέγειν τὸ στρατόπεδον, ἀλλ' ὅμως πολλὰ ἕτερα ἦν τὰ λυποῦντα. Καὶ γὰρ ἱκανὰ πάντα καταναλῶσαι, καὶ θανάτῳ παραδοῦναι χαλεπωτάτῳ, καὶ λιμός, καὶ αὐχμός, καὶ δίψος, καὶ ἀκτὶς θερμοτέρα τοῦ δέοντος ἐπικειμένη, καὶ θηρίων πλήθη, καὶ ἡ τῶν ἐπιτηδείων ἁπάντων ἐρημία. Οἶδας δὲ ὅσων ὁ ἄνθρωπος δεῖται. Ἀλλ' ὅμως ἁπάντων ἐκείνων γυμνωθέντες, καὶ οὐ στέγην ἔχοντες, οὐ τροφάς, οὐκ ἐνδύματα ἀρκοῦντα, οὐχ ὑποδήματα, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν, ὡς ἐν μέσαις χορεύοντες πόλεσιν, οὕτω διὰ τῆς ἐρήμου πάσης ἐκείνης ἐβάδιζον.

Σὺ δέ μοι σκόπει, πόσα παρέδραμε θαύματα τὰ ἐν τῇ ἐρήμῳ γινόμενα, καὶ πόσων ἐτῶν δημαγωγίαν, καὶ δύο τινῶν μέμνηται θαυμάτων, τῶν ἐπὶ τῶν βασιλέων ἐκείνων γεγενημένων. Καὶ γὰρ παρεὶς εἰπεῖν τὴν καινὴν τράπεζαν ἐκείνην, τὴν στέγην τὴν παράδοξον, τὴν λαμπάδα τὴν μηδέποτε μὴ φανεῖσαν, τῶν ἱματίων τὸ διαρκές, τῶν ὑποδημάτων τὸ ἀνένδοτον, τὰς ἀπὸ τῶν πετρῶν πηγάς, τὰ ἄλλα τὰ καινὰ καὶ παράδοξα, δι' ὧν ῥᾳδίαν ἐποίει τὴν ὁδοιπορίαν αὐτοῖς, δύο μόνον μέμνηται, πῶς τοὺς βασιλέας τῶν βαρβάρων ἀνεῖλε, καὶ πῶς τὸ τρόπαιον ἔστησε, καὶ τὴν νίκην αὐτοῖς ἐχαρίσατο, τὰ λοιπὰ παραχωρῶν τῷ ἀκροατῇ μετὰ ἀκριβείας ἀναλέγειν· διό φησι· «Τῷ πατάξαντι βασιλεῖς με-

ἀδιάντροπη καὶ φιλόνεικη, μέχρι ποὺ μόνοι τους σπρώχνοντας τοὺς ἑαυτούς τους μὲ τὴ θέλησή τους ὁδηγήθηκαν στὸ γκρεμὸ τῆς καταστροφῆς. Ὅμως οὔτε καὶ ἡ τιμωρία τοῦ στρατοῦ εἶναι τυχαία, ἀλλ' ἐπειδὴ ἔλαβαν μέρος στὰ ἁμαρτήματα, καὶ συμμετεῖχαν στὴν καταδίωξη, λαμβάνουν μέρος καὶ στὴν κόλαση καὶ τὴν τιμωρία.

«Δοξολογεῖτε αὐτὸν ποὺ ὁδήγησε κάτω ἀπὸ τὴν προστασία του τὸ λαό του μέσα στὴν ἔρημο, διότι τὸ ἔλεος αὐτοῦ μένει στὸν αἰώνα». Αὐτὸ δὲν εἶναι κατώτερο ἀπὸ τὴ διάβαση τῆς θάλασσας. Διότι, ἂν καὶ ὑπῆρχε γῆ ξηρὴ κάτω ἀπὸ τὰ πόδια τους, ποὺ μποροῦσε νὰ προστατεύσει τὸ στρατό, ἀλλ' ὅμως ὑπῆρχαν πολλὰ ἄλλα δυσάρεστα. Καθόσον ὅλα ἦταν ἱκανὰ νὰ τοὺς καταστρέψουν καὶ νὰ τοὺς παραδώσουν στὸν πιὸ χειρότερο θάνατο, καὶ ἡ πείνα καὶ ἡ ξηρασία καὶ ἡ δίψα καὶ οἱ πέρα ἀπὸ τὸ ὑποφερτὸ θερμότατες ἀκτίνες τοῦ ἡλίου, καὶ τὰ πλήθη τῶν θηρίων, καὶ ἡ ἔλλειψη ὅλων τῶν ἀναγκαίων γιὰ τὴ ζωή. Γνωρίζεις δὲ ἀπὸ πόσα ἔχει ἀνάγκη ὁ ἄνθρωπος. Ἀλλ' ὅμως ἀπογυμνωμένοι ἀπὸ ὅλα αὐτὰ καὶ μὴ ἔχοντας οὔτε στέγη, οὔτε τροφές, οὔτε ἐπαρκὴ ἐνδύματα, οὔτε ὑποδήματα, οὔτε κανένα ἄλλο ἀπὸ αὐτὰ τὰ ἀναγκαῖα, ἔτσι βάδιζαν ἀνάμεσα σ' ὅλη ἐκείνη τὴν ἔρημο, σὰν νὰ χόρευαν στὸ μέσο τῶν πόλεων.

Σὺ ὅμως πρόσεχε, σὲ παρακαλῶ, πόσα θαύματα παρέτρεξε ποὺ συνέβηκαν στὴν ἔρημο, καὶ πόσων ἐτῶν καθοδήγηση τοῦ λαοῦ, καὶ θυμᾶται δυὸ μόνο θαύματα, ποὺ συνέβηκαν κατὰ τὶς ἡμέρες τῶν βασιλέων ἐκείνων. Πράγματι, παραβλέποντας ν' ἀναφέρει τὴν καινούρια ἐκείνη τράπεζα, τὴν παράξενη στέγη, τὴ λαμπάδα ἐκείνη ποὺ ποτὲ δὲν φώτισε, τὰ διαρκῶς ἴδια ἐνδύματα, τὰ ἄφθαρτα ὑποδήματα, τὶς πηγὲς ἀπὸ τὶς πέτρες, τὰ ἄλλα τὰ πρωτοφανὴ καὶ παράδοξα, μὲ τὰ ὁποῖα ἔκαμνε εὔκολη τὴν ὁδοιπορία τους, δύο μόνο θυμᾶται, πῶς ἐξολόθρευσε τοὺς βασιλεῖς τῶν βαρβάρων, καὶ πῶς ἔστησε τὸ τρόπαιο καὶ χάρισε σ' αὐτοὺς τὴ νίκη, ἀφήνοντας τὰ ὑπόλοιπα στὸν ἀκροατὴ νὰ τὰ ἀναλογίζεται μὲ προσοχή· γι' αὐτὸ λέγει· «Αὐτὸν ποὺ πάταξε μεγάλους βασιλεῖς, καὶ αὐτὸν ποὺ θανάτωσε βασιλεῖς

γάλους. Καὶ ἀποκτείναντι βασιλεῖς κραταιούς. Τὸν Σηὼν βασιλέα τῶν Ἀμορραίων. Καὶ τὸν Ὢγ βασιλέα τῆς Βασάν». Καὶ ἐφ᾽ ἑκάστῳ τούτων ἐπιλέγει, «Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ», δεικνὺς ὅτι εἰ καὶ ἀπὸ πολεμίων πολέμιοι διεδέχοντο, ἀλλ᾽ οὐδεὶς αὐτοὺς ἐχειροῦτο. Διὰ τί; Ὅτι διηνεκῶς τῆς φιλανθρωπίας αὐτοῦ ἀπέλαυον. Τοῦτο γὰρ αἰνίττεται λέγων συνεχῶς, «Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ».

«Καὶ δόντι τὴν γῆν αὐτῶν κληρονομίαν. Κληρονομίαν Ἰσραὴλ δούλῳ αὐτοῦ». Διπλᾶ τὰ τῆς εὐεργεσίας, καὶ τὸ κρατῆσαι τῶν πολεμίων, καὶ τὸ γενέσθαι κυρίους τῶν ἐκείνων. Καὶ γὰρ καὶ τοῦτο δυνάμεως πολλῆς ἦν, οὐ τὸ ἐκβαλεῖν τοὺς ἐνοικοῦντας, ἀλλὰ καὶ τὸ δυνηθῆναι κατασχεῖν καὶ περιγενέσθαι τῆς ἀλλοτρίας. Εἶτα πάλιν σαφέστερον τοῦτο δεικνύς, ὅτι οὐκ ἀπ᾽ ἀξίας τούτων γεγόνασι κύριοι, ἀλλ᾽ ἀπὸ τῆς ἀγαθότητος αὐτοῦ μόνης, ἐπήγαγεν, «Ὅτι ἐν τῇ ταπεινώσει ἡμῶν ἐμνήσθη ἡμῶν ὁ Κύριος», δηλῶν ὡς οὐκ ἐν τοῖς κατορθώμασιν, οὐκ ἐν τῇ εὐπραγίᾳ, ἀλλ᾽ ἐν τῇ ταπεινώσει ἡμῶν. Ὃ δὲ λέγει, τοῦτό ἐστιν· ἤρκεσεν ἡ συμφορὰ ἐπικάμψαι αὐτόν, καὶ τὸ κακῶς πάσχειν ἡμᾶς. Ἐπεὶ καὶ ἐξ ἀρχῆς, ὅτε αὐτοὺς ἀπήλλαττεν Αἰγύπτου, οὐκ εἶπεν, Ἰδὼν εἶδον τὴν καταβολὴν αὐτῶν τὴν ἐπὶ τὸ βέλτιον', ἀλλ᾽ «Ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου τοῦ ἐν Αἰγύπτῳ».

«Καὶ ἐλυτρώσατο ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν». Ἵνα μὴ κατὰ μικρὸν καταλέγῃ τοὺς πολέμους, τὰς ἐφόδους, τὰς νίκας, τὰ τρόπαια, πάλιν ἑνὶ ῥήματι κατορθωμάτων ὁρμαθὸν παραδραμών, καὶ τὰ μερικὰ ἀφεὶς τὰ εἰς Ἰουδαίους γινόμενα, ἐπὶ τὴν καθολικὴν αὐτοῦ πρόνοιαν ἔρχεται λέγων· «Ὁ διδοὺς τροφὴν πάσῃ σαρκί». Ἄλλος, «Ὃς δίδωσιν ἄρτον». Ἄλλος, «Διδοὺς ἄρτον». Οὐκ ἄρα γῆς, οὐδὲ ὑδάτων, οὐδὲ ἀέρων, οὐδὲ ἀκτῖνος, οὐδὲ ἄλλου τινός εἰσι τῶν καρπῶν αἱ γοναί, ἀλλ᾽ αὐτοῦ τὸ πᾶν.

---

5. Ἐξ. 3, 7.

ἰσχυρούς. Τὸν Σηών, τὸ βασιλιὰ τῶν Ἀμορραίων, καὶ τὸν Ὤγ, τὸ βασιλιὰ τῆς Βασάν». Καὶ στὸ τέλος τοῦ καθένα ἀπ' αὐτὰ προσθέτει, «Διότι τὸ ἔλεος αὐτοῦ μένει στὸν αἰώνα», γιὰ νὰ δείξει ὅτι ἂν καὶ οἱ ἐχθροὶ διαδέχονταν ἐχθρούς, ἀλλ' ὅμως κανένας δὲν ὑπέταξε αὐτούς. Γιατί; Διότι συνέχεια ἀπολάμβαναν τὴ φιλανθρωπία αὐτοῦ. Αὐτὸ δηλαδὴ ὑπαινίσσεται λέγοντας συνέχεια, «Διότι τὸ ἔλεος αὐτοῦ μένει στὸν αἰώνα».

«Καὶ ὁ ὁποῖος ἔδωσε σ' αὐτοὺς γιὰ κληρονομία τὴ γῆ τους. Κληρονομία στὸν Ἰσραὴλ τὸν δοῦλο του». Διπλὴ εἶναι ἡ εὐεργεσία, καὶ τὸ ὅτι ὑπερίσχυσαν τῶν ἐχθρῶν τους καὶ τὸ ὅτι ἔγιναν κύριοι τῶν ὑπαρχόντων τους. Καθόσον καὶ αὐτὸ ἦταν δεῖγμα μεγάλης δυνάμεως, τὸ ὄχι μόνο νὰ ἐκδιώξουν τοὺς κατοίκους αὐτῆς, ἀλλὰ καὶ νὰ μπορέσουν νὰ ὑπερισχύσουν καὶ νὰ κυριεύσουν τὴν ξένη γῆ. Ἔπειτα πάλι γιὰ νὰ δείξει αὐτὸ σαφέστερα, ὅτι ἔγιναν κύριοι αὐτῶν ὄχι ἐπειδὴ τὸ ἀξίζαν, ἀλλ' ἐξ αἰτίας τῆς ἀγαθότητας καὶ μόνο τοῦ Θεοῦ, πρόσθεσε, «Διότι ὅταν ἤμασταν ταπεινωμένοι μᾶς θυμήθηκε ὁ Κύριος», γιὰ νὰ δείξει ὅτι τοὺς θυμήθηκε ὄχι στὰ κατορθώματά τους, οὔτε στὴν εὐτυχία τους, ἀλλ' ὅταν ἦταν ταπεινωμένοι. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· ὑπῆρξε ἀρκετὴ ἡ συμφορὰ καὶ τὰ κακοπαθήματά μας νὰ λυγίσουν αὐτόν. Διότι καὶ στὴν ἀρχή, ὅταν ἀπάλλασσε αὐτοὺς ἀπὸ τὴν Αἴγυπτο, δὲν εἶπε, 'πρόσεξα καὶ εἶδα τὴ μεταβολή τους πρὸς τὸ καλύτερο', ἀλλὰ «πρόσεξα καὶ εἶδα τὴν ἄθλια κατάσταση τοῦ λαοῦ μου ποὺ βρίσκεται στὴν Αἴγυπτο»[5].

«Καὶ μᾶς λύτρωσε ἀπὸ τοὺς ἐχθρούς μας». Γιὰ νὰ μὴ ἀναφέρει κάθε λίγο τοὺς πολέμους, τὶς ἐφόδους, τὶς νίκες, τὰ τρόπαια, πάλι μὲ μιὰ λέξη, παρατρέχοντας πλῆθος κατορθωμάτων, καὶ ἀφήνοντας τὰ ὅσα ἐπὶ μέρους συνέβηκαν στοὺς Ἰουδαίους, ἔρχεται στὴν καθολικὴ πρόνοια αὐτοῦ, λέγοντας· «Αὐτὸς εἶναι ποὺ δίνει τροφὴ σὲ κάθε σάρκα». Ἄλλος, «Ὁ ὁποῖος δίνει ἄρτο». Ἄλλος, «Δίνει ἄρτο». Ἑπομένως οἱ γονιμοποιήσεις τῶν καρπῶν δὲν ὀφείλονται στὴ γῆ, οὔτε στὰ ὕδατα, οὔτε στὸν ἀέρα, οὔτε στὶς ἀκτίνες τοῦ ἡλίου, οὔτε σὲ τίποτε ἄλλο,

Καὶ ὅρα κἀνταῦθα οὐ τὴν δύναμιν μόνον, ἀλλὰ καὶ τὴν φιλανθρωπίαν τὴν ἄφατον. Ὅπερ γὰρ ὁ Χριστός φησιν, «Ἀνατέλλει τὸν ἥλιον αὐτοῦ ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους», τοῦτο καὶ οὗτος ἐνταῦθα ᾐνίξατο, οὐχὶ τοῖς δικαίοις, οὐδὲ τοῖς κατορθοῦσι μόνον, ἀλλὰ καὶ ἁμαρτωλοῖς καὶ ἀσεβέσι, καὶ πάσῃ τῇ τῶν ἀνθρώπων φύσει, ὃ καὶ μάλιστα αὐτοῦ τὴν δεσποτείαν ἀνακηρύττει.

Εἶδες ὅτι διὰ τοῦτο μάλιστα ὁ ψαλμὸς σύγκειται, ὥστε πρὸς θεογνωσίαν χειραγωγῆσαι; Διὰ δὴ τοῦτο καὶ ἀρχόμενος ἀπὸ τῶν καθόλου ἤρξατο, καὶ τελευτῶν εἰς ταῦτα κατέληξεν· ἀνωτέρω μὲν εἰπὼν ἥλιον καὶ σελήνην, καὶ ἀστραπὰς καὶ ὑετούς, ἅπερ οὐκ ἐν μέρει γίνεται τῆς οἰκουμένης, ἐν δὲ τῷ τέλει εἰς τὴν κοινὴν ἁπάντων καταλήξας τροφήν. Εἶτα ἀπὸ τούτων κατασκευάσας τὴν καθόλου πρόνοιαν, ἐπήγαγεν· «Ἐξομολογεῖσθε τῷ Θεῷ τοῦ οὐρανοῦ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ». Ἀπὸ γὰρ τούτων κἀκεῖνο δῆλον, ὅτι καὶ τῶν ἄνω καὶ τῶν κάτω πάντων αὐτός ἐστι Δεσπότης, καὶ πανταχοῦ τὰ τῆς προνοίας αὐτοῦ καὶ τῆς κηδεμονίας ἐκτέταται.

Ὑπὲρ ἁπάντων τοίνυν αὐτῷ τὴν εὐχαριστίαν ἀναφέρωμεν, τῶν κοινῶν, τῶν ἰδικῶν, ὑπὲρ τῆς ἀγαθότητος, ὑπὲρ τῆς φιλανθρωπίας, ὑπὲρ τῆς δυνάμεως, ὑπὲρ τῆς κηδεμονίας, καὶ διηνεκῶς τοῦτο ποιοῦντες διατελῶμεν, καθὼς καὶ ὁ ψαλμῳδός φησιν, «Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ». Τοῦτο γὰρ θυσία, τοῦτο προσφορά, τοῦτο μάλιστα ἡμῖν ἵλεων αὐτὸν καθίστησι, καὶ τῆς εὐνοίας ἀπολαῦσαι ποιεῖ τῆς ἐκείνου· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

6. Ματθ. 5, 45.

ἀλλὰ τὸ πᾶν φοείλεται σ' αὐτόν. Καὶ πρόσεχε καὶ ἐδῶ ὄχι μόνο τὴ δύναμή του, ἀλλὰ καὶ τὴν ἀπερίγραπτη φιλανθρωπία του. Ἐκεῖνο δηλαδὴ ποὺ λέγει ὁ Χριστός, «Ἀνατέλλει τὸν ἥλιο του στοὺς κακοὺς καὶ στοὺς ἀγαθούς, καὶ βρέχει στοὺς δίκαιους καὶ στοὺς ἄδικους», αὐτὸ καὶ αὐτὸς ὑπαινίχθηκε ἐδῶ, μὲ τὸ νὰ πεῖ, «Αὐτὸς εἶναι ποὺ δίνει τροφὴ σὲ κάθε σάρκα»· δηλαδή, ὄχι μόνο στοὺς δίκαιους, οὔτε στοὺς ἐνάρετους, ἀλλὰ καὶ στοὺς ἁμαρτωλοὺς καὶ ἀσεβεῖς καὶ σὲ κάθε ἀνθρώπινη φύση, πράγμα ποὺ κατ' ἐξοχὴ διακηρύσσει τὴ δεσποτεία αὐτοῦ.

Εἶδες ὅτι γι' αὐτὸ πρὸ πάντων ὁ ψαλμὸς γράφεται, γιὰ νὰ ὁδηγήσει δηλαδὴ πρὸς θεογνωσία; Γι' αὐτὸ λοιπὸν καὶ ἀρχίζοντας αὐτὸν ἔκανε ἀρχὴ ἀπὸ τὰ γενικά, καὶ τελειώνοντας τερμάτισε μὲ αὐτά· στὴν ἀρχὴ μὲν μίλησε γιὰ τὸν ἥλιο, τὴ σελήνη, τὶς ἀστραπὲς καὶ τὶς βροχές, τὰ ὁποῖα δὲν συμβαίνουν μόνο σ' ἕνα μέρος τῆς οἰκουμένης, στὸ τέλος δὲ τερμάτισε τὸ λόγο μὲ τὴν τροφὴ ποὺ εἶναι κοινὴ γιὰ ὅλους. Ἔπειτα, ἀφοῦ μὲ αὐτὰ ἀπέδειξε τὴ γενικὴ πρόνοια τοῦ Θεοῦ, πρόσθεσε· «Εὐχαριστεῖτε τὸ Θεὸ τοῦ οὐρανοῦ μὲ ὕμνους δοξολογίας, διότι τὸ ἔλεος αὐτοῦ μένει στὸν αἰώνα». Διότι ἀπὸ αὐτὰ γίνεται φανερὸ καὶ ἐκεῖνο, ὅτι αὐτὸς εἶναι Κύριος ὅλων καὶ τῶν οὐρανίων καὶ τῶν ἐπιγείων, καὶ παντοῦ ἐπεκτείνονται τὰ τῆς πρόνοιας καὶ τῆς φροντίδας του.

Γιὰ ὅλα αὐτὰ λοιπὸν ἂς ἀναπέμπουμε σ' αὐτὸν τὴν εὐχαριστία μας, γιὰ τὰ κοινὰ ἀγαθά, γιὰ τὴ φροντίδα του, καὶ ἂς κάμνουμε αὐτὸ συνέχεια σ' ὅλη τὴ ζωή μας, ὅπως καὶ ὁ ψαλμωδὸς λέγει, «Εὐχαριστεῖτε τὸν Κύριο μὲ ὕμνους δοξολογίας, διότι εἶναι ἀγαθὸς καὶ διότι τὸ ἔλεός του μένει στὸν αἰώνα». Διότι αὐτὸ εἶναι θυσία, αὐτὸ προσφορά, αὐτὸ πρὸ πάντων τὸν κάμνει εὐσπλαχνικὸ ἀπέναντί μας, καὶ μᾶς κάμνει ν' ἀπολαύσουμε τὴν εὔνοια ἐκείνου, τὴν ὁποία εὔχομαι ὅλοι μας νὰ ἐπιτύχουμε, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟΝ ΡΛΣ' ΨΑΛΜΝΟΝ.

«Ὑπὲρ τῶν ποταμῶν Βαβυλῶνος ἐκεῖ ἐκαθίσαμεν, καὶ ἐκλαύσαμεν ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς Σιών».

1. Πολὺς ὁ πόθος τοῖς ἀνδράσι τῆς πόλεως, πολὺς ὁ ἔρως τῆς ἐπανόδου. Ἕως μὲν γὰρ εἶχον τὰ ἀγαθὰ ἐν χερσίν, ἀκκιζόμενοι καὶ ὑβρίζοντες διετέλουν, ἐπειδὴ δὲ ἐξεβλήθησαν αὐτῶν, τότε λοιπὸν ἐν ἐπιθυμίᾳ κατέστησαν. Διὰ γὰρ τοῦτο αὐτοὺς καὶ ἐξέβαλεν, ἵνα αὐτοὺς εἰς πόθον ἀναγάγῃ μείζονα. Καὶ τοῦτο πολλαχοῦ ποιεῖν ὁ Θεὸς εἴωθεν. Ὅταν γὰρ ἐντρυφῶντες αὐτοῦ τοῖς ἀγαθοῖς μὴ αἰσθανώμεθα, ἐν ἐρημίᾳ αὐτῶν ἡμᾶς καθίστησιν, ὥστε τῇ στερήσει σωφρονισθέντας ζητῆσαι πάλιν τὴν ἀπόλαυσιν. Τίνος δὲ ἕνεκεν παρὰ τοὺ ποταμοὺς ἐκάθηντο; Ἅτε αἰχμάλωτοι ὄντες, καὶ ἀπὸ πολεμίας εἰλημμένοι χώρας, ἔξω τειχῶν καὶ πόλεων ηὐλίζοντο.

«Ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν». Ἕτερος, «Κιθάρας ἡμῶν». Ἄλλος, «Λύρας». Καὶ τίνος ἕνεκεν τὰ ὄργανα ἐπήγοντο εἰς αἰχμαλωσίαν ἀπιόντες, καὶ οὐ μέλλοντες αὐτοῖς χρῆσθαι; Ὠκονόμητο καὶ τοῦτο ὑπὸ Θεοῦ, ὥστε καὶ ἐπὶ τῆς ἀλλοτρίας ἔχειν ὑπομνήματα τῆς πολιτείας τῆς προτέρας, καὶ μᾶλλον αὐτοὺς δάκνεσθαι ὁρῶντας τὰ σύμβολα

---

* Σύμφωνα μὲ τὴν ἐπιγραφὴ ποὺ ὑπάρχει στὸ κείμενο τῶν Ο' καὶ τῆς Βουλγάτας ὁ ψαλμὸς γράφτηκε κατ' ἄλλους μὲν ἀπὸ τὸ Δαυίδ, κατ' ἄλλους δὲ ἀπὸ τὸν Ἰερεμία. Τὸ βέβαιο εἶναι ὅτι ὁ ψαλμὸς γράφτηκε κατὰ τοὺς χρόνους τῆς αἰχμαλωσίας. Ἀποτελεῖ θαυμάσιο ἐλεγεῖο καὶ ἀριστούργημα λυρικῆς ποιήσεως. Ἐξαίρονται ὁ πατριωτισμὸς καὶ ἡ θρησκεία κατὰ τὸν πλέον ὑψηλότερο τρόπο. Ὁ Ἰσραὴλ μέσα ἀπὸ τὸ καμίνι τῶν θλίψεων καὶ τῶν συμφορῶν δὲν θὰ λησμονήσει ποτὲ τὴν Ἰερουσαλήμ.

ΟΜΙΛΙΑ

ΣΤΟΝ ΡΛΣΤ' ΨΑΛΜΟ*

«Κοντὰ στὶς ὄχθες τῶν ποταμῶν τῆς Βαβυλώνας καθήσαμε καὶ κλάψαμε ὅταν θυμηθήκαμε τὴ Σιών».

1. Εἶναι μεγάλος ὁ πόθος τῶν ἀνθρώπων γιὰ τὴν πόλη τους, εἶναι μεγάλη ἡ ἐπιθυμία τῆς ἐπιστροφῆς τους σ' αὐτήν. Διότι, ἐνόσω μὲν εἶχαν τὰ ἀγαθὰ στὰ χέρια τους, ἔδειχναν ἀδιαφορία καὶ περιφρόνηση γι' αὐτά, ὅταν ὅμως στερήθηκαν αὐτά, τότε πλέον κυριεύθηκαν ἀπὸ ἐπιθυμία γι' αὐτά. Γι' αὐτὸ λοιπόν καὶ στέρησε αὐτοὺς ἀπὸ αὐτά, γιὰ νὰ τοὺς ὁδηγήσει σὲ μεγαλύτερο πόθο αὐτῶν. Καὶ αὐτὸ συνηθίζει νὰ τὸ κάμνει ὁ Θεὸς σὲ πολλὲς περιπτώσεις. Ὅταν δηλαδὴ ἀπολαμβάνομε τὰ ἀγαθὰ ποὺ μᾶς χαρίζει καὶ δὲν τὸ ἀντιλαμβανόμαστε, μᾶς ἀποστερεῖ αὐτά, ὥστε, ἀφοῦ σωφρονισθοῦμε μὲ τὴ στέρηση, νὰ ἐπιδιώξουμε καὶ πάλι τὴν ἀπόλαυση αὐτῶν. Ἀλλὰ γιὰ ποιὸ λόγο κάθονται κοντὰ στὶς ὄχθες τῶν ποταμῶν; Ἐπειδὴ ἦταν αἰχμάλωτοι καὶ ὑποδουλωμένοι ἀπὸ ἐχθρικὴ χώρα, διέμεναν ἔξω ἀπὸ τὶς πόλεις καὶ τὰ τείχη αὐτῶν.

«Ἐπάνω στὶς ἰτιές, ποὺ ὑψώνονται πλησίον τῶν ποταμῶν ποὺ διασχίζουν αὐτήν, ἐκεῖ κρεμάσαμε τὰ ὄργανά μας». Ἄλλος λέγει, «Τὶς κιθάρες μας». Ἄλλος, «Τὶς λύρες μας». Καὶ γιὰ ποιὸ λόγο μετέφεραν μαζί τους, ὁδηγούμενοι στὴν αἰχμαλωσία, καὶ τὰ ὄργανά τους, καὶ ἀφοῦ δὲν ἐπρόκειτο νὰ τὰ χρησιμοποιήσουν; Εἶχε ρυθμισθεῖ καὶ αὐτὸ ἀπὸ τὸ Θεό, ὥστε καὶ στὴν ξένη χώρα νὰ ἔχουν τρόπους ἀναμνήσεως τοῦ παλιοῦ τρόπου ζωῆς τους καὶ νὰ πληγώνονται περισσότερο βλέποντας

---

1. Μάρκ. 9, 44.
2. Ματθ. 5, 20.

τῆς θρησκείας ἐκείνης. «Ὅτι ἐκεῖ ἐπηρώτησαν ἡμᾶς οἱ αἰχμαλωτεύσαντες ἡμᾶς λόγους ᾠδῶν· καὶ οἱ ἀπαγαγόντες ἡμᾶς· ὕμνον ᾄσατε ἡμῖν ἐκ τῶν ᾠδῶν Σιών». Οὐ μικρὰ καὶ ἐντεῦθεν ἐκέρδαινον ἐν τῷ τοὺς βαρβάρους ἐπικεῖσθαι, καὶ τῶν ᾀσμάτων ἐπιθυμεῖν ἀκούειν τῶν παρ' αὐτῶν. Ὅρα δὲ κἀντεῦθεν πόσην ἀπὸ τῆς αἰχμαλωσίας ἐδέξαντο τὴν διόρθωσιν. Οἱ γὰρ ἐξορχησάμενοι, καὶ τῆς οἰκείας ἀποσκιρτήσαντες λατρείας, καὶ παντὶ τρόπῳ τὰ νόμιμα καταπατήσαντες, τοσαύτῃ ἀκριβείᾳ κέχρηνται ἐπὶ τῆς ἀλλοτρίας, ὡς καὶ τῶν βαρβάρων ἐπικειμένων, καὶ ἀπειλούντων, καὶ πανταχόθεν περιστοιχιζόντων αὐτούς, καὶ ἐπιθυμούντων ἀκοῦσαι, μηδὲ οὕτως χαρίσασθαι αὐτῶν τῇ ἐπιθυμίᾳ, ἀλλὰ προτιμῆσαι τὸν νόμον, καὶ διατηρῆσαι μετὰ ἀκριβείας. Τὸ δέ, «Οἱ ἀπαγαγόντες», ἕτερος εἶπεν, «Οἱ καταλαζονευόμενοι ἡμῶν», μονονουχὶ τοῦτο δηλῶν· οἱ πρὸ τούτου ἐπεμβαίνοντες καὶ κατεξανιστάμενοι, οὕτω τῷ χρόνῳ γεγόνασι πρᾶοι καὶ ἐπιεικεῖς καὶ ἥμεροι, ὡς καὶ τῶν ᾠδῶν ἐπιθυμεῖν ἀκούειν τῶν ἡμετέρων. Ἀλλ' ὅμως οὐκ ἐνέδωκαν οὗτοι.

Εἶδες πῶς ἰσχυροὺς ἡ θλίψις ἐργάζεται; πῶς κατανενυγμένους ποιεῖ; πῶς συντρίβει τὴν διάνοιαν; Καὶ γὰρ ἔκλαιον, καὶ τὸν νόμον διετήρουν, καὶ οἱ τῶν προφητῶν δακρυόντων γελῶντες, καὶ κωμῳδοῦντες, καὶ χλευάζοντες, οὗτοι νῦν μηδενὸς ὑπομινήσκοντος αὐτοὺς πρὸς δάκρυα ἐτρέποντο, καὶ ἐθρήνουν. Ἐκ τούτου καὶ οἱ πολέμιοι τὰ μεγάλα ἐκέρδαινον. Καὶ γὰρ ἑώρων αὐτοὺς οὐ τῇ αἰχμαλωσίᾳ πιεζομένους, οὐδὲ τὴν δουλείαν θρηνοῦντας, οὐδὲ τὴν ἐν ἀλλοτρίᾳ διατριβήν, ἀλλὰ τὸ τῆς οἰκείας

τὰ σύμβολα τῆς θρησκείας ἐκείνης. «Ἐκεῖ μᾶς ζήτησαν αὐτοὶ ποὺ μᾶς αἰχμαλώτισαν νὰ τοὺς ψάλουμε ᾠδὲς ἀπὸ τὸ στόμα μας καὶ αὐτοὶ ποὺ μᾶς ἀπήγαγαν ἀπὸ τὴ χώρα μας μᾶς ζήτησαν ὕμνο ἐναρμόνιο, λέγοντας, ψάλατέ μας ἀπὸ τὶς ᾠδὲς ποὺ ψάλλατε ὅταν ἤσαστε στὴ Σιών». Δὲν ἦταν μικρὰ τὰ κέρδη ποὺ ἀπεκόμιζαν καὶ ἀπὸ ἐδῶ, ἀπὸ τὸ ὅτι δηλαδὴ ἦταν ὑποδουλωμένοι στοὺς βαρβάρους καὶ ἐπιθυμοῦσαν αὐτοὶ ν' ἀκούουν τὰ ᾄσματα αὐτῶν. Πρόσεχε δὲ καὶ ἀπὸ ἐδῶ, δηλαδὴ ἀπὸ τὴν αἰχμαλωσία, πόση διόρθωση δέχθηκαν. Διότι ἐκεῖνοι ποὺ ἀπομακρύνθηκαν ἀπὸ τὸ Θεὸ καὶ ἀπεσκίρτησαν ἀπὸ τὴ λατρεία τους, καὶ μὲ κάθε τρόπο καταπάτησαν τὰ νόμιμα, τόσο μεγάλη προθυμία καὶ ζῆλο δείχνουν στὴν ξένη χώρα, ὥστε ἂν καὶ οἱ βάρβαροι βρισκόταν ἀπὸ ἐπάνω τους καὶ δέχονταν τὶς ἀπειλές τους καὶ ἀπὸ παντοῦ περιστοίχιζαν αὐτοὺς καὶ ἐπιθυμοῦσαν ν' ἀκούσουν τὰ ᾄσματά τους, οὔτε καὶ ἔτσι δέχονταν νὰ ἱκανοποιήσουν τὴν ἐπιθυμία τους, ἀλλὰ προτιμοῦσαν τὸ νόμο καὶ διαφύλαξαν αὐτὸν μὲ κάθε φροντίδα καὶ ζῆλο. Τὸ δὲ «Καὶ αὐτοὶ ποὺ μᾶς ἀπήγαγαν», ἄλλος τὸ εἶπε, «καὶ αὐτοὶ ποὺ μᾶς συμπεριφέρονταν μὲ ἀλαζονεία», θέλοντας κατὰ κάποιο τρόπο νὰ δηλώσει αὐτό· ἐκεῖνοι ποὺ πρὶν ἀπὸ αὐτὸ μᾶς ἐπιτίθονταν καὶ ἐξεγείρονταν ἐναντίον μας, τόσο πολὺ πρᾶοι καὶ ἐπιεικεῖς καὶ ἥμεροι ἔγιναν μὲ τὸ πέρασμα τοῦ χρόνου, ὥστε νὰ ἐπιθυμοῦν ν' ἀκούουν καὶ τὰ ᾄσματά μας. Ἀλλ' ὅμως δὲν ὑποχώρησαν αὐτοί.

Εἶδες πῶς ἡ θλίψη τοὺς κάμνει ἰσχυρούς; πῶς διεγείρει τὰ συναισθήματα εὐσέβειας; πῶς δημιουργεῖ ψυχικὴ συντριβή; Καθόσον ἔκλαιαν καὶ φύλασσαν τὸ νόμο, καὶ ἐκεῖνοι ποὺ γελοῦσαν καὶ περιέπαιζαν καὶ χλεύαζαν τοὺς προφῆτες ποὺ ἔχυναν δάκρυα γιὰ τὸ κατάντημά τους, αὐτοὶ τώρα, χωρὶς κανένας νὰ τοὺς ὑπενθυμίζει αὐτά, καταλαμβάνονται ἀπὸ δάκρυα καὶ θρήνους. Ἀπὸ αὐτὸ καὶ οἱ ἐχθροὶ ἀποκόμιζαν μεγάλη ὠφέλεια. Καθόσον ἔβλεπαν αὐτοὺς νὰ στενοχωροῦνται ὄχι γιὰ τὴν αἰχμαλωσία, οὔτε νὰ θρηνοῦν γιὰ τὴ δουλεία, οὔτε γιὰ τὴ ζωή τους στὴν ξενιτειά, ἀλλὰ γιὰ τὸ ὅτι στερήθηκαν τὴ λατρεία

ἐκπεσεῖν λατρείας. Διὰ τοῦτο προστίθησιν· «Ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς Σιών». Καὶ γὰρ οὐχ ἁπλῶς θρηνοῦσιν, ἀλλ' ἔργον τοῦτο ποιοῦνται. Διὰ τοῦτο καὶ ἀρχόμενος ἔλεγεν, «Ἐκαθίσαμεν καὶ ἐκλαύσαμεν», δηλονότι, διὰ τοῦτο συνηδρεύσαμεν, ὥστε κινῆσαι θρήνους καὶ ὀλολυγάς. Τίνος δὲ ἕνεκεν οὐκ ἐφεῖτο ᾄδειν ἐπὶ τῆς ἀλλοτρίας; Ὅτι οὐκ ἔδει βέβηλα ὦτα ἀκούειν τῶν ἀπορρήτων ἐκείνων. «Πῶς ᾄσομεν τὴν ᾠδὴν Κυρίου ἐπὶ τῆς γῆς ἀλλοτρίας»; Τουτέστιν, οὐκ ἐφεῖται ἡμῖν ᾄδειν. Εἰ γὰρ καὶ τῆς πατρίδος ἐξεπέσομεν, ἀλλὰ τὸν νόμον μένομεν διατηροῦντες, καὶ τὴν ἀκρίβειαν αὐτοῦ διαφυλάττοντες. Ὥστε κἂν τῶν σωμάτων κρατῆτε, τῆς γνώμης οὐ περιέσεσθε. Εἶδες φιλόσοφον ψυχὴν γινομένην ἀπὸ τῆς θλίψεως, καὶ ὑψηλοτέραν τῶν δεινῶν;

«Ἐὰν ἐπιλάθωμαί σου, Ἰερουσαλήμ, ἐπιλησθείη ἡ δεξιά μου. Κολληθείη ἡ γλῶσσά μου τῷ λάρυγγί μου». Ὅρα κἀντεῦθεν πολλὴν τὴν μεταβολήν. Καὶ γὰρ οἱ καθ' ἑκάστην ἡμέραν ἀκούοντες, ὅτι τῆς πόλεως ἐκπεσοῦνται, καὶ οὐ φροντίζοντες, ἑαυτοῖς ἐπαρῶνται νῦν, εἰ ἐπιλάθωνται αὐτῆς. Τί δέ ἐστιν, «Ἐπιλησθείη ἡ δεξιά μου»; Ἡ ἰσχύς μου, φησίν, ἡ δύναμίς μου ἐπιλάθοιτό μου, καὶ γενοίμην ἄφωνος ἀπὸ τοῦ μεγέθους τῶν κακῶν, «Ἐὰν μή σου μνησθῶ· ἐὰν μὴ προανατάξωμαι τὴν Ἰερουσαλὴμ ὡς ἐν ἀρχῇ τῆς εὐφροσύνης μου». Τί ἐστιν, «Ἐὰν μὴ προανατάξωμαι τὴν Ἰερουσαλήμ»; Οὐχ ἁπλῶς σου μνημονεύσω, φησίν, ἐν τοῖς ἄλλοις, ἀλλὰ καὶ ἐν τοῖς ὕμνοις καὶ ἐν ταῖς ᾠδαῖς. Τὸ δέ, «Προανατάξωμαι», προανακρούσωμαί ἐστι· σφόδρα ποθούντων ῥῆμα φθεγγόμενοι, μᾶλλον δὲ ἐρώντων, καὶ ἐκαιομένων περὶ αὐτήν. Ἀκούωμεν πάντες ταῦτα, καὶ πευδευώμεθα. Καθάπερ γὰρ

τους. Γι' αὐτὸ προσθέτει· «Ὅταν θυμηθήκαμε τὴ Σιών». Καθόσον δὲν εἶναι ἁπλὸς ὁ θρῆνος τους, ἀλλὰ γίνεται αὐτὸς διαρκὴς ἀπασχόλησή τους. Γι' αὐτὸ καὶ ἀρχίζοντας τὸν ψαλμὸ ἔλεγε, «Καθίσαμε καὶ κλάψαμε», δηλαδή, γι' αὐτὸ συγκεντρωθήκαμε ὅλοι μαζί, ὥστε νὰ ξεσπάσουμε σὲ θρήνους καὶ κραυγὲς πόνου. Ἀλλὰ γιὰ ποιὸ λόγο δὲν ἐπιτρεπόταν νὰ ψάλλουν στὴν ξένη χώρα; Διότι δὲν ἔπρεπε βέβηλα αὐτιὰ νὰ ἀκούουν τὰ ἀπόρρητα ἐκεῖνα ᾄσματα. «Πῶς θὰ ψάλλουμε τὴν ᾠδὴ τοῦ Κυρίου σὲ ξένη χώρα;». Δηλαδή, δὲν ἐπιτρέπεται νὰ ψάλλουμε αὐτήν. Διότι, ἂν καὶ στερηθήκαμε τὴν πατρίδα μας, ἀλλ' ὅμως ἐξακολουθοῦμε νὰ διατηροῦμε τὸ νόμο καὶ νὰ φυλάττουμε αὐτὸν μὲ ἀκρίβεια. Ὥστε καὶ ἂν ἀκόμα ἐξουσιάζετε τὰ σώματά μας, ἀλλ' ὅμως δὲν θὰ καταβάλετε τὴ δύναμη τῆς ψυχῆς μας. Εἶδες ψυχὴ ποὺ ἀπέκτησε τόση φιλοσοφικότητα ἐξ αἰτίας τῆς θλίψεως καὶ ποὺ ἀνέβηκε ψηλότερα ἀπὸ τὶς συμφορές;

«Ἂν σὲ λησμονήσω, Ἱερουσαλήμ, ἂς λησμονηθεῖ τοτε ἡ δεξιά μου. Ἂς κολλήσει ἡ γλώσσα μου στὸ λάρυγγά μου». Πρόσεχε καὶ ἀπὸ αὐτὰ τὰ λόγια τὴ μεγάλη μεταβολή. Καθόσον ἐκεῖνοι ποὺ καθημερινὰ ἄκουαν, ὅτι θὰ στερηθοῦν τὴν πόλη τους καὶ δὲν ἔδειχναν καμιὰ φροντίδα, τώρα καταριοῦνται τοὺς ἑαυτούς τους, ἂν συμβεῖ νὰ λησμονήσουν αὐτήν. Τί σημαίνει δέ, «Ἂς λησμονηθεῖ ἡ δεξιά μου»; Ἂς λησμονηθεῖ, λέγει, ἡ ἰσχύς μου, ἡ δύναμή μου, καὶ ἂς γίνω ἄφωνος ἐξ αἰτίας τοῦ μεγέθους τῶν συμφορῶν, «Ἐὰν δὲν σὲ θυμηθῶ, ἐὰν δὲν θέσω πρὶν ἀπὸ ὅλα τὴν Ἱερουσαλὴμ σὰν ἀρχὴ ὑπερβολικῆς χαρᾶς μου». Τί σημαινει, «Ἂν δὲν θέσω πρὶν καὶ πάνω ἀπὸ ὅλα τὴν Ἱερουσαλήμ»; Ὄχι ἁπλῶς θὰ σὲ θυμηθῶ, λέγει, στὶς ἄλλες περιπτώσεις τῆς ζωῆς μου, ἀλλὰ καὶ στὴν ὥρα τῶν ὕμνων καὶ τῶν ᾠδῶν. Τὸ δέ, «Προανατάξωμαι», σημαίνει θὰ σὲ θέσω σὰν ἀρχὴ κάθε θρησκευτικῆς ἐκδηλώσεώς μου· τὰ λόγια αὐτὰ ποὺ λέγουν εἶναι λόγια ἀνθρώπων ποὺ εἶναι κυριευμένοι ἀπὸ ὑπερβολικὸ πόθο, μᾶλλον δὲ εἶναι λόγια ἀνθρώπων ποὺ νιώθουν ὑπερβολικὴ ἀγάπη πρὸς αὐτὴν καὶ κατακαίονται ἀπὸ αὐτήν. Ἂς τὰ ἀκοῦμε αὐτὰ ὅλοι μας καὶ ἂς διδασκόμαστε. Διότι, ὅ-

οὗτοι ἐκπεσόντες, τότε ζητοῦσιν αὐτήν, οὕτω καὶ ἡμῶν πολλοὶ τοῦτο πείσονται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τῆς ἄνω Ἰερουσαλὴμ ἐκπίπτοντες. Ἀλλ' οὗτοι μὲν ἐκπεσόντες ἐλπίδας ἔσχον ἐπανόδου, ἡμᾶς δὲ ἐκπεσόντας οὐκ ἔνι πάλιν ἐπανελθεῖν. Ὁ γὰρ σκώληξ αὐτῶν οὐ τελευτήσει, φησί, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται. Διὸ δὴ ἀκριβέστερον δεῖ τοῖς καθ' ἡμᾶς αὐτοὺς προσέχειν, καὶ τὸν παρόντα βίον οὕτως οἰκονομεῖν, ὥστε μὴ γενέσθαι αἰχμαλώτους, μηδὲ ἀλλοτρίους, μηδὲ ξένους τῆς μητροπόλεως ἐκείνης.

«Μνήσθητι, Κύριε, τῶν υἱῶν Ἐδὼμ τὴν ἡμέραν Ἰερουσαλὴμ τῶν λεγόντων, ἐκκενοῦτε, ἐκκενοῦτε ἕως τῶν θεμελίων αὐτῆς». Ἕτερος, «Τοῖς υἱοῖς Ἐδώμ». Καὶ τοῦτο τὸ ῥῆμα ἐκκαιομένων περὶ τὴν πόλιν. Ὃ δὲ λέγουσι, τοῦτό ἐστιν· ἀπαίτησον δίκην τοὺς οὐ βουληθέντας στῆναι μέχρι τῆς ἁλώσεως, μηδὲ κορεσθέντας τῇ κατασκαφῇ, ἀλλ' ἐφισταμένους καὶ λέγοντας, κατασκάπτετε ἕως ἂν ᾖ θεμέλιος ἐν αὐτῇ. Ἐπεθύμουν γὰρ μηδὲ τὰ βάθρα αὐτὰ μεῖναι τῆς πόλεως, ἀλλὰ καὶ τοὺς θεμελίους αὐτῆς ἀνασπασθῆναι. Οὗτοι δὲ ἦσαν Ἀράβιοι, οἱ συνεπιθέμενοι τοῖς Ἰουδαίοις τότε μετὰ τῶν Βαβυλωνίων, ὧν καὶ συνεχῶς μέμνηται ὁ προφήτης, καὶ σφόδρα αὐτῶν κατηγορεῖ, ὅτι καὶ δικαίας συγγενείας ἔχοντες πρὸς αὐτούς, τῶν πολεμίων ἐγένοντο πικρότεροι.

2. «Θυγάτηρ Βαβυλῶνος ἡ ταλαίπωρος». Ἕτερος, «Ἡ προνενομευμένη». Ἕτερος, «Ἡ διαρπασθησομένη». Ἐνταῦθα δεικνὺς τοῦ Θεοῦ τὴν ἰσχύν, οὐκ ἐν τῇ τῶν κακῶν ἀπαλλαγῇ, ἀλλὰ καὶ ἐν τῇ τῶν πολεμησάντων ἐπιβουλῇ, προλέγει τὰ συμβησόμενα τῇ Βαβυλῶνι κακὰ ὁ προφήτης, καὶ ἀθλία αὐτὴν ἀπὸ τῶν καταληψομένων κακῶν καλεῖ, κἂν τούτῳ παιδεύων τοὺς

πως ἀκριβῶς αὐτοὶ ὅταν στερήθηκαν αὐτήν, τότε ἀναζητοῦν αὐτήν, ἔτσι καὶ ἀπὸ ἐμᾶς πολλοὶ θὰ πάθουν αὐτὸ κατὰ τὴν ἡμέρα ἐκείνη ποὺ θὰ στεροῦνται τὴν οὐράνια Ἰερουσαλήμ. Ἀλλ' αὐτοὶ μέν, στερηθέντες αὐτήν, ἔλπιζαν νὰ ἐπιστρέψουν σ' αὐτήν, ἐμεῖς ὅμως, ἂν στερηθοῦμε αὐτήν, δὲν εἶναι δυνατὸ πλέον νὰ ἐπιστρέψουμε. Διότι λέγει, ὅτι τὸ σκουλήκι ποὺ θὰ τοὺς κατατρώγει αὐτοὺς δὲν θὰ πεθάνει, καὶ ἡ φωτιὰ ποὺ θὰ τοὺς κατακαίει δὲν θὰ σβήσει. Γι' αὐτὸ λοιπὸν πρέπει νὰ δείχνουμε πολὺ πιὸ μεγαλύτερη προσοχὴ γιὰ τὰ πράγματα ποὺ μᾶς ἀφοροῦν καὶ νὰ ρυθμίζουμε τὴ ζωή μας ἔτσι, ὥστε νὰ μὴ συμβεῖ νὰ βρεθοῦμε αἰχμάλωτοι οὔτε ξένοι, καὶ οὔτε νὰ στερηθοῦμε τὴ μητρόπολη ἐκείνη.

«Θυμήσου, Κύριε, τοὺς Ἰδουμαίους ποὺ κατὰ τὴν ἡμέρα τῆς καταστροφῆς τῆς Ἰερουσαλὴμ ἔλεγαν· καταστρέψατε καὶ κατασκάψατε αὐτὴν μέχρι τὰ θεμέλια». Ἄλλος, «Τοὺς υἱοὺς τῆς Ἐδώμ». Καὶ αὐτὰ τὰ λόγια εἶναι λόγια ἀνθρώπων ποὺ κατακαίονται ἀπὸ τὸν πόθο γιὰ τὴν πόλη τους. Αὐτὸ δὲ ποὺ λέγει, σημαίνει τὸ ἑξῆς· τιμώρησε ἐκείνους ποὺ δὲν θέλησαν νὰ σταματήσουν μέχρι τὴν ἅλωση τῆς πόλεως, οὔτε ἱκανοποιήθηκαν μὲ τὴν κατασκαφὴ αὐτῆς, ἀλλ' ἦταν ἐκεῖ παρόντες καὶ ἔλεγαν, κατασκάπτετε αὐτὴν μέχρι τὰ θεμέλια αὐτῆς. Διότι ἐπιθυμοῦσαν οὔτε οἱ βάσεις τῆς πόλεως να μείνουν, ἀλλὰ καὶ τὰ θεμέλια αὐτῆς νὰ ἐκριζωθοῦν. Αὐτοὶ δὲ ἦταν Ἄραβες, ποὺ ἐπιτέθηκαν μαζὶ μὲ τοὺς Βαβυλώνιους τότε ἐναντίον τῶν Ἰουδαίων, τοὺς ὁποίους καὶ συνέχεια θυμᾶται ὁ προφήτης καὶ τοὺς κατηγορεῖ ὑπερβολικά, διότι, ἂν καὶ εἶχαν μεγαλύτερη συγγένεια πρὸς τοὺς Ἰουδαίους, ὑπῆρξαν χειρότεροι ἀπὸ τοὺς ἐχθρούς.

2. «Ταλαίπωρη Βαβυλώνα». Ἄλλος, «ποὺ ἔχει καταστραφεῖ». Ἄλλος, «ποὺ θὰ λεηλατηθεῖς». Ἐδῶ δείχνει τοῦ Θεοῦ τὴ δύναμη, ὄχι μὲ τὴν ἀπαλλαγὴ αὐτῶν ἀπὸ τὰ κακά, ἀλλὰ καὶ μὲ τὸν τρόπο ποὺ οἱ ἐχθροὶ ἐφάρμοσαν ἐναντίον τους τὰ καταστρεπτικὰ σχέδιά τους προλέγει ὁ προφήτης τὰ κακὰ ποὺ θὰ συμβοῦν στὴ Βαβυλώνα, καὶ ὀνομάζει αὐτὴν ἄθλια ἀπὸ τὶς συμφορὲς ποὺ θὰ τὴ βροῦν, διδάσκοντας καὶ μὲ αὐτὸ τοὺς Ἰου-

Ἰουδαίους, καὶ δεικνὺς τοῦ Θεοῦ τὴν ἰσχὺν πανταχοῦ τῆς γῆς ἐκτεταμένην. «Μακάριος ὃς ἀνταποδώσει σοι τὸ ἀνταπόδομά σου, ὃ ἀνταπέδωκας ἡμῖν». Ἄλλος, «Ὃ προεποίησας ἡμῖν». Μακάριος ὃς κρατήσει, καὶ ἐδαφιεῖ τὰ νήπιά σου πρὸς τὴν πέτραν». Ταῦτα εἰ καὶ πολλοῦ γέμει θυμοῦ καὶ πολλῆς κολάσεως καὶ τιμωρίας, ὅμως τοῦ πάθους τῶν αἰχμαλωτισθέντων ἐστὶ τὰ ῥήματα, πολλὴν ἀπαιτούντων τὴν τιμωρίαν, καὶ ξένην τινὰ καὶ παράδοξον κόλασιν. Πολλὰ γὰρ οἱ προφῆται οὐκ οἴκοθεν φθέγγονται, ἀλλὰ τὰ ἑτέρων πάθη διηγούμενοι, καὶ εἰς μέσον φέροντες. Ἂν μὲν γὰρ τὴν αὐτοῦ γνώμην ζητῇς, ἀκούσῃ λέγοντος, «Εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά», καὶ τὴν παρὰ τῶν νόμων δεδομένην αὐτῷ συμμετρίαν ὑπερβαίνοντος. Ὅταν δὲ τὰ ἑτέρων διηγῆται πάθη, τὸν θυμὸν ὑπογράφει, τὴν ὀδύνην· ὃ δὴ καὶ νῦν πεποίηκε, τὴν ἐπιθυμίαν τὴν τῶν Ἰουδαίων εἰς μέσον ἄγων, οἳ καὶ μέχρι τῆς ἀώρου ἡλικίας τὴν ὀργὴν ἐξέτεινον. Ἀλλ᾽ οὐ τὰ τῆς Καινῆς τοιαῦτα, ἀλλὰ καὶ ποτίζειν καὶ τρέφειν τοὺς ἐχθροὺς κελευόμενα, εὔχεσθαι ὑπὲρ τῶν ἐπηρεαζόντων ἡμᾶς. Τοῦτο δὲ ποιοῦμεν διὰ τὴν ὡρισμένην νομοθεσίαν. Ποίαν δὲ ταύτην; «Ἐὰν» γὰρ «μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν», φησί, «πλέον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν».

Πολλὴν τοίνυν ἐπιδειξώμεθα τὴν σπουδὴν καὶ μετὰ περιουσίας ἅπασαν φυλάξωμεν, ἅτε λοιπὸν ὡς ἐν οὐρανῷ πολιτευόμενοι ἐπὶ γῆς, καὶ μετὰ ἀγγέλων χορεύοντες. Οὕτω γὰρ καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

δαίους καὶ δείχνοντας τὴ δύναμη τοῦ Θεοῦ νὰ ἁπλώνεται σ' ὅλα τὰ μέρη τῆς γῆς. «Μακάριος εἶναι ἐκεῖνος ποὺ θὰ σοῦ ἀνταποδώσει ὅ,τι ἔκαμες σὲ μᾶς, ἀμείβοντάς σε μὲ τὴν ἴδια τιμωρία ποὺ μᾶς τιμώρησες». Ἄλλος, «Μὲ τὸ ἴδιο ποὺ ἔκαμες προηγουμένως σὲ μᾶς». «Μακάριος εἶναι ἐκεῖνος ποὺ θὰ ἁρπάξει καὶ θὰ συντρίψει τὰ νήπιά σου ἐπάνω στὶς πέτρες». Αὐτὰ τὰ λόγια ἂν καὶ εἶναι γεμάτα ἀπὸ πολὺ θυμὸ καὶ ἀπὸ μεγάλη κόλαση καὶ τιμωρία, ὅμως ἐκφράζουν τὸ πάθος τῶν αἰχμαλωτισθέντων, ποὺ ζητοῦν μεγάλη τὴν τιμωρία καὶ μιὰ κάποια πρωτοφανὴ καὶ παράξενη κόλαση. Διότι οἱ προφῆτες πολλὰ λέγουν ποὺ δὲν εἶναι δικά τους λόγια, ἀλλὰ μὲ αὐτὰ διηγοῦνται τὰ παθήματα τῶν ἄλλων καὶ μᾶς τὰ παρουσιάζουν. Διότι ἂν μὲν ζητεῖς καὶ μάθεις τὴ γνώμη του, θ' ἀκούσεις νὰ λέγει, «Ἂν ἀνταπέδωσα κακὸ σ' ἐκείνους ποὺ μοῦ ἀνταποδίδουν κακά», καὶ νὰ ξεπερνᾶ τὴ συμμετρία ποὺ δίνονταν σ' αὐτὸν ἀπὸ τὸ νόμο. Ὅταν ὅμως διηγεῖται τὰ κακοπαθήματα τῶν ἄλλων, περιγράφει τὸ θυμὸ καὶ τὸν πόνο, πράγμα βέβαια ποὺ καὶ τώρα ἔχει κάνει, ἀναφέροντας τὴν ἐπιθυμία τῶν Ἰουδαίων, οἱ ὁποῖοι ἐπεξέτειναν τὴν ὀργή τους μέχρι τὰ μικρὰ παιδιά. Ὅμως δὲν εἶναι τέτοια τὰ τῆς Καινῆς Διαθήκης, ἀλλὰ προτρεπόμαστε καὶ νὰ ποτίζουμε καὶ νὰ τρέφουμε τοὺς ἐχθρούς μας καὶ νὰ προσευχόμαστε γιὰ ἐκείνους ποὺ μᾶς βλάπτουν. Αὐτὸ δὲ τὸ κάμνουμε ἐξ αἰτίας τῆς νομοθεσίας ποὺ μᾶς δόθηκε. Ποιὰ δὲ εἶναι αὐτή; «Ἂν», λέγει, «δὲν ξεπεράσει ἡ ἀρετή σας τὴν ἀρετὴ τῶν Γραμματέων καὶ Φαρισαίων, δὲν θὰ εἰσέλθετε στὴ βασιλεία τῶν οὐρανῶν»[8].

Ἂς ἐπιδείξουμε λοιπὸν μεγάλη φροντίδα γιὰ τὴν ἀρετὴ καὶ μὲ ὅλη τὴ δύναμή μας ἂς τὴ διαφυλάξουμε, γιὰ νὰ ζοῦμε πλέον στὴ γῆ σὰν νὰ ζοῦμε στὸν οὐρανὸ καὶ νὰ συμμετέχουμε στὴ χορεία τῶν ἀγγέλων. Διότι ἔτσι καὶ τὰ μελλοντικὰ ἀγαθὰ θὰ ἐπιτύχουμε, τὰ ὁποῖα εἴθε νὰ ἐπιτύχουμε ὅλοι μας, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ
ΕΙΣ ΤΟΝ ΡΛΖ' ΨΑΛΜΟΝ.

«Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου».

1. Πολλάκις ὑμῖν περὶ τούτου διελέχθην. Διόπερ αὐτὸ παρελθόντες, ἐπὶ τὸ ἐχόμενον αὐτοῦ ἥξομεν. Τί δὲ τοῦτό ἐστι, «Καὶ ἐναντίον ἀγγέλων ψαλῶ σοι»; Ὅπερ ἕτερος εἶπεν ἑρμηνευτής, «Παρρησίᾳ, ὁ Θεός, ᾄσω σε». Ἄλλος, «Ἔναντι θεῶν μελῳδήσω σοι». Ἂν μὲν οὖν τοὺς ἐν οὐρανοῖς ἀγγέλους λέγῃ, τοιοῦτόν ἐστι τὸ λεγόμενον, ὅτι μετὰ ἀγγέλων ᾄδειν βιάσομαι, καὶ φιλονεικήσω τὴν ἅμιλλαν πρὸς αὐτοὺς θέσθαι, καὶ συγχορεῦσαι ταῖς ἄνω δυνάμεσιν. Εἰ γὰρ καὶ τῇ φύσει διέστηκα, ἀλλ' ὅμως τῇ προθυμίᾳ ἁμιλλήσομαι μετ' ἐκείνων στῆναι. Εἰ δὲ κατὰ τὴν ἑτέρων ἔκδοσιν ἐκλάβωμεν τὸ εἰρημένον, δοκεῖ μοι περὶ τῶν ἱερέων τοῦτο εἰπεῖν. Ἔθος γὰρ τῇ Γραφῇ καὶ ἄγγελον καλεῖν τὸν ἱερέα καὶ θεόν· νῦν μὲν λέγουσα, «Θεοὺς οὐ κακολογήσεις, καὶ ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς», νῦν δέ, «Χείλη ἱερέων φυλάξεται κρίσιν, καὶ ἐκ στόματος αὐτοῦ ζητήσουσι δικαιοσύνην, ὅτι ἄγγελος Κυρίου παντοκράτορός ἐστιν». Ἂν τοίνυν τοῦτο ἐκλαβεῖν ᾖ, ἐκεῖνο νοεῖν δεῖ, ὅτι μετὰ τῶν ἱερέων, παρόντων

---

* Ψαλμὸς μᾶλλον τοῦ Δαυίδ, στὸ ὁποῖο αὐτὸς ἐκφράζει τὶς εὐχαριστίες πρὸς τὸ Θεὸ γιὰ τὶς ἄπειρες εὐεργεσίες του πρὸς αὐτόν, καὶ καλεῖ ὅλους τοὺς βασιλεῖς τῆς γῆς νὰ λάβουν μέρος στὴν ἐξύμνηση αὐτή. Τέλος τονίζεται ἡ πλήρης ἐμπιστοσύνη στὸν Κύριο.

ΟΜΙΛΙΑ
ΣΤΟΝ ΡΛΖ' ΨΑΛΜΟ*

«Θὰ σὲ εὐχαριστήσω, Κύριε, μὲ ὅλη τὴν καρδιά μου».

1. Πολλὲς φορὲς σᾶς μίλησα γι' αὐτὸ τὸ θέμα. Γι' αὐτὸ λοιπόν, παραλείποντας αὐτό, ἂς ἔλθουμε σ' αὐτὸ ποὺ ἀκολουθεῖ. Τί δὲ σημαίνει τό, «Καὶ ἐνώπιον τῶν ἀγγέλων θὰ ψάλω ὕμνο πρὸς ἐσένα»; Ἐκεῖνο ἀκριβῶς ποὺ ἄλλος ἑρμηνευτὴς μετέφρασε, «Μὲ θάρρος, Θεέ μου, θὰ σὲ ὑμνήσω». Ἄλλος, «Ἐνώπιον τῶν θεῶν θὰ σὲ ὑμνήσω». Ἂν λοιπὸν ἐννοεῖ τοὺς ἀγγέλους τοῦ οὐρανοῦ, αὐτὸ σημαίνει τὸ λεγόμενο, ὅτι θὰ σπεύσω νὰ σὲ ἐξυμνήσω μαζὶ μὲ τοὺς ἀγγέλους, καὶ θὰ προσπαθήσω νὰ συναγωνισθῶ αὐτοὺς καὶ νὰ βρεθῶ στὸν ἴδιο χορὸ μὲ τὶς οὐράνιες δυνάμεις. Διότι, ἂν καὶ ὡς πρὸς τὴ φύση διαφέρω ἀπ' αὐτούς, ἀλλ' ὅμως ὡς πρὸς τὴν προθυμία θὰ ἀγωνισθῶ νὰ σταθῶ στὸ χορὸ ἐκείνων. Ἂν ὅμως ἐκλάβουμε τὸ λεγόμενο σύμφωνα μὲ τὴν ἑρμηνεία τῶν ἄλλων, μοῦ φαίνεται ὅτι αὐτὸ τὸ εἶπε γιὰ τοὺς ἱερεῖς. Διότι συνηθίζει ἡ Γραφὴ νὰ ὀνομάζει τὸν ἱερέα καὶ ἄγγελο καὶ θεό· ἄλλοτε μὲν λέγοντας, «Μὴ κακολογήσεις τοὺς ἱερεῖς καὶ μὴ πεῖς κακὰ λόγια ἐναντίον τοῦ ἄρχοντα τοῦ λαοῦ σου»[1], ἄλλοτε δέ, «Τὰ χείλη τῶν ἱερέων θὰ προφυλάξουν τὴ δίκαια κρίση καὶ ἀπὸ τὸ στόμα αὐτοῦ θὰ ζητήσουν δικαιοσύνη, διότι αὐτὸς εἶναι ἄγγελος τοῦ παντοκράτορα Κυρίου»[2]. Ἂν λοιπὸν τὸ ἐκλάβουμε ἔτσι πρέπει νὰ τὸ ἐννοήσουμε μὲ τὴν ἑξῆς σημασία, ὅτι δηλαδὴ μαζὶ μὲ τοὺς ἱερεῖς, καὶ ἐνῶ θὰ εἶναι αὐτοὶ παρόντες, καὶ θ' ἀρχίζουν ἐκεῖνοι τὴ δοξολογία μὲ τὴν πρέπου-

---

1. Ἐξ. 22, 27.
2. Μαλ. 2, 7.

αὐτῶν, μετὰ τῆς προσηκούσης εὐταξίας καταρχομένων ἐκείνων προηγουμένων ἕψομαι, καὶ ἀκολουθήσω, καὶ ᾄσω σοι.

«Ὅτι ἤκουσας πάντα τὰ ῥήματα τοῦ στόματός μου». Εἶδες εὐχαριστίαν πολλήν; εἶδες προσοχὴν ἐπιτεταμένην; Οὐ καθάπερ ἔνιοι τῶν χαύνων καὶ διαλελυμένων, πρὶν ἢ μὲν λαβεῖν σφοδροί τινές εἰσι, μετὰ δὲ τὸ λαβεῖν ἀναπεπτωκότες· ἀλλ' οὗτος καὶ πρὶν ἢ λαβεῖν ἐπίκειται, καὶ μετὰ τὸ λαβεῖν μένει διηνεκῶς εὐχαριστῶν. Ἐντεῦθεν δὲ δείκνυται, ὅτι καθαρὰν καὶ ἀρίστην ἐποιεῖτο τὴν εὐχήν, ἐκ τοῦ ἀκουσθῆναι παρὰ τοῦ Θεοῦ. Τοῦτο γὰρ μάλιστα ἀκούεσθαι ποιεῖ, ὅταν κατὰ γνώμην αὐτῷ ἡ εὐχὴ γένηται. Ὥστε καὶ τοῦ ἀκουσθῆναι ἡμεῖς κύριοι. Ὅταν γὰρ ταῦτα αἰτῶμεν, ἃ τὸν Θεὸν ἄξιον δοῦναι, ὅταν μετὰ προθυμίας, ὅταν ἀξίους ἑαυτοὺς τοῦ λαβεῖν παρέχωμεν, ἀκούει καλούμενος, καὶ τὸ αἰτούμενον πληροῖ.

Προσκυνήσω πρὸς ναὸν ἅγιόν σου». Οὐ μικρὰ καὶ τοῦτο ἀρετὴ τὸ δύνασθαι ἐπιβαίνειν ναοῦ, καὶ ἐπιβαίνοντα μετὰ καθαροῦ συνειδότος προσκευνεῖν. Οὐ γὰρ δὴ τὸ κάμψαι γόνατα, οὐδὲ τὸ εἰσελθεῖν τοῦτό ἐστι τὸ ζητούμενον, ἀλλὰ τὸ μετὰ διανοίας θερμῆς, καὶ γνώμης συντεταμένης, τὸ μὴ τῷ σώματι μόνον, ἀλλὰ καὶ τῇ γνώμῃ ἔνδον εἶναι· ὥσπερ οὐδὲ μικρὸν ἀξίωμα τὸ προσκυνεῖν τὸν ἐπὶ πάντων Θεόν, ὡς χρὴ προσκυνεῖν. Εἰ γὰρ ἐπὶ τῶν βασιλέων ἐν ἀξιώματος τοῦτο κεῖται μέρει, πολλῷ μᾶλλον ἐπὶ τοῦ τῶν ὅλων Θεοῦ. «Καὶ ἐξομολογήσομαι τῷ ὀνόματί σου ἐπὶ τῷ ἐλέει σου, καὶ τῇ ἀληθείᾳ σου». Τί ἐστι τοῦτο; Εὐχαριστήσω σοι, φησίν, ὅτι πολλῆς ἀπέλαυσα τῆς κηδεμονίας. Οὐ γὰρ ἀπὸ τῶν οἰκείων κατορθωμάτων ἔλαβον τὸ ἀπολαβεῖν τὴν πατρίδα, καὶ τὸν ναὸν ἰδεῖν, ἀλλ' ἀπὸ τοῦ ἐλέους σου, καὶ τῆς φιλαν-

σα τάξη καὶ θὰ προηγοῦνται, θὰ ἀκολουθήσω καὶ ἐγὼ καὶ θὰ ψάλω μαζὶ μὲ αὐτοὺς καὶ θὰ σὲ ὑμνήσω.

«Διότι ἄκουσες ὅλα τὰ λόγια τοῦ στόματός μου». Εἶδες εὐχαριστία μεγάλη; εἶδες προσοχὴ παρατεταμένη; Ὄχι ὅπως ἀκριβῶς μερικοὶ ἀπὸ τοὺς ἀποχαυνωμένους καὶ τοὺς ἀδιάφορους, ποὺ πρὶν μὲν λάβουν αὐτὰ ποὺ ζητοῦν, δείχνουν ὑπερβολικὴ προθυμία, ἀφοῦ ὅμως λάβουν ἐκεῖνο ποὺ ζητοῦν, γίνονται ἀδιάφοροι· ἀλλ' αὐτὸς καὶ πρὶν τὰ λάβει ἐπιμένει στὸ αἴτημά του, καὶ ἀφοῦ λάβει ἐκεῖνο ποὺ ζητᾶ, ἐξακολουθεῖ νὰ εὐχαριστεῖ ἀδιάκοπα αὐτόν. Ἀπὸ ἐδῶ δὲ γίνεται φανερό, ὅτι ἡ προσευχή του ἦταν καθαρὴ καὶ ἄριστη, ἀπὸ τὸ ὅτι εἰσακούσθηκε ἀπὸ τὸ Θεό. Διότι αὐτὸ πρὸ πάντων συντελεῖ στὸ νὰ εἰσακουσθεῖ ἡ προσευχή, ὅταν αὐτὴ εὐχαριστεῖ τὸ Θεό. Ὥστε καὶ τὸ νὰ εἰσακουσθεῖ ἡ προσευχή μας ἐξαρτᾶται ἀπὸ ἐμᾶς. Διότι ὅταν ζητοῦμε αὐτὰ ποὺ πρέπει νὰ μᾶς δώσει ὁ Θεός, ὅταν τὰ ζητοῦμε μὲ προθυμία, ὅταν καθιστοῦμε τοὺς ἑαυτούς μας ἄξιους νὰ τὰ λάβουμε, ἀκούει ποὺ τὸν καλοῦμε καὶ ἐκπληρώνει τὸ αἴτημά μας.

«Θὰ σὲ προσκυνήσω μεταβαίνοντας στὸν ἅγιο ναό σου». Δὲν εἶναι καὶ αὐτὸ μικρὴ ἀρετὴ τὸ νὰ μπορεῖ κάποιος νὰ εἰσέρχεται στὸ ναὸ καὶ εἰσερχόμενος νὰ προσκυνεῖ αὐτὸν μὲ καθαρὴ συνείδηση. Διότι βέβαια ἐκεῖνο ποὺ ζητεῖται εἶναι ὄχι τὸ νὰ κάμψει κανένας τὰ γόνατα, οὔτε ἁπλῶς νὰ εἰσέρχεται στὸ ναό, ἀλλὰ νὰ εἰσέρχεται μὲ θέρμη καὶ σκέψη συγκεντρωμένη, τὸ νὰ βρίσκεται μέσα ὄχι μόνο μὲ τὸ σῶμα, ἀλλὰ καὶ μὲ τὴ σκέψη· διότι δὲν εἶναι μικρὴ τιμὴ τὸ νὰ προσκυνεῖ τὸ Θεὸ τῶν πάντων, ὅπως πρέπει νὰ τὸν προσκυνεῖ. Ἂν δηλαδὴ στὴν περίπτωση τῶν βασιλέων ἡ προσκύνηση ἀποτελεῖ τιμὴ γι' αὐτούς, πολὺ περισσότερο στὴν περίπτωση τοῦ Θεοῦ τῶν ὅλων. «Καὶ θὰ ὑμνήσω τὸ ὄνομά σου γιὰ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειά σου». Τί σημαίνει αὐτό; Θὰ σὲ εὐχαριστήσω, λέγει, διότι ἀπόλαυσα τὴν κηδεμονία σου. Διότι δὲν ἐπανέκτησα τὴν πατρίδα μου καὶ εἶδα τὸ ναὸ ἐξ αἰτίας τῶν κατορθωμάτων μου, ἀλλ' ἐξ αἰτίας τῆς εὐσπλαχνίας καὶ τῆς φιλανθρωπίας σου. Γι' αὐτὸ θὰ σὲ προ-

θρωπίας σου. Ἐπὶ τούτοις σε προσκυνήσω, ἐπὶ τούτοις ἐξομολογήσομαί σοι, ὅτι ἄξιον ὄντα κολάσεως καὶ τιμωρίας, καὶ διηνεκῶς ἐν ἀλλοτρίᾳ διατρίβειν ὄντα δίκαιον, ταχέως ἐπανήγαγες.

«Ὅτι ἐμεγάλυνας ἐπὶ πᾶν τὸ ὄνομα τὸ ἅγιόν σου». Ὃ λέγει, τοιοῦτόν ἐστιν· οὐ διὰ τὰς εὐεργεσίας εὐχαριστήσω μόνον, ἀλλὰ καὶ δι' αὐτὴν τὴν δόξαν τὴν ἄφατον, καὶ τὴν μεγαλωσύνην τὴν ἄπειρον, καὶ τὴν φύσιν τὴν ἄρρητον. «Ἐμεγάλυνας» γάρ, φησίν, «ἐπὶ πᾶν τὸ ὄνομα τὸ ἅγιόν σου»· τουτέστι, διὰ τῶν εὐεργεσιῶν διὰ τῶν στοιχείων, διὰ τῶν ἐν οὐρανοῖς, διὰ τῶν ἐν γῇ, διὰ τῶν κολάσεων, διὰ τῶν εἰς τοὺς πολεμίους, διὰ τῶν εἰς τοὺς οἰκείους. Οὐκ ἔστι γὰρ οὐδὲν μέρος τῆς κτίσεως τῆς ἄνω, τῆς κάτω, ὃ μὴ φωνὴν ἀφίησι σάλπιγγος λαμπροτέραν, ἀνακηρύττουσαν τοῦ ὀνόματός σου τὴν μεγαλωσύνην. Κἂν ἀγγέλους τοίνυν εἴπῃς, κἂν ἀρχαγγέλους, κἂν δαίμονας, καὶ τὰ ἀναίσθητα στοιχεῖα, κἂν λίθους, κἂν σπέρματα, κἂν ἥλιον, κἂν σελήνην, κἂν γῆν, κἂν πελάγη, κἂν νηκτά, κἂν πετεινά, κἂν λίμνας, κἂν πηγάς, κἂν ποταμούς, διὰ πάντων μέγα τὸ ὄνομά σου δείκνυται. Ἕτερος δὲ ἀντὶ τοῦ, «Ἐμεγάλυνας ἐπὶ πᾶν τὸ ὄνομα τὸ ἅγιόν σου», εἶπεν, «Ἐμεγάλυνας γὰρ ὑπὲρ πάντα τὰ ὀνόματά σου τὴν ῥῆσίν σου». Ἄλλος, «Τὸ λόγιόν σου».

«Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσομαί σε, ταχὺ ἐπάκουσόν μου». Ἄλλος, «Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπεκαλεσάμην σε, ἐπήκουσάς μου». Τοῦτο γὰρ καὶ ὁ Θεὸς ἐπηγγείλατο, λέγων· «Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσῃ με, εἰσακούσομαί σου, καὶ ἐρῶ, Ἰδοὺ λαλοῦντός σου πάρειμι». Καὶ αὐτὸς δὲ τοῦτο αἰτεῖ. Τοιαῦται γὰρ αἱ ὀδυνώμεναι ψυχαί· ταχίστην βούλονται τὴν ἀπαλλαγὴν τῶν δεινῶν ἰδεῖν. «Πολυωρήσεις με ἐν ψυχῇ μου δυνάμει σου». Ἄλλος, «Συνέστης τῇ ψυχῇ μου δυνάμεις». Καὶ γὰρ τὸ πρότερον, ἀντὶ τοῦ,

3. Ἡσ. 58, 9.

σκυνήσω, γι' αὐτὸ θὰ σὲ εὐχαριστήσω, διότι ἐνῶ εἶμαι ἄξιος κολάσεως καὶ τιμωρίας καὶ δίκαιο εἶναι νὰ ζῶ γιὰ πάντα σὲ ξένη χώρα, σὺ πάρα πολὺ σύντομα μὲ ἐπανέφερες.

«Διότι ἀπέδειξες μὲ κάθε τρόπο μεγάλο καὶ θαυμαστὸ τὸ ἅγιο τὸ ὄνομά σου». Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· δὲν θὰ σὲ εὐχαριστήσω μόνο γιὰ τὶς εὐεργεσίες, ἀλλὰ καὶ γιὰ τὴ δόξα σου τὴν ἀνεκδιήγητη, τὴν ἄπειρη μεγαλωσύνη σου καὶ τὴν ἀπερίγραπτη φύση σου. Διότι, λέγει, «'Απέδειξες μὲ κάθε τρόπο πολὺ μεγάλο καὶ θαυμαστὸ τὸ ἅγιο ὄνομά σου»· δηλαδή, μὲ τὶς εὐεργεσίες σου, μὲ τὰ στοιχεῖα τῆς φύσεως, μὲ τὰ ὅσα ὑπάρχουν στὸν οὐρανό, μὲ τὰ ὅσα στὴ γῆ, μὲ τὶς τιμωρίες, μὲ τὰ ὅσα συνέβηκαν στοὺς ἐχθρούς, μὲ τὰ ὅσα συνέβηκαν στοὺς ὁμοεθνεῖς. Καθόσον δὲν ὑπάρχει κανένα μέρος τῆς οὐράνιας κτίσεως, οὔτε τῆς ἐπίγειας, ποὺ νὰ μὴ ἀφήνει φωνὴ λαμπρότερη ἀπὸ σάλπιγγα, διακηρύσσοντας τὴ μεγαλωσύνη τοῦ ὀνόματός σου. Εἴτε λοιπὸν ἀναφέρεις τοὺς ἀγγέλους, εἴτε τοὺς ἀρχαγγέλους, εἴτε τοὺς δαίμονες καὶ τὰ ἀναίσθητα φυσικὰ στοιχεῖα, εἴτε τοὺς λίθους, εἴτε τὰ σπέρματα, εἴτε τὸν ἥλιο, εἴτε τὴ σελήνη, εἴτε τὶς λίμνες, εἴτε τὰ πελάγη, εἴτε τὰ ζῶα ποὺ κολυμβοῦν, εἴτε τὰ πτηνά, εἴτε τὶς λίμνες, εἴτε τὶς πηγές, εἴτε τοὺς ποταμούς, μὲ ὅλα ἀποδεικνύεται μεγάλο καὶ θαυμαστὸ τὸ ὄνομά σου. Ἄλλος δὲ ἀντὶ τοῦ, «'Απέδειξες μὲ κάθε τρόπο μεγάλο καὶ θαυμαστὸ τὸ ἅγιο ὄνομά σου», εἶπε, «'Απέδειξες πολὺ μεγάλο καὶ ἐπάνω ἀπὸ ὅλα τὰ ὀνόματα τὸ λόγο σου». Ἄλλος, «τὸ λόγιό σου».

«Ὁποιαδήποτε ἡμέρα καὶ ἂν σὲ ζητήσω σὲ βοήθεια, ἐπάκουσέ με ἀμέσως». Ἄλλος, «Ὁποιαδήποτε ἡμέρα καὶ ἂν σὲ ἐπικαλέσθηκα, μὲ ἐπάκουσες». Πράγματι αὐτὸ ὑποσχέθηκε καὶ ὁ Θεός, λέγοντας· «ὁποιαδήποτε ἡμέρα καὶ ἂν μὲ ἐπικαλεσθεῖς, θὰ σὲ ἀκούσω καὶ θὰ πῶ, νά, ἐνῶ ἀκόμα μὲ ἐπικαλεῖσαι, ἐγὼ εἶμαι παρών»[3]. Καὶ αὐτὸς δὲ αὐτὸ ζητεῖ. Διότι τέτοιες εἶναι οἱ ψυχὲς ποὺ ὑποφέρουν· ἐπιθυμοῦν νὰ δοῦν γρήγορη ἀπαλλαγὴ ἀπὸ τὰ κακά. «Μὲ τὴ δύναμή σου θὰ χαρίσεις στὴν ψυχή μου μεγάλη χαρὰ καὶ θὰ τὴν ἐξυψώσεις». Ἄλλος. «Χάρισες στὴ ψυχή μου δυνάμεις». Διότι καὶ τὸ προηγούμενο, «Εἰσάκου-

«Εἰσάκουσόν μου», «Ἐπήκουσάς μου», ἕτερος ἔφη. Τί οὖν ἐστι τὸ εἰρημένον; Μετέωρα λέγεται τὰ ὑψηλά, παρὰ τὸ αἴρεσθαι, καὶ μετεωρισμοὶ θαλάττης τὰ κύματα αὐτῆς καὶ τὰ ὑψώματα, παρὰ τὸ αἴρεσθαι. Τὸ τοίνυν «Πολυωρήσεις» ἐστίν, ἐπαρεῖς με, ὑψώσεις με. Τοῦτο καὶ ἀλλαχοῦ τέθεικε, λέγων· «Κατὰ τὸ ὕψος σου ἐπολυώρησας τοὺς υἱοὺς τῶν ἀνθρώπων»· τουτέστιν, ἐπῆρας, ὕψωσας. Οὕτω καὶ τὸ «Πολυωρήσεις με» εἶπεν, ἵνα δηλώσῃ ὅτι ἐμπλήσεις με εὐφροσύνης πολλῆς, καὶ μετέωρον ἐργάσῃ μου τὴν ψυχήν, καὶ τὸ πάντων μεῖζον, οὐκ ἀφήσεις μου τὸν μετεωρισμὸν τοῦτον καὶ τὴν εὐφροσύνην ταύτην σαθρὰν γενέσθαι, ἀλλὰ δυνατὴν καὶ ἰσχυράν, βεβαίαν τε καὶ ἀκίνητον.

Τοῦτο γάρ ἐστι τό, «Πολυωρήσεις με ἐν ψυχῇ μου δυνάμει σου». Ὃ δὲ λέγει, τοῦτό ἐστι· δυνάμει με πολυωρήσεις, ἰσχύϊ ὑψώσεις, καὶ βοηθήσεις μοι. Διὸ καὶ ἕτερος ἑρμηνευτὴς τὸ αὐτὸ ἐμφαίνων, εἶπε, «Συνέστης τῇ ψυχῇ μου δυνάμεις». Καλῶς δὲ εἶπε, «Ψυχῇ μου», ὅπερ μάλιστα Θεοῦ ἴδιόν ἐστι, καὶ ἐν ταῖς θλίψεσιν ἀνακτᾶσθαι τὰς ψυχάς, καθάπερ καὶ ἐπὶ τῶν ἀποστόλων συνέβαινε. Μαστιζόμενοι γὰρ ἐπανῄεσαν χαίροντες· οὕτως ἐπολυωρεῖτο αὐτῶν ἡ ψυχή. Τοῦτο μάλιστα τῆς τοῦ Θεοῦ δυνάμεως ἔργον· τοῦτο μάλιστα δείκνυσι αὐτοῦ τὴν ἰσχύν, τὸ ἐν μέσοις τοῖς δεινοῖς μὴ ἐᾶν καταφέρεσθαι τὴν ψυχήν.

2. «Ἐξομολογησάσθωσάν σοι, Κύριε, πάντες οἱ βασιλεῖς τῆς γῆς, ὅτι ἤκουσαν πάντα τὰ ρήματα τοῦ στόματός σου». Ὅρα εὐγνωμοσύνην. Οὐ γὰρ ἀρκεῖται τῷ μόνος εὐχαριστῆσαι, ἀλλὰ καὶ τοὺς κρατοῦντας ἅπαντας εἰς κοινωνίαν λαμβάνει τῆς εὐχαριστίας, καὶ αὐτοὺς τοὺς τὰ διαδήματα ἔχοντας. Εἰ γὰρ καὶ μεγάλη αὐτῶν, φησίν, ἡ ἐξουσία καὶ δύναμις, ἀλλά σοι πάντες ὀφεί-

4. Ψαλμ. 11, 9.
5. Πρβλ. Πράξ. 5, 41.

σέ με», ἄλλος τὸ μετέφρασε, «Μὲ ἐπήκουσες». Τί λοιπὸν σημαίνουν τὰ λόγια αὐτά; Μετέωρα ὀνομάζονται τὰ ψηλά, ἀπὸ τὸ ρῆμα αἴρομαι, καὶ μετεωρισμοὶ θάλασσας ὀνομάζονται τὰ κύματα καὶ τὰ ὑψώματα αὐτῆς, ἀπὸ τὸ αἴρομαι καὶ πάλι. Τὸ «Πολυωρήσεις» λοιπὸν σημαίνει, θὰ μὲ ἀνεβάσεις ψηλά, θὰ μὲ ὑψώσεις. Αὐτὸ τὸ εἶπε καὶ σ' ἄλλη περίπτωση μὲ τὰ λόγια· «'Ανάλογα μὲ τὸ δικό σου ὕψος πολυώρησες τοὺς υἱοὺς τῶν ἀνθρώπων»[4]· δηλαδὴ τοὺς σήκωσες ψηλά, τοὺς ὕψωσες. Ἔτσι καὶ τὸ «πολυωρήσεις με» τὸ εἶπε γιὰ νὰ δείξει, ὅτι θὰ μὲ γεμίσεις μὲ μεγάλη εὐφροσύνη καὶ θὰ ἐξυψώσεις τὴν ψυχή μου, καὶ τὸ σπουδαιότερο ἀπὸ ὅλα δὲν θ' ἀφήσεις τὴν ψυχή μου καὶ τὴν εὐφροσύνη μου αὐτὴν νὰ ἐξασθενίσει, ἀλλὰ θὰ τὴν κρατήσεις δυνατὴ καὶ ἰσχυρή, ἀκλόνητη καὶ ἀμετακίνητη.

Αὐτὸ λοιπὸν σημαίνει τὸ «πολυωρήσεις με ἐν ψυχῇ μου δυνάμει σου». Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· μὲ τὴ δύναμή σου θὰ μᾶς ἐξυψώσεις, μὲ τὴν ἰσχύ σου θὰ μᾶς ὑψώσεις καὶ θὰ μᾶς βοηθήσεις. Γι' αὐτὸ καὶ ἄλλος ἑρμηνευτὴς γιὰ νὰ δείξει αὐτό, εἶπε, «Χάρισες στὴν ψυχή μου δυνάμεις». Πολὺ καλὰ δὲ εἶπε, «Στὴν ψυχή μου», πράγμα βέβαια ποὺ ἀποτελεῖ γνώρισμα τοῦ Θεοῦ, νὰ δυναμώνει καὶ ἐνισχύει τὶς ψυχὲς τῶν ἀνθρώπων καὶ ὅταν δοκιμάζονται ἀπὸ τὶς θλίψεις, ὅπως ἀκριβῶς συνέβαινε καὶ μὲ τὴν περίπτωση τῶν ἀποστόλων. Διότι, ἐνῶ μαστιγώνονταν, ἔφευγαν χαρούμενοι[5]· τόσο πολὺ ἐξυψώνονταν ἡ ψυχή τους. Διότι αὐτὸ πρὸ πάντων εἶναι ἔργο τῆς δυνάμεως τοῦ Θεοῦ· αὐτὸ πρὸ πάντων δείχνει τὴ δύναμή του, τὸ νὰ μὴ ἀφήνει τὴν ψυχὴ νὰ καταπίπτει καὶ ὅταν ἀκόμα βρίσκεται μέσα στὶς συμφορές.

2. «Ἂς σὲ δοξολογήσουν, Κύριε, ὅλοι οἱ βασιλεῖς τῆς γῆς, διότι ἄκουσαν ὅλα τὰ λόγια τοῦ στόματός σου». Πρόσεχε εὐγνωμοσύνη. Διότι δὲν ἀρκεῖται στὸ νὰ εὐχαριστήσει τὸν Κύριο μόνος του, ἀλλὰ καὶ προσκαλεῖ νὰ λάβουν μέρος στὴν εὐχαριστία καὶ ὅλους τοὺς κατόχους τῆς ἐξουσίας καὶ αὐτοὺς ποὺ κρατοῦν τὰ βασιλικὰ σκῆπτρα. Ἂν καὶ βέβαια, λέγει, εἶναι μεγάλη ἡ ἐξουσία καὶ ἡ δύναμή τους, ἀλλ' ὅμως ὅλοι ὀφείλουν νὰ

λουσιν εὐχαριστεῖν, καὶ ὑπὲρ τῶν εἰς ἑτέρους γεγενημένων. Διὸ καὶ τοῦτο δηλῶν, ἐπήγαγεν «Ἤκουσαν πάντα τὰ ῥήματα τοῦ στόματός σου». Εἰ τοίνυν εὐχαριστοῖεν, τὰ μεγάλα ἐντεῦθεν καρπώσονται, καὶ κερδανοῦσι. Τοιαῦτα γάρ σου τὰ δῶρα πᾶσιν ἐν τῷ μέσῳ πρόκειται, ὥστε τοὺς βουλομένους μετέχειν τε καὶ ἀπολαύειν αὐτῶν. Οὐδὲν οὖν αὐτοὺς ἡ βασιλεία ὀνῆσαι δύναται τοιοῦτον, οἷον τὸ τῶν σῶν ἀκούειν ῥημάτων. Τοῦτο αὐτοῖς ἀσφάλεια, τοῦτο ἰσχύς, τοῦτο κόσμος, τοῦτο εὐπρέπεια, τοῦτο βασιλεία, τοῦτο τῆς ἀρχῆς ἡ φαιδρότης τε καὶ δύναμις.

Καὶ ᾀσάτωσαν ἐν ταῖς ὁδοῖς Κυρίου». Ἕτερος δέ, «Ἀδέτωσαν τὰς ὁδοὺς Κυρίου». Ἂν μὲν οὖν, «Ἐν ταῖς ὁδοῖς σου», τουτέστι τὸ εἰρημένον, ἐν τοῖς νόμοις σου, ἐν τοῖς προστάγμασί σου. Ἂν δέ, «Τὰς ὁδούς σου», τὰ κατορθώματά σου ταῦτα, φησί, λεγέτωσαν, ὑμνείτωσαν, ἀνακηρυττέτωσαν· τοῦτο γάρ ἐστι τό, «Ἀδέτωσαν». «Ὅτι μεγάλη ἡ δόξα Κυρίου»· τουτέστι, πᾶσι κατάδηλος, πᾶσι σαφής, πᾶσι δήλη, περὶ τὰς ἁπάντων εὐεργεσίας παρεσκευασμένη, πάντας ὑπευθύνους ἔχουσα χάριτος. «Ὅτι ὑψηλὸς Κύριος, καὶ τὰ ταπεινὰ ἐφορᾷ». Ὑψηλὸς τὴν φύσιν, φησίν, ὑψηλὸς τὴν οὐσίαν. Ἀλλ' ἐνταῦθα τέως συγκαταβατικώτερον εἴρηται πρὸς τὴν θεραπείαν τὴν Ἰουδαϊκήν, καὶ τροπικώτερον. Τὸ δὲ ἑξῆς καὶ τοῦτο διορθοῦται, καὶ εἰς μεγάλην διάνοιαν ἀνάγει καὶ τὸν ταπεινὸν ἀκροατήν. Τί δὲ τοῦτό ἐστι, «Καὶ τὰ ὑψηλὰ ἀπὸ μακρόθεν γινώσκει»; Ἐνταῦθα γὰρ περὶ προγνώσεως ὁ λόγος, ὅπερ μάλιστα τῆς τοῦ Θεοῦ δυνάμεώς ἐστιν ἴδιον· διὸ καὶ ἐν τοῖς προφήταις πολλάκις διαλεγόμενος, ἐντεῦθεν ἀποτείνεται πρὸς τοὺς τῇ πλάνῃ τῶν εἰδώλων κατεχομένους. Ἄλλος, «Καὶ ἐπηρμένον μακρόθεν διαγινώσκει». Ἀλ-

6. Ἐξ. 33, 19 καὶ Ρωμ. 8, 15.

σὲ εὐχαριστοῦν καὶ γιὰ τὰ ὅσα ἔχουν γίνει στοὺς ἄλλους. Γι' αὐτό, γιὰ νὰ δηλώσει αὐτό, πρόσθεσε, «Διότι ἄκουσαν ὅλα τὰ λόγια τοῦ στόματός σου». Ἂν λοιπὸν σὲ εὐχαριστοῦν, θ' ἀποκομίσουν ἀπ' αὐτὸ πολλοὺς καρποὺς καὶ μεγάλα κέρδη. Διότι τὰ δῶρα σου βρίσκονται ἐκτεθειμένα μπροστὰ σ' ὅλους, ὥστε ἐκεῖνοι ποὺ θέλουν μποροῦν νὰ λάβουν μέρος σ' αὐτὰ καὶ νὰ τὰ ἀπολαμβάνουν. Καμιὰ λοιπὸν τέτοια ὠφέλεια δὲν εἶναι δυνατὸ νὰ τοὺς προξενήσει ἡ βασιλεία, ὅσο τὸ νὰ ἀκούουν τὰ δικά σου λόγια. Αὐτὸ ἀποτελεῖ γι' αὐτοὺς ἀσφάλεια, αὐτὸ δύναμη, αὐτὸ κόσμημα, αὐτὸ μεγαλοπρέπεια, αὐτὸ βασιλεία, αὐτὸ εἶναι ἡ λαμπρότητα καὶ ἡ δύναμη τῆς ἐξουσίας.

«Καὶ ἂς ψάλλουν στὶς ὁδοὺς τοῦ Κυρίου». Ἄλλος δέ, «Ἂς ψάλλουν τὶς ὁδοὺς τοῦ Κυρίου». Ἂν λοιπὸν δεχθοῦμε τὴν ἑρμηνεία «Στὶς ὁδούς σου», τότε αὐτὸ ποὺ λέχθηκε σημαίνει, στοὺς νόμους σου, στὰ προστάγματά σου. Ἂν ὅμως δεχθοῦμε τὴν ἑρμηνεία «τὶς ὁδούς σου», τότε, λέγει, σημαίνει, ἂς διηγοῦνται τὰ κατορθώματά σου αὐτά, ἂς τὰ ὑμνοῦν, ἂς τὰ διακηρύσσουν· διότι αὐτὸ σημαίνει τό, «Ἂς ψάλλουν». «Διότι εἶναι μεγάλη ἡ δόξα τοῦ Κυρίου»· δηλαδὴ σ' ὅλους εἶναι ὁλοφάνερη, σ' ὅλους σαφής, σ' ὅλους δεικτική, ἕτοιμη νὰ εὐεργετεῖ ὅλους, καὶ νὰ παρέχει τὴ χάρη σ' ὅλους. «Διότι εἶναι ὑψηλὸς ὁ Κύριος καὶ καταδέχεται νὰ βλέπει μὲ ἐνδιαφέρον τοὺς ταπεινόφρονες». Εἶναι ὑψηλός, λέγει, ὡς πρὸς τὴ φύση, ὑψηλὸς ὡς πρὸς τὴν οὐσία. Ἀλλ' ἐδῶ τώρα ἔχει λεχθεῖ μὲ περισσότερο συγκαταβατικὸ τρόπο ἀπὸ φροντίδα πρὸς τοὺς Ἰουδαίους, καὶ μὲ τρόπο περισσότερο ἀλληγορικό. Αὐτὸ ὅμως ποὺ λέγεται στὴ συνέχεια διορθώνει καὶ αὐτὸ καὶ ὁδηγεῖ καὶ τὸν ταπεινὸ ἀκροατὴ σὲ μεγάλα πνευματικὰ ὕψη. Τί σημαίνει δὲ αὐτό, «Καὶ τὰ ὑψηλὰ γνωρίζει ἀπὸ μακριά»; Ἐδῶ ὁμιλεῖ γιὰ τὴν πρόγνωση τοῦ Θεοῦ, πράγμα ποὺ κατ' ἐξοχὴ ἀποτελεῖ χαρακτηριστικὸ γνώρισμα τῆς δυνάμεως τοῦ Θεοῦ· γι' αὐτὸ καὶ συνομιλώντας πολλὲς φορὲς μὲ τοὺς προφῆτες, ἀπὸ ἐδῶ παίρνει ἀφορμὴ γιὰ νὰ μιλήσει πρὸς ἐκείνους ποὺ πιστεύουν στὴν πλάνη τῶν εἰδώλων. Ἄλλος ἑρμηνεύει, «καὶ γνωρίζει ἀπὸ μακριὰ τὸν ὑπερή-

λος, «Καὶ μετέωρον». Ἐπειδὴ γὰρ εἶπεν, «Ὑψηλὸς Κύριος, καὶ τὰ ταπεινὰ ἐφορᾷ», ἐπήγαγεν, ὅτι «Καὶ τὰ ὑψηλὰ ἀπὸ μακρόθεν γινώσκει», δηλῶν, ὅτι τὰ ὑψηλὰ οὐχ ἁπλῶς γινώσκει, ἀλλὰ καὶ ἐκ πολλοῦ τοῦ διαστήματος, τουτέστι, πρὶν ἢ ἐκβῆναι, πρὶν ἢ τελεσθῆναι, πρὶν ἢ εἰς ἔργον ἐλθεῖν.

«Ἐὰν πορευθῶ ἐν μέσῳ θλίψεως, ζήσεις με». Οὐκ εἶπεν, ὅτι τὴν θλίψιν ἀπελάσεις, ἀλλ' ἐν αὐτοῖς μένοντα τοῖς δεινοῖς ζήσεις με· τουτέστι, διασῶσαι δυνήσῃ εἰς αὐτοὺς ἐμπεσόντα τοὺς κινδύνους· ὅπερ δὴ θαυμαστόν, καὶ παράδοξον, περιεστώτων τῶν λυπηρῶν καὶ τῶν ἐπιβουλευόντων, ἐν ἀσφαλείᾳ καταστῆσαι τὸν περιστοιχιζόμενον ὑπ' αὐτῶν. «Καὶ ἐπ' ὀργὴν ἐχθρῶν μου ἐξέτεινας χεῖράς σου». Ἕτερος, «Κατὰ τῆς ἀναπνοῆς τῶν ἐχθρῶν μου ἐκτενεῖς». Εἶδες ἐφ' ἑκάτερα τὰ μέρη μεγίστην οὖσαν τὴν δύναμιν; Ἐμέ τε γάρ, φησίν, ἐν μέσοις ὄντα τοῖς δεινοῖς διασῶσαι δυνήσῃ, ἐκείνους δὲ μαινομένους καὶ λυττῶντας, καὶ πῦρ πνέοντας ταπεινῶσαι καὶ καταστεῖλαι. «Καὶ ἔσωσέ με ἡ δεξιά σου». Ἄλλος, «Καὶ σώσει με ἡ δεξιά σου», τουτέστιν, ἡ δύναμίς σου, ἡ ἰσχύς σου. Εὔπορος γὰρ ὁ Θεός, καὶ εὐμήχανος, καὶ ἐξ ἀπεγνωσμένων ἱκανὸς εἰς σωτηρίαν ἀναγαγεῖν.

«Κύριος ἀνταποδώσει ὑπὲρ ἐμοῦ». Ἕτερος, «Συντελέσει». Ἄλλος, «Ἐπιτελέσει», τουτέστιν, ἀμυνεῖται τοὺς ἐχθρούς. Καὶ οὐκ εἶπεν, 'ἀμυνεῖται', ἀλλ', «Ἀνταποδώσει», δηλῶν, ὅτι κἂν ὑπεύθυνος ὦ, αὐτὸς καταβαλεῖ καὶ καταθήσει· φιλάνθρωπος γάρ ἐστι. Δυνατὸν δὲ τοῦτο καὶ εἰς τὰ παρὰ τοῦ Χριστοῦ γινόμενα εἰς ἡμᾶς λέγεσθαι. Αὐτὸς γὰρ ἀνταπέδωκεν ὑπὲρ ἡμῶν. «Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα. Τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς». Δύο ταῦτα τίθησι δικαιώματα τοῦ τυχεῖν φιλανθρωπίας· ἓν μέν,

φανο». Ἄλλος, «τὸν ὑψηλόφρονα». Ἐπειδὴ δηλαδὴ εἶπε, «Ὁ Κύριος εἶναι ὑψηλὸς καὶ καταδέχεται νὰ βλέπει μὲ ἐνδιαφέρον τὰ ταπεινά», πρόσθεσε, ὅτι, «Καὶ τὰ ὑψηλὰ γνωρίζει ἀπὸ μακριά», γιὰ νὰ δείξει, ὅτι ὄχι ἁπλῶς γνωρίζει τὰ ὑψηλά, ἀλλὰ καὶ ἀπὸ πολὺ μακριά, δηλαδή, πρὶν ἀκόμα συμβοῦν, πρὶν ἐκτελεσθοῦν, πρὶν ἀκόμα πραγματοποιηθοῦν.

«Ἂν συμβεῖ νὰ περιπέσω σὲ θλίψεις, θὰ μὲ προστατεύσεις». Δὲν εἶπε, ὅτι θ' ἀπομακρύνεις τὴ θλίψη, ἀλλά, ζώντας μέσα σ' αὐτὲς τὶς συμφορές, θὰ μὲ προστατεύσεις· δηλαδή, θὰ μπορέσεις νὰ μὲ διασώσεις ἂν περιπέσω σ' αὐτοὺς τοὺς κινδύνους, πράγμα βέβαια ποὺ εἶναι ἀξιοθαύμαστο καὶ παράδοξο, ἐνῶ θὰ περιβάλλεται ἀπὸ δυσάρεστα καὶ ἀπὸ ἐχθρούς, θὰ διασφαλίσεις ἐκεῖνον ποὺ περιστοιχίζεται ἀπὸ αὐτά. «Καὶ στὴν ὀργὴ τῶν ἐχθρῶν μου ἅπλωσες τὰ χέρια σου». Ἄλλος, «ἐναντίον τῆς ἐπιθέσεως τῶν ἐχθρῶν μου θ' ἁπλώσεις χέρι βοήθειας». Εἶδες καὶ στὰ δυὸ μέρη ὅτι εἶναι μεγάλη ἡ δύναμη; Διότι, λέγει, ἐμένα, ἂν καὶ βρίσκομαι μέσα στὶς συμφορές, θὰ μπορέσεις νὰ μὲ σώσεις, ἐκείνους δέ, ἂν καὶ εἶναι κυριευμένοι ἀπὸ μανία καὶ λύσσα, καὶ πνέουν πῦρ, θὰ τοὺς ταπεινώσεις καὶ θὰ συντρίψεις τὴ δύναμή τους. «Καὶ μὲ ἔσωσε ἡ δεξιά σου». Ἄλλος, «Καὶ θὰ μὲ σώσει ἡ δεξιά σου», δηλαδὴ ἡ δύναμή σου, ἡ ἰσχύς σου. Διότι ὁ Θεὸς ἔχει πολλοὺς τρόπους καὶ πολλὰ μέσα ἐνέργειας καὶ μπορεῖ νὰ ὁδηγήσει στὴ σωτηρία καὶ ἀπὸ τὴν ἀπελπισία.

«Ὁ Κύριος θὰ μὲ βοηθήσει καὶ θὰ ἀνταποδώσει τὴν τιμωρία στοὺς ἐχθρούς μου». Ἄλλος, «Θὰ ὑποβοηθήσει». Ἄλλος, «Θ' ἀποδώσει τὰ ὀφειλόμενα», δηλαδή, θὰ καταπολεμήσει τοὺς ἐθχρούς μου. Καὶ δὲν εἶπε, 'θὰ τοὺς πολεμήσει', ἀλλά, «Θ' ἀνταποδώσει», γιὰ νὰ δείξει, ὅτι ἂν καὶ εἶμαι ὑπεύθυνος, αὐτὸς θὰ καταβάλει καὶ θὰ πληρώσει αὐτὰ ποὺ ὀφείλω· διότι εἶναι φιλάνθρωπος. Εἶναι δὲ δυνατὸ αὐτὸ νὰ ἀναφέρεται σ' ἐκεῖνα ποὺ ἔκαμε γιὰ χάρη μας ὁ Χριστός. Διότι αὐτὸς ἀνταπέδωσε γιὰ χάρη μας. «Κύριε, τὸ ἔλεός σου μένει στὸν αἰώνα. Μὴ δείξεις περιφρόνηση πρὸς τὰ ἔργα τῶν χεριῶν σου». Δυὸ εἶναι οἱ δί-

τὸ ἐλεήμονα αὐτὸν εἶναι, καὶ ἀγαθὸν καὶ ἐλεήμονα διηνεκῶς, ὡς μηδέποτε αὐτοῦ διακόπτεσθαι καὶ λήγειν τὴν φιλανθρωπίαν, μηδὲ ἐνδιδόναι· ἕτερον δέ, τὸ δημιουργὸν αὐτὸν εἶναι καὶ ποιητήν. Ἀλλ᾽ ὥσπερ ἀπὸ τούτων ἀξιοῦμεν σώζεσθαι, οὕτω καὶ τοῦ ἐλέους ἄξιόν τι ἐπιδειξώμεθα. «Ἐλεήσω» γάρ, φησίν, «ὃν ἂν ἐλεῶ». Οὐ γὰρ ἁπλῶς ὁ ἔλεος ἔπεισιν, ἀλλ᾽ ἔχει τινὰ καὶ αὐτὸς διάκρισιν. Εἰ γὰρ δὴ ἁπλῶς ἐπήει, οὐδεὶς ἂν ἐκολάσθη. Διὸ μὴ μόνον διὰ τὸ ἐλεεῖσθαι ἄξια πράττωμεν, ἀλλὰ καὶ διὰ τὸ παρὰ τοῦ Θεοῦ γεγενῆσθαι. Τὸν γὰρ ὑπὸ τοῦ Θεοῦ δημιουργηθέντα, καὶ τοιοῦτον ἐσχηκότα ποιητήν τε καὶ βασιλέα, ἀξίαν τῆς κηδεμονίας αὐτοῦ καὶ τῆς τοιαύτης προνοίας πολιτείαν ἐπιδείκνυσθαι χρή.

Ἂν ταῦτα ποιῶμεν, τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

καιοι λόγοι πού ἀναφέρει ἐδῶ γιὰ νὰ τύχει τῆς φιλανθρωπίας του· ἕνας μέν, τὸ ὅτι εἶναι εὐσπλαχνικὸς ὁ Θεός, τὸ ὅτι εἶναι ἀγαθός, τὸ ὅτι ἡ εὐσπλαχνία του εἶναι αἰώνια, ὥστε ποτὲ νὰ μὴ διακόπτεται καὶ νὰ μὴ τελειώνει ἡ φιλανθρωπία του, οὔτε νὰ σταματᾶ, ἄλλος δέ, τὸ ὅτι εἶναι δημιουργὸς καὶ ποιητής. Ἀλλ' ὅπως ἀκριβῶς ἔχουμε τὴν ἀξίωση ἐξ αἰτίας αὐτῶν νὰ σωζόμαστε, ἔτσι ἂς παρουσιάσουμε καὶ κάτι ἀντάξιο τοῦ ἐλέους του. Διότι λέγει, «θὰ ἐλεήσω ἐκεῖνον πού εἶναι ἄξιος τοῦ ἐλέους μου»[6]. Τὸ ἔλεός του δηλαδὴ δὲν παρέχεται στὴν τύχη, ἀλλὰ γίνεται σ' αὐτὸ καὶ κάποια διάκριση. Διότι ἂν παρεχόταν ἀδιάκριτα, κανένας δὲν θὰ τιμωροῦνταν. Γι' αὐτὸ ἂς μὴ κάμνουμε πράγματα μόνο ἀντάξια τοῦ ἐλέους του, ἀλλὰ καὶ γιὰ τὸ λόγο ὅτι ἔχουμε δημιουργηθεῖ ἀπὸ τὸ Θεό. Διότι ἐκεῖνος πού δημιουργήθηκε ἀπὸ τὸ Θεὸ καὶ ἔχει τέτοιο δημιουργὸ καὶ βασιλέα, πρέπει νὰ δείχνει καὶ τρόπο ζωῆς ἀντάξιο τῆς φροντίδας αὐτοῦ καὶ τῆς τέτοιου εἴδους πρόνοιάς του.

Ἂν κάμνουμε αὐτά, θὰ ἐπιτύχουμε τὰ μελλοντικὰ ἀγαθά, τὰ ὁποῖα εἴθε ὅλοι μας νὰ ἐπιτύχουμε, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟΝ ΡΛΗ' ΨΑΛΜΟΝ.

Εἰς τὸ τέλος, τῷ νικοποιῷ.

«Κύριε, ἐδοκίμασάς με, καὶ ἔγνως με».

1. Τί λέγεις; μετὰ τὸ δοκιμάσαι οἶδεν ὁ Θεός, πρὸ δὲ δοκιμάσαι οὐκ οἶδεν; Οὐχί, μὴ γένοιτο. Πῶς γάρ, Ὁ τὰ πάντα εἰδὼς πρὶν γενέσεως αὐτῶν; ἀλλὰ τό, «Ἐδοκίμασάς με», ἀκριβῶς ἐπίστασαί μέ ἐστιν. Ὥσπερ γὰρ ὁ ἀπόστολος, ὅταν λέγῃ, ὅτι ἐρευνᾷ τὰς καρδίας, οὐκ ἄγνοιαν ἐμφαίνων, ἀλλὰ τὴν ἀκριβῆ εἴδησιν λέγει, οὕτω δὴ καὶ οὗτος λέγων, «Ἐδοκίμασάς με», τὴν γνῶσιν τὴν σαφεστάτην δηλοῖ, τουτέστιν, ἀκριβῶς ἐπίστασαί με. «Σὺ ἔγνως τὴν καθέδραν μου, καὶ τὴν ἔγερσίν μου». Καθέδραν καὶ ἔγερσιν τὸν βίον ἅπαντά φησιν· ἐν γὰρ τούτοις ἡμῖν ὁ βίος· τὰς πράξεις, τὰς ἐνεργείας, τὰς εἰσόδους, τὰς ἐξόδους. Εἶτα ἐπειδὴ ἀρχόμενος ἔλεγεν, «Ἐδοκίμασάς με», ἵνα μή τις τῶν ἀνοήτων νομίσῃ, ὅτι ἀπὸ δοκιμῆς οἶδεν, ἢ ἀπὸ πείρας πραγμάτων, διὰ τὸ εἰπεῖν, «Ἔγνως τὴν καθέδραν μου, καὶ τὴν ἔγερσίν μου», ὅρα πῶς αὐτὸ διορθοῦται διὰ τῆς ἐπαγωγῆς, ἧς ἐπήγαγε λέγων, «Σὺ συνῆκας τοὺς διαλογισμούς μου ἀπὸ μακρόθεν». Δείκνυσι γὰρ διὰ τούτου, ὅτι οὐχὶ δοκιμασίᾳ οἶδεν, οὐδὲ δεῖται τοῦ δοκιμάσαι, ἀλλὰ προγνωστικῇ δυνάμει πάντα ἐπίσταται. Ὁ γὰρ λογισμοὺς

---

* Ψαλμὸς διακρινόμενος γιὰ τὸ κάλλος του, τὸν ὑψηλὸ λυρισμό του καὶ τὶς ὑψηλὲς ἰδέες περὶ τῶν ἰδιοτήτων τοῦ Θεοῦ. Γράφτηκε μᾶλλον ἀπὸ τὸ Δαυὶδ καὶ ὄχι κατὰ τοὺς μεταιχμαλωσιακοὺς χρόνους ὅπως ὑποστηρίζεται ἀπὸ πολλούς. Τονίζεται ὅτι ὁ Θεὸς εἶναι παντογνώστης (στίχ. 1-6) καὶ πανταχοῦ παρὼν (στίχ. 7-12), καὶ γνωρίζει ὅλα τὰ τοῦ ἀνθρώπου (στίχ. 13-18). Τέλος ὁ ψαλμω-

ΟΜΙΛΙΑ

ΣΤΟΝ ΡΛΗ' ΨΑΛΜΟ*

Στὸ τέλος, γιὰ χάρη τοῦ νικητῆ.

«Κύριε, μὲ δοκίμασες καὶ γνώρισες τὴν ψυχή μου».

1. Τί λέγεις; μετὰ τὴ δοκιμασία γνωρίζει ὁ Θεός, πρὶν ἀπὸ τὴ δοκιμασία δὲν γνωρίζει; Ὄχι, μακριὰ μιὰ τέτοια σκέψη. Διότι πῶς εἶναι δυνατό, ἐκεῖνος ποὺ γνωρίζει τὰ πάντα πρὶν ἀπὸ τὴ δημιουργία τους; ἀλλὰ τό, «Μὲ δοκίμασες», σημαίνει ὅτι μὲ γνωρίζεις πάρα παλὺ καλά. Διότι, ὅπως ἀκριβῶς ὁ ἀπόστολος, ὅταν λέγει, ὅτι ἐρευνᾶ τὶς καρδιές[1], δὲν θέλει νὰ δείξει μὲ αὐτὸ ἄγνοια, ἀλλ' ἐννοεῖ τὴν ἀκριβὴ γνώση, ἔτσι λοιπὸν καὶ αὐτὸς λέγοντας, «Μὲ δοκίμασες», δηλώνει τὴν πάρα πολὺ σαφὴ γνώση, δηλαδή, μὲ ἀκρίβεια μὲ γνωρίζεις. «Σὺ γνώρισες τὴν καθέδρα μου καὶ τὴν ἔγερσή μου». Καθέδρα καὶ ἔγερση ὀνομάζει ὅλη τὴ ζωή· διότι ἀπὸ αὐτὰ συνίσταται ἡ ζωή μας· ἀπὸ τὶς πράξεις, τὶς ἐνέργειες, τὶς εἰσόδους καὶ τὶς ἐξόδους. Ἔπειτα, ἐπειδὴ στὴν ἀρχὴ ἔλεγε, «Μὲ δοκίμασες», γιὰ νὰ μὴ νομίσει κάποιος ἀπὸ τοὺς ἀνόητους, ὅτι γνωρίζει τοὺς ἀνθρώπους μετὰ ἀπὸ δοκιμασίες ἢ ἀπὸ πείρα τῶν πραγμάτων, μὲ τὸ νὰ πεῖ, «Γνώρισες τὴν καθέδρα μου καὶ τὴν ἔγερσή μου», πρόσεχε πῶς διορθώνει αὐτὸ μὲ αὐτὸ ποὺ πρόσθεσε, λέγοντας, «Σὺ γνωρίζεις πάρα πολὺ καλὰ τὶς σκέψεις μου ἀπὸ μακριὰ καὶ πρὶν νὰ πραγματοποιηθοῦν». Δείχνει δηλαδὴ μὲ αὐτό, ὅτι γνωρίζει ὄχι μετὰ ἀπὸ δοκιμασία, οὔτε ἔχει ἀνάγκη ἀπὸ δοκιμασία, ἀλλὰ τὰ γνωρίζει ὅλα μὲ τὴν προγνωστικὴ δύναμή του. Διότι ἐκεῖνος ποὺ γνωρίζει τὶς σκέψεις ποὺ ὑπάρχουν μέσα στὸ νοῦ, δὲν ἔχει

δὸς ἀντιπαρατάσσει στὴν κακία τῶν ἀσεβῶν τὴ δική του ἀθωότητα (στίχ. 19-24), γιὰ νὰ ζητήσει νὰ τὸν ὁδηγήσει στὴν αἰώνια ζωή.

1. Ρωμ. 8, 27.

εἰδὼς ἐν τῷ νῷ κειμένους, οὐ δεῖται τῆς διὰ τῶν ἔργων δοκιμασίας. Ἄλλως δὲ οὐδὲ κινουμένους μόνον ἐν τῷ νοΐ οἶδεν, ἀλλὰ καὶ πρὶν ἢ κινηθῆναι· καὶ οὐδὲ ἁπλῶς πρὶν ἢ κινηθῆναι, ἀλλὰ καὶ πρὸ πολλοῦ τοῦ χρόνου. Διὸ ταῦτα δηλῶσαι βουλόμενος, ἐπήγαγε τό, «Σὺ συνῆκας τοὺς διαλογισμούς μου ἀπὸ μακρόθεν».

«Εἰ τοίνυν οἶδεν ὁ Θεὸς καὶ τοὺς διαλογισμούς, τίνος ἕνεκεν ἐπάγει τὴν διὰ τῶν ἔργων δοκιμήν; Οὐχ ἵνα αὐτὸς μάθῃ, ἀλλ' ἵνα τοὺς ὑπομένοντας δοκίμους ἐργάσηται. Ἐπεὶ καὶ τὸν Ἰὼβ ᾔδει πρὸ τῆς πείρας· διὸ καὶ ἐμαρτύρει λέγων· «Ἄνθρωπος δίκαιος, ἀληθινός, θεοσεβής». Ἀλλ' ἐπήγαγε τὴν πεῖραν, ὥστε ἐκεῖνόν τε καρτερικώτερον ἐργάσασθαι, καὶ τοῦ διαβόλου τὴν πονηρίαν ἐλέγξαι, καὶ τοὺς ἄλλους σπουδαιοτέρους διὰ τοῦ παραδείγματος ποιῆσαι. Καὶ τί θαυμάζεις, εἰ ἐπὶ τοῦ Ἰὼβ τοῦτο πεποίηκεν, ὅπου γε καὶ ἐπὶ τῶν ἁμαρτωλῶν τὸ αὐτὸ ἐργάζεται; Τοὺς γὰρ Νινευίτας ᾔδει σαφῶς οὐκ ἀξίους ὄντας ἀπολέσαι, ἀλλὰ διὰ τῆς μετανοίας βελτίους ἐσομένους, ἀλλ' ὅμως ἐπάγει καὶ τὴν διὰ τῶν πραγμάτων πεῖραν· καὶ πανταχοῦ πολλὰς ἀποδείξεις παρέχεται τῆς αὐτοῦ κηδεμονίας καὶ τῆς φιλανθρωπίας, οὐκ ἀρκούμενος τῇ αὐτοῦ γνώσει. Διὰ τοῦτο καὶ ὁ Μονογενὴς ἔλεγεν, «Εἰ μὴ ποιῶ τὰ ἔργα τοῦ Πατρός μου, μὴ πιστεύετέ μοι· εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις πιστεύσατε».

Ἐπειδὴ γὰρ πολλοὶ παχύτεροι τὴν γνώμην ὄντες, καὶ ἀναίσθητοι, πολλὰ τοιαῦτα φθέγγονται, ὅτι τὸ δεῖνα ἐμίσησε, διὰ τοῦτο ὁ μὲν πονηρός, ὁ δὲ φαῦλος ἐγένετο· ἀπὸ τῶν πραγμάτων πείθει, τὴν ἑκάστου τούτων διορθούμενος γνώμην, καὶ παράγων εἰς μέσον τὴν ἀπὸ τῶν ἔργων ἀπόδειξιν, καὶ ἀποφαίνεται μέν, καὶ πρὸ τῶν πραγμάτων, ὅτι ἐνάρετος ὁ δεῖνα, ἵνα μάθωσιν αὐτοῦ τὴν προγνωστικὴν δύναμιν, ἐπάγει δὲ καὶ τὴν διὰ τῶν πραγμάτων πληροφορίαν, ἵνα μή τις τῶν ἀνοήτων εἴπῃ, ὅτι διὰ τὴν

2. Ἰω. 2, 3.
3. Ἰω. 10, 37-38.

ἀνάγκη ἀπὸ τὴ δοκιμασία τῶν ἔργων. Ἐξ ἄλλου δὲ δὲν γνωρίζει τὶς σκέψεις μόνο ὅταν ἐκδηλωθοῦν μέσα στὸ νοῦ, ἀλλὰ καὶ πρὶν ἀκόμα ἐκδηλωθοῦν· καὶ ὄχι ἁπλῶς πρὶν ἐκδηλωθοῦν, ἀλλὰ καὶ πρὶν ἀπὸ πολὺ χρόνο. Γι' αὐτό, θέλοντας νὰ δηλώσει αὐτό, πρόσθεσε τό, «Σύ γνωρίζεις τὶς σκέψεις μου ἀπὸ μακριά».

Ἂν λοιπὸν γνωρίζει ὁ Θεὸς καὶ τὶς σκέψεις, γιὰ ποιὸ λόγο προσθέτει καὶ τὴ δοκιμασία μὲ τὰ ἔργα; Ὄχι γιὰ νὰ μάθει αὐτός, ἀλλὰ γιὰ νὰ καταστήσει ἄξιους ἐκείνους ποὺ ὑπομένουν τὶς δοκιμασίες. Διότι καὶ τὸν Ἰὼβ τὸν γνώριζε πρὶν ἀπὸ τὴ δοκιμασία, γι' αὐτὸ καὶ ἐπιβεβαίωνε αὐτὸ μὲ τὰ λόγια· «Ἄνθρωπος δίκαιος, ἀληθινός, θεοσεβής»[2]. Ἀλλὰ πρόσθεσε τὴ δοκιμασία, ὥστε καὶ ἐκεῖνον νὰ καταστήσει πιὸ ὑπομονητικό, καὶ νὰ ἐλέγξει τοῦ διαβόλου τὴν κακία, καὶ τοὺς ἄλλους νὰ κάνει σπουδαιότερους μὲ τὸ παράδειγμα. Καὶ γιατί θαυμάζεις, ἂν αὐτὸ τὸ ἔκαμε στὸν Ἰώβ, τὴ στιγμὴ βέβαια ποὺ τὸ ἴδιο κάμνει καὶ στοὺς ἁμαρτωλούς. Διότι τοὺς Νινευίτες γνώριζε πολὺ καλὰ ὅτι δὲν ἦταν ἄξιοι ἀπώλειας, καὶ ὅτι θὰ γίνονταν μὲ τὴ μετάνοια καλύτεροι, ἀλλ' ὅμως προσθέτει καὶ τὴν ἔμπρακτη δοκιμασία· καὶ παντοῦ παρέχει πολλὲς ἀποδείξεις τῆς φροντίδας του καὶ τῆς φιλανθρωπίας του, χωρὶς νὰ ἀρκεῖται στὴ γνώση του. Γι' αὐτὸ καὶ ὁ Μονογενὴς ἔλεγε· «Ἂν δὲν κάμνω τὰ ἔργα τοῦ Πατέρα μου, μὴ μὲ πιστεύετε, ἂν ὅμως τὰ κάμνω, ἂν δὲν πιστεύετε σ' ἐμένα, τουλάχιστο πιστέψατε στὰ ἔργα»[3].

Ἐπειδὴ λοιπὸν πολλοὶ εἶναι πνευματικὰ ἀνώριμοι καὶ ἀναίσθητοι, καὶ λέγουν πολλὰ παρόμοια, ὅτι τὸν τάδε τὸν ὑπέβαλε σὲ δοκιμασίες, καὶ τὸν τάδε τὸν ἀγάπησε, τὸν δὲ ἄλλο τὸν μίσησε, γι' αὐτὸ ὁ μὲν ἕνας ἔγινε κακός, ὁ δὲ ἄλλος φαῦλος, ἀπὸ τὰ ἴδια τὰ πράγματα πείθει, διορθώνοντας τὴ γνώμη τοῦ καθένα ἀπὸ αὐτοὺς καὶ προβάλλοντας τὴν ἀπόδειξη ἀπὸ τὰ ἔργα, καὶ καθιστᾶ μὲν φανερὸ καὶ πρὶν ἀπὸ τὰ πράγματα, ὅτι ὁ τάδε εἶναι ἐνάρετος, γιὰ νὰ γνωρίσουν οἱ ἄνθρωποι τὴν προγνωστικὴ δύναμη αὐτοῦ, προσθέτει ὅμως καὶ τὴν πληροφορία μέσω τῶν πραγμάτων, γιὰ νὰ μὴ πεῖ κάποιος ἀπὸ τοὺς ἀνόητους, ὅτι ὁ τάδε ἔγινε τέτοιος ἐπειδὴ τὸ προεῖπε ὁ Θεός.

πρόρρησιν ὁ δεῖνα τοιοῦτος ἦν. Ὅρα γοῦν καὶ ὁ Παῦλος πῶς τοῦτο δηλοῖ, λέγων· «Μήπω γὰρ καὶ γεννηθέντων, μηδὲ πραξάντων τι ἀγαθὸν ἢ κακόν, ἵνα ἡ κατ' ἐκλογὴν πρόθεσις τοῦ Θεοῦ μένῃ, οὐκ ἐξ ἔργων, ἀλλ' ἐκ τοῦ καλοῦντος ἐρρέθη αὐτῇ, ὅτι ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι». Οὐδὲ γὰρ δεῖται ἀναμεῖναι τῶν ἔργων τὸ τέλος, ἀλλὰ καὶ πρὸ τούτων οἶδεν αὐτὸς τὸν φαῦλον, καὶ τὸν οὐ τοιοῦτον ἐσόμενον.

«Τὴν τρίβον μου καὶ τὴν σχοῖνόν μου σὺ ἐξιχνίασας, καὶ πάσας τὰς ὁδούς μου προεῖδες». Ὥσπερ καθέδραν καὶ ἔγερσιν τὰς πράξεις λέγει ἀπὸ τῆς κοινῆς συνηθείας, καὶ γὰρ πολλάκις καὶ ἡμεῖς λέγομεν, οἶδεν ὁ δεῖνα, πῶς κάθηται, πῶς ἐγείρεται, τὴν ἀκριβῆ αὐτοῦ γνῶσιν μαρτυροῦντες, οὕτω τρίβον καὶ σχοῖνον ἐνταῦθα τὴν ζωὴν αὐτοῦ πᾶσαν λέγει. Διὸ καὶ ἐπάγει. «Καὶ πάσας τὰς ὁδούς μου προεῖδες». Καὶ τὸ «Ἐξιχνίασας» δέ, οὐ ζητοῦντός ἐστιν, οὐδὲ ἐρευνῶντος, ἀλλ' ἀκριβῶς ἐπισταμένου. Καὶ τοῦτο δεικνὺς ἐπήγαγε, «προεῖδες»· τουτέστι, πρὶν ἢ γενέσθαι οἶδας πάσας τὰς πράξεις τὰς πονηράς, καὶ τὰς ἀγαθάς.

«Ὅτι οὐκ ἔστι δόλος ἐν γλώσσῃ μου». Ἄλλος, «Ἑτερολογία». Τοῦτο μέγιστον τεκμήριον ἀρετῆς, τοῦτο κεφάλαιον τῶν ἀγαθῶν, τοῦτο δ μάλιστα ὁ Χριστὸς ἐπιζητεῖ λέγων, «Ἐὰν μὴ στραφῆτε, καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν», τὸ ἄκακον, τὸ ἄδολον, τὸ ἄπλαστον καὶ ἀφελὲς αἰνιττόμενος. Διὸ καὶ ἰδιώτας ἐξελέξατο, καὶ ἔλεγεν· «Ἐξομολογοῦμαί σοι, Πάτερ, ὅτι ἀπέκρυψας αὐτὰ ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις». Ὅρα· οὐκ εἶπεν, ὅτι ἐδεξάμην, καὶ ἀπέβαλον τὸν δόλον, ἀλλ', ὅτι οὐδὲ ἐγένετό ποτε, οὐδὲ ἐπέβη τῆς γλώττης τῆς ἐμῆς τουτὶ τὸ νόσημα, ἀλλ' ἄβατος ἡ πονηρία ἀπ' ἐμοῦ αὕτη γέγονεν.

«Ἰδού, Κύριε, σὺ ἔγνως πάντα, τὰ ἔσχατα καὶ ἀρχαῖα». Οὐ

4. Ρωμ. 9, 11-12.
5. Ματθ. 18, 3.
6. Ματθ. 11, 25.

Πρόσεχε λοιπὸν καὶ ὁ Παῦλος πῶς δηλώνει αὐτό, λέγοντας· «Διότι, ἐνῶ ἀκόμα δὲν εἶχαν γεννηθεῖ τὰ παιδιά, οὔτε εἶχαν κάνει κάποιο καλὸ ἢ κακό, γιὰ νὰ μένει ἀμετάβλητη ἡ ἀπόφαση τοῦ Θεοῦ σύμφωνα μὲ τὴν ἐκλογή, λέχθηκε στὴ Ρεβέκκα ὄχι μὲ βάση τὰ ἔργα, ἀλλὰ ἀπὸ τὸ Θεὸ ποὺ καλεῖ, ὅτι ὁ μεγαλύτερος θὰ ὑπηρετήσει τὸν μικρότερο»[4]. Διότι δὲν χρειάζεται νὰ περιμένει τὸ τέλος τῶν ἔργων, ἀλλὰ καὶ πρὶν ἀπὸ αὐτὰ προγνωρίζει αὐτὸς ἐκεῖνον ποὺ θὰ γίνει κακὸς καὶ ἐκεῖνον ποὺ δὲν θὰ γίνει τέτοιος.

«Τὸν δρόμο μου καὶ ὅλο τὸ μῆκος τῆς ζωῆς μου σὺ τὰ γνώρισες καὶ προεῖδες ὅλες τὶς ὁδούς μου». Ὅπως ἀκριβῶς καθέδρα καὶ ἔγερση ὀνομάζει τὶς πράξεις ἀπὸ κοινὴ συνήθεια, καθόσον καὶ ἐμεῖς πολλὲς φορὲς λέμε, γνωρίζει ὁ τάδε, πῶς κάθεται, πῶς σηκώνεται, ἐπιβεβαιώνοντας τὴν ἀκριβὴ γνώση αὐτοῦ, ἔτσι καὶ ἐδῶ τρίβο καὶ σχοῖνο ὀνομάζει ὅλη τὴ ζωὴ αὐτοῦ. Γι' αὐτὸ καὶ προσθέτει, «Καὶ προεῖδες ὅλες τὶς ὁδούς μου». Καὶ τὸ «Ἐξιχνίασας» δὲ δὲν σημαίνει ὅτι ἐξετάζει, οὔτε ὅτι ἐρευνᾶ, ἀλλ' ὅτι μὲ ἀκρίβεια γνωρίζει. Καὶ γιὰ νὰ δείξει αὐτὸ πρόσθεσε, «προεῖδες»· δηλαδή, πρὶν νὰ συμβοῦν γνωρίζεις ὅλες τὶς πράξεις, τὶς κακὲς καὶ τὶς καλές.

Προεῖδες «ὅτι δὲν ὑπάρχει δόλος στὴ γλώσσα μου». Ἄλλος, «Ἀνειλικρίνεια». Αὐτὸ εἶναι ἡ πιὸ μεγάλη ἀπόδειξη ἀρετῆς, αὐτὸ εἶναι τὸ ἀποκορύφωμα τῶν ἀγαθῶν, αὐτὸ εἶναι ἐκεῖνο ποὺ πρὸ πάντων ἐπιζητεῖ ὁ Χριστός, λέγοντας, «Ἂν δὲν μετανοήσετε καὶ δὲν γίνετε σὰν τὰ παιδιά, δὲν θὰ εἰσέλθετε στὴ βασιλεία τῶν οὐρανῶν»[5], ὑπονοώντας τὸ ἄκακο, τὸ ἄδολο, τὸ ἀπροσποίητο, τὴν ἀφέλεια. Γι' αὐτὸ καὶ ἐξέλεξε ἁπλοϊκοὺς ἀνθρώπους καὶ ἔλεγε· «Σ' εὐχαριστῶ Πατέρα μου, διότι ἀπέκρυψες τὶς μυστηριώδεις ἀλήθειες ἀπὸ τοὺς σοφοὺς καὶ συνετούς, καὶ τὶς φανέρωσες στὰ νήπια»[6]. Πρόσεχε· δὲν εἶπε, δέχθηκα τὸ δόλο καὶ τὸν ἀπέβαλα, ἀλλ' ὅτι δὲν συνέβηκε αὐτὸ ποτέ, οὔτε τὸ νόσημα αὐτὸ πρόσβαλε ποτὲ τὴ γλώσσα μου, ἀλλ' ἡ κακία αὐτὴ ὑπῆρξε σ' ἐμένα ἀδιάβατη.

«Νά, Κύριε, σὺ γνώρισες ὅλα, τὰ τωρινὰ καὶ τὰ παλιά».

τοὺς λογισμοὺς μόνον οἶδας, φησίν, οὐδὲ τὰς πράξεις μου, οὐδὲ τὰς ὁδούς μου, ἀλλὰ πάντα τὰ γενόμενα καὶ ἐσόμενα. «Σὺ ἔπλασάς με, καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου». Ἀπὸ τῆς προγνωστικῆς δυνάμεως ἐπὶ τὴν δημιουργικὴν μετέβη, καὶ ἀπὸ τῆς δημιουργικῆς πάλιν ἐπὶ τὴν προγνωστικήν. Οὐ γὰρ δὴ μόνον οὐκ ὄντας ἐποίησεν, ἀλλὰ καὶ γενομένους διακρατεῖ.

2. Ταῦτα ἑκάτερα καὶ ὁ Παῦλος μαρτυρεῖ τῷ Χριστῷ, λέγων· «Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτου τῶν ἡμερῶν ἐλάλησεν ἡμῖν ἐν Υἱῷ, ὃν ἔθηκε κληρονόμον πάντων». Εἶτα ἐπάγων λέγει καὶ τὴν δημιουργίαν· «Δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησε». Καὶ περὶ τῆς οὐσίας αὐτοῦ διαλεχθείς, καὶ εἰπών, «Ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ», δείκνυσι καὶ τὴν προνοητικὴν αὐτοῦ δύναμιν, λέγων· «Φέρων τε τὰ πάντα τῷ ρήματι τῆς δυνάμεως αὐτοῦ». Καὶ Κολοσσαεῦσιν ἐπιστέλλων τὰ αὐτὰ ταῦτα πάλιν ἔλεγεν, «Ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαί, εἴτε ἐξουσίαι, τὰ πάντα δι' αὐτοῦ, καὶ εἰς αὐτὸν ἔκτισται, αὐτός ἐστι πρὸ πάντων». Τοῦτο τῆς δημιουργίας αὐτοῦ. Εἶτα τὴν προνοητικὴν δηλῶν, ἐπάγει, «Καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκε». Ταῦτα πάλιν ὁ Ἰωάννης ἀμφότερα ἐνδεικνύμενος, ἔλεγε· «Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν». Τοῦτο τὴν δημιουργίαν εἶπεν ἐμφαίνων. Εἶτα τὴν πρόνοιαν· «Ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων». Τοῦτο καὶ ἐνταῦθα ὁ προφήτης αἰνιττόμενος λέγει· «Σὺ ἔπλασάς με». Τοῦτο τῆς δημιουργίας. Εἶπε καὶ τὸ τῆς προνοίας· «Καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου». Τί ἐστιν, «Ἔθηκας»; Διακρατεῖς,

7. Ἑβρ. 1, 1-2.
8. Ἑβρ. 1, 2.
9. Ἑβρ. 1, 3.
10. Κολ. 1, 16-17.
11. Κολ. 1, 18.
12. Ἰω. 1, 3.
13. Ἰω. 1, 4.

Δὲν γνωρίζεις, λέγει, μόνο τὶς σκέψεις, οὔτε πράξεις μου, οὔτε τὶς ὁδούς μου, ἀλλὰ ὅλα ὅσα ἔγιναν καὶ ὅσα θὰ γίνουν. «Σὺ μὲ ἔπλασες, καὶ ἔθεσες ἐπάνω μου τὸ γεμάτο ἀπὸ πρόνοια καὶ δύναμη χέρι σου». Ἀπὸ τὴν προγνωστικὴ δύναμη μεταφέρθηκε στὴ δημιουργική, καὶ ἀπὸ τὴ δημιουργικὴ πάλι στὴν προγνωστική. Διότι ὄχι μόνο μᾶς δημιούργησε χωρὶς νὰ ὑπήρχαμε, ἀλλὰ καὶ μᾶς διατηρεῖ στὴ ζωὴ μετὰ τὴ δημιουργία μας.

2. Καὶ τὰ δύο αὐτὰ ὁ Παῦλος τὰ ἀποδίδει στὸ Χριστό, λέγοντας· «Ἀφοῦ ὁ Θεὸς μίλησε στοὺς προγόνους μας μὲ τοὺς προφῆτες πολλὲς φορὲς καὶ μὲ πολλοὺς τρόπους κατὰ τὸ τέλος αὐτῶν τῶν ἡμερῶν μίλησε σὲ ἐμᾶς μὲ τὸν Υἱό του, ποὺ τὸν ὅρισε κληρονόμο ὅλων»[7]. Ἔπειτα προσθέτοντας ἀναφέρει καὶ τὴ δημιουργία· «Μὲ τὸν ὁποῖο δημιούργησε καὶ τὸν κόσμο»[8]. Ἀλλὰ καὶ γιὰ τὴν οὐσία του, ἀφοῦ μίλησε καὶ εἶπε, «Ὁ ὁποῖος ὑπάρχοντας προαιώνια ἀκτινοβολία τῆς δόξας αὐτοῦ καὶ ἀπαράλλακτη εἰκόνα τῆς οὐσίας αὐτοῦ», δείχνει καὶ τὴν προνοητικὴ δύναμη αὐτοῦ, λέγοντας «Κυβερνώντας καὶ προνοώντας γιὰ ὅλα μὲ τὸν παντοδύναμο λόγο του»[9]. Καὶ στὴν ἐπιστολή του πρὸς τοὺς Κολοσσαεῖς τὰ ἴδια πάλι ἔλεγε· «Ὅτι μὲ τὴν ἐνέργεια αὐτοῦ κτίσθηκαν τὰ πάντα, τὰ οὐράνια καὶ τὰ ἐπίγεια, εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχές, εἴτε ἐξουσίες, ὅλα ἔγιναν μὲ τὴν ἐνέργεια αὐτοῦ καὶ γι' αὐτὸν δημιουργήθηκαν καὶ αὐτὸς ὑπάρχει πρὶν ἀπὸ ὅλα»[10]. Αὐτὸ ἀναφέρεται στὴ δημιουργικὴ δύναμη αὐτοῦ. Ἔπειτα γιὰ νὰ δείξει τὴν προνοητικότητά του προσθέτει· «Καὶ ὅλα διατηροῦνται στὴν ὕπαρξη μὲ τὴ φροντίδα αὐτοῦ»[11]. Αὐτὰ πάλι τὰ δυὸ θέλοντας νὰ δείξει ὁ Ἰωάννης, ἔλεγε· «Ὅλα ἔγιναν μὲ τὴν ἐνέργεια αὐτοῦ, καὶ τίποτε δὲν ἔγινε χωρὶς αὐτόν»[12]. Αὐτὸ τὸ εἶπε γιὰ νὰ δηλώσει τὴ δημιουργικὴ δύναμή του. Ἔπειτα δείχνει τὴν πρόνοιά του· «Σ' αὐτὸν ὑπῆρχε ζωὴ καὶ ἡ ζωὴ ἦταν τὸ φῶς τῶν ἀνθρώπων»[13]. Αὐτὸ ὑπονοώντας καὶ ἐδῶ ὁ προφήτης, λέγει· «Σὺ μὲ ἔπλασες». Αὐτὸ φανερώνει τὴ δημιουργία. Ἀνέφερε καὶ τὴν προνοητικότητά του· «Καὶ ἔθεσες ἐπάνω μου τὸ γεμάτο ἀπὸ πρόνοια καὶ δύναμη χέρι σου». Τί σημαίνει, «Ἔθεσες»; Διατη-

συγκροτεῖς, διαβαστάζεις. Ὅπερ καὶ ὁ Παῦλος δηλῶν, «Ὅτι ἐν αὐτῷ», εἶπε, «ζῶμεν, καὶ κινούμεθα, καί ἐσμεν». Οὐ γὰρ δὴ μόνον ἐν τῷ γενέσθαι, ἀλλὰ καὶ ἐν τῷ εἶναι καὶ μένειν δεόμεθα αὐτοῦ τῆς δυνάμεως.

«Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ, ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν». Ἄλλος, «Ὑπερβάλλει με». Ἀντὶ δὲ τοῦ «Ἐκραταιώθη», ἕτερος, «Ὑπερεπήρθη». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· καὶ προνοίας ἀπολαύω τῆς σῆς, καὶ εἰδὼς ὅτι πάντα πρόοιδας, καὶ ὅτι ἐξ οὐκ ὄντων με ἐποίησας, ὅμως τὴν περὶ σοῦ γνῶσιν ἀκριβῆ καὶ σαφῆ πᾶσαν ἔχειν οὐ δύναμαι, ἀλλ' ἐθαυμαστώθη, τουτέστιν, ὑπερέβαλεν, ἐπήρθη ὑπὲρ ἐμέ, ἰσχυροτέρα ἐγένετο, ἢ ὥστε καταληφθῆναι τοῖς ἐμοῖς λογισμοῖς· οὕτως ἐστὶ θαυμαστή, οὕτως ἐστὶ μεγάλη. Τί οὖν εἰ θαυμαστὴ μέν ἐστι καὶ μεγάλη, δύναται δὲ καταληφθῆναι; Οὐδαμῶς. Διὰ γὰρ τοῦτο ἐπήγαγεν, «Οὐ δύναμαι πρὸς αὐτήν», ἵνα μὴ τοῦτο λέγῃς. Ὅταν δὲ εἴπῃ γνῶσιν, οὐ τοῦτο λέγει, ὅτι ἀγνοῶ τὸν Θεόν, ἀλλ' ὅτι παντελῆ καὶ σαφῆ τὴν περὶ αὐτοῦ γνῶσιν οὐκ οἶδα. Ὅπερ φησὶν ὁ Παῦλος· ὅτι μὲν γὰρ ἔστιν ἴσμεν· τὸ δὲ τί τὴν οὐσίαν ἐστὶν ἀγνοοῦμεν· «Πιστεῦσαι γὰρ δεῖ τὸν προσερχόμενον τῷ Θεῷ, ὅτι ἔστι». Καὶ οὐκ εἶπε τὸ τί τὴν οὐσίαν ἐστί· τοῦτο γὰρ οὐδενὶ γνώριμον. Ὅτι φιλάνθρωπος, οἴδαμεν, ὅτι χρηστός, ὅτι ἀγαθός· τὸ δὲ πόσον ἀγνοοῦμεν.

Ἀλλ' οὗτος ταῦτα πάντα παραδραμών, ἕτερον δοκοῦν εὐκολώτερον εἶναι προβάλλεται, καὶ αὐτό φησιν ἀγνοεῖν. Οὐ γὰρ δὴ λέγω τὸ τί τὴν οὐσίαν ἐστί, φησίν, οὐδὲ τὸ πόσον ἀγαθός, ὡμολόγηται γάρ, ὅτι ταῦτα ἀκατάληπτα, ἀλλὰ καὶ πῶς πανταχοῦ ἐστιν, εἰπεῖν οὐκ ἔχω, ἀλλὰ καὶ τοῦτο ἀνώτερον τῆς ἡμετέρας καταλήψεως. Διὸ εἰπών, «Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐ-

14. Πράξ. 17, 28.
15. Ἑβρ. 11, 6.

ρεῖς στὴ ζωή, συντηρεῖς, συγκρατεῖς. Αὐτὸ ἀκριβῶς γιὰ νὰ δηλώσει καὶ ὁ Παῦλος εἶπε· «Διότι μέσα σ' αὐτὸν ζοῦμε καὶ κινούμαστε καὶ ὑπάρχουμε»[14]. Δηλαδὴ ἔχουμε ἀνάγκη τῆς δυνάμεώς του ὄχι μόνο γιὰ τὴ δημιουργία μας, ἀλλὰ καὶ γιὰ νὰ ὑπάρχουμε καὶ νὰ διατηρούμαστε στὴ ζωή.

«Μοῦ προξενεῖ ἔκπληξη ἡ γνώση σου, γιὰ μένα· ξεπερνᾶ τὶς διανοητικές μου δυνάμεις, δὲν μπορῶ νὰ τὴν κατανοήσω». Ἄλλος, «Μὲ ὑπερβάλλει». Ἄλλος δὲ ἀντὶ τοῦ, «Εἶναι κραταιά», εἶπε, «Ὑπερυψώθηκε». Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Ἂν καὶ ἀπολαμβάνω τὴν πρόνοιά σου καὶ γνωρίζω ὅτι ὅλα τὰ προγνωρίζεις καὶ ὅτι μὲ δημιούργησες ἀπὸ τὴν ἀνυπαρξία, ὅμως δὲν μπορῶ νὰ ἔχω ὅλη τὴ γνώση γιὰ σένα μὲ ἀκρίβεια καὶ σαφήνεια, ἀλλὰ «ἐθαυμαστώθη», δηλαδὴ ὑπερέβαλε τὶς δυνάμεις μου, ὑψώθηκε πιὸ ἐπάνω ἀπὸ ἐμένα, ἔγινε ἰσχυρότερη, ὥστε νὰ εἶναι ἀκατανόητη ἀπὸ τὶς σκέψεις μου· τόσο πολὺ θαυμαστὴ εἶναι, τόσο πολὺ μεγάλη εἶναι. Τί λοιπὸν ἐὰν μὲν εἶναι θαυμαστὴ καὶ μεγάλη, ἀλλὰ μπορεῖ νὰ κατανοηθεῖ; Καθόλου. Γι' αὐτὸ βέβαια καὶ πρόσθεσε, «Δὲν μπορῶ νὰ τὴν κτανοήσω», γιὰ νὰ μὴ λέγεις αὐτό. Ὅταν δὲ λέγει γνώση, δὲν ἐννοεῖ αὐτό, ὅτι δηλαδὴ ἀγνοῶ τὸ Θεό, ἀλλ' ὅτι δὲν ἔχω πλήρη καὶ σαφὴ γνώση γι' αὐτόν. Αὐτὸ ἀκριβῶς λέγει καὶ ὁ Παῦλος· τὸ ὅτι δηλαδὴ ὑπάρχει τὸ γνωρίζουμε, ποιὰ ὅμως εἶναι ἡ οὐσία του, δὲν τὸ γνωρίζουμε· «Διότι πρέπει νὰ πιστεύσει, ἐκεῖνος ποὺ προσέρχεται στὸ Θεό, ὅτι ὑπάρχει»[15]. Καὶ δὲν εἶπε ποιὰ εἶναι ἡ οὐσία του· διότι αὐτὸ δὲν εἶναι σὲ κανένα γνωστό. Τὸ ὅτι εἶναι φιλάνθρωπος τὸ γνωρίζουμε, τὸ ὅτι εἶναι ἐπίσης ἐπιεικής, τὸ ὅτι εἶναι ἀγαθός, τὸ πόσο ὅμως δὲν τὸ γνωρίζουμε.

Ἀλλ' αὐτὸς ἀφοῦ τὰ προσπέρασε ὅλα αὐτά, προβάλλει ἄλλο ποὺ φαίνεται ὅτι εἶναι εὐκολώτερο καὶ λέγει ὅτι καὶ αὐτὸ δὲν τὸ γνωρίζει. Διότι, λέγει, δὲν λέγω βέβαια ποιὰ εἶναι ἡ οὐσία του, οὔτε τὸ πόσο ἀγαθὸς εἶναι, διότι ἔχει ὁμολογηθεῖ ὅτι αὐτὰ εἶναι ἀκατανόητα, ἀλλὰ δὲν μπορῶ νὰ πῶ καὶ πῶς βρίσκεται παντοῦ, διότι καὶ αὐτὸ βρίσκεται πάνω ἀπὸ τὴ δική μου ἀντίληψη. Γι' αὐτό, ἀφοῦ εἶπε, «Μὲ καταπλήσσει ἡ γνώση σου

μοῦ», ἐπήγαγε· «Ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανόν, σὺ ἐκεῖ εἶ· ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει. Ἐὰν ἀναλάβοιμι τὰς πτέρυγάς μου κατ' ὄρθρον, καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης». Ἄλλος, «Καταμείνω». «Καὶ γὰρ ἐκεῖ» (ἄλλος, «Ἔτι ἐκεῖ») «ἡ χείρ σου ὁδηγήσει με, καὶ καθέξει με ἡ δεξιά σου». Πνεῦμα καὶ πρόσωπον αὐτὸν τὸν Θεόν φησι. Τουτέστι, ποῦ πορευθῶ ἀπὸ σοῦ; Πάντα πληροῖς, πᾶσι πάρει, οὐ κατὰ μέρος, ἀλλ' ὁμοῦ πᾶσιν ὅλος. Καὶ εἰπὼν τὰ ἄνω, τὰ κάτω, πλάτος, μῆκος, βάθος, ὕψος, πανταχοῦ αὐτὸν παρεῖναι δηλοῖ. Καὶ οὐκ εἶπεν, ὅπου ἂν ἀπέλθω, ἀκολουθήσεις μοι, καὶ καθέξεις με, ἀλλ' ὅπου ἂν ἀπέλθω, ἐκεῖ εἶ· τουτέστιν, ἐκεῖ σε εὑρίσκω προλαμβάνοντά με. Διὰ τοῦτο λέγει, «Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ».

Καὶ εἰ μὴ οἶδας αὐτὴν ἀκριβῶς, φησί, πῶς οἶδας ὅτι θαυμαστή; Ὅτι ὑπερβάλλει ἐμοῦ τὸν λοιγισμόν, ὅτι νικᾷ μου τὴν διάνοιαν. Ἐπεὶ καὶ τὴν ἡλιακὴν ἀκτῖνα οὐ δυνάμεθα σαφῶς καταμαθεῖν, καὶ ὅμως δι' αὐτὸ τοῦτο μάλιστα θαυμάζομεν. Οὕτω δὴ καὶ ἐπὶ τῆς τοῦ Θεοῦ γνώσεως· οὔτε καθόλου αὐτὴν ἀγνοοῦμεν· οἴδαμεν γὰρ ὅτι ἐστί, καὶ ὅτι φιλάνθρωπος, καὶ ὅτι ἀγαθός, καὶ ὅτι χρηστός, καὶ ἐπιεικής, καὶ ὅτι πανταχοῦ· τὸ δὲ τί τὴν οὐσίαν ἐστίν, ἢ πόσον τὰ εἰρημένα, ἢ πῶς πανταχοῦ, τοῦτο ἀγνοοῦμεν. Εἰπὼν τοίνυν ἀφ' ὧν ἐθαυμαστώθη ἡ γνῶσίς σου, καὶ ἀνακηρύξας αὐτοῦ τὸ προγνωστικόν, τὸ δημιουργικόν, τὸ προνοητικόν, τὸ ἀκατάληπτον, τὸ ἀνερμήνευτον τῆς οὐσίας, πάλιν ἑτέραν αὐτοῦ διηγεῖται δύναμιν, καὶ αὐτὴν πολλῆς ἀπορίας γέμουσαν, εἰ λογισμοῖς ζητοῖτο. Καὶ γὰρ καὶ αὕτη ἀκατάληπτος. Τί οὖν ἐστιν αὕτη; Τό, «Καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με, καὶ καθέξει με ἡ

γιὰ μένα», πρόσθεσε· «Ποῦ νὰ ὑπάγω γιὰ νὰ βρίσκομαι μακριὰ ἀπὸ τὴν πνοή σου, καὶ ποὺ νὰ φύγω γιὰ νὰ εἶμαι μακριὰ ἀπὸ τὸ πρόσωπό σου; Ἂν ἀνεβῶ στὸν οὐρανό, σὺ εἶσαι ἐκεῖ· ἂν κατεβῶ στὸν ἅδη, εἶσαι παρών. Ἂν πάρω φτερὰ καὶ πετάξω πολὺ πρωὶ γιὰ νὰ κατασκηνώσω στὰ πιὸ ἀπομακρυσμένα μέρη τῆς θάλασσας». Ἄλλος λέγει «Γιὰ νὰ παραμείνω». «Ἀλλὰ καὶ ἐκεῖ (Ἄλλος λέγει «Ἀκόμα καὶ ἐκεῖ») θὰ μὲ ὁδηγήσει τὸ χέρι σου καὶ θὰ μὲ κρατᾶ σφιχτὰ ἡ δεξιά σου». Πνεῦμα καὶ πρόσωπο ὀνομάζει τὸν ἴδιο τὸ Θεό. Δηλαδή, ποῦ νὰ μεταβῶ γιὰ νὰ εἶμαι μακριά σου; Ὅλα τὰ γεμίζεις, σὲ ὅλα εἶσαι παρών, ὄχι ἕνα μέρος σου, ἀλλὰ σὲ ὅλα ὑπάρχεις συγχρόνως ὅλος. Καὶ μὲ τὸ ν' ἀναφέρει τὰ οὐράνια, τὰ κάτω, τὸ πλάτος, τὸ μῆκος, τὸ βάθος, τὸ ὕψος, φανερώνει ὅτι αὐτὸς βρίσκεται παντοῦ. Καὶ δὲν εἶπε, ὅπου καὶ ἂν μεταβῶ, θὰ μὲ ἀκολουθήσεις καὶ θὰ βρίσκομαι ὑπὸ τὴν κατοχή σου, ἀλλὰ ὅπου καὶ ἂν μεταβῶ, ἐκεῖ βρίσκεσαι· δηλαδὴ ἐκεῖ σὲ βρίσκω νὰ μὲ προλαβαίνεις. Γι' αὐτὸ λέγει, «Μὲ καταπλήσσει ἡ γνώση σου γιὰ μένα».

Καὶ ἐφόσον, λέγει, δὲν γνωρίζεις αὐτὴν ἀκριβῶς, πῶς γνωρίζεις ὅτι εἶναι θαυμαστή; Διότι ξεπερνᾶ τὴ σκέψη μου, διότι νικᾶ τὴ διάνοιά μου. Διότι καὶ τὴν ἡλιακὴ ἀκτίνα δὲν μποροῦμε νὰ τὴ γνωρίσουμε μὲ σαφήνεια, καὶ ὅμως γι' αὐτὸ πρὸ πάντων τὴ θαυμάζουμε. Ἔτσι λοιπὸν καὶ στὴν περίπτωση τῆς γνώσεως τοῦ Θεοῦ· οὔτε ἀγνοοῦμε αὐτὴν ἐξ ὁλοκλήρου· διότι γνωρίζουμε ὅτι ὑπάρχει, ὅτι εἶναι φιλάνθρωπος, ὅτι εἶναι ἀγαθός, ὅτι εἶναι χρηστὸς καὶ ἐπιεικὴς καὶ ὅτι βρίσκεται παντοῦ, ἀλλ' ὅμως ποιὰ εἶναι ἡ οὐσία του ἢ πόσο εἶναι τὸ μέγεθος τῶν προαναφερθέντων, ἢ πῶς βρίσκεται παντοῦ, αὐτὸ δὲν τὸ γνωρίζουμε. Ἀφοῦ λοιπὸν ἀνέφερε ἐκεῖνα ποὺ προκαλοῦν κατάπληξη γιὰ τὴ γνώση τοῦ Θεοῦ, καὶ διακήρυξε τὴν προγνωστικὴ δύναμή του, τὴ δημιουργική, τὴν προνοητική, τὸ ἀκατάληπτο αὐτοῦ καὶ τὸ ἀνερμήνευτο τῆς οὐσίας του, πάλι διηγεῖται ἄλλη δύναμή του, ποὺ καὶ αὐτὴ εἶναι γεμάτη ἀπὸ ἀπορία, ἂν συμβεῖ νὰ ἐξετασθεῖ μὲ τὸ λογικό. Καθόσον καὶ αὐτὴ εἶναι ἀκατανόητη. Ποιὰ λοιπὸν εἶναι αὐτή; Εἶναι τὸ «Ἀλλὰ καὶ ἐκεῖ θὰ μὲ ὁδηγήσει τὸ χέρι

δεξιά σου». Τουτέστι, δυνατὸν ἐμπεσόντας ἀνθρώπους εἰς τὰ δεινά, μὴ ἀφεῖναι ἁλῶναι τοῖς δεινοῖς, ἐν αὐτοῖς ὄντας τοῖς δεινοῖς.

3. Τοῦτο οὖν ἑρμηνεύων, ἐπήγαγε· «Καὶ εἶπα, ἄρα σκότος καταπατήσει με, καὶ νὺξ φωτισμὸς ἐν τῇ τρυφῇ μου. Ὅτι σκότος οὐ σκοτισθήσεται ἀπὸ σοῦ, καὶ νὺξ ὡς ἡμέρα φωτισθήσεται. Ὡς τὸ σκότος αὐτῆς, οὕτω καὶ τὸ φῶς αὐτῆς». Εἰπὼν ἄνω ταῦτα, ἅπερ ἀπηριθμησάμην, καὶ ἐκείνων οὐ μόνον, ὅτι πάρεστι πανταχοῦ, ἀλλ' ὅτι καὶ ποδηγεῖ, καὶ ἀσφαλίζεται καὶ τειχίζει, ἐπάγει λοιπὸν καὶ ἐν τούτῳ δεικνὺς τὸ παράδοξον, οὐ μόνον ὅτι τειχίζει καὶ ἀσφαλίζεται, ἀλλ' ὅτι καὶ ὑπὲρ αὐτὴν τῶν πραγμάτων τὴν φύσιν. Εἰπὼν γάρ, ὅτι «Καθέξει με ἡ δεξιά σου», καὶ ὅτι «Ὁδηγήσει με», ἐπήγαγεν· «Καὶ εἶπα, ἄρα σκότος καταπατήσει με». Ἄλλος, «Ἐὰν εἴπω, ἴσως σκότος ἐπισκεπάσει με». Ἄλλος, «Καλύψει με». Σκότος ἐνταῦθα τὴν θλίψιν σημαίνει. Ὃ δὲ λέγει, τοῦτό ἐστι· περιεστοιχίσθην ὑπὸ τῶν δεινῶν, καὶ εἶπον ἐν ἐμαυτῷ, ὅτι περιέσται μου τὰ δεινά. Τοῦτο γάρ ἐστι τό, «Σκότος καταπατήσει με». Ἕτερός φησι, «Σκότος καλύψει με». Καὶ νὺξ φωτισμὸς ἐν τῇ τρυφῇ μου». Ἕτερος, «Νὺξ φωτεινὴ περὶ ἐμέ».

Τί δὲ τοῦτό ἐστιν; Ἐγώ, φησί, ταῦτα μὲν εἶπον, ἀπὸ τῆς τῶν πραγμάτων φύσεως ἀναλογιζόμενος· ἀθρόον δὲ τὰ δεινὰ εἰς ἀγαθὰ μετεβλήθη· μᾶλλον δὲ οὐ τὰ δεινὰ εἰς ἀγαθὰ μετεβλήθη, ἀλλὰ μενόντων τῶν δεινῶν ἐγὼ πολλῆς ἀπέλαυον τῆς χρηστότητος. Οὐ γὰρ εἶπεν, ὅτι ἡ νὺξ ἠφανίσθη, ἀλλ' ὅτι ἡ νὺξ φωτεινὴ ἦν· τουτέστι, μένουσα νὺξ ἡ νύξ, δῆλον δέ, ὅτι τὰ δεινὰ καὶ αἱ συμ-

σου καὶ θὰ μὲ κρατᾶ δυνατὰ ἡ δεξιά σου». Δηλαδή, εἶναι δυνατό, ὅταν οἱ ἄνθρωποι περιπέσουν στὶς συμφορές, νὰ μὴ τοὺς ἀφήσεις νὰ καταστραφοῦν ἀπὸ αὐτές, καὶ ἐνῶ μάλιστα θὰ ζοῦν μέσα σ' αὐτὲς τὶς συμφορές.

3. Αὐτὸ λοιπὸν θέλοντας νὰ ἑρμηνεύσει, πρόσθεσε· «Καὶ εἶπα· καὶ ἂν ἀκόμα μὲ κατακυριεύσει σκοτάδι καὶ ἡ νύχτα καταλάβει τὴ θέση τοῦ φωτός, ὥστε ν' ἀπολαμβάνω ἀθέατος τὴν τρυφηλὴ ζωή, παρὰ ταῦτα τὸ σκοτάδι δὲν θὰ σκοτισθεῖ γιὰ νὰ εἶναι ἀθέατο ἀπὸ σένα, καὶ ἡ νύχτα θὰ εἶναι φωτεινὴ σὰν ἡμέρα. Ὅπως εἶναι τὸ σκοτάδι τῆς νύχτας, ἔτσι εἶναι καὶ τὸ φῶς τῆς ἡμέρας». Ἀφοῦ πρῶτα ἀνέφερε αὐτὰ ποὺ ἀπαριθμήσαμε καὶ μαζὶ μὲ ἐκεῖνα ὄχι μόνο τὸ ὅτι βρίσκεται παντοῦ, ἀλλ' ὅτι καὶ μᾶς καθοδηγεῖ καὶ μᾶς διασφαλίζει καὶ μᾶς περιφρουρεῖ, προσθέτει πλέον καὶ αὐτό, θέλοντας νὰ δείξει μὲ αὐτὸ τὸ παράδοξο, ὅτι δηλαδὴ ὄχι μόνο μᾶς περιφρουρεῖ καὶ μᾶς διασφαλίζει, ἀλλὰ καὶ κατὰ τρόπο ἀνώτερο ἀπὸ τὴ φύση τῶν πραγμάτων. Διότι ἀφοῦ εἶπε, ὅτι «θὰ μὲ κρατᾶ δυνατὰ ἡ δεξιά σου» καὶ ὅτι «θὰ μὲ ὁδηγήσει», πρόσθεσε· «Καὶ εἶπα· καὶ ἂν ἀκόμα μὲ κατακυριεύσει σκοτάδι». Ἄλλος, «Ἂν πῶ, καὶ ἂν ἴσως μὲ σκεπάσει σκοτάδι». Ἄλλος, «θὰ μὲ καλύψει». Σκοτάδι ἐδῶ ἐννοεῖ τὴ θλίψη. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· περικυκλώθηκα ἀπὸ τὶς συμφορὲς καὶ εἶπα στὸν ἑαυτό μου, θὰ μὲ καταβάλουν οἱ συμφορές. Διότι αὐτὸ σημαίνει τὸ «Σκοτάδι θὰ μὲ καταπατήσει». Ἄλλος λέγει, «Σκοτάδι θὰ μὲ καλύψει». «Καὶ ἂν ἡ νύχτα καταλάβει τὴ θέση τοῦ φωτὸς γιὰ νὰ ἀπολαμβάνω τὴν τρυφηλὴ ζωὴ ἀθέατος». Ἄλλος, «Νύχτα φωτεινὴ γύρω ἀπὸ ἐμένα».

Τί σημαίνει δὲ αὐτό; Ἐγώ, λέγει, τὰ εἶπα μὲν αὐτὰ σκεπτόμενος τὴ φυσικὴ πραγματικότητα, τελείως ξαφνικὰ ὅμως τὰ κακὰ μεταβλήθηκαν σὲ ἀγαθά· μᾶλλον δὲ δὲν μεταβλήθηκαν τὰ κακὰ σὲ ἀγαθά, ἀλλ', ἂν καὶ ὑπάρχουν οἱ συμφορές, ἐγὼ ἀπολαμβάνω μεγάλη ἀγαθότητα. Διότι δὲν εἶπε, ὅτι ἡ νύχτα ἐξαφανίσθηκε, ἀλλ' ὅτι ἡ νύχτα ἦταν φωτεινή· δηλαδὴ παραμένοντας νύχτα ἡ νύχτα, εἶναι φανερό, ὅτι τὰ κακὰ καὶ οἱ συμφορὲς

φοραὶ (ταῦτα γὰρ τῷ τῆς νυκτὸς ὀνόματι δηλοῖ) οὐκ ἴσχυσάν με καταπατῆσαι, ἀλλ' ἐγένετο ἐν τῇ νυκτὶ φῶς, τουτέστιν, ἀντίληψις περὶ ἐμέ. Τὰ γὰρ ἐναντία ἐν τοῖς ἐναντίοις καὶ γίνεται καὶ φαίνεται, ὅταν ὁ Θεὸς βούληται. Ἢ οὐκ εἶδες καὶ κάμινον ἀναπτομένην, καὶ δρόσον διασυρίζουσαν, καὶ οὔτε ἐκείνην σβεννυμένην, οὔτε ταύτην ξηραινομένην, καὶ χάλαζαν καὶ φλόγα ὁμοῦ; Πόθεν οὖν τοῦτο γέγονεν; εἰπέ μοι. Πῶς δὲ ἐγένετο, βούλομαι μαθεῖν. Μᾶλλον δὲ οὐδὲ μαθεῖν βούλομαι τὸν τρόπον· οὐδὲ γὰρ δυνατόν· πιστεύω δὲ τῷ γεγενημένῳ, καὶ προσκυνῶ τὸν ποιήσαντα. Τὰ γὰρ πλείονα τῶν ἔργων αὐτοῦ ἐν ἀποκρύφοις. Οὐκ εἶδες, ὅτι ἡμέρας οὔσης ἐψηλάφουν οἱ Αἰγύπτιοι ὡς ἐν σκότει, καὶ σκότους πάντα κατέχοντος ἑώρων οἱ Ἰσραηλῖται, καὶ παρὰ τὴν ἀρχὴν πάλιν σκότους ὄντος τὸ φῶς ἔλαμψεν ἐν τῷ μέσῳ; Πανταχοῦ γὰρ τῆς τῶν πραγμάτων φύσεως Κύριος ὁ ποιήσας, οὐχ ὥστε παραγαγεῖν οὐκ ὄντα, ἀλλ' ὥστε μένοντα ἐν τῇ φύσει ἑτέρως παρασκευάζειν αὐτὰ δείκνυσθαι.

«Ὅτι σκότος οὐ σκοτισθήσεται ἀπὸ σοῦ». Ἕτερος, «Παρὰ σοί». «Καὶ νὺξ ὡς ἡμέρα φωτισθήσεται». Ἕτερος, «Ἀλλὰ καὶ νὺξ ὡς ἡ ἡμέρα φανεῖ». «Ὡς τὸ σκότος αὐτῆς, οὕτω καὶ τὸ φῶς αὐτῆς». Ἕτερος, «Ὅμοιον τὸ σκότος καὶ τὸ φῶς αὐτῆς». Καλῶς εἶπεν, «Ἀπὸ σοῦ», τουτέστι, «παρὰ σοί», δηλῶν, ὅτι ἂν βουληθῇς, τὸ σκότος οὐκ ἔσται σκότος, ἀλλὰ τὰ φωτὸς ἐπιδείξεται. Διὸ ἐπήγαγε, «Καὶ νὺξ ὡς ἡμέρα φωτισθήσεται», σαφέστερον τὸ πρότερον ποιῶν, καὶ δείκνυσιν ὅτι τὰ ἡμέρας ἐπιδείξεται ἡ νύξ, ὡς τὰ ἴδια. Ὅταν γὰρ ὁ Θεὸς βουληθῇ, πρὸς τὰ ἐναντία μεθίσταται τῶν στοιχείων ἡ ἐνέργεια, οὕτως ἀκριβῶς πρὸς τὰ ἐναντία, ὡς πρὸς τὰ οἰκεῖα παρὰ τὴν ἀρχὴν συγκεκλήρωτο. Ἐὰν γὰρ σὺ βουληθῇς, τοιαύτη ἔσται ἡ νύξ, καὶ οὕτως ἕξει τὸ

(διότι αὐτὰ δηλώνει μὲ τὸ ὄνομα τῆς νύχτας) δὲν μπόρεσαν νὰ μὲ συντρίψουν, ἀλλὰ μέσα στὴ νύχτα ἔλαμψε φῶς, δηλαδὴ δόθηκε βοήθεια σὲ μένα. Διότι, ὅταν θέλει ὁ Θεός, τὰ ἀντίθετα συμβαίνουν καὶ φαίνονται μὲ τὰ ἀντίθετα. Ἢ δὲν εἶδες καὶ τὴν κάμινο ποὺ ἦταν ἀναμμένη, καὶ τὴν δρόσο ποὺ ἔπνεε, ἀλλ' ὅμως οὔτε ἡ κάμινος ἔσβηνε, οὔτε ἡ δρόσος ξηραινόταν, ἀλλὰ συνυπῆρχαν ἡ χάλαζα μὲ τὴ φλόγα; Πές μου λοιπόν, ἀπὸ ποῦ συνέβηκε αὐτό; Πῶς δὲ ἔγινε, θέλω νὰ μάθω. Μᾶλλον δὲ δὲν θέλω νὰ μάθω τὸν τρόπο· διότι δὲν εἶναι δυνατό· πιστεύω δὲ σ' αὐτὸ ποὺ συνέβηκε καὶ προσκυνῶ τὸ δημιουργό. Διότι τὰ περισσότερα ἀπὸ τὰ ἔργα του εἶναι παράξενα. Δὲν εἶδες, ὅτι, ἐνῶ ἦταν ἡμέρα, οἱ Αἰγύπτιοι ἔψαχναν σὰν μέσα σὲ σκοτάδι, καί, ἐνῶ σκοτάδι σκέπαζε τὰ πάντα, οἱ Ἰσραηλῖτες ἔβλεπαν, καὶ στὴν ἀρχὴ πάλι τῆς δημιουργίας, ἐνῶ ἦταν σκοτάδι, ἔλαμψε μέσα σ' αὐτὸ τὸ φῶς; Παντοῦ δηλαδὴ ὁ δημιουργὸς εἶναι Κύριος τῶν πραγμάτων τῆς φύσεως καὶ δημιούργησε αὐτὰ ὄχι γιὰ νὰ τὰ φέρει στὴν ὕπαρξη ἀπὸ τὴν ἀνυπαρξία, ἀλλά, ἐνῶ μένουν μέσα στὴ φύση, τὰ κάμνει νὰ παρουσιάζονται διαφορετικά.

«Διότι τὸ σκοτάδι δὲν θὰ σκοτισθεῖ ἀπὸ σένα». Ἄλλος. «Ἐκ μέρους σου». «Καὶ ἡ νύχτα θὰ φωτισθεῖ σὰν ἡμέρα». Ἄλλος, «Ἀλλὰ καὶ ἡ νύχτα σὰν ἡμέρα θὰ φανεῖ». «Ὅπως εἶναι τὸ σκοτάδι τῆς νύχτας, ἔτσι εἶναι καὶ τὸ φῶς αὐτῆς». Ἄλλος, «Εἶναι ὅμοιο τὸ σκοτάδι καὶ τὸ φῶς αὐτῆς». Πολὺ καλὰ εἶπε, «Ἀπὸ σένα», δηλαδή, «Ἐκ μέρους σου», γιὰ νὰ δείξει, ὅτι, ἂν θελήσεις, τὸ σκοτάδι δὲν θὰ παραμείνει σκοτάδι, ἀλλὰ θὰ παρουσιάσει τὰ πράγματα τοῦ φωτός. Γι' αὐτὸ πρόσθεσε, «Καὶ ἡ νύχτα σὰν ἡμέρα θὰ φωτισθεῖ», κάμνοντας σαφέστερο τὸ προηγούμενο, καὶ δείχνει ὅτι ἡ νύχτα θὰ παρουσιάσει τὰ πράγματα τῆς ἡμέρας σὰν δικά της. Διότι ὅταν θελήσει ὁ Θεός, ἡ ἐνέργεια τῶν φυσικῶν στοιχείων μεταβάλλεται στὰ ἀντίθετα ἀποτελέσματα, καὶ μὲ τόση ἀκρίβεια πρὸς τὰ ἀντίθετα, ὅπως ἀκριβῶς ἀπὸ τὴν ἀρχὴ ὁρίσθηκε νὰ ἐνεργεῖ γιὰ τὰ δικά της πράγματα. Ἂν δηλαδὴ σὺ θελήσεις, τέτοια θὰ γίνει ἡ νύχτα καὶ ἔτσι θὰ παρουσιάσει τὸ φῶς σὰν κάτι δικό της, ὅπως ἀκρι-

φῶς συγκεκληρωμένον, ὥσπερ τὸ σκότος. Διὸ καὶ τοῦτο δηλῶν, ἐπήγαγεν· «Ὡς τὸ σκότος αὐτῆς, οὕτω καὶ τὸ φῶς αὐτῆς».

Ταῦτα εἴρηται μὲν κυρίως ἐπὶ τῶν στοιχείων, μεταφορικῶς δὲ ἐπὶ τῶν πραγμάτων. Ἀφ' ὧν δείκνυται, ὅτι δύναται ὁ Θεὸς ἐν ταῖς θλίψεσι τοσαύτην ἄνεσιν ποιῆσαι τοῖς ἐμπίπτουσιν, ὅσην ἂν τοῖς ἐν ἀνέσει οὖσι, προνοῶν τῆς θλίψεως. Τὸ γὰρ δὴ θαυμαστὸν καὶ παράδοξον τοῦτο, ὅπερ δὴ καὶ ἐπὶ τοῦ Ἰωσὴφ γέγονεν. Οὐ γὰρ τοσαύτης ἐπέλαυσεν ἐκεῖνος ἀνέσεως καὶ τιμῆς τὴν πατρῴαν οἰκίαν οἰκῶν, ὅσην πραθείς, καὶ ἐν βαρβαρικῇ τρεφόμενος οἰκίᾳ. Καὶ δι' αὐτῶν τῶν ἐπιβούλων αὐτῷ τὸ διάδημα ὑφαίνετο, καὶ ἡ ἁλουργὶς κατεσκευάζετο, καὶ ἡ τῆς ἀτιμίας ὑπόθεσις αὕτη τιμῆς αὐτῷ καὶ βασιλείας ἀφορμὴ γέγονεν. Εἶδες πῶς ἡρμηνεύσαμεν, ὅτι «Νὺξ ὡς ἡμέρα φωτισθήσεται»; Πρὸς δὲ τό, «Ὡς τὸ σκότος αὐτῆς, οὕτω καὶ τὸ φῶς αὐτῆς», πάλιν ἀνάγκη τὸ αὐτὸ εἰπεῖν· ὥσπερ ἐκεῖνο, οὕτω καὶ τοῦτο αὐτῆς ἔσται, οὐ φαντασίᾳ, ἀλλὰ σοῦ τοῦ Κυρίου τῶν φύσεων τὰ πράγματα μετατιθέντος.

«Ὅτι σὺ ἐκτήσω τοὺς νεφρούς μου, Κύριε· ἀντελάβου μου ἐκ γαστρὸς μητρός μου». Καὶ ποία αὕτη ἀκολουθία πρὸς τὰ εἰρημένα; Πολλὴ μὲν οὖν καὶ σφόδρα συνημμένη. Ἐπειδὴ γὰρ εἶπε περὶ τῆς δυνάμεως αὐτοῦ τῆς τοσαύτης, δείκνυσι λοιπόν, ὅτι τῇ δυνάμει ταύτῃ εἰς τὸ τοῖς ἀνθρώποις χρήσιμον κέχρηται καὶ πρὸς τὴν εὐεργεσίαν. Ἵνα γὰρ μή τις λέγῃ τῶν ἀνοήτων, καὶ τί ταῦτα πρὸς ἐμέ, εἰ μέγας, καὶ δυνατός, καὶ προγνωστικός; δεῖξον εἴ τι κερδαίνομεν ἐντεῦθεν· ἐπήγαγε τό, «Ὅτι σὺ ἐκτήσω τοὺς νεφρούς μου», ἀπὸ μέρους τὸν πάντα λέγων ἄνθρωπον. Οὐ μικρὸν δὲ τοῦτο εἰς ἐγκωμίου μέρος καὶ προνοίας, τὸ κτῆμα εἶναι Θεοῦ. Ὁ γὰρ κτώμενος καὶ κήδεται καὶ προνοεῖ. Διὸ καὶ τοῦτο δηλῶν,

βῶς τὸ σκοτάδι. Γι' αὐτὸ, γιὰ νὰ δηλώσει καὶ αὐτό, πρόσθεσε· «Ὅπως τὸ σκοτάδι αὐτῆς, ἔτσι καὶ τὸ φῶς αὐτῆς».

Αὐτὰ μὲν λέχθηκαν κυρίως γιὰ τὰ στοιχεῖα τῆς φύσεως, μεταφορικὰ ὅμως καὶ γιὰ τὰ ἀνθρώπινα πράγματα. Γίνεται δηλαδὴ φανερὸ ἀπὸ αὐτὰ, ὅτι μπορεῖ ὁ Θεὸς μέσα στὶς θλίψεις νὰ προσφέρει τόση ἄνεση σ' ἐκείνους ποὺ περιέπεσαν μέσα σ' αὐτές, ὅση καὶ σ' ἐκείνους ποὺ ζοῦν μέσα στὴν ἄνεση, διότι φροντίζει γιὰ τοὺς θλιβομένους. Τὸ θαυμαστὸ βέβαια καὶ παράδοξο εἶναι αὐτό, ποὺ συνέβηκε καὶ στὴν περίπτωση τοῦ Ἰωσήφ. Διότι ἐκεῖνος δὲν ἀπόλαυσε τόσο μεγάλη ἄνεση καὶ τιμὴ κατοικώντας στὴν πατρική του οἰκία, ὅση ὅταν πωλήθηκε καὶ ζοῦσε σὲ βαρβαρικὴ οἰκία. Καὶ ἀπὸ τοὺς ἴδιους τοὺς ἐχθροὺς ὑφαινόταν τὸ βασιλικὸ στέμμα γι' αὐτόν, καὶ ἑτοιμαζόταν ἡ βασιλικὴ πορφύρα, καὶ ἡ ἀτιμωτικὴ αὐτὴ ἐνέργεια, ἡ ἴδια ἔγινε γι' αὐτὸν ἀφορμὴ τιμῆς καὶ βασιλείας. Εἶδες πῶς ἑρμηνεύσαμε, ὅτι «Ἡ νύχτα σὰν ἡμέρα θὰ φωτισθεῖ»; Σχετικὰ δὲ μὲ τό, «Ὅπως τὸ σκοτάδι αὐτῆς, ἔτσι καὶ τὸ φῶς αὐτῆς», εἶναι ἀνάγκη πάλι τὸ ἴδιο νὰ ποῦμε· ὅπως ἀκριβῶς τὸ σκοτάδι, ἔτσι καὶ τὸ φῶς θὰ εἶναι αὐτῆς, ὄχι σὰν κάτι τὸ φανταστικό, ἀλλὰ μεταβάλλοντας τὰ πράγματα σὺ ὁ ἴδιος ὁ Κύριος τῶν φύσεων.

«Διότι σύ, Κύριε, δημιούργησες τοὺς νεφρούς μου καὶ ἀνέλαβες τὴν προστασία μου ἀπὸ τότε ἀκόμα ποὺ ἤμουν στὴν κοιλιὰ τῆς μητέρας μου». Καὶ ποιὰ εἶναι ἡ σχέση αὐτῶν πρὸς τὰ προαναφερθέντα; Εἶναι μεγάλη καὶ εἶναι πάρα πολὺ στενὰ συνδεδεμένα μὲ ἐκεῖνα. Ἐπειδὴ δηλαδὴ μίλησε γιὰ τὴν τόσο μεγάλη δύναμή του, δείχνει πλέον, ὅτι τὴ δύναμη αὐτὴ τὴ χρησιμοποιεῖ γιὰ τὴν ὠφέλεια τῶν ἀνθρώπων καὶ τὴν εὐεργεσία αὐτῶν. Γιὰ νὰ μὴ λέγει δηλαδὴ κάποιος ἀπὸ τοὺς ἀνόητους, καὶ ποιὰ σχέση ἔχουν αὐτὰ μὲ ἐμένα, ἂν δηλαδὴ εἶναι μέγας καὶ δυνατὸς καὶ προγνωρίζει ἐκεῖνα ποὺ πρόκειται νὰ συμβοῦν; δεῖξε μου ἂν κερδίζουμε κάτι ἀπὸ αὐτά, πρόσθεσε τό, «Διότι σὺ δημιούργησες τοὺς νεφρούς μου», ἐννοώντας ἀπὸ τὸν ἕνα τὸν κάθε ἄνθρωπο. Δὲν ἀποτελεῖ δὲ αὐτὸ μικρὸ δεῖγμα ἐγκωμίου καὶ πρόνοιας, τὸ νὰ εἶναι κάποιος τοῦ Θεοῦ. Διότι αὐτὸς ποὺ ἀπο-

προστίθησι τὸ ἑξῆς, λέγων· «Ἀντελάβου μου ἐκ γαστρὸς τῆς μητρός μου». Τουτέστι, διὰ παντός με ἐτείχισας, προενόησας, ἠσφαλίσω ἐκ πρώτης τῆς ἡλικίας, ἐξ αὐτῶν τῶν σπαργάνων, καὶ ταῦτα διὰ τῶν ἔργων αὐτῶν ἐπαίδευσας ἅπερ εἶπον.

«Ἐξομολογήσομαί σοι, ὅτι φοβερῶς ἐθαυμαστώθης· θαυμάσια τὰ ἔργα σου, καὶ ἡ ψυχή μου γινώσκει σφόδρα». Τί ἐστι τοῦτο; Ἔπλασάς με, φησίν, ἀλλ' οὐκ οἶδα πῶς ἔπλασας· προνοεῖς, ἀλλ' οὐ δύναμαι πᾶσαν ὁμοῦ περιλαβεῖν τὴν πρόνοιαν τοῖς λογισμοῖς. Πανταχοῦ ὑπάρχεις, ἀλλ' οὐδὲ τοῦτο ἐπίσταμαι. Τὰ μέλλοντα πρόοιδας, καὶ τὰ προγεγενημένα, καὶ τὰ ἀπόρρητα τῆς διανοίας τῶν ἀνθρώπων, ἀλλ' οὐδὲ τοῦτο τοῖς λογισμοῖς καταλαβεῖν δύναμαι. Μεταβάλλεις γὰρ τῶν πραγμάτων τὰς φύσεις, καὶ μενούσας τὰς ἐναντία ἐπιδείκνυσθαι παρασκευάζεις, καὶ τὰ ἐναντία οὕτω πάλιν ἐξάγεις, ὡς οἰκεῖα καὶ κατὰ φύσιν συγκεκληρωμένα. Ταῦτα δὴ πάντα πάλιν συναγαγών, καὶ γενόμενος ἔνθους, ἀνέκραξε μέγα, λέγων· «Ἐξομολογήσομαί σοι, ὅτι φοβερῶς ἐθαυμαστώθης», τουτέστι, θαυμαστὸς ἐφάνης, καὶ θαυμαστὸς εἶ. «Θαυμάσια τὰ ἔργα σου, καὶ ἡ ψυχή μου γινώσκει σφόδρα». Καὶ τί λέγω, φησί, περὶ σοῦ, ὅπου γε καὶ τὰ ὑπὸ σοῦ γινόμενα πολὺ τὸ θαῦμα ἔχει;

4. Εἶτα ἀφεὶς ἅπαντα ἐπεξελθεῖν, ἀρκεῖται τῇ οἰκίᾳ γνώσει, λέγων· «Καὶ ἡ ψυχή μου γινώσκει σφόδρα». Οὐχ ἁπλῶς γινώσκει, ἀλλὰ μετὰ ἐπιτάσεως, φησί, μετὰ σφοδρότητος. Καὶ εἰ γινώσκει, πῶς ἔλεγεν ἔμπροσθεν, ὅτι «Ἐθαυμαστώθη ἡ γνῶσίς

κτᾶ κάτι καὶ φροντίζει καὶ προνοεῖ γι' αὐτό. Γι' αὐτό, θέλοντας νὰ δηλώσει καὶ αὐτό, προσθέτει τὸ ἑξῆς, λέγοντας· «Μὲ ἔθεσες κάτω ἀπὸ τὴν προστασία σου ἀπὸ τότε ποὺ ἤμουν στὴν κοιλιὰ τῆς μητέρας μου». Δηλαδὴ σ' ὅλη μου τὴ ζωὴ μὲ περιφρούρησες, ἔδειξες τὴν πρόνοιά σου γιὰ μένα, μὲ διασφάλισες ἀπὸ τὴν πρώτη ἡλικία μου, ἀπὸ τότε ποὺ βρισκόμουν στὰ σπάργανα, καὶ αὐτὰ ποὺ εἶπα μοῦ τὰ δίδαξες μὲ τὰ ἔργα σου αὐτά.

«Θὰ σὲ δοξολογήσω καὶ θὰ σὲ εὐχαριστήσω διότι μοῦ προξένησες φοβερὴ κατάπληξη· εἶναι θαυμάσια τὰ ἔργα σου καὶ ἡ ψυχή μου τὸ γνωρίζει αὐτὸ πάρα πολὺ καλά». Τί σημαίνει αὐτό; Μὲ ἔπλασες, λέγει, ἀλλὰ δὲν γνωρίζω πῶς μὲ ἔπλασες· προνοεῖς γιὰ μένα, ἀλλὰ δὲν μπορῶ νὰ κατανοήσω μὲ τὴ σκέψη μου ὅλη τὴν πρόνοιά σου. Παντοῦ ὑπάρχεις, ἀλλ' οὔτε αὐτὸ τὸ γνωρίζω. Προγνωρίζεις ἐκεῖνα ποὺ πρόκειται νὰ συμβοῦν στὸ μέλλον, καὶ ἐκεῖνα ποὺ ἔχουν συμβεῖ στὸ παρελθόν, καθὼς καὶ τὰ ἀπόκρυφα τῆς σκέψεως τῶν ἀνθρώπων, ἀλλ' οὔτε αὐτὸ μπορῶ νὰ τὸ κατανοήσω μὲ τὴ σκέψη μου. Διότι μεταβάλλεις τὶς φύσεις τῶν πραγμάτων, καί, ἐνῶ παραμένουν ἴδιες, τὶς κάνεις νὰ παρουσιάζουν τὰ ἀντίθετα ἀποτελέσματα, καὶ τὰ ἀντίθετα κατὰ τὸν ἴδιο πάλι τρόπο προβάλλεις, σὰν νὰ εἶναι δικά τους ἀποτελέσματα καὶ στενὰ συνενωμένα μὲ τὴ φύση τους. Ὅλα αὐτὰ λοιπὸν ἀφοῦ τὰ συγκέντρωσε πάλι στὴ σκέψη του καὶ κυριεύθηκε ἀπὸ θεῖο ἐνθουσιασμό, διεκήρυξε μὲ μεγάλη φωνὴ καὶ εἶπε· «Θὰ σὲ δοξολογήσω καὶ θὰ σὲ εὐχαριστήσω, διότι μοῦ προξένησες μεγάλη κατάπληξη», δηλαδὴ φάνηκες θαυμαστὸς καὶ εἶσαι θαυμαστός. «Εἶναι θαυμαστὰ τὰ ἔργα σου καὶ ἡ ψυχή μου τὸ γνωρίζει αὐτὸ πάρα πολὺ καλά». Καὶ γιατί λέγω, λέγει, γιὰ σένα, τὴ στιγμὴ βέβαια ποὺ καὶ τὰ ἔργα σου προκαλοῦν μεγάλο θαυμασμό;

4. Σὴ συνέχεια, ἀφοῦ παρέλειψε νὰ τὰ ἀναφέρει ὅλα, ἀρκεῖται στὴ δική του γνώση καὶ λέγει· «Καὶ ἡ ψυχή μου τὸ γνωρίζει αὐτὸ πάρα πολὺ καλά». Δὲν τὸ γνωρίζει ἁπλῶς, ἀλλά, λέγει, τὸ γνωρίζει πάρα πολὺ καλά, σὲ πολὺ μεγάλο βαθμό. Καὶ ἂν τὸ γνωρίζει, πῶς ἔλεγε προηγουμένως, ὅτι «Μὲ προκαλεῖ

σου ἐξ ἐμοῦ, ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν»; Μάλιστα μὲν οὖν ἐκεῖνο περὶ αὐτοῦ εἴρηται, τοῦτο δὲ περὶ τῶν ἔργων. Εἰ δὲ καὶ περὶ αὐτοῦ τοῦτο, ἐκεῖνο ἂν εἴποιμεν, ὅτι γινώσκει, ὅτι θαυμαστός, ὅτι μέγας, ὅτι ὑψηλός, τὸ δὲ τί τὴν οὐσίαν (πάλιν γὰρ τὰ αὐτὰ ἐρῶ), καὶ πῶς ἡ μεγαλωσύνη, καὶ τίς ὁ τρόπος τῶν εἰρημένων, ἀγνοεῖ· ἀλλ' ἡ ἄγνοια αὕτη γνώσεώς ἐστιν ἀπόδειξις, εἰ καὶ θαυμαστὸν τὸ εἰρημένον. Ἐπεὶ καὶ τὴν θάλατταν πηλίκη τίς ἐστιν ἀγνοοῦμεν, καὶ ὅμως δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα ἴσμεν θάλασσαν, ὅτι ἀγνοοῦμεν αὐτῆς τὸ μέτρον. Εἰ δέ τις λέγει εἰδέναι αὐτῆς τὴν ποσότητα, οὗτος μάλιστά ἐστιν ὁ ἀγνοῶν αὐτήν. Ὥστε ἐστὶν ἀπαγγελία γνώσεως ἄγνοιαν ἐλέγχουσα, καὶ ἐστὶν ἄγνοια γνῶσιν ἡμῖν μαρτυροῦσα.

«Οὐκ ἐκρύβη τὸ ὀστοῦν μου ἀπὸ σοῦ, ὃ ἐποίησας ἐν κρυφῇ, καὶ ἡ ὑπόστασίς μου ἐν τοῖς κατωτάτοις τῆς γῆς». Πάλιν περὶ τῆς γνώσεως αὐτοῦ διαλέγεται, καὶ ταῦτα πάντα εἰδέναι δείκνυσιν αὐτόν. Ἢ οὖν πάντα αὐτοῦ τὰ ἀπόρρητα λέγει, ἢ ἕτερόν τι αἰνίττεται, τὴν δημιουργίαν, καὶ τὴν διάπλασιν· καὶ ὅτι οὐδὲ πλαττομένου τι ἠγνόησας, ἀλλὰ πάντα ἠπίστασο κατὰ μικρὸν τῆς φύσεως ὑφαινούσης, καίτοι ἐν ἀπορρήτῳ αὐτῆς ἐργαζομένης, καὶ ὡς ἐν κατωτάτοις τῆς γῆς, ἀλλ' ὅμως σοι, φησί, πάντα γυμνὰ καὶ τετραχηλισμένα. Ἕτερος δὲ ἑρμηνευτὴς οὕτως εἶπεν· «Οὐκ ἐπεκαλύφθη τὰ ὀστᾶ μου ἀπὸ σοῦ, οἷς ἐποιήθην ἐν ἀποκρύφῳ». Ἕτερος, «Οὐκ ἔλαθέ σε ἡ κραταίωσίς μου, ἣν ἐποιήθην ἐν τῷ κρυπτῷ· ἐποικίλθην ὡς ἐν τοῖς κατωτάτοις τῆς γῆς». Ἄλλος, «Οὐκ ἔλαβέ σε ἡ δύναμίς μου, ἢ τὰ ὀστᾶ μου ἀπὸ σοῦ, ὅτι καὶ ἐποιήθην ἐν κρυφῇ, ἐξεικονίσθην ἐν τοῖς κατωτάτοις τῆς γῆς». Πάντες μὲν οὖν τὰ αὐτὰ λέγουσιν, ὅτι ἀκριβῶς καὶ πλαττόμενόν

κατάπληξη ἡ γνώση σου γιὰ μένα, εἶναι πολὺ ἰσχυρὴ καὶ δὲν μπορῶ νἄ τὴν κατανοήσω»; Ἁπλούστατα, διότι ἐκεῖνο μὲν λέχθηκε γιὰ τὸ Θεό, αὐτὸ δὲ γιὰ τὰ ἔργα του. Ἂν δὲ αὐτὸ λέχθηκε καὶ γιὰ τὸν Θεό, ἐκεῖνο θὰ μπορούσαμε νὰ ποῦμε, ὅτι γνωρίζει, ὅτι εἶναι θαυμαστός, ὅτι εἶναι μέγας, ὅτι εἶναι ὑψηλός, ἀλλ' ὅμως ποιὰ εἶναι ἡ οὐσία του (διότι πάλι τὰ ἴδια θὰ πῶ), ποιὰ ἡ μεγαλωσύνη του, καὶ ποιὰ ἡ μορφὴ τῶν ἀναφερθέντων, δὲν τὸ γνωρίζει· ἡ ἄγνοια ὅμως αὐτὴ εἶναι ἀπόδειξη γνώσεως, ἂν καὶ εἶναι ἄξιο ἀπορίας αὐτὸ ποὺ λέχθηκε. Διότι καὶ τὴ θάλασσα δὲν γνωρίζουμε πόσο εἶναι τὸ μέγεθός της, καὶ ὅμως γι' αὐτὸ κατ' ἐξοχὴ γνωρίζουμε τὴ θάλασσα, ἐπειδὴ δὲν γνωρίζουμε τὸ μέγεθός της. Ἂν ὅμως κάποιος λέγει ὅτι γνωρίζει τὴν ποσότητα αὐτῆς, αὐτὸς πρὸ πάντων εἶναι ἐκεῖνος ποὺ ἀγνοεῖ αὐτήν. Ὥστε ὑπάρχει ὁμολογία γνώσεως ποὺ φανερώνει ἄγνοια, καὶ ὑπάρχει ἄγνοια ποὺ μᾶς ἐπιβεβαιώνει τὴ γνώση.

«Δὲν ἔμειναν κρυφὰ ἀπὸ σένα τὰ ὀστᾶ μου, ὅταν τὰ δημιούργησες κατὰ τρόπο ἀφανή, οὔτε ἡ ὅλη ὕπαρξή μου ἔμεινε ἀφανὴς σὰν νὰ ἦταν κρυμμένη μέσα στὰ βάθη τῆς γῆς». Πάλι γιὰ τὴ γνώση αὐτοῦ ὁμιλεῖ καὶ δείχνει ὅτι αὐτὸς τὰ γνωρίζει ὅλα αὐτά. Ἢ λοιπὸν ἐννοεῖ ὅλα τὰ ἀπόρρητα αὐτοῦ, ἢ ὑπαινίσσεται κάτι ἄλλο, τὴ δημιουργία, καὶ τὴ διάπλαση αὐτοῦ· καὶ ὅτι δὲν ὑπάρχει τίποτε ποὺ δὲν τὸ γνώριζες ὅταν μὲ δημιουργοῦσες, ἀλλ' ὅλα τἄ γνώριζες κατὰ τὸ χρόνο ποὺ σιγὰ-σιγὰ ὑφαινόταν ἡ φύση μου, ἂν καὶ βέβαια αὐτὴ ἐπιτελοῦσε τὸ ἔργο της κατὰ τρόπο μυστικὸ καὶ σὰν νὰ συνέβαινε αὐτὸ μέσα στὴ βάθη τῆς γῆς· ἀλλ' ὅμως, λέγει, γιὰ σένα ὅλα εἶναι γυμνὰ καὶ φανερά. Ἄλλος δὲ ἑρμηνευτὴς ὡς ἑξῆς ἑρμήνευσε· «Δὲν ἔμειναν κρυμμένα τὰ ὀστᾶ μου ἀπὸ σένα, μὲ τὰ ὁποῖα δημιουργήθηκες κατὰ τρόπο κρυφό». Ἄλλος, «Ἡ ὅλη διάπλασή μου, ποὺ ἔγινε κατὰ τρόπο κρυφό, δὲν διέφυγε τὴν προσοχή σου· διαμορφώθηκα σὰν νἄ βρισκόμουν μέσα στὰ βάθη τῆς γῆς». Ἄλλος, «Δὲν διέφυγε τὴν προσοχή σου ἡ δύναμή μου ἢ ἡ διάπλαση τῶν ὀστῶν μου, ἂν καὶ διαπλάσθηκα κατὰ τρόπο κρυφὸ καὶ διαμορφώθηκα σὰν μέσα στὰ βάθη τῆς γῆς». Ὅλοι λοιπὸν τὰ ἴδια

με ἐπίστασαι κατὰ μέρος, καὶ μέχρι τῶν μελῶν ἕκαστον οἶδας, καὶ τῆς αὐξήσεως. Ὥσπερ καὶ ὁ Χριστὸς λέγει· «Ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς ἠριθμημέναι εἰσίν». Ὁμοῦ δὲ καὶ περὶ προνοίας καὶ γνώσεως ἐμφαίνων ὁ λόγος ἐστί.

«Τὸ ἀκατέργαστόν μου εἶδον οἱ ὀφθαλμοί σου». Ἢ τὸ αὐτὸ πάλιν φησίν, ὅτι καὶ ἀμόρφωτόν με ᾔδεις, καὶ γὰρ ἕτερος οὕτως εἶπεν, «Ἀμόρφωτόν με εἶδον οἱ ὀφθαλμοί σου», ἢ ἐπὶ τῶν πράξεων αὐτῶν, ὅτι καὶ τὸ μηδέπω πραχθὲν εἶδον οἱ ὀφθαλμοί σου. «Καὶ ἐπὶ τὸ βιβλίον σου πάντες γραφήσονται. Ἡμέρας πλασθήσονται, καὶ οὐθεὶς ἐν αὐτοῖς». Ἀσαφὲς τὸ εἰρημένον, ἀλλὰ δεῖ ἐκ τῆς ἀκολουθίας καὶ τοῦ ἑτέρου ἑρμηνέως αὐτὸ θηρεῦσαι. Ὃ γὰρ λέγει, τοιοῦτόν ἐστι, συμφωνοῦν τῷ προτέρῳ. Τί δὲ ἦν τὸ πρότερον; «Ἀμόρφωτόν με εἶδον οἱ ὀφθαλμοί σου»· τουτέστι, μηδέπω λαβόντα τύπον, ἔτι πλαττόμενον, ἔτι ὑφαινόμενον, καὶ οὕτω με εἶδον σαφῶς, ὡς ἐκεῖνον τὸν μεμορφωμένον, ὡς ἐκεῖνον τὸν τετυπωμένον, ὡς ἐκεῖνον τὸν πεπληρωμένον, καὶ οὐδεμιᾶς ἡμέρας ἔτι δεόμενον πρὸς τὴν ἀπάρτισιν. Καὶ ἵνα μάθῃς ὅτι τοῦτό ἐστιν, ἄκουσον τῆς ἑρμηνείας τοῦ ἑτέρου· «Ἀμόρφωτόν με προεῖδον οἱ ὀφθαλμοί σου, σὺν τοῖς ἐν τῇ βίβλῳ σου πᾶσι γεγραμμένοις, ἡμέρας πλασσομένοις, οὐκ ἐνδεούσης οὐδεμιᾶς». Σὺν ἐκείνοις με εἶδες, φησίν, ὁμοίως ἐκείνοις με εἶδες, τοῖς πλασσομένοις ἐν ταῖς ἡμέραις αὐτῶν, ἡμέραις, αἷς οὐκ ἐνέδει οὐδεμία ἡμέρα. Ταῦτα δὲ λέγει, οὐχ ὡς βιβλίου ὄντος ἄνω, οὐδὲ ὡς ἐγγραφομένων τινῶν, ἀλλὰ τὴν ἀκριβῆ γνῶσιν διὰ τοῦ βιβλίου σημαίνων, ὥσπερ ὅταν φησίν· «Ἤκουσε Κύριος, καὶ ἔγραψεν ἐν βίβλῳ». Καὶ πάλιν, «Βίβλοι ἀνεῴχθησαν».

«Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου, ὁ Θεός». Ἄλλος,

---

16. Λουκᾶ 12, 7.
17. Μαλ. 3, 16.
18. Δαν. 7, 10.

λέγουν, ὅτι δηλαδὴ γνωρίζεις μὲ λεπτομέρεια τὴ διάπλασή μου, καὶ γνωρίζεις ἀκόμα καὶ τὸ κάθε μέλος μου καὶ τὴν αὔξησή του. Αὐτὸ ἀκριβῶς βέβαια λέγει καὶ ὁ Χριστός· «Ἀκόμα δὲ καὶ οἱ τρίχες τῆς κεφαλῆς σας εἶναι ἀριθμημένες»[16]. Τὰ λόγια αὐτὰ δὲ ὁμιλοῦν καὶ γιὰ τὴν πρόνοια καὶ τὴ γνώση τοῦ Θεοῦ.

«Τὴν ἀκατέργαστη μορφή μου τὴν εἶδαν οἱ ὀφθαλμοί σου». Ἢ πάλι ἐννοεῖ τὸ ἴδιο, ὅτι δηλαδὴ καὶ ἀδιαμόρφωτο μὲ γνώριζες, καθόσον ἄλλος ἑρμηνευτὴς ὡς ἑξῆς ἑρμήνευσε, «Ἀδιαμόρφωτο μὲ εἶδαν οἱ ὀφθαλμοί σου», ἢ ἐννοεῖ τὶς πράξεις του, διότι γνωρίζουν οἱ ὀφθαλμοί σου καὶ ἐκεῖνο ποὺ ἀκόμα δὲν διαπράχθηκε. «Καὶ ὅλοι εἶναι γραμμένοι στὸ βιβλίο σου. Μέρα μὲ τὴν ἡμέρα θὰ πλασθοῦν καὶ δὲν θὰ χρειασθεῖ κανένας ἀπ' αὐτοὺς τίποτε παραπάνω». Εἶναι ἀσαφὴ τὰ λόγια αὐτά, ἀλλὰ πρέπει νὰ προσπαθήσουμε νὰ συλλάβουμε τὸ νόημα αὐτῶν καὶ ἀπὸ ὅσα λέγει ὁ ἄλλος ἑρμηνευτής. Αὐτὸ ποὺ λέγει δηλαδὴ σημαίνει κάτι ποὺ εἶναι σύμφωνο μὲ τὸ προηγούμενο. Ποιὸ δὲ ἦταν τὸ προηγούμενο; «Ἀδιαμόρφωτο μὲ εἶδαν οἱ ὀφθαλμοί σου»· δηλαδή, προτοῦ ἀκόμα λάβω μορφή, ὅταν ἀκόμα γινόταν ἡ διάπλασή μου, ὅταν ἀκόμη διαμορφωνόμουν, καὶ μὲ τόση σαφήνεια μὲ εἶδαν οἱ ὀφθαλμοί σου, ὅπως ἀκριβῶς ἐκεῖνον ποὺ ἔχει ὁλοκληρωθεῖ ἡ μορφή του καὶ δὲν χρειάζεται οὔτε μιὰ ἡμέρα γιὰ τὴν ἀποπεράτωσή του. Καὶ γιὰ νὰ μάθεις ὅτι αὐτὸ ἐννοεῖ, ἄκουσε τὴν ἑρμηνεία τοῦ ἄλλου· «Ἀδιαμόρφωτο μὲ εἶδαν οἱ ὀφθαλμοί σου ἀπὸ πρίν, μαζὶ μὲ ὅλους ἐκείνους ποὺ εἶναι γραμμένοι στὸ βιβλίο σου, ποὺ ἔχουν διαπλασθεῖ καὶ δὲν χρειάζονται καμιὰ ἐπὶ πλέον ἡμέρα». Μαζὶ μὲ ἐκείνους μὲ εἶδες, λέγει, κατὰ τὸ ἴδιο τρόπο μὲ ἐκείνους μὲ εἶδες, ποὺ διαπλάσσονται κατὰ τὶς ἡμέρες αὐτῶν, κατὰ τὶς ἡμέρες ἀπὸ τὶς ὁποῖες δὲν λείπει οὔτε μιὰ ἡμέρα. Αὐτὰ δὲ τὰ λέγει, ὄχι διότι ὑπάρχει βιβλίο στὸν οὐρανό, οὔτε διότι ὑπάρχουν μερικοὶ γραμμένοι σ' αὐτό, ἀλλὰ γιὰ νὰ δείξει μὲ τὸ βιβλίο τὴν ἀκριβὴ γνώση, ὅπως ἀκριβῶς ὅταν λέγει· «Ἄκουσε ὁ Κύριος καὶ ἔγραψε στὸ βιβλίο»[17]. Καὶ πάλι, «Βιβλία ἀνοίχθηκαν»[18].

«Ἀπὸ ἐμένα δὲ τιμήθηκαν πάρα πολὺ οἱ φίλοι σου, Θεέ

«Τίμιοι ἐγένοντο οἱ ἑταῖροί σου». Οὐ μικρὰ καὶ τοῦτο ἀρετή, τὸ τοὺς τοῦ Θεοῦ φίλους διὰ πολλῆς ἄγειν τιμῆς. Προενόησάς μου, φησίν, οὐκ ὄντα παρήγαγες, διακρατεῖς, καὶ ἐγὼ ταύτην δίδωμι τὴν ἀμοιβήν, τοὺς φίλους σου τιμῶν. «Λίαν ἐκραταιώθησαν αἱ ἀρχαὶ αὐτῶν». Τουτέστιν, αὐτοὶ ἐκραταιώθησαν. Ἄλλος φησί, «Τί παμπληθεῖς αἱ κεφαλαί αὐτῶν;». Ὅπερ καὶ σαφέστερον· ἐπάγει γάρ· «Ἐξαριθμήσομαι αὐτούς, καὶ ὑπὲρ ἄμμον πληθυνθήσονται». Ἐγὼ μὲν αὐτοὺς τιμῶ, σὺ δὲ πολλοὺς ποιεῖς, καὶ ψάμμου πλείους· οὐ μόνον δὲ πολλούς, ἀλλὰ καὶ ἰσχυρούς. Τὸ γὰρ «Ἐκραταιώθησαν», τοῦτό ἐστι. Καὶ διπλῆν λέγει τὴν εὐημερίαν, τήν τε εἰς πλῆθος, τήν τε εἰς ἰσχύος ἐπίδοσιν. «Ἐξηγέρθην, καὶ ἔτι εἰμὶ μετὰ σοῦ». Ἄλλος, «Ἐξυπνώσω, καὶ εἰς ἀεὶ ἔσομαι παρὰ σοί». Οὐ μικρὸν τοῦτο ἀρετῆς σημεῖον, τὸ ἐν εὐημερίᾳ μένειν τὴν ἀρετὴν διατηροῦντα. Πολλοὶ γοῦν ἀπολαύσαντες εὐπραγίας, ἐπελάθοντο. Ἀλλ' οὐκ ἐγώ, φησίν, ἀλλὰ καὶ ἀναστάς, τουτέστιν, ἀπαλλαγεὶς τῶν δεινῶν, ἀεὶ μετὰ σοῦ ἔσομαι.

5. «Ἐὰν ἀποκτείνῃς ἁμαρτωλούς, ὁ Θεός». Οὐ τοῦτό φησιν, ὅτι ἐὰν ἀποκτείνῃς, τότε ἔσομαι, ἀλλ' ἐκεῖνο μὲν καὶ χωρὶς τούτου ἐπήγγελται· αἰτεῖ δὲ τοῦτο γενέσθαι, οὐχ ἵνα ἀφανίσῃ τὴν οὐσίαν τὴν τῶν ἀνθρώπων, ἀλλ' ἵνα μεταβάλῃ αὐτοὺς ἐκ τῆς ἁμαρτίας ἐπὶ δικαιοσύνην. Οὐ γὰρ εἶπεν, 'ἐὰν ἀποκτείνῃς ἀνθρώπους', ἀλλά, «Ἁμαρτωλούς». Ἕτερος δὲ ἀντὶ τοῦ «Ἁμαρτωλούς», «Παραβάτην» εἶπε, περὶ τῶν πολεμίων λέγων τῶν εἴδωλα προσκυνούντων. «Ἄνδρες αἱμάτων, ἐκκλίνατε ἀπ' ἐμοῦ». Αἱμάτων ἄνδρας τοὺς φονικούς φησι, τοὺς σφαγαῖς χαίροντας. Οὐ μικρὰ δὲ καὶ αὕτη πρὸς ἐπίδοσιν ἀρετῆς ἡ ὁδός, τὸ φεύγειν καὶ ἀποπηδᾶν τὰς τῶν τοιούτων συνουσίας. Εἶτα καὶ ἡ αἰτία·

μου». Ἄλλος, «Ἔτυχαν μεγάλης ἐκτιμήσεως οἱ φίλοι σου». Δὲν εἶναι καὶ αὐτὸ μικρὴ ἀρετή, τὸ ν' ἀπολαμβάνουν μεγάλης ἐκτιμήσεως οἱ φίλοι τοῦ Θεοῦ. Προνόησες, λέγει, γιὰ μένα, μὲ ἔφερες στὴ ζωὴ ἀπὸ τὴν ἀνυπαρξία, μὲ κρατεῖς στὴ ζωή, καὶ ἐγὼ σοῦ ἀνταποδίδω αὐτὴ τὴν ἀμοιβή, τιμώντας τοὺς φίλους σου. «Κατέστη πάρα πολὺ ἰσχυρὴ ἡ δύναμη αὐτῶν». Δηλαδὴ αὐτοὶ ἔγιναν πολὺ ἰσχυροί. Ἄλλος λέγει, «Πόσο μεγάλο εἶναι τὸ πλῆθος τῶν κεφαλῶν αὐτῶν;», πράγμα ποὺ εἶναι σαφέστερο· διότι προσθέτει· «Θέλω νὰ τοὺς μετρήσω, ἀλλὰ πληθύνθηκαν περισσότερο καὶ ἀπὸ τὴν ἄμμο». Ἐγὼ μὲν τιμῶ αὐτούς, σὺ ὅμως πληθαίνεις αὐτοὺς καὶ τοὺς κάμνεις περισσότερους ἀπὸ τὴν ἄμμο· ὄχι δὲ μόνο πολλοὺς τοὺς κάμνεις, ἀλλὰ καὶ ἰσχυρούς. Διότι τό, «Ἐκραταιώθησαν», αὐτὸ σημαίνει. Καὶ παρουσιάζει διπλὴ τὴν εὐημερία, καὶ τὴν αὔξηση σὲ πλῆθος καὶ τὴν ἐπίδοση σὲ δύναμη. «Σηκώνομαι τὸ πρωῒ καὶ πάλι εἶμαι ἀκόμη μαζί σου». Ἄλλος, «Θὰ ξυπνήσω καὶ θὰ εἶμαι πάντα μαζί σου». Δὲν εἶναι αὐτὸ μικρὴ ἀπόδειξη ἀρετῆς τὸ νὰ ζεῖ μέσα στὴν εὐημερία καὶ νὰ διατηρεῖ τὴν ἀρετή. Πολλοὶ βέβαια ποὺ ἀπόλαυσαν εὐημερία, λησμόνησαν τὴν ἀρετή. Ὄχι ὅμως ἐγώ, λέγει, ἀλλὰ καὶ τώρα ποὺ σηκώθηκα, δηλαδὴ ποὺ ἀπαλλάχθηκα ἀπὸ τὰ δεινά, πάντοτε μαζί σου θὰ εἶμαι.

5. «Ἂν παραδώσεις στὸ θάνατο τοὺς ἁμαρτωλούς, Θεέ μου». Δὲν ἐννοεῖ αὐτό, ὅτι ἂν τοὺς παραδώσεις στὸ θάνατο, τότε θὰ εἶμαι μαζί σου, ἀλλ' ὑποσχέθηκε νὰ εἶναι μαζί του καὶ χωρὶς αὐτό· ζητεῖ δὲ νὰ γίνει αὐτό, ὄχι γιὰ νὰ ἐξαφανίσει τὴν ἀνθρώπινη φύση, ἀλλὰ γιὰ νὰ μεταβάλει αὐτοὺς ἀπὸ τὴν ἁμαρτία πρὸς τὴν ἀρετή. Διότι δὲν εἶπε, 'ἂν φονεύσεις ἀνθρώπους', ἀλλὰ «ἁμαρτωλούς». Ἄλλος δὲ ἀντὶ τοῦ «Ἁμαρτωλούς», ἑρμήνευσε, «Παραβάτη», ἐννοώντας τοὺς ἐχθροὺς ποὺ προσκυνοῦν τὰ εἴδωλα. «Ἄνθρωποι αἱμοβόροι φύγετε ἀπὸ κοντά μου». Ἀνθρώπους αἱμάτων ὀνομάζει τοὺς φονιάδες, ποὺ χαίρονται μὲ τὶς σφαγές. Δὲν εἶναι μικρὴ καὶ αὐτὴ ἡ ὁδὸς πρὸς τὴν ἄσκηση τῆς ἀρετῆς, τὸ ν' ἀποφεύγει καὶ νὰ ἀπομακρύνεται ἀπὸ τὶς συναναστροφὲς παρόμοιων ἀνθρώπων. Ἔπειτα καὶ ἡ αἰτία·

«Ὅτι ἐρισταί ἐστε εἰς διαλογισμούς». Ἄλλος, «Οἵτινες ἀντελάλησάν σοι διαλογισμόν». Ἄλλος, «Ὅτι παρεπίκρανάν σε ἐν κακοβουλίᾳ».

Ὅρα μὴ τὰ ἑαυτοῦ ζητοῦντα, ἀλλὰ διὰ τὴν εἰς τὸν Θεὸν ὕβριν ἀποπηδῶντα, καὶ φεύγοντα τὴν πρὸς ἐκείνους συνουσίαν. Καὶ γὰρ καὶ τοῦτο τῆς ἀπωλείας τοῖς Ἰουδαίοις αἴτιον γέγονε, τὸ τοῖς πονηροῖς ἀναμίγνυσθαι. Διὰ τοῦτο καὶ νόμον ἐλάμβανον, καὶ νόμῳ διετειχίζοντο ἀπ' αὐτῶν, καὶ τὰς πρὸς αὐτοὺς ἐπιγαμίας φεύγειν ἐκελεύοντο, καὶ ἀπὸ τῆς Αἰγύπτου τότε ἐξελθόντες, ἐπὶ τῆς ἐρήμου τεσσαράκοντα ἔτη καθ' ἑαυτοὺς ἐπλάττοντο. Διὰ τοῦτο καὶ φραγμὸς ὁ νόμος ἐλέγετο, ἅτε πανταχόθεν αὐτοῖς περικείμενος, καὶ τὰς πρὸς τοὺς πονηροὺς ἀναστέλλων συνουσίας· εὐεξαπάτητον γὰρ αὐτῶν τὸ ἦθος, εὐάλωτον καὶ εὐπερίτρεπτον.

«Λήψονται εἰς ματαιότητας τὰς πόλεις σου». Ἕτερος, «Ἐπήρθησαν ματαίως ἀντίζηλοί σου». Ἄλλος, «Οἱ ἐχθροί σου». Διὰ τοῦτο φεύγει καὶ ἀποπηδᾷ, ὅτι ἐπήρθησαν κατὰ τῆς τοῦ Θεοῦ δόξης, ὅτι παρηνόμουν, ὅτι βλάσφημα ἐφθέγγοντο ῥήματα. «Οὐχὶ τοὺς μισοῦντάς σε, Κύριε, ἐμίσησα, καὶ ἐπὶ τοῖς ἐχθροῖς σου ἐξετηκόμην; Τέλειον μῖσος ἐμίσουν αὐτούς· εἰς ἐχθροὺς ἐγένοντό μοι». Οὕτω καὶ ὁ Θεὸς ἐπηγγείλατο, ἐχθραίνειν τοῖς ἐχθροῖς, καὶ ἀντικεῖσθαι τοῖς ἀντικειμένοις αὐτοῖς. Ταῦτα γὰρ μάλιστα φιλίας τεκμήρια. Καὶ αὐτὸς τοίνυν ἀμείβεται τὸν Θεὸν δι' ἑκατέρων. Ἀνωτέρω μὲν γὰρ ἔφη, «Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου, ὁ Θεός», ἐνταῦθα δέ, «τοὺς μισοῦντάς σε ἐμίσησα»· κἀκεῖ μεθ' ὑπερβολῆς, καὶ ἐνταῦθα μεθ' ὑπερβολῆς. Οὐ γάρ, «Ἐμίσησα», φησὶ μόνον, ἀλλὰ καί, «Ἐξετηκόμην».

«Δοκίμασόν με, ὁ Θεός, καὶ γνῶθι τὴν καρδίαν μου. Ἔτασόν με, καὶ γνῶθι τὰς τρίβους μου, καὶ ἴδε εἰ ὁδὸς ἀνομίας ἐν ἐμοί, καὶ ὁδήγησόν με ἐν ὁδῷ αἰωνίᾳ». Καίτοι γε ἀρχόμενος ἔλεγεν·

«Διότι ἔχουν διαρκῶς στὴ σκέψη τους φιλονεικίες». Ἄλλος, «Οἱ ὁποῖοι πρόβαλαν ἀντιρρήσεις πρὸς ἐσένα». Ἄλλος, «Διότι σὲ παραπίκραναν μὲ τὶς κακοβουλίες τους».

Πρόσεχε ποὺ δὲν ζητεῖ πράγματα γιὰ τὸν ἑαυτό του, ἀλλ' ἐξ αἰτίας τῆς προσβολῆς πρὸς τὸ Θεὸ ἀποστρέφεται καὶ ἀποφεύγει τὴ συναναστροφὴ μὲ ἐκείνους. Καθόσον καὶ αὐτὸ ἔγινε αἰτία τῆς καταστροφῆς τῶν Ἰουδαίων, τὸ ὅτι δηλαδὴ συναναστρέφονταν τοὺς κακούς. Γι' αὐτὸ καὶ νόμο ἐλάμβαναν καὶ μὲ νόμο περιφρορούνταν ἀπὸ αὐτούς, καὶ ἔπαιρναν ἐντολὴ νὰ ἀποφεύγουν τοὺς γάμους μὲ αὐτούς, καί, ἀφοῦ ἐξῆλθαν τότε ἀπὸ τὴν Αἴγυπτο, ἐπὶ σαράντα χρόνια διαπαιδαγωγοῦνταν μόνοι τους μέσα στὴν ἔρημο. Γι' αὐτὸ καὶ ὁ νόμος ὀνομαζόταν φραγμός, ἐπειδὴ περιέβαλλε αὐτοὺς ἀπὸ παντοῦ καὶ ἐμπόδιζε τὶς συναναστροφὲς αὐτῶν πρὸς τοὺς κακούς· διότι ὁ χαρακτήρας τους ἦταν εὐερέθιστος, εὐάλωτος καὶ εὐκολομετάβλητος.

«Μάταια θὰ καταλάβουν τὶς πόλεις σου». Ἄλλος, «Ὑπερηφανεύθηκαν μάταια οἱ ἀντίζηλοί σου». Ἄλλος, «Οἱ ἐχθροί σου». Γι' αὐτὸ τοὺς ἀποφεύγει καὶ τοὺς ἀποστρέφεται, διότι περιφρόνησαν τὴ δόξα τοῦ Θεοῦ, διότι παρανομοῦσαν, διότι ἔλεγαν βλάσφημα λόγια. «Δὲν μίσησα, Κύριε, ἐκείνους ποὺ σὲ μισοῦν, καὶ δὲν ἔλειωνα ἐξ αἰτίας τῆς συμπεριφορᾶς τῶν ἐχθρῶν σου; Μὲ μεγάλο μίσος τοὺς μισοῦσα καὶ ἔτσι ἔγιναν ἐχθροί μου». Αὐτὴ τὴν ἐντολὴ ἔδωσε καὶ ὁ Θεός, νὰ φέρεται κανεὶς ἐχθρικὰ πρὸς τοὺς ἐχθροὺς καὶ νὰ ἀντιτίθεται πρὸς ἐκείνους ποὺ ἀντιτίθενται πρὸς αὐτόν. Διότι αὐτὰ πρὸ πάντων εἶναι δείγματα φιλίας. Καὶ αὐτὸς λοιπὸν ἀνταμείβει τὸ Θεὸ καὶ μὲ τὰ δύο. Διότι προηγουμένως μὲν εἶπε, «Ἀπὸ ἐμένα πάρα πολὺ τιμήθηκαν οἱ φίλοι σου, Θεέ μου», ἐδῶ δέ, «Μίσησα ἐκείνους ποὺ σὲ μισοῦν»· καὶ ἐκεῖ μὲ ὑπερβολὴ τοὺς ἀγάπησε καὶ ἐδῶ μὲ ὑπερβολὴ τοὺς μίσησε. Διότι δὲν λέγει μόνο, «Τοὺς μίσησα», ἀλλὰ καὶ «Ἔλειωνα ἀπὸ τὸ μίσος μου».

«Δοκίμασέ με, Θεέ μου, καὶ ἐρεύνησε τὴν καρδιά μου. Ἐξέτασέ με καὶ γνώρισε τοὺς δρόμους μου, καὶ κοίταξε ἂν ὑπάρχει κάποια παρανομία στὸν τρόπο ζωῆς μου καὶ ὁδήγησέ

«Ἐδοκίμασάς με, καὶ ἔγνως με. Σὺ ἔγνως τὴν καθέδραν μου, καὶ τὴν ἔγερσίν μου. Σὺ συνῆκας τοὺς διαλογισμούς μου ἀπὸ μακρόθεν· τὴν τρίβον μου καὶ τὴν σχοῖνόν μου ἐξιχνίασας. Καὶ πάσας τὰς ὁδούς μου προεῖδες. Σὺ ἔγνως πάντα τὰ ἔσχατα καὶ τὰ ἀρχαῖα». Πῶς οὖν ἐνταῦθα πάλιν, ὡς μήπω δοκιμασθείς, «Δοκίμασόν με», λέγει; Ὁρᾷς ὅτι ἀνθρωπίναις κέχρηται λέξεσιν, οὐχ ἵνα τῇ εὐτελείᾳ παραμένωμεν, ἀλλ' ἵνα διὰ πάντων συναγαγόντες τὴν θεοπρεπῆ ἔννοιαν εἰς ὑψηλὰ ἀναβῶμεν νοήματα. Δοκιμασθῆναι γὰρ καὶ ἐτασθῆναι αἰτεῖ, οὐχ ἵνα γνῷ τὴν καρδίαν αὐτοῦ ὁ πρὸ τούτου εἰδὼς πάντα, καὶ πρὸ γενέσεως, ἀλλ' ἵνα γνῶμεν ἡμεῖς οἱ ἀπὸ τῆς ἐκβάσεως τῶν πραγμάτων μανθάνοντες. Τὸ γὰρ «Δοκίμασόν με», ἐνταῦθα τοῦτό ἐστι.

«Καὶ ἴδε εἰ ὁδὸς ἀνομίας ἐν ἐμοί, καὶ ὁδήγησόν με ἐν ὁδῷ αἰωνίᾳ». Ποία δέ ἐστιν αἰωνία ὁδός, ἀλλ' ἢ ἡ πνευματική, καὶ πρὸς οὐρανὸν ἀνάγουσα, καὶ ἧς τὸ τέλος οὐκ ἔνι; Ὡς τά γε ἄλλα πάντα ἐπίκηρα γέγονε, καὶ τῷ παρόντι συγκαταλύεται βίῳ. Διὸ δὴ πάντα παραδραμὼν ἐκείνην ζητεῖ, τὴν ἀθάνατον, τὴν ἀπέραντον, τὴν εἰς τέλος οὐκ ἀπαντῶσαν. Πῶς δ' ἄν τις ὁδηγηθείη πρὸς ἐκείνην; Τῆς παρὰ τοῦ Θεοῦ ῥοπῆς ἀπολαύων, καὶ τὰ παρ' ἑαυτοῦ συνεισφέρων, ἀρετὴν μετιών, φιλοσοφίας ἐπειλημμένος, ὑψηλότερος τῶν βιωτικῶν γινόμενος. Τὰ γὰρ ἐκ τῆς ὁδοῦ ἐκείνης οὐκ ἔστιν ἐφήμερα, οὐδὲ πρόσκαιρα. Τοιοῦτον γὰρ ἡ ἀρετή· διηνεκεῖς ἔχει τοὺς καρποὺς ἀνθοῦντας, καὶ μηδέποτε μαραινομένους, καὶ τὰ ἀγαθὰ ἀθάνατα, καὶ ἀκήρατα, καὶ ἀτελεύτητα· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

με στὴν αἰώνια ζωή». Μολονότι βέβαια ἀρχίζοντας τὸν ψαλμὸ ἔλεγε· «Μὲ δοκίμασες καὶ μὲ γνώρισες. Σὺ γνώρισες πολὺ καλὰ τὴν καθέδρα καὶ τὴν ἔγερσή μου. Σὺ κατανοεῖς τὶς σκέψεις μου ἀπὸ μακριά· τὸν δρόμο μου καὶ ὁλόκληρο τὸ μῆκος τῆς ζωῆς μου τὰ ἐξερεύνησες καὶ προεῖδες ὅλους τοὺς δρόμους τῆς ζωῆς μου. Σὺ γνώρισες ὅλα καὶ τὰ πρόσφατα καὶ τὰ παλιά». Πῶς λοιπὸν ἐδῶ πάλι λέγει, «Δοκίμασέ με», σὰν νὰ μὴ δοκιμάσθηκε ἀκόμα; Βλέπεις ὅτι χρησιμοποιεῖ ἀνθρώπινες λέξεις, ὄχι γιὰ νὰ διαμένουμε στὴν εὐτέλεια, ἀλλ', ἀφοῦ μὲ ὅλα σχηματίσουμε θεοπρεπὴ ἔννοια, νὰ ἀνεβοῦμε σὲ ψηλὰ νοήματα. Διότι ζητεῖ νὰ δοκιμασθεῖ καὶ νὰ ἐρευνηθεῖ ἡ καρδιά του, ὄχι γιὰ νὰ γνωρίσει τὴν καρδιά του αὐτὸς ποὺ ὅλα τὰ γνωρίζει πρὶν ἀπὸ αὐτὸ καὶ πρὶν ἀπὸ τὴ δημιουργία τους, ἀλλὰ γιὰ νὰ γνωρίσουμε ἐμεῖς ποὺ τὰ μαθαίνουμε ἀπὸ τὴν ἔκβαση αὐτὴ ποὺ εἶχαν τὰ πράγματα. Διότι τὸ «Δοκίμασέ με», αὐτὸ σημαίνει.

«Καὶ πρόσεξε ἂν ὑπάρχει σ' ἐμένα ὁδὸς παρανομίας καὶ ὁδήγησέ με στὴν αἰώνια ὁδό». Ποιὰ εἶναι ἡ αἰώνια ὁδός, παρὰ ἡ πνευματική, ποὺ ὁδηγεῖ πρὸς τὸν οὐρανὸ καὶ τῆς ὁποίας τὸ τέλος δὲν ὑπάρχει; Διότι βέβαια ὅλα τὰ ἄλλα εἶναι πρόσκαιρα καὶ ἐξαφανίζονται μαζί μὲ τὴν παρούσα ζωή. Γι' αὐτὸ λοιπὸν παραμερίζοντας ὅλα, ἐκείνη ζητεῖ, τὴν ἀθάνατη, τὴν ἀπέραντη, ποὺ δὲν ἔχει τέλος. Πῶς δὲ θὰ μποροῦσε κάποιος νὰ ὁδηγηθεῖ πρὸς ἐκείνη τὴν ὁδό; Ἀπολαμβάνοντας τὴν ἐκ μέρους τοῦ Θεοῦ βοήθεια καὶ συνεισφέροντας αὐτὰ ποὺ ἐξαρτῶνται ἀπ' αὐτόν, ἀσκώντας τὴν ἀρετή, φροντίζοντας γιὰ τὸν εὐσεβὴ τρόπο ζωῆς, καὶ ἀνεβαίνοντας ψηλότερα ἀπὸ τὶς κοσμικὲς φροντίδες. Καθόσον τὰ ὅσα προέρχονται ἀπὸ τὴν ὁδὸ ἐκείνη δὲν εἶναι ἐφήμερα, οὔτε πρόσκαιρα. Διότι τέτοια εἶναι ἡ ἀρετή· ἔχει τοὺς καρποὺς πάντοτε ἀκμαίους καὶ ποὺ ποτὲ δὲν μαραίνονται, καθὼς καὶ τὰ ἀγαθὰ ἀθάνατα, ἀμόλυντα, καὶ αἰώνια, τὰ ὁποία μακάρι νὰ ἐπιτύχουμε ὅλοι μας, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟΝ ΡΛΘ' ΨΑΛΜΟΝ.

«Ἐξελοῦ με, Κύριε, ἐξ ἀνθρώπου πονηροῦ· ἀπὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με».

1. Ποῦ νῦν εἰσιν οἱ λέγοντες, 'διὰ τί θηρία; διὰ τί σκορπίοι; διὰ τί ἔχεις;' Ἰδοὺ γὰρ εὕρηται ζῶον πλείονα κακίαν ἐπιδεικνύμενον, οὐ παρὰ τὴν φύσιν, ἀλλὰ παρὰ τὴν γνώμην, ὁ ἄνθρωπος. Διά τοι τοῦτο καὶ ὁ προφήτης παρεὶς πάντα ἐκεῖνα, ἀπὸ τούτου ἀξιοῖ ῥυσθῆναι. Τί οὖν, εἰπέ μοι, ἐπεὶ τοιοῦτος, οὐκ ἐχρῆν ἀνθρώπους γενέσθαι; Ἀλλ' ἐσχάτης ἀνοίας τοῦτο λέγειν· οὐδὲν γάρ ἐστι τὸ βλάπτον ἄνθρωπον, ἀλλ' ἢ ἡ ἁμαρτία μόνη· καὶ ταύτης ἀνῃρημένης, ἅπαντα ῥᾴδια, καὶ εὔκολα, καὶ γαληνά· ὥσπερ οὖν, ταύτης παρούσης, πάντα σκόπελοι, καὶ χειμῶνες, καὶ ναυάγια. Μηδεὶς δὲ ἡμῶν καταγινωσκέτω, εἰ θηρίου πονηρότερον ἄνθρωπον εἶναι τὸν ἐν κακίᾳ εἰρήκαμεν· τὸ μὲν γάρ, εἰ καὶ μὴ ἐν τῇ φύσει τὸ πρᾶον ἔχει, ἀλλ' ἀπατηθῆναι δύναται ῥᾳδίως, καὶ ὅπερ ἐστὶ φαίνεται, ὁ δὲ ἄνθρωπος μελετῶν τὴν πονηρίαν, καὶ πολλὰ τὰ προσωπεῖα περικείμενος, δυσφυλακτότερόν ἐστι θηρίου, δορὰν προβάτου πολλάκις προβαλλόμενος, καὶ ἔνδον τὸν λύκον ἀποκρύπτων. Διὸ καὶ ἀφυλάκτως πολλοὶ τοῖς τοιούτοις περιπίπτουσιν.

Ἐπεὶ οὖν δυσφώρατα τὰ τοιαῦτα θηρία, ἐπ' εὐχὴν ὁ προφή-

---

* Ψαλμὸς τοῦ Δαυίδ, ποὺ γράφτηκε κατὰ τοὺς χρόνους τῶν διωγμῶν τοῦ Σαοὺλ, ἢ τῆς ἀποστασίας τοῦ Ἀβεσσαλώμ. Διατυπώνονται τὰ παράπονά του γιὰ τὶς συκοφαντίες τῶν ἐχθρῶν του καὶ τὶς ἐπιβουλὲς καὶ παγίδες ποὺ τοῦ στή-

ΟΜΙΛΙΑ

ΣΤΟΝ ΡΛΘ′ ΨΑΛΜΟ*

«Σῶσε με, Κύριε, ἀπὸ ἄνθρωπο κακό, λύτρωσέ με ἀπὸ ἄνθρωπο ἄδικο».

1. Ποῦ λοιπὸν εἶναι ἐκεῖνοι ποὺ λέγουν, 'γιατί ὑπάρχουν τὰ θηρία; γιατί οἱ σκορπιοί; γιατί οἱ ἔχιδνες;' Διότι νὰ ἔχει βρεθεῖ ζῶο ποὺ παρουσιάζει μεγαλύτερη κακία, ὄχι ἀπὸ τὴ φύση του, ἀλλὰ ἀπὸ τὴ θέλησή του, ὁ ἄνθρωπος. Γι' αὐτὸ λοιπὸν καὶ ὁ προφήτης, ἀφοῦ παρέλειψε ὅλα ἐκεῖνα, ζητεῖ νὰ σωθεῖ ἀπὸ αὐτό. Τί λοιπόν, πές μου, ἐπειδὴ εἶναι τέτοιος, ἔπρεπε νὰ μὴ γίνουν οἱ ἄνθρωποι; 'Αλλ' αὐτὸ εἶναι δεῖγμα τῆς πιὸ φοβερῆς ἀνοησίας· διότι δὲν ὑπάρχει τίποτε ἄλλο ποὺ νὰ βλάπτει τὸν ἄνθρωπο, παρὰ μόνο ἡ ἁμαρτία, καὶ ὅταν αὐτὴ ἐξαφανισθεῖ ὅλα εἶναι εὔκολα, κατορθωτὰ καὶ ἤρεμα, ὅπως ἀκριβῶς πάλι ὅταν ὑπάρχει αὐτή, ὅλα εἶναι ἐμπόδια, δυσκολίες καὶ ναυάγια. Κανένας δὲ ἂς μὴ μὲ κατηγορεῖ, ποὺ εἶπα, ὅτι ὁ ἄνθρωπος ποὺ ζεῖ μέσα στὴν κακία, εἶναι πιὸ κακὸς ἀπὸ τὰ θηρία· διότι τὸ μὲν θηρίο, ἂν καὶ δὲν ἔχει στὴ φύση του τὴν πραότητα, ἀλλ' ὅμως εἶναι εὔκολο νὰ ἀπατηθεῖ καὶ φαίνεται αὐτὸ ποὺ εἶναι, ἐνῶ ὁ ἄνθρωπος, μελετώντας τὴν κακία καὶ χρησιμοποιώντας πολλὰ προσωπεῖα, εἶναι πιὸ δύσκολο νὰ προφυλαχθεῖ κάποιος ἀπὸ αὐτὸν παρὰ ἀπὸ τὸ θηρίο, παρουσιαζόμενος πολλὲς φορὲς μὲ δέρμα προβάτου, ἐνῶ ἐσωτερικὰ κρύβει τὸ λύκο. Γι' αὐτὸ καὶ πολλοὶ χωρὶς προφύλαξη πέφτουν σ' αὐτούς.

'Επειδὴ λοιπὸν τὰ θηρία αὐτοῦ τοῦ εἴδους εἶναι δύσκολο

νουν γιὰ νὰ τὸν ἐξοντώσουν. Γι' αὐτὸ ζητᾶ ἀπὸ τὸ Θεὸ νὰ τὸν προστατεύσει ἀπὸ ὅλα αὐτὰ καὶ νὰ τιμωρήσει αὐτούς, καὶ ἐπισφραγίζει ὅλα αὐτὰ μὲ τὴν ἀκλόνητη ἐλπίδα του στὴ δικαιοσύνη τοῦ Θεοῦ.

της τρέπεται, καὶ τὴν παρὰ τοῦ Θεοῦ καλεῖ ῥοπήν, ὥστε τῆς τοιαύτης ἀπαλλαγῆναι ἐπιβουλῆς. Τοῖς γὰρ τοιούτοις πολλάκις καὶ ὁ διάβολος ὑποδύεται, καὶ οὕτω βάλλει. Πολλὰ τοίνυν πανταχόθεν τὰ ἐπιβουλεύοντα. Καὶ γὰρ ἄνθρωπος πονηρὸς τοῦτο ποιεῖ, καὶ δαίμων ἄγριος πολεμεῖ, καὶ πειρασμὸς ἀφόρητος ἐνοχλεῖ. Διὸ καὶ διδασκόμεθα εὐχόμενοι λέγειν· «Μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ». Ποικίλαι αἱ μάχαι, καὶ πολυσχιδεῖς αἱ παρατάξεις, καὶ δεῖ πρὸς ἅπαντα παρεσκευάσθαι. Καθάπερ γὰρ ὁ μέλλων εἰς πέλαγος ἀφιέναι, καὶ ὑδάτων ἀτάκτων ῥύμην, καὶ πνευμάτων ἀγρίων ἐμβολήν, καὶ νεφῶν συνδρομήν, καὶ ὑφάλους πέτρας καὶ σπιλάδας, καὶ θηρίων ἐπανάστασιν, καὶ πειρατῶν παράταξιν, καὶ λιμόν, καὶ δίψος, καὶ θάλατταν, καὶ ὅρμον ἀλίμενον, καὶ ναυτῶν φιλονεικίαν, καὶ ἐφοδίων σπάνιν, καὶ πάντα τὰ τοιαῦτα προορᾶν ὀφείλει, καὶ πρὸς ἅπαντα παρατάττεσθαι, οὕτω δὴ καὶ εἰς τὸν εὔριπον τοῦ παρόντος ἐλθὼν βίου, καὶ πρὸς πάθη σώματος, καὶ πρὸς νοσήματα ψυχῆς, καὶ πρὸς ἀνθρώπων ἐπιβουλάς, καὶ πρὸς ἐχθρῶν ἐπαναστάσεις, καὶ πρὸς φίλων ὑπούλων δόλους, καὶ πρὸς πενίαν, καὶ πρὸς βασάνους, καὶ πρὸς ἐπήρειαν, καὶ πρὸς δαιμόνων φάλαγγας, καὶ πρὸς διαβόλου μανίαν παρεσκευάσθαι ἂν εἴη δίκαιος, εἴ γε μέλλοι πρὸς τὴν βασιλίδα ἀπαντᾶν πόλιν, καὶ πεπληρωμένος τῶν φορτίων εἰς τὸν λιμένα καταίρειν.

Ἐνταῦθα μὲν οὖν πονηρὸν ἄνθρωπον καλεῖ, ὅταν δὲ περὶ τοῦ διαβόλου διαλέγηται, ἁπλῶς πονηρόν. Τί δή ποτε; Ὅτι αὐτὸς πατὴρ τῆς πονηρίας ἐγένετο· διὰ τοῦτο καὶ κατ' ἐξοχὴν λέγεται πονηρός, καὶ ἀντὶ τοῦ κυρίου τὸ ἐπίθετον ἤρκεσεν ὄνομα διὰ τὴν ὑπερβολὴν τῆς κακίας, οὐκ ἔμφυτον οὖσαν, ἀλλὰ προσγενομένην αὐτῷ. Εἰ δὲ βούλει καὶ αὐτῆς τῆς πονηρίας τὸ ὄνομα μα-

---

1. Ματθ. 6, 13.

νὰ γίνουν ἀντιληπτά, ὁ προφήτης καταφεύγει στὴν προσευχὴ καὶ ζητεῖ τὴ βοήθεια τοῦ Θεοῦ, ὥστε ν' ἀπαλλαγεῖ ἀπὸ τὴν ἐπιβουλὴ αὐτοῦ τοῦ εἴδους. Διότι πολλὲς φορὲς εἰσέρχεται σ' αὐτοὺς καὶ ὁ διάβολος καὶ βάλλει μὲ τὸν τρόπο αὐτό. Εἶναι πολλὲς λοιπὸν οἱ ἐπιβουλὲς ποὺ δεχόμαστε ἀπὸ παντοῦ. Διότι καὶ ὁ κακὸς ἄνθρωπος τὸ κάμνει αὐτό, καὶ ὁ δαίμονας ὁ ἄγριος πολεμεῖ καὶ ὁ ἀνυπόφορος πειρασμὸς ἐνοχλεῖ. Γι' αὐτὸ καὶ διδασκόμαστε ὅταν προσευχόμαστε νὰ λέμε· «Μὴ ἐπιτρέψεις νὰ πέσουμε σὲ πειρασμό, ἀλλὰ λύτρωσέ μας ἀπὸ τὸν πονηρό»[1]. Εἶναι ποικίλες οἱ μάχες καὶ πολύμορφες οἱ παρατάξεις καὶ πρέπει νὰ εἴμαστε ἕτοιμοι γιὰ ὅλα. Διότι, ὅπως ἀκριβῶς ἐκεῖνος ποὺ πρόκειται νὰ ριφθεῖ στὸ πέλαγος, στὴν ὁρμὴ τῶν ἀτάκτων ὑδάτων, στὴν ἐπίθεση τῶν ἀγρίων ἀνέμων, στὴ συσσώρευση τῶν νεφῶν, στοὺς ὑφάλους τῶν πετρῶν καὶ τοὺς βράχους, στὴν ἐξόρμηση τῶν θηρίων καὶ τὴν παράταξη τῶν πειρασμῶν, στὴν πείνα, στὴ δίψα, στὴ θάλασσα καὶ στὸν χωρὶς προστασία ὅρμο, στὴ φιλονεικία τῶν ναυτῶν καὶ τὴν ἔλλειψη τῶν ἐφοδίων, ὀφείλει καὶ ὅλα αὐτὰ νὰ τὰ προβλέπει καὶ νὰ τὰ ἀντιμετωπίζει ὅλα, ἔτσι λοιπὸν καὶ αὐτὸς ποὺ ἦλθε μέσα στὴν ἀστάθεια αὐτῆς τῆς παρούσας ζωῆς, θὰ ἦταν ὀρθὸ νὰ εἶναι προετοιμασμένος καὶ γιὰ τὰ σωματικὰ πάθη καὶ γιὰ τὰ ψυχικὰ νοσήματα, καὶ γιὰ τὶς ἐπιβουλὲς τῶν ἀνθρώπων καὶ γιὰ τὶς ἐπαναστάσεις τῶν ἐχθρῶν, καὶ γιὰ τοὺς ὕπουλους δόλους τῶν φίλων, καὶ γιὰ τὴ φτώχεια, καὶ γιὰ τὰ βάσανα, καὶ γιὰ τοὺς πειρασμούς, καὶ γιὰ τὶς φάλαγγες τῶν δαιμόνων, καὶ γιὰ τὴ μανία τοῦ διαβόλου, ἂν βέβαια πρόκειται νὰ εἰσέλθει στὴ βασιλίδα πόλη, καὶ νὰ φθάσει στὸ λιμάνι γεμάτος ἀπὸ τὰ φορτία.

Ἐδῶ λοιπὸν τὸν ὀνομάζει κακὸ ἄνθρωπο, ὅταν ὅμως ὁμιλεῖ γιὰ τὸ διάβολο, τὸν ὀνομάζει ἁπλῶς πονηρό. Γιατί τέλος πάντων; Διότι ὁ διάβολος ἔγινε πατέρας τῆς κακίας· γι' αὐτὸ καὶ λέγεται κατ' ἐξοχὴ πονηρός, καὶ κρίθηκε ἀρκετό, ἀντὶ τοῦ κυρίου ὀνόματος, τὸ ἐπίθετο μόνο, ἐξ αἰτίας τῆς ὑπερβολικῆς πονηρίας, ποὺ δὲν εἶναι ἐκ φύσεως, ἀλλ' ἀποκτήθηκε μετά. Ἂν ὅμως θέλεις νὰ μάθεις ἀπὸ ποῦ ἔχει προέλθει καὶ τὸ ὄνομα

θεῖν πόθεν εἴρηται, καὶ ἐντεῦθεν μεγάλα καρπώσῃ. Πονηρία γὰρ εἴρηται, ἐκ τοῦ πόνον ἐπάγειν καὶ μόχθον αὐτῷ τῷ κεκτημένῳ. Διὸ καί τις σοφὸς τοῦτο παραδηλῶν λέγει· «Ἐὰν κακὸς γένῃ, μόνος ἀντλήσεις τὰ κακά· ἐὰν δὲ ἀγαθός, σαυτῷ καὶ τοῖς πλησίον». Καὶ πῶς, φησί, μόνος ἀντλεῖ τὰ κακὰ ὁ πονηρός; Καίτοι γε πολλοὺς ἐπηρεάζει. Ἀλλ' οὐδένα τῶν μὴ χαύνων καὶ ῥαθύμων. Καὶ εἰ βούλει τὸν πονηρὸν ἄνθρωπον ἀφέντες, αὐτὸν τὸν πονηρὸν δαίμονα εἰς μέσον ἀγάγωμεν. Εἰπὲ δή μοι, οὐχὶ πᾶσαν αὐτοῦ ἐξέχεε τὴν κακίαν; μή τι τὸν Ἰὼβ ἔβλαψεν; οὐχὶ ἐκεῖνον μὲν καὶ λαμπρότερον ἐποίησεν, ἑαυτῷ δὲ χαλεπώτερον τὸ πτῶμα εἰργάσατο; Τί δὲ Κάϊν, οὐχὶ μόνος ἤντλησε τὰ κακά; Οὐχί, φησίν, ἀλλὰ καὶ ὁ Ἄβελ. Πῶς καὶ τίνι τρόπῳ; Ὅτι ταχέως εἰς τὸν ἀκύμαντον παρεπέμφθη λιμένα. Ἀλλὰ τοῦτο μέγιστον εὐεργεσίας εἶδος ἦν, ὅτι μετὰ κατορθώματος κατέλυσεν, ὅτι τὸ κοινὸν τῆς φύσεως χρέος ἐπραγματεύσατο. Καὶ γὰρ ὃ τοῖς ἄλλοις ἦν κοινόν, καὶ κατὰ ἀνάγκην παραγινόμενον, τοῦτο μετ' ἐμπορίας τούτῳ παρεγένετο. Ταῦτα οὐχὶ κακὸν ἦν ὑπομεῖναι, ἀλλὰ στέφανον ἀναδήσασθαι λαμπρότερον.

Τί δὲ τὸν Ἰωσὴφ ἔβλαψαν οἱ ἀδελφοί; οὐκ αὐτοὶ μόνοι τὰ κακὰ ἤντλησαν; Ἀλλὰ δοῦλος ἐγένετο, φησί. Καὶ τί τοῦτο; Ἐγὼ δὲ λέγω, ὅτι καὶ δεσμώτης· ἀλλ' οὐ τοῦτό ἐστι τὸ ζητούμενον, εἰ δοῦλος γέγονε καὶ δεσμώτης, ἀλλ' εἰ βλάβην τινὰ ἐντεῦθεν ὑπέμεινε. Τοὐναντίον γὰρ εὑρίσκομεν, ὅτι καὶ ἐκέρδανε τὰ μέγιστα, πλείονα παρὰ τῷ Θεῷ παρρησίαν κτησάμενος, καὶ δι' αὐτῶν τῶν δοκούντων ἐναντίων εἶναι, τὴν παροῦσαν εὐημερίαν λαβών. Μὴ δὴ φοβώμεθα πονηρούς, ἀλλ' ἐλεῶμεν. Τότε μὲν γὰρ εἰκότως ἦσαν φοβεροί, ἅτε οὐδέπω τῆς ὑψηλῆς ὁδοῦ τετμημένης τῆς ἐπὶ φιλοσοφίαν ἀγούσης, νυνὶ δὲ οὐκέτι, τῶν οὐρανῶν

---

2. Παρ. 9, 12.

τῆς ἴδιας τῆς πονηρίας, καὶ ἀπὸ ἐδῶ θὰ ἀποκομίσεις μεγάλα ὀφέλη. Ὀνομάσθηκε λοιπὸν πονηρία, ἐπειδὴ προσθέτει πόνο καὶ μόχθο σ' αὐτὸν ποὺ ἔχει αὐτήν. Γι' αὐτὸ καὶ κάποιος σοφὸς γιὰ νὰ δηλώσει αὐτό, λέγει· «Ἂν γίνεις κακός, μόνος θ' ἀποκομίσεις τὰ κακά, ἂν δὲ ἀγαθὸς, θὰ ὠφελήσεις τὸν ἑαυτό σου καὶ τοὺς πλησίον σου»[2]. Καὶ πῶς, λέγει, ὁ κακὸς ἀποκομίζει μόνος τὰ κακά; Ἂν καὶ βέβαια πολλοὺς ἐπηρεάζει, ἀλλ' ὅμως κανένα ἀπὸ τοὺς μὴ ἀποχαυνωμένους καὶ ἀδιάφορους. Καὶ ἂν θέλεις, ἀφοῦ ἀφήσουμε κατὰ μέρος τὸν κακὸ ἄνθρωπο, ἂς ἐξετάσουμε τὸν ἴδιο τὸν πονηρὸ δαίμονα. Πές μου λοιπόν, δὲν ἄδειασε ὅλη τὴν κακία του ἐπάνω στὸν Ἰώβ; μήπως τὸν ἔβλαψε σὲ τίποτε; δὲν τὸν ἔκαμε ἐκεῖνον μὲν λαμπρότερο, στὸν ἑαυτό του δὲ κατέστησε χειρότερη τὴν πτώση; Τί δὲ ἔβλαψε τὸν Κάϊν; δὲν ἄντλησε μόνος τὰ κακά; Ὄχι, λέγει, ἀλλ' ἔβλαψε καὶ τὸν Ἄβελ. Πῶς καὶ μὲ ποιὸ τρόπο; Μὲ τὸ ὅτι πολὺ γρήγορα ἀπεστάλη στὸ ἀκύμαντο λιμάνι. Ἀλλ' αὐτὸ ἦταν τὸ πιὸ μεγαλύτερο εἶδος εὐεργεσίας, διότι τερμάτισε τὴ ζωή του μὲ κατόρθωμα, διότι ἐξεπλήρωσε τὸ κοινὸ χρέος τῆς φύσεως. Καθόσον ἐκεῖνο ποὺ ἦταν κοινὸ στοὺς ἄλλους ἀνθρώπους καὶ συνέβαινε κατ' ἀνάγκη, αὐτὸ συνέβηκε σ' αὐτὸν μὲ κέρδος. Αὐτὰ δὲν ἦταν κακὸ νὰ τὰ ὑπομείνει, ἀλλ' ἦταν κάτι ποὺ τὸν βοηθοῦσαν νὰ φορέσει λαμπρότερο στεφάνι.

Σὲ τί δὲ ἔβλαψαν τὸν Ἰωσὴφ οἱ ἀδελφοί του; Δὲν ἄντλησαν αὐτοὶ μόνοι τους τὰ κακά; Ἀλλά, λέγει, ἔγινε δοῦλος. Καὶ τί σημασία ἔχει αὐτό; Ἐγὼ δὲ λέγω, ὅτι καὶ φυλακίσθηκε· ὅμως δὲν εἶναι αὐτὸ τὸ ζητούμενο, ἂν δηλαδὴ ἔγινε δοῦλος καὶ φυλακίσθηκε, ἀλλ' ἂν ἀπὸ αὐτὸ ἔπαθε κάποια βλάβη. Διότι βρίσκομε τὸ ἀντίθετο, ὅτι καὶ εἶχε πάρα πολὺ μεγάλο κέρδος, ἀφοῦ ἀπέκτησε μεγαλύτερη παρρησία ἀπέναντι στὸ Θεό, καὶ ἀπόλαυσε, μὲ αὐτὰ ποὺ φαίνονταν ὅτι ἦταν ἀντίθετα, τὴν παροῦσα εὐτυχία. Ἂς μὴ φοβόμαστε λοιπὸν τοὺς κακούς, ἀλλ' ἂς δείχνουμε εὐσπλαχνία γι' αὐτούς. Τότε βέβαια κατὰ εὔλογο λόγο ἦταν φοβεροί, ἐπειδὴ δὲν ἦταν ἀκόμα χαραγμένη ἡ ὑψηλὴ ὁδὸς ποὺ ὁδηγεῖ πρὸς τὴν εὐσέβεια, τώρα ὅμως ὄχι πιά, διότι οἱ οὐ-

ἡμῖν λοιπὸν ἠνεῳγμένων, καὶ τῶν ἀνθρώπων ἀγγέλων γενομένων. Ἐπεὶ καὶ θηρίον μετὰ πολλῆς ἐμπῖπτον τῆς ῥύμης τῇ τοῦ δόρατος αἰχμῇ, δοκεῖ μὲν τὸν κατέχοντα τὸ δόρυ ἀμύνεσθαι, ἑαυτὸν δὲ περιπείρει χαλεπωτέρᾳ πληγῇ· καὶ ὁ πρὸς κέντρα λακτίζων, ὁμοίως τοὺς πόδας αἱμάττει.

2. Τοιοῦτόν ἐστιν ἡ ἀρετή, κέντρα καὶ ξίφος ἠκονημένα· οἱ δὲ πονηροὶ πάντες τῶν θηρίων χείρους καὶ ἀλογώτεροι. Ὅταν τοίνυν ἐπίωσι τοῖς ἀγαθοῖς, ἑαυτοὺς χαλεπώτερον περιπείρουσι, τοὺς μὲν εἰς χρήματα πολλάκις ἢ σώματα ζημιοῦντες, αὐτοὶ δὲ εἰς ψυχὴν παραβλαπτόμενοι τὴν ὄντως ζημίαν. Εἰ γὰρ ἔβλαπτεν ἡμᾶς εἰς τὴν οἰκείαν ἀρετὴν ἡ τῶν χρημάτων ζημία, οὐκ ἂν ἐκέλευσεν ὁ Παῦλος ἀδικεῖσθαι, καὶ μὴ ἀδικεῖν. Εἰ κακὸν τὸ ἀδικεῖσθαι ἦν, οὐκ ἂν ὁ τῶν ἀγαθῶν νομοθέτης κακὰ ἐπέταξε. Πλὴν ἀλλὰ καὶ οὕτω τῶν πραγμάτων ἐχόντων, οὐ δεῖ τοῖς πονηροῖς ἐπιπηδᾶν οὐδὲ ὁμόσε χωρεῖν, ἀλλὰ φεύγειν καὶ ἐκκλίνειν αὐτῶν τὰς συνουσίας· ἐπιόντας δὲ μετὰ ἀνδρείας δέχεσθαι. Διὰ γὰρ τοῦτο κελευόμεθα εὔχεσθαι, μὴ εἰσελθεῖν εἰς πειρασμόν. Διὸ καὶ οὗτος εἰπών, «Ἐξελοῦ με, Κύριε, ἐξ ἀνθρώπου πονηροῦ», ἐπάγει τό, «Ἀπὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με», πάλιν γενικὸν ὄνομα τῆς κακίας τιθείς. Οὐ γὰρ ἁπλῶς τὸν περὶ τὰ χρήματα ἄδικον, ἀλλὰ τὸν περὶ πάντα ἐνταῦθα λέγει. Ἀξιοῖ δὲ ῥυσθῆναι, ὥστε μήτε περιπεσεῖν, μήτε κατ' ἐκεῖνον γενέσθαι. Καὶ οὐχ ἁπλῶς αἰτεῖ, ἀλλὰ τὰ παρ' ἑαυτοῦ συνεισενεγκών. Διά τοι τοῦτο ἐν τῷ τέλει τοῦ προτέρου ψαλμοῦ φυγὼν αὐτοὺς καὶ τὴν πρὸς αὐτοὺς συνουσίαν, ἐνταῦθα τὴν παρὰ τοῦ Θεοῦ ῥοπὴν αἰτεῖ. Ἐκεῖ μὲν γὰρ τὰ παρ' ἑαυτοῦ εἰσήνεγκε λέγων, «Ἄνδρες αἱμάτων ἐκκλίνατε ἀπ' ἐμοῦ, ὅτι ἐρισταί ἐστε εἰς διαλογισμούς», ἐνταῦθα δὲ τὸν Θεὸν

---

3. Α' Κορ. 6, 7.
4. Ψαλ. 138, 19-20.

ρανοὶ εἶναι πλέον ἀνοιχτοὶ σὲ ἐμᾶς, καὶ οἱ ἄνθρωποι ἔγιναν ἄγγελοι. Διότι καὶ τὸ θηρίο ποὺ πέφτει μὲ μεγάλη ὁρμὴ ἐπάνω στὴν αἰχμὴ τοῦ δόρατος, νομίζει μὲν ὅτι προξενεῖ βλάβη σ' ἐκεῖνον ποὺ κρατᾶ τὸ δόρυ, ἀλλ' ὅμως καταπληγώνει μὲ φοβερώτερη πληγὴ τὸν ἑαυτό του· καὶ ἐκεῖνος ποὺ κλωτσᾶ ἐπάνω σὲ καρφιά, καθ' ὅμοιο τρόπο τὰ πόδια του ματώνει.

2. Τέτοια εἶναι ἡ ἀρετή· μοιάζει μὲ καρφιὰ καὶ ξίφος ἀκονισμένα, οἱ δὲ κακοὶ εἶναι ὅλοι τους χειρότεροι ἀπὸ τὰ θηρία καὶ πιὸ ἀνόητοι. Ὅταν λοιπὸν κάμνουν ἐπιθέσεις ἐναντίον τῶν ἀγαθῶν, βλάπτουν χειρότρα τοὺς ἑαυτούς τους, διότι ἐκείνους μὲν πολλὲς φορὲς τοὺς ζημιώνουν χρηματικὰ ἢ σωματικά, οἱ ἴδιοι ὅμως βλάπτονται φοβερὰ στὴν ψυχή τους ποὺ εἶναι ἡ πραγματικὴ βλάβη. Διότι, ἂν ἔβλαπτε τὴν ἀρετή μας ἡ χρηματικὴ ζημία, δὲν θὰ ἔδινε ὁ Παῦλος ἐντολὴ νὰ ἀδικούμαστε καὶ ὅμως νὰ μὴ ἀδικοῦμε[3]. Ἂν ἦταν κακὸ τὸ ν' ἀδικεῖται κάποιος, δὲν θὰ ἦταν δυνατὸ ὁ νομοθέτης νὰ διέτασσε κακά. Πλὴν ὅμως καὶ ἂν ἔτσι ἔχουν τὰ πράγματα, δὲν πρέπει νὰ κάμνουμε ἐπίθεση ἐναντίον τῶν κακῶν, οὔτε νὰ ἐρχόμαστε σὲ ἀντίθεση, ἀλλὰ νὰ τοὺς ἀποφεύγουμε καὶ ν' ἀπομακρυνόμαστε ἀπὸ τὴ συναναστροφή τους, ὅταν ὅμως μᾶς ἐπιτίθενται νὰ τοὺς ἀντιμετωπίζουμε μὲ ἀνδρεία. Διότι γι' αὐτὸ προτρεπόμαστε νὰ προσευχόμαστε νὰ μὴ εἰσέλθουμε σὲ πειρασμό. Γι' αὐτὸ καὶ αὐτός, ἀφοῦ εἶπε, «Σῶσε με, Κύριε, ἀπὸ ἄνθρωπο πονηρό», προσθέτει τό, «Λύτρωσέ με ἀπὸ ἄνθρωπο ἄδικο», ἀναφέροντας πάλι γενικὸ ὄνομα τῆς κακίας. Διότι ἐδῶ δὲν ἐννοεῖ ἁπλῶς ἐκεῖνον ποὺ ἀδικεῖ ὡς πρὸς τὰ χρήματα, ἀλλὰ ἐκεῖνον ποὺ ἀδικεῖ σ' ὅλα. Ἔχει δὲ τὴν ἀξίωση νὰ σωθεῖ, ὥστε οὔτε νὰ περιπέσει στὸν κακό, οὔτε νὰ γίνει σὰν ἐκεῖνον. Καὶ δὲν τὸ ζητεῖ ἁπλῶς, ἀλλὰ προσφέρει καὶ αὐτὰ ποὺ ἐξαρτῶνται ἀπὸ αὐτόν. Γι' αὐτὸ λοιπὸν στὸ τέλος τοῦ προηγουμένου ψαλμοῦ, ἀφοῦ ἀπέφυγε αὐτοὺς καὶ τὴ συναναστροφὴ μὲ αὐτούς, ἐδῶ ζητεῖ τὴ βοήθεια τοῦ Θεοῦ. Διότι ἐκεῖ μὲν πρόσφερε αὐτὰ ποὺ ἐξαρτῶνταν ἀπ' αὐτόν, λέγοντας, «Ἄνδρες αἱμοβόροι φύγετε μακριά μου, διότι εἶστε φιλόνεικοι καὶ σκέπτεσθε ἔριδες»[4], ἐδῶ δὲ παρακαλεῖ τὸ Θεὸ

παρακαλεῖ ρυσθῆναι ἀπὸ τῆς πονηρίας αὐτῶν. Οὐ γὰρ τὸ τυχὸν εἰς ἀσφαλείας λόγον, καὶ ἀδείας, καὶ ἐλευθερίας, καὶ ἡδονῆς ἁπάσης, τὸ τῶν τοιούτων ρύεσθαι συλλόγων, καὶ ὡς πορρωτάτω κατασκηνοῦν τῆς τῶν πονηρῶν συνουσίας, ἀλλ' ἡ μεγίστη τοῦτο εὐημερία.

«Οἵτινες ἐλογίσαντο ἀδικίαν ἐν καρδίᾳ· ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέμους». Εἶδες πῶς δυσφύλακτα τὰ θηρία, κατὰ διάνοιαν τυρεύοντες τὰ κακά, καὶ κατακρύπτοντες ἐν τοῖς ἀπορρήτοις τὰς ἐπιβουλάς. «Ἐλογίσαντο» γάρ, φησίν, «ἐν τῇ καρδίᾳ»· τουτέστιν, οὐκ ἔξω προήνεγκαν τέως, ἀλλ' ἔστρεφον ἔνδον ὠδίνοντες τὴν πονηρίαν, καὶ τὸ δὴ χαλεπώτερον, οὐχὶ συναρπασθέντες, οὐδὲ περιτραπέντες, ἀλλὰ μελέτῃ τὸ πρᾶγμα ποιούμενοι. Τοῦτο γάρ ἐστι τό, «Ἐλογίζοντο», μετὰ σπουδῆς, μετὰ προθυμίας ἁπάσης. «Ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέμους». Τὸν βίον ἅπαντα διὰ τούτου δηλοῖ. Πολέμους δὲ ἐνταῦθα οὐ τούτους τοὺς ἐπὶ τῶν παρατάξεων, καὶ διὰ τῶν ὅπλων, ἀλλὰ τοὺς διὰ τῶν ἐπιβουλῶν αἰνίττεται, οὓς καὶ ἐν ἀγοραῖς καὶ ἐν οἰκίαις πολεμοῦσιν ἄνθρωποι, οὐ θώρακα ἐνδυόμενοι, οὐδὲ ἀσπίδα προβαλλόμενοι, ἀλλ' ἀντὶ παντὸς ὅπλου τῇ πονηρίᾳ κεχρημένοι, καὶ ρήματα βελῶν πικρότερα ἀκονῶντες. Τὸ μέγιστον δὲ αὐτῶν τῆς κακίας, οὐχ ὅτι δολεροὶ μόνον, οὐδ' ὅτι ὕπουλοι, οὐδ' ὅτι πρὸς πολέμους ἕτοιμοι καὶ μάχας, ἀλλ' ὅτι καὶ διὰ παντὸς τοῦ βίου, καὶ οὐδέποτε ἀνακωχὴν ἔσχον τῆς χαλεπῆς ταύτης παρατάξεως. Καίτοι γε εἴ γε ἐβούλοντο πολεμεῖν, ἑτέραν εἶχον δικαίαν ὑπόθεσιν. Κατὰ γὰρ τῶν ἁμαρτημάτων ἵστασθαι ἔδει, καὶ πρὸς τὸν διάβολον παρατάττεσθαι, καὶ πρὸς τὰ νοσήμα-

νὰ τὸν σώσει ἀπὸ τὴν κακία αὐτῶν. Διότι δὲν εἶναι τυχαῖο πράγμα γιὰ τὴν ἀσφάλεια, τὴν ἀφοβία, τὴν ἐλευθερία καὶ τὴν ὅλη ἀπόλαυση ἡ σωτηρία ἀπὸ τέτοιες ὁμάδες ἀνθρώπων καὶ τὸ νὰ παραμένει κανένας μακριὰ ἀπὸ τὴ συναναστροφὴ μὲ αὐτοὺς τοὺς κακούς, ἀλλ' αὐτὸ εἶναι ἡ πιὸ μεγαλύτερη εὐτυχία.

Ἔπειτα, περιγράφοντας τὴν κακία αὐτῶν, προσθέτει καὶ λέγει· «Οἱ ὁποῖοι σκέφθηκαν μέσα στὴν καρδιά τους ἀδικία καὶ ὅλη τὴν ἡμέρα παρατάσσονταν σὲ πολέμους». Εἶδες πῶς εἶναι δύσκολη ἡ προφύλαξη ἀπὸ τὰ θηρία αὐτά, ποὺ μηχανεύονται μέσα στὴ σκέψη τους τὰ κακὰ καὶ κατακρύπτουν μέσα στὰ βάθη τῆς καρδιᾶς τους τὶς ἐπιβουλές; Διότι, λέγει, «Σκέφθηκαν μέσα στὴν καρδιά τους»· δηλαδὴ στὴν ἀρχὴ δὲν τὰ ἐξωτερίκευσαν, ἀλλὰ τὰ περιέστρεφαν μέσα τους γεννώντας τὴν κακία, καὶ τὸ φοβερότερο βέβαια, ὄχι ἐπειδὴ συναρπάχθηκαν, οὔτε ἐπειδὴ μετατράφηκαν, ἀλλὰ μὲ μελέτη προχωροῦσαν στὴν πραγματοποίηση τῶν σχεδίων τους. Διότι αὐτὸ σημαίνει τό, «Ἐλογίζοντο», μὲ μεγάλη δηλαδὴ προσοχὴ καὶ μὲ πολλὴ προθυμία. «Ὅλη τὴν ἡμέρα ἀναζητοῦσαν ἀφορμὲς γιὰ διαμάχες». Μὲ αὐτὸ ἐννοεῖ ὅλη τὴ ζωή τους. Πολέμους δὲ ἐδῶ ὑπονοεῖ ὄχι αὐτοὺς ποὺ γίνονται μὲ παράταξη τῶν ἐχθρῶν καὶ μὲ τὰ ὅπλα, ἀλλ' ἐκείνους ποὺ γίνονται μὲ τὶς ἐπιβουλές, ποὺ τοὺς κάμνουν οἱ ἄνθρωποι καὶ μέσα στὶς ἀγορὲς καὶ στὶς οἰκίες, χωρὶς νὰ φοροῦν θώρακα, οὔτε νὰ προβάλλουν ἀσπίδα, ἀλλὰ χρησιμοποιοῦν, ἀντὶ ὁποιουδήποτε ἄλλου ὅπλου, τὴν κακία, καὶ ἀκονοῦν τὰ λόγια τους, ὥστε νὰ εἶναι φοβερότερα ἀπὸ τὰ βέλη. Τὸ πιὸ μεγαλύτερο ὅμως γνώρισμα τῆς κακίας τους εἶναι, ὄχι μόνο τὸ ὅτι εἶναι γεμάτοι ἀπὸ δόλο, οὔτε τὸ ὅτι εἶναι ὕπουλοι, οὔτε τὸ ὅτι εἶναι ἕτοιμοι γιὰ πολέμους καὶ διαμάχες, ἀλλὰ τὸ ὅτι αὐτὸ συμβαίνει σ' ὅλη τὴ ζωή τους, καὶ ποτὲ δὲν ἔκαμαν ἀνακωχὴ γιὰ τὸν τερματισμὸ τῆς φοβερῆς τους αὐτῆς παρατάξεως. Ἂν καὶ βέβαια, ἂν ἤθελαν ὁπωσδήποτε νὰ πολεμοῦν, εἶχαν ἄλλη δίκαια ὑπόθεση. Ἔπρεπε δηλαδὴ νὰ καταπολεμοῦν τὰ ἁμαρτήματά τους, νὰ παρατάσσονται ἀπέναντι στὸ διάβολο, νὰ μάχονται ἐναντίον τῶν ψυχικῶν νοσημάτων καὶ ν'

τα τῆς ψυχῆς μάχεσθαι, καὶ κατὰ τῶν δαιμόνων ἀκονᾶν τὰ ξίφη. Οἱ δὲ ἐκείνῃ μὲν οὐδὲ προκύπτουσι τῇ παρατάξει, κατὰ δὲ ἀλλήλων βάλλουσι τὰ βέλη.

«Ἠκόνησαν γλῶσσαν αὐτῶν ὡσεὶ ὄφεως· ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν ἀεί». Εἶδες τῆς κακίας τὴν δυσγένειαν; Ἐξ ἀνθρώπων θηρία ποιεῖ, ἀσπίδας καὶ ὄφεις, καὶ τὴν γλῶτταν τὴν λογικὴν πρὸς ἐκείνην καταφέρει τὴν θηριωδίαν. Ὅπερ δὲ ἀνωτέρω ᾐτιάσατο, τοῦτο πάλιν καὶ ἐνταῦθα κατηγορεῖ. Ποῖον δὴ τοῦτο; «Ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν», φησίν, «ἀεί», τουτέστι, διηνεκῶς. Ὥσπερ γὰρ ἀνωτέρω εἶπεν, «Ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέμους», οὕτω καὶ ἐνταῦθα, «Ἠκόνησαν γλῶτταν αὐτῶν ὡσεὶ ὄφεως· ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν ἀεί». Τὸ γὰρ «Διάψαλμα» τοῦτο δηλοῖ πανταχοῦ. Καὶ Ἑβραϊστὶ «Σὲλ» εἴρηται τὸ διάψαλμα, ὅπερ ἐστίν, «ἀεί». Καίτοι γε καὶ ἐν βραχεῖ καιρῷ φορτικὸν ἡ κακία, ὅταν δὲ καὶ διηνεκῶς αὐτὴν μετίωσι, καὶ μηδὲ κόρον λαμβάνωσι, ποίαν ἂν σχοῖεν συγγνώμην; ποίαν ἀπολογίαν;

«Φύλαξόν με, Κύριε, ἐκ χειρὸς ἁμαρτωλοῦ· ἀπὸ ἀνθρώπων ἀδίκων ἐξελοῦ με. Οἵτινες διελογίσαντο τοῦ ὑποσκελίσαι τὰ διαβήματά μου. Ἔκρυψαν οἱ ὑπερήφανοι παγίδα μοι· καὶ σχοινίοις διέτειναν παγίδα τοῖς ποσί μου· ἐχόμενα τρίβου σκάδαλα ἔθεντό μοι». Οὐδὲν ἀδικώτερον τῶν κακίαν μετιόντων, οἳ πρὸ τῶν ἄλλων τὰς ἑαυτῶν ἀδικοῦσι ψυχάς. Ὅταν γὰρ αὐτοὶ σκανδάλου γίνωνται αἴτιοι, ὅταν τοῦ Θεοῦ τὴν δόξαν παρὰ τῶν ἀνοήτων λοιδορεῖσθαι παρασκευάζωσι, ὅταν τὰ ὀφειλόμενα οὐ κατατιθῶσιν, ἀλλὰ καὶ ψυχὴν καὶ σῶμα λαβόντες παρὰ τοῦ φιλανθρώπου Θεοῦ, ἀγνωμονῶσι περὶ τὰς ἀμοιβάς, καὶ κόσμου τοσούτου καὶ τηλικούτου ἀπολαύοντες ἀγαθοῦ, τοῖς ἐναντίοις ἀμείβωνται τὸν

ἀκονοῦν τὰ ξίφη ἐναντίον τῶν δαιμόνων. Ἀλλ' αὐτοὶ πρὸς ἐκείνη μὲν τὴν παράταξη δὲν προβάλλουν τὰ ὅπλα τους, ρίχνουν ὅμως τὰ βέλη τους ἀναμεταξύ τους.

«Ἀκόνησαν τὴ γλώσσα τους καὶ τὴν ἔκαναν σὰν τοῦ φιδιοῦ· δηλητήριο ἀσπίδων ὑπάρχει συνέχεια κάτω ἀπὸ τὰ χείλη τους». Εἶδες τὴν εὐτέλεια τῆς κακίας; Ἀπὸ ἀνθρώπους δημιουργεῖ θηρία, ἀσπίδες καὶ φίδια, καὶ τὴ λογικὴ γλώσσα τὴν κατεβάζει πρὸς τὴ θηριωδία ἐκείνη. Ἐκεῖνο δὲ ἀκριβῶς ποὺ προηγουμένως κατηγόρησε, αὐτὸ πάλι καὶ ἐδῶ κατηγορεῖ. Ποιὸ λοιπὸν εἶναι αὐτό; «Δηλητήριο ἀσπίδων ὑπάρχει πάντοτε», λέγει, «κάτω ἀπὸ τὰ χείλη τους», δηλαδή, διαρκῶς. Διότι, ὅπως ἀκριβῶς προηγουμένως εἶπε, «Ὅλη τὴν ἡμέρα προετοιμάζονταν γιὰ πολέμους, ἔτσι καὶ ἐδῶ, «Ἀκόνησαν τὴ γλώσσα τους γιὰ νὰ εἶναι σὰν τοῦ φιδιοῦ· δηλητήριο ἀσπίδων ὑπάρχει πάντοτε κάτω ἀπὸ τὰ χείλη τους». Διότι τὸ «Διάψαλμα», αὐτὸ δηλώνει παντοῦ. Καὶ στὰ ἑβραϊκὰ τὸ διάψαλμα ὀνομάζεται «Σέλ», πράγμα ποὺ σημαίνει, «πάντοτε». Μολονότι βέβαια ἡ κακία εἶναι ἀνυπόφορο πράγμα καὶ ὅταν συμβαίνει γιὰ σύντομο χρόνο, ὅταν ὅμως ἐφαρμόζουν αὐτὴν συνέχεια καὶ δὲν χορταίνουν ποτέ, ποιὰ συγγνώμη θὰ μποροῦσαν νὰ ἔχουν; ποιὰ ἀπολογία;

«Φύλαξέ με, Κύριε, ἀπὸ χέρι ἁμαρτωλοῦ· σῶσε με ἀπὸ ἄδικους ἀνθρώπους, ποὺ σκέφθηκαν μὲ τρόπο ὕπουλο νὰ ἐμποδίσουν τὴν πορεία μου. Οἱ ὑπερήφανοι ἐχθροί μου μοῦ ἔστησαν κρυφὴ παγίδα, καὶ ἅπλωσαν σχοινιὰ γιὰ παγίδα στὰ πόδια μου· τοποθέτησαν δὲ ἐμπόδια στὸ δρόμο μου γιὰ νὰ σκοντάψω». Δὲν ὑπάρχει τίποτε πιὸ ἄδικο ἀπὸ ἐκείνους ποὺ ἀσκοῦν τὴν κακία, οἱ ὁποῖοι πρὶν ἀπὸ τοὺς ἄλλους ἀδικοῦν τὶς ψυχές τους. Διότι, ὅταν αὐτοὶ γίνονται αἰτία σκανδάλου, ὅταν συμβάλλουν νὰ περιφρονεῖται ἀπὸ τοὺς ἀνόητους ἡ δόξα τοῦ Θεοῦ, ὅταν δὲν ἀποδίδουν αὐτὰ ποὺ ὀφείλουν, ἀλλά, ἐνῶ ἔλαβαν ἀπὸ τὸν φιλάνθρωπο Θεὸ καὶ ψυχὴ καὶ σῶμα, δείχνουν ἀχαριστία γιὰ τὶς ἀμοιβές, καί, ἐνῶ ἀπολαμβάνουν ἑνὸς τόσου μεγάλου καὶ τόσου ἀγαθοῦ κόσμου, ἀνταμείβουν τὸν εὐεργέτη μὲ τὰ ἀν-

εὐεργέτην, τί τούτων γένοιτ' ἂν ἀδικώτερον; τί δὲ ἀγνωμονέστερον; Καὶ τὸ δὴ μεῖζον καὶ πλέον εἰς κακίας ὑπερβολήν, ὅτι καὶ ἑτέροις ἐπηρεάζειν ἐπιχειροῦσι. «Διελογίσαντο» γάρ, φησί, «τοῦ ὑποσκελίσαι τὰ διαβήματά μου». Εἰ δὲ μὴ εἰς ἔργον ἐξῆλθεν ὁ λογισμός, τοῦτο τῆς τοῦ Θεοῦ φιλανθρωπίας γέγονεν ἔργον. Αὐτὸς γὰρ διέκοψε τὰ πονηρὰ αὐτῶν βουλεύματα.

3. Καὶ ὅρα πῶς ἦν μεμελετημένη ἡ πονηρία, καὶ μετὰ σπουδῆς ἡ ἐπιβουλή. Καὶ γὰρ ἔκρυψαν, καὶ διέτειναν, καὶ ἐχόμενα τρίβου, ὥστε καὶ τῷ μήκει, καὶ τῷ λανθάνειν, καὶ τῷ πλησίον τείνειν, ἑλεῖν καὶ χειρώσασθαι. Δημιουργοὶ γὰρ ἐγένοντο τῆς κακίας, πανταχόθεν ἐκτείνοντες τὰς πάγας, ἓν ἔργον τιθέμενοι τὸ καθελεῖν. Βούλει μαθεῖν πῶς καὶ ὁ διάβολος τοιαῦτα τίθησι σχοινία; Ὅρα πάλιν ἐπὶ τοῦ Ἰὼβ τὸ πρᾶγμα συμβαῖνον. Τί γὰρ πλατύτερον ἐκείνων; τί δὲ μακρότερον; τί δὲ ἐγγύτερον, ὅπου γε οὐκ ἐν συγγενέσι μόνον, οὐδὲ φίλοις, οὐδὲ ἐν γυναικί, ἀλλ' ἐν αὐτῷ τῷ σώματι τὴν παγίδα ἔθηκεν;

«Εἶπα τῷ Κυρίῳ, Θεός μου εἶ σύ· ἐνώτισαι, Κύριε, τὴν φωνὴν τῆς δεήσεώς μου. Κύριε, Κύριε, δύναμις τῆς σωτηρίας μου». Ἄλλος, «Κράτος τῆς σωτηρίας μου». Εἰπὼν τὸν πόλεμον, καὶ τὰς ἐπιβουλάς, καὶ δείξας ἀφόρητα τὰ δεινά, καταφεύγει λοιπὸν ἐπὶ τὴν ἀχείρωτον συμμαχίαν, ἀπὸ τοῦ οὐρανοῦ καλῶν τὸν βοηθὸν ταῦτα λῦσαι δυνάμενον. Τοῦτο ψυχῆς γενναίας δεῖγμα, τοῦτο φιλοσόφου διανοίας, ἡνίκα ἂν ταῦτα πανταχόθεν περίκειται, μὴ καταφεύγειν εἰς ἀνθρωπίνην συμμαχίαν, μηδὲ εἰς λογισμοὺς θνητούς, ἀλλὰ πρὸς τὸν οὐρανὸν ὁρᾶν, καὶ πανταχοῦ παρόντα καλεῖν τὸν Θεόν, μηδὲ τῆς ἀθυμίας γίνεσθαι, καὶ τοῦ θορύβου, καὶ τῆς ταραχῆς. Καὶ ὅρα πῶς ἀξίως ἑαυτοῦ τὸν λόγον κατα-

τίθετα, τί θὰ μποροῦσε νὰ ὑπάρξει πιὸ ἄδικο ἀπὸ αὐτούς; τί δὲ πιὸ μεγαλύτερη ἀχαριστία; Καὶ τὸ μεγαλύτερο βέβαια καὶ τὸ σπουδαιότερο γνώρισμα τῆς ὑπερβολικῆς κακίας τους εἶναι, τὸ ὅτι προσπαθοῦν νὰ βλάπτουν καὶ ἄλλους. Διότι λέγει «Σκέφθηκαν νὰ ἐμποδίσουν μὲ ὕπουλο τρόπο τὴν πορεία μου». Ἂν δὲ ἡ σκέψη τους δὲν πραγματοποιήθηκε, αὐτὸ ὑπῆρξε ἔργο τῆς φιλανθρωπίας τοῦ Θεοῦ. Διότι αὐτὸς σταμάτησε τὴν πραγματοποίηση τῶν πονηρῶν σκέψεών τους.

3. Καὶ πρόσεχε πῶς ἦταν πολὺ καλὰ μελετημένη ἀπὸ πρὶν ἡ κακία καὶ ἡ ἐπιβουλή τους εἶχε όργανωθεῖ μὲ πολλὴ προσοχή. Καθόσον ἔκρυψαν καὶ ἅπλωσαν καὶ τοποθέτησαν ἐμπόδια στὸ δρόμο του, ὥστε καὶ μὲ τὸ μῆκος καὶ μὲ τὸν κρυφὸ τρόπο καὶ μὲ τὸ ἅπλωμα τῶν παγίδων ὅσο τὸ δυνατὸ πιὸ κοντά του, νὰ τὸν συλλάβουν καὶ νὰ τὸν ὑποτάξουν. Ἔγιναν δηλαδὴ δημιουργοὶ τῆς κακίας, παντοῦ ἁπλώνοντας τὶς παγίδες, θέτοντας σὰν σκοπό τους ἕνα μόνο ἔργο, τὸ νὰ τὸν ἐξοντώσουν. Θέλεις νὰ μάθεις πῶς καὶ ὁ διάβολος τοποθετεῖ τέτοιες παγίδες; Πρόσεχε πάλι πῶς τὸ ἴδιο πράγμα συμβαίνει στὴν περίπτωση τοῦ Ἰώβ. Πράγματι τί ὑπάρχει πλατύτερο ἀπὸ ἐκεῖνες τὶς παγίδες; τί δὲ μακρύτερο; τί δὲ πλησιέστερο, τὴ στιγμὴ βέβαια ποὺ τοποθέτησε τὴν παγίδα ὄχι μόνο στοὺς συγγενεῖς, οὔτε στοὺς φίλους, οὔτε στὴ γυναίκα του, ἀλλὰ στὸ ἴδιο τὸ σῶμα του;

«Εἶπα στὸν Κύριο, Θεὸς εἶσαι σύ· ἄκουσε, Κύριε, μὲ προσοχὴ τὴ φωνὴ τῆς προσευχῆς μου. Κύριε, Κύριε, σὺ εἶσαι ἡ δύναμη τῆς σωτηρίας μου». Ἀφοῦ μίλησε γιὰ τὸν πόλεμο καὶ τὶς ἐπιβουλές, καὶ ἔδειξε ἀνυπόφορα τὰ κακά, καταφεύγει πλέον στὴν ἀκατανίκητη συμμαχία, καλώντας ἀπὸ τὸν οὐρανὸ τὸν βοηθὸ ποὺ μπορεῖ νὰ ἐξαλείψει αὐτὰ τὰ κακά. Αὐτὸ εἶναι δεῖγμα ψυχῆς γενναίας, αὐτὸ δεῖγμα φιλοσοφημένης σκέψεως, ὅταν αὐτὰ ἁπλώνονται ἀπὸ παντοῦ τριγύρω του, νὰ μὴ καταφεύγει σὲ ἀνθρώπινη συμμαχία, οὔτε σὲ συλλογισμοὺς θνητούς, ἀλλὰ νὰ ἔχει στραμμένο τὸ βλέμμα της πρὸς τὸν οὐρανὸ καὶ νὰ καλεῖ παντοῦ τὸ Θεὸ ποὺ βρίσκεται παντοῦ, χωρὶς νὰ κυριεύεται ἀπὸ λύπη, θόρυβο καὶ ταραχή. Καὶ πρόσεχε πῶς παρουσιά-

σκευάζει. Οὐ γὰρ εἶπε, τὸ καὶ τὸ κατώρθωσα, καὶ τήνδε τὴν δικαιοσύνην εἰργασάμην, ἀλλὰ τί; «Θεός μου εἶ σύ», μέγιστον δικαίωμα συμμαχίας προβαλλόμενος τὸ πρὸς Δεσπότην καταφεύγειν, καὶ δημιουργόν, καὶ βασιλέα. «Ἐνώτισαι, Κύριε, τὴν φωνὴν τῆς δεήσεώς μου, Κύριε, Κύριε, δύναμις τῆς σωτηρίας μου». «Δύναμις τῆς σωτηρίας» εἶπε, δεικνὺς ὅτι ἐστὶ καὶ δύναμις κολάσεως καὶ τιμωρίας. Ἀλλ' ἐμοὶ τὴν δύναμιν τῆς σωτηρίας, φησί, παρέσχες. Δύνασαι μὲν γὰρ καὶ κακῶς ποιεῖν καὶ ἀνερεῖν· ἀλλ' ἀεὶ πρὸς σωτηρίαν τὴν ἐμὴν ἐχρήσω τῇ δυνάμει σου. Καὶ ὅρα τὸν πόθον τοῦ λέγοντος. Τῷ γὰρ διπλασιασμῷ καὶ τῷ προσθεῖναι, «Τῆς σωτηρίας μου», πολλὴν δείκνυσι τὴν διάθεσιν.

«Ἐπεσκίασας ἐπὶ τὴν κεφαλήν μου ἐν ἡμέρᾳ πολέμου». Εἶδες τὴν εὐχάριστον ψυχήν; Τῶν προτέρων ἀναμιμνήσκει ἑαυτόν, ὅτι ἐν ἀσφαλείᾳ κατέστησεν αὐτόν. Τοῦτο γάρ ἐστι τό, «Ἐπεσκίασας». Καὶ ὅρα τὸ εὔκολον τοῦ Θεοῦ πῶς δείκνυσιν. Οὐ γὰρ εἶπε, πρὸ τούτου, ἀλλ', ἐν αὐτῇ τῇ ἡμέρᾳ, φησίν, ὅτε τὰ δεινὰ ᾔρετο, ὅτε ἡ παράταξις ἦν, ὅτε περὶ τῶν ἐσχάτων ἐκινδύνευον, τότε με ἐν ἀσφαλείᾳ κατέστησας. Οὐ γὰρ παρασκευῆς ἢ παρακλήσεως δεῖται ὁ Θεὸς πάντα εἰδώς, τά τε παρόντα, τά τε μέλλοντα, τά τε γεγονότα, καὶ πάντα δυνάμενος, καὶ ἀεὶ παρεστὼς ἕτοιμος εἰς βοήθειαν. Εἶτα δηλῶν τὴν ὑπερβολὴν τῆς νίκης καὶ τῆς ἀσφαλείας, οὐκ εἶπεν, 'ἔσωσάς με', ἀλλὰ τί; «Ἐπεσκίασας», τουτέστιν, οὐδὲ τὸ τυχὸν λυπηρὸν ὑπομεῖναι ἐποίησας, οὐδὲ ὅσον ἀπὸ καύματος, ἀλλ' ἐν τοσαύτῃ κατέστησας ἀσφαλείᾳ, καὶ μετὰ τῆς ἀσφαλείας ἐν ἡδονῇ καὶ ἀνέσει, ὡς μηδὲ τυχεῖν θέρμης τινὸς λυπούσης, ἀλλὰ σκιᾷ ἐντρυφᾶν, τουτέστι,

ζει τὸ λόγο ἐπάξιο τοῦ ἑαυτοῦ του. Διότι δὲν εἶπε, αὐτὸ καὶ αὐτὸ κατόρθωσα καὶ αὐτὴν τὴν ἐνάρετη πράξη ἔκαμα, ἀλλὰ τί; «Θεός μου εἶσαι σύ», προβάλλοντας τὸ πιὸ μεγαλύτερο δικαίωμα συμμαχίας, τὸ νὰ καταφεύγει πρὸς τὸν Κύριο, πρὸς τὸν δημιουργό, πρὸς τὸν βασιλέα. «Ἄκουσε, Κύριε, μὲ προσοχὴ τὴ φωνὴ τῆς προσευχῆς μου, Κύριε, Κύριε, σὺ ποὺ εἶσαι ἡ δύναμη τῆς σωτηρίας μου». Εἶπε «Δύναμη τῆς σωτηρίας μου», γιὰ νὰ δείξει ὅτι εἶναι καὶ δύναμη τῆς κολάσεως καὶ τιμωρίας. Ἀλλὰ σ' ἐμένα, λέγει, πρόσφερες τὴ δύναμη τῆς σωτηρίας. Διότι μπορεῖς καὶ νὰ τιμωρεῖς καὶ νὰ ἐξοντώνεις, ἀλλὰ πάντοτε χρησιμοποίησες τὴ δύναμή σου γιὰ τὴ σωτηρία μου. Καὶ πρόσεχε τὸν πόθο τοῦ ψαλμωδοῦ. Διότι μὲ τὸν διπλασιασμὸ τοῦ «Κύριε» καὶ τὴν προσθήκη «τῆς σωτηρίας μου», δείχνει τὴ μεγάλη ψυχικὴ διάθεσή του.

«Ἔρριψες τὴν προστατευτικὴ σκιά σου ἐπάνω στὸ κεφάλι μου κατὰ τὴν ἡμέρα τοῦ πολέμου». Εἶδες τὴ γεμάτη ἀπὸ εὐχαριστία ψυχή; Ὑπενθυμίζει στὸν ἑαυτό του τὰ προηγούμενα, τὸ ὅτι δηλαδὴ τοῦ χάρισε ἀσφάλεια. Διότι αὐτὸ σημαίνει τό, «Ἐπεσκίασες». Καὶ πρόσεχε πῶς δείχνει τὸν εὔκολο τρόπο ἐνέργειας τοῦ Θεοῦ. Διότι δὲν εἶπε, πρὶν ἀπὸ αὐτό, ἀλλά, λέγει, κατὰ τὴν ἴδια ἡμέρα, ὅταν τὰ κακὰ ἔκαμαν τὴν ἐμφάνισή τους, ὅταν ἡ ἐχθρικὴ παράταξη βρισκόταν ἀπέναντί μου, ὅταν διέτρεχα τὸν φοβερώτερο κίνδυνο, τότε μὲ κατέστησες ἀσφαλή. Διότι ὁ Θεὸς δὲν ἔχει ἀνάγκη ἀπὸ προετοιμασία ἢ παράκληση, ἀφοῦ γνωρίζει ὅλα, καὶ τὰ παρόντα καὶ τὰ μέλλοντα καὶ τὰ ὅσα συμβαίνουν, καὶ μπορεῖ ὅλα νὰ τὰ κάνει, βρίσκεται πάντοτε παντοῦ καὶ εἶναι ἕτοιμος νὰ βοηθήσει. Ἔπειτα, γιὰ νὰ δείξει τὸ ὑπερβολικὸ μέγεθος τῆς νίκης καὶ τῆς ἀσφάλειας, δὲν εἶπε, 'μὲ ἔσωσες', ἀλλὰ τί; «Μὲ ἐπεσκίασες», δηλαδή, μὲ ἔκαμες νὰ μὴ νιώσω οὔτε τὸ παραμικρὸ δυσάρεστο, οὔτε ὅσο κακὸ προέρχεται ἀπὸ καῦμα, ἀλλὰ μὲ κατέστησες τόσο πολὺ ἀσφαλή, καὶ μαζὶ μὲ τὴν ἀσφάλεια μοῦ χάρισες τόση ἡδονὴ καὶ ἄνεση, ὥστε νὰ μὴ μοῦ συμβεῖ οὔτε καὶ κάποιο δυσάρεστο ἀπὸ τὴ θερμότητα, ἀλλὰ ν' ἀπολαμβάνω τὴν εὐχαρίστηση κάτω ἀπὸ σκιά, δη-

τῇ τῶν δινῶν ἀπαλλαγῇ καὶ ἐλευθερίᾳ. Διὰ τοῦτο ἐπήγαγε τό, «Ἐπεσκίασας», τοῦτό τε αὐτὸ δηλῶν, καὶ τὸ εὔκολον τῆς βοηθείας τοῦ Θεοῦ δεικνύς, διὰ τοῦ τῆς σκιᾶς ὀνόματος, ὡσανεὶ ἔλεγεν, ἀρκεῖ παρεῖναί σε μόνον, καὶ πάντα λέλυται.

«Μὴ παραδῷς με, Κύριε, ἀπὸ τῆς ἐπιθυμίας μου ἁμαρτωλῷ». Ἄλλος, «Μὴ δῷς, Κύριε, τὰς ἐπιθυμίας τοῦ παρανόμου». Ὃ δὲ λέγει, τοῦτό ἐστι· μὴ δῷς ἀπὸ τῆς ἐπιθυμίας τῆς κατ' ἐμοῦ, τουτέστιν, ἃ ἐπιθυμεῖ κατ' ἐμοῦ, ταῦτα μὴ ἀφῇς αὐτὸν πληρῶσαι. Καὶ οὐκ εἶπεν, 'ἃ ἐπιθυμεῖ', ἀλλ', «Ἀπὸ τῆς ἐπιθυμίας μου», τοιοῦτόν τι βουλόμενος δηλῶσαι· μηδὲ μικρόν τι δῷς ὧν ἐπιθυμεῖ. Τοιοῦτοι γὰρ οἱ πονηροί· μετὰ πολλῆς τῆς ἐπιθυμίας τὴν κατὰ τῶν πλησίον ἐργάζονται ἐπιβουλήν, καθάπερ καὶ ὁ διάβολος, περὶ οὗ φησιν, ὅτι «Περιέρχεται ὡς λέων ὠρυόμενος, ζητῶν τίνα καταπίῃ». Οὕτω μετ' ἐπιθυμίας προσέβαλε τῷ Ἰώβ· οὕτως ἐβουλεύετο τῷ Πέτρῳ προσβαλεῖν· διὸ καὶ ἔλεγε· «Ποσάκις ἐξῃτήσατό σε ὁ σατανᾶς σινιάσαι σε ὡς τὸν σῖτον;». Εἶδες πόσην εἶχεν ἐπιθυμίαν; Εἰσὶ καὶ ἄνθρωποι ἐκείνου ζηλοῦντες κακίαν ὑπὸ βασκανίας καὶ φθόνου, καὶ τοῦ χαίρειν ἐπὶ κακοῖς. Οὓς καὶ ταλανίζει ἡ Γραφὴ λέγουσα, «Οὐαὶ οἱ εὐφραινόμενοι ἐπὶ κακοῖς, οἱ χαίροντες ἐπὶ διαστροφῇ κακῶν»· καὶ μάλα εἰκότως· διεφθαρμένης γὰρ τοῦτο διανοίας. Εἰ γὰρ καὶ ἀλγεῖν δεῖ, καὶ στένειν, καὶ θρηνεῖν ἐπὶ τοῖς ἀπολλυμένοις, τίνα ἂν σχοῖεν συγγνώμην, ποίαν δὲ ἀπολογίαν, οἱ μὴ μόνον οὐ συναλγοῦντες, ἀλλὰ καὶ χαίροντες; Οὐκ εἶδες, ὅτι καὶ αὐτὸς ὁ κολάζειν μέλλων Χριστὸς δακρύει τὴν Ἰερουσαλὴμ ἀπολλυμένην; οὐχ ὁρᾷς καὶ Παῦλον στένον-

5. Α' Πέτρ. 5, 8.
6. Λουκᾶ 22, 31.
7. Παροιμ. 2, 14.

λαδή, μὲ τὴν ἀπαλλαγὴ καὶ τὴν ἐλευθερία ἀπὸ τὰ κακά. Γι' αὐτὸ πρόσθεσε τό, «Μὲ ἐπεσκίασες», καὶ γιὰ νὰ δηλώσει αὐτὸ ἀκριβῶς, καὶ γιὰ νὰ δείξει τὸ εὔκολο τῆς βοήθειας τοῦ Θεοῦ, μὲ τὸ ὄνομα τῆς σκιᾶς, καὶ εἶναι σὰν νὰ ἔλεγε, ἀρκεῖ μόνο ἡ παρουσία σου καὶ τὰ πάντα διαλύονται.

«Μὴ μὲ παραδώσεις, Κύριε, ἀντίθετα μὲ τὴν ἐπιθυμία μου, σὲ ἁμαρτωλό». Ἄλλος, «Μὴ μὲ παραδώσεις, Κύριε, στὶς ἐπιθυμίες τοῦ παράνομου». Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· μὴ ἐπιτρέψεις νὰ ἱκανοποιήσει τὶς ἐπιθυμίες του ἐναντίον μου, δηλαδή, αὐτὰ ποὺ ἐπιθυμεῖ ἐναντίον μου, αὐτὰ μὴ ἐπιτρέψεις νὰ τὰ πραγματοποιήσει. Καὶ δὲν εἶπε 'αὐτὰ ποὺ ἐπιθυμεῖ', ἀλλὰ «'Απὸ τῆς ἐπιθυμίας μου», θέλοντας νὰ δηλώσει αὐτὸ ἀκριβῶς· μὴ ἐπιτρέψεις νὰ κάμει τίποτε τὸ παραμικρὸ ἀπὸ αὐτὰ ποὺ ἐπιθυμεῖ. Διότι τέτοιοι εἶναι οἱ κακοί· μὲ μεγάλη ἐπιθυμία πραγματοποιοῦν τὴν ἐναντίον τοῦ πλησίον τους ἐπιβουλή, ὅπως ἀκριβῶς καὶ ὁ διάβολος, γιὰ τὸν ὁποῖο λέγει, ὅτι «Περιφέρεται σὰν λεοντάρι ποὺ οὐρλιάζει ζητώντας νὰ βρεῖ ποιὸν νὰ καταπιεῖ»[5]. Μὲ τόσο μεγάλη ἐπιθυμία ἐπιτέθηκε ἐναντίον τοῦ Ἰώβ· μὲ τόσο μεγάλη μανία ἤθελε νὰ προσβάλει τὸν Πέτρο· γι' αὐτὸ καὶ ἔλεγε· «Πόσες φορὲς σὲ ζήτησε ὁ σατανᾶς γιὰ νὰ σὲ κοσκινίσει σὰν τὸ σιτάρι;»[6]. Εἶδες πόση ἐπιθυμία εἶχε; Ὑπάρχουν καὶ ἄνθρωποι ποὺ ἐπιθυμοῦν τὴν κακία ἐκείνου κινούμενοι ἀπὸ μίσος καὶ φθόνο καὶ ἀπὸ χαρὰ νὰ βλέπουν κακὰ στοὺς ἄλλους. Αὐτοὺς τοὺς ταλανίζει ἡ Γραφή, λέγοντας· «'Αλοίμονο σ' ἐκείνους ποὺ εὐχαριστοῦνται νὰ βλέπουν νὰ συμβαίνουν στοὺς ἄλλους κακά, σ' ἐκείνους ποὺ χαίρονται ἀπὸ μοχθηρία γιὰ τὰ κακὰ τῶν ἄλλων»[7]· καὶ πολὺ εὔλογα· διότι αὐτὸ εἶναι γνώρισμα διεφθαρμένης διάνοιας. Διότι ἂν πρέπει καὶ νὰ πονᾶ κανένας καὶ νὰ στενάζει καὶ νὰ θρηνεῖ γι' αὐτοὺς ποὺ χάνονται, ποιὰ συγγνώμη θὰ μποροῦσαν νὰ ἔχουν, ποιὰ ἀπολογία, ἐκεῖνοι ποὺ ὄχι μόνο δὲν δείχνουν συμπόνια, ἀλλὰ καὶ χαίρονται; Δὲν εἶδες, ὅτι καὶ ὁ ἴδιος ὁ Χριστός, ποὺ ἐπρόκειτο νὰ τιμωρήσει, δακρύζει γιὰ τὴν καταστροφὴ τῆς Ἰερουσαλήμ; δὲν βλέπεις καὶ τὸν Παῦλο νὰ στενάζει καὶ νὰ θρηνεῖ γιὰ τὴν ἀπώ-

τα, καὶ θρηνοῦντα ταῖς ἑτέρων ἀπωλείαις καὶ πενθοῦντα; Ἀλλ' εἰσί τινες οὕτω διεφθαρμένοι, ὡς τῶν ἰδίων κακῶν παραμυθίαν ἡγεῖσθαι τὰς ἀλλοτρίας συμφοράς.

«Διελογίσαντο κατ' ἐμοῦ, μὴ ἐγκαταλίπῃς με, μήποτε ὑψωθῶσιν ἀεί». Τὸ γὰρ «Διάψαλμα» τοῦτό ἐστιν. Ἄλλος, «Μὴ ἀποβαίῃς, μήποτε ὑψωθῶσι». Τοῦτο τῆς μιαρᾶς καὶ ἐφθαρμένης γνώμης, ὅταν καὶ βουλῆς καὶ σχολῆς καὶ μελέτης δέωνται πρὸς τὴν κακίαν. Οὐ γὰρ ἀρκεῖ τὰ ἀπὸ συναρπαγῆς γινόμενα· οὐ γὰρ ἱκανὰ τὰ κατὰ προπέτειαν ἡμᾶς ἀπολέσαι, ἀλλὰ καὶ βουλῆς σοι καὶ χρόνου καὶ σκέψεως δεῖ πρὸς τὴν κακίαν. Ποίαν οὖν ἕξεις ἀπολογίαν, μελέτην ποιούμενος τὴν πονηρίαν, καὶ βουλὴν τιθέμενος ὑπὲρ τῆς τῶν κακῶν ἐργασίας, καὶ κοινωνοὺς λαμβάνων; Ἀλλ' ὅρα τὴν τούτου ταπεινοφροσύνην. Οὐ γὰρ εἶπε, μὴ ἐγκαταλίπῃς με, ὅτι ἄξιός εἰμι, μὴ ἐγκαταλίπῃς με διὰ τὴν τοῦ βίου ἀρετήν, ἀλλὰ τί; «Μήποτε ὑψωθῶσιν», ὥστε μὴ ἀλαζονικωτέρους γενέσθαι, καὶ εἰς πλείονα ἀπόνοιαν ἀρθῆναι διὰ τῆς ἐμῆς ἐγκαταλείψεως.

4. «Ἡ κεφαλὴ τοῦ κυκλώματος αὐτῶν, κόπος τῶν χειλέων αὐτῶν καλύψει αὐτούς». Ἄλλος, «Ὁ πικρασμὸς τῶν κυκλούντων με, ὁ μόχθος τῶν χειλέων αὐτῶν πωμασάτω αὐτούς». Κύκλωμα ἐνταῦθα τὸν σύλλογον λέγει, τὸ συνέδριον, τὸ πονηρὸν ἐργαστήριον, τὰ διεφθαρμένα βουλεύματα. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· αὐτὰ τὰ πονηρὰ βουλεύματα, καὶ τὸ κεφάλαιον τῆς πονηρίας καὶ διεφθαρμένης γνώμης, αὐτὸ αὐτοὺς καταδύσειε καὶ ἀπολέσει. «Κόπος τῶν χειλέων αὐτῶν». Κόπον ἐνταῦθα τὴν πονηρίαν καλεῖ. Καὶ γὰρ τοιοῦτον ἡ πονηρία· αὐτῷ τῷ κεκτημένῳ γίνεται ὄλεθρος, καὶ ὑποβρύχιον αὐτὸν ἐργάζεται. Τοῦτο γέγονεν

---

8. Δηλαδή, πάντοτε.

λεια τῶν ἄλλων καὶ νὰ πενθεῖ; Ἀλλ' ὑπάρχουν μερικοὶ τόσο διεφθαρμένοι, ὥστε νὰ θεωροῦν, σὰν παρηγοριὰ γιὰ τὰ δικά τους κακά, τὶς συμφορὲς τῶν ξένων.

«Σκέφθηκαν κακὰ ἐναντίον μου, μὴ μὲ ἐγκαταλείψεις, μὴ τυχὸν καὶ διαρκέσει ἐπ' ἄπειρο ἡ ὑπερηφάνεια τους». Διότι τὸ «Διάψαλμα», αὐτὸ σημαίνει[8]. Ἄλλος, «Μὴ φεύγεις ἀπὸ κοντά μου, μήπως ὑπερηφανευθοῦν». Αὐτὸ εἶναι γνώρισμα τῆς βδελυρῆς καὶ διεφθαρμένης γνώμης τους, ὅταν χρησιμοποιοῦν γιὰ τὴν πραγματοποίηση τῆς κακίας καὶ τὴ σκέψη τους καὶ τὴν ὅλη φροντίδα τους καὶ τὴ μελέτη τους. Διότι δὲν ἐπαρκοῦν τὰ ὅσα συμβαίνουν κατὰ τρόπο ξαφνικό· διότι δὲν εἶναι ἱκανὰ νὰ μᾶς καταστρέψουν τὰ ἀπροσδόκητα, ἀλλὰ γιὰ τὴν πραγματοποίηση τῆς κακίας χρειάζεται καὶ ἡ θέλησή σου καὶ ὁ χρόνος καὶ ἡ σκέψη σου. Ποιὰ λοιπὸν ἀπολογία θὰ ἔχεις, ὅταν διαπράττεις τὴν κακία μὲ προμελέτη καὶ χρησιμοποιεῖς τὴ θέλησή σου στὴν διάπραξη τῶν κακῶν καὶ παίρνεις μαζί σου καὶ συνεργάτες; Ἀλλὰ πρόσεχε τὴν ταπεινοφροσύνη αὐτοῦ. Διότι δὲν εἶπε, 'μὴ μὲ ἐγκαταλείψεις, διότι εἶμαι ἄξιος, μὴ μὲ ἐγκαταλείψεις ἐξ αἰτίας τῆς ἐνάρετης ζωῆς μου', ἀλλὰ τί; «Μὴ τυχὸν καὶ κυριευθοῦν ἀπὸ ἀλαζονεία», γιὰ νὰ μὴ γίνουν περισσότερο ἀλαζονικοί, καὶ φθάσουν σὲ μεγαλύτερη ἀνοησία ἐξ αἰτίας τῆς ἐγκαταλείψεώς μου ἐκ μέρους σου.

4. «Τὸ ἀποκορύφωμα αὐτὸ τῆς κακίας αὐτῶν τῶν διεφθαρμένων ποὺ μὲ περικυκλῶνουν, ἡ ἴδια ἡ κακία ποὺ βγαίνει ἀπὸ τὰ χείλη τους θὰ τοὺς ὁδηγήσει στὴν ἀπώλεια». Ἄλλος, «Ἡ κακία αὐτῶν ποὺ μὲ περικυκλῶνουν, ἡ κακία ποὺ πηγάζει ἀπὸ τὰ χείλη τους θὰ τοὺς σκεπάσει». Κύκλωμα ἐδῶ ὀνομάζει τὸ σύλλογο, τὸ συνέδριο, τὸ πονηρὸ ἐργαστήρι, τὶς διεφθαρμένες ἀποφάσεις. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Αὐτὲς οἱ γεμάτες ἀπὸ κακία ἀποφάσεις, καὶ τὸ ἀποκορύφωμα τῆς κακίας τους καὶ τῆς διεφθαρμένης γνώμης τους, αὐτὸ ἄς τοὺς καταθάψει καὶ ἄς τοὺς καταστρέψει. «Κόπος τῶν χειλέων αὐτῶν». Κόπο ἐδῶ ὀνομάζει τὴν κακία. Καθόσον τέτοια εἶναι ἡ κακία· γίνεται καταστροφὴ γι' αὐτὸν ποὺ τὴν κατέχει καὶ τὸν

ἐπὶ τοῦ Δαυίδ. Μυρίοις γὰρ αὐτὸν προσεδόκησαν περιβαλεῖν κινδύνοις· ὁ δὲ λαμπρότερος ἦν. Ναί, φησίν, ἀλλ' οὐ τοῦτο ζητῶ, ἀλλὰ πῶς τῇ οἰκείᾳ αὐτῶν βουλήσει βουλευσάμενοι περιεπάρησαν καὶ ἀπώλοντο, δεῖξον, καὶ ποῦ αὐτὸ συνέβη, εἰπέ. Ἐπὶ τῶν ἀδελφῶν τοῦ Ἰωσήφ. Βουλόμενοι γὰρ αὐτὸν ποιῆσαι δοῦλον καὶ ἀπολέσαι, περὶ τῶν ἐσχάτων αὐτοὶ ἐκινδύνευσαν. Καίτοι καὶ εἰς δουλείαν καὶ εἰς θάνατον τό γε αὐτῶν ἐνέπεσε μέρος. Καὶ ὁ Ἀβεσσαλὼμ βουλόμενος διὰ τῆς τυραννίδος ἀπολέσαι τὸν πατέρα, διὰ ταύτης αὐτὸς ἑάλω.

«Πεσοῦνται ἐπ' αὐτοὺς ἄνθρακες πυρός· ἐν πυρὶ καταβαλεῖς αὐτούς». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἱκανὴ μὲν καὶ αὐτὴ ἡ πονηρία διαφθεῖραι τοὺς κυκλοῦντας αὐτήν, μετὰ δὲ ταύτην καὶ τὴν θεήλατον ὑποστήσονται ὀργήν. Ἄνθρακας δὲ πυρὸς ἐνταῦθα καὶ πῦρ τὴν ἄνωθεν λέγει φερομένην τιμωρίαν. Πολλάκις δὲ καὶ ἐπ' αὐτοῦ τοῦ πυρὸς γέγονεν, ὡς ἐπὶ τοῦ Δαθάν, καὶ Κορέ, καὶ Ἀβειρών, καὶ ἐπὶ τῶν κυκλωμάτων τὴν κάμινον τὴν βαβυλωνίαν. «Ἐν ταλαιπωρίαις, καὶ οὐ μὴ ὑποστῶσιν». Ἕτερος, «Πεσοῦνται εἰς βοθύνους, μήποτε ἀναστῶσιν». Ἄλλος, «Ἐσπευσμένως, καὶ οὐ μὴ ἀνασταῖεν». Κατὰ μὲν οὖν τὸν ἕνα ἑρμηνευτὴν τοιοῦτόν τί ἐστι τὸ λεγόμενον· οὕτως αὐτοὺς ἀπώλεσον, ὥστε μηκέτι ἀναστῆναι. Κατὰ δὲ τὸν ἄλλον, μετὰ πολλοῦ τοῦ τάχους· τοῦτο γάρ ἐστι τό, «Ἐσπευσμένως».

«Ἀνὴρ γλωσσώδης οὐ κατευθυνθήσεται ἐπὶ τῆς γῆς». Εἰπὼν περὶ τῆς ὀργῆς τοῦ Θεοῦ, πάλιν δείκνυσιν, ὅτι καὶ αὐτὴ καθ' ἑαυτὴν ἡ κακία ἱκανὴ διαφθεῖραι τοὺς ἔχοντας. Οὐ μικρὸν δὲ καὶ τοῦτο εἶδος πονηρίας, τὸ προπετῆ εἶναι, καὶ τῆς γλώττης μὴ

ἐξαφανίζει τελείως. Αὐτὸ συνέβηκε στὴν περίπτωση τοῦ Δαυίδ. Διότι προσπάθησαν νὰ τὸν περιβάλουν μὲ ἀμέτρητους κινδύνους, αὐτὸς ὅμως κατέστη λαμπρότερος. Ναί, λέγει, ὅμως δὲν ζητῶ αὐτό, ἀλλὰ δεῖξε μου πῶς καταποντίσθηκαν καὶ καταστράφηκαν ἀπὸ τὰ ἴδια τὰ κακὰ σχέδιά τους ποὺ θέλησαν νὰ ἐφαρμόσουν, καὶ πές μου ποὺ συνέβηκε αὐτό. Συνέβηκε στὰ ἀδέλφια τοῦ Ἰωσήφ. Διότι, θέλοντας αὐτοὶ νὰ τὸν κάνουν δοῦλο καὶ νὰ τὸν ἐξαφανίσουν, διέτρεξαν οἱ ἴδιοι τοὺς φοβερότερους κινδύνους. Καὶ πράγματι καὶ αὐτοὶ οἱ ἴδιοι περιέπεσαν σὲ δουλεία καὶ σὲ κατάσταση θανάτου. Καὶ ὁ Ἀβεσσαλὼμ θέλοντας μὲ τὴ βία νὰ καταστρέψει τὸν πατέρα του, ὁ ἴδιος φονεύθηκε κατὰ τρόπο βίαιο.

«Θὰ πέσουν ἐπάνω τους ἀναμμένα κάρβουνα· μὲ τὴ φωτιὰ θὰ τοὺς συντρίψεις». Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Εἶναι μὲν ἱκανὴ καὶ ἡ ἴδια ἡ κακία νὰ καταστρέψει αὐτοὺς ποὺ τὴν περικυκλώνουν, μαζὶ ὅμως μὲ αὐτὴν θὰ ὑποστοῦν καὶ τὴν ἀπὸ τὸ Θεὸ σταλμένη ὀργή. Ἀναμμένα δὲ κάρβουνα ἐδῶ καὶ φωτιὰ ὀνομάζει τὴν ἀπὸ τὸν οὐρανὸ προερχόμενη τιμωρία. Πολλὲς φορὲς δὲ συνέβηκε ἡ τιμωρία τους καὶ μὲ τὴν ἴδια φωτιά, ὅπως στὴν περίπτωση τοῦ Δαθὰν καὶ τοῦ Κορὲ καὶ τοῦ Ἀβειρὼν καὶ ἐκείνων ποὺ εἶχαν περικυκλώσει τὴ βαβυλώνια κάμινο. «Θὰ περιπέσουν σὲ ταλαιπωρίες καὶ δὲν θὰ συνέλθουν ποτέ». Ἄλλος, «Θὰ περιπέσουν σὲ λάκκους καὶ ποτὲ δὲν θὰ σηκωθοῦν». Ἄλλος, «Μὲ μεγάλη ταχύτητα θὰ δεχθοῦν τὴν τιμωρία καὶ δὲν θὰ μπορέσουν νὰ σηκωθοῦν». Κατὰ μὲν τὸν ἕνα λοιπὸν ἑρμηνευτὴ αὐτὴ τὴν ἔννοια ἔχει τὸ λεγόμενο· κατὰ τέτοιο τρόπο τιμώρησέ τους, ὥστε ποτὲ πλέον νὰ μὴ βροῦν τὴ δύναμη νὰ σηκωθοῦν. Κατὰ τὸν ἄλλο δέ, ὅτι αὐτὸ θὰ συμβεῖ μὲ μεγάλη ταχύτητα· διότι αὐτὸ σημαίνει τό, «Ἐσπευσμένως».

«Ἄνθρωπος μὲ συκοφαντικὴ καὶ ὑβριστικὴ γλώσσα δὲν θὰ ἔχει καλὴ ζωὴ ἐπάνω στὴ γῆ». Ἀφοῦ μίλησε γιὰ τὴν ὀργὴ τοῦ Θεοῦ, πάλι δείχνει, ὅτι καὶ αὐτὴ ἡ ἴδια ἡ κακία εἶναι ἱκανὴ νὰ καταστρέψει ἐκείνους ποὺ τὴν ἔχουν. Δὲν εἶναι δὲ καὶ αὐτὸ μικρὸ εἶδος κακίας, τὸ νὰ εἶναι κάποιος αὐθάδης καὶ νὰ μὴ

κρατεῖν. «Γλωσσώδη» γὰρ ἐνταῦθα τὸν ὑβριστὴν λέγει, τὸν φλύαρον, τὸν λοίδορον, τὸν συνεχῶς ὑλακτοῦντα, τὸν οὐδὲν κυνὸς ἄμεινον διακείμενον. Εἰπέ, καὶ τίς ὁ τούτου καρπός. «Οὐ κατευθυνθήσεται», φησίν, ἐπὶ τῆς γῆς». Ἄλλος, «Οὐχ ἑδρασθήσεται»· τουτέστι, περιτραπήσεται, κατενεχθήσεται, ἀπολεῖται. Οὗτος ὁ τοῦ λοιδόρου καρπός· πᾶσι πολέμιος, πᾶσιν ἀηδής, πᾶσιν ἐπαχθὴς καὶ φορτικὸς ὁ τοιοῦτος. Ὥσπερ οὖν ὁ μακρόθυμος, καὶ ἐπιεικής, καὶ σιγᾶν ἐπιστάμενος, ἀσφαλὴς καὶ βεβηκὼς καὶ πᾶσιν ἐπίχαρις, οὕτως ὁ τοιοῦτος σφαλερὸν μέτεισι βίον, μυρίους πανταχόθεν ἐχθροὺς ἐπισπώμενος, καὶ πρὸ τῶν τὴν ψυχὴν ταράττων τὴν ἑαυτοῦ, καὶ οὐκ ἀφιεὶς εἶναι ἐν ἡσυχίᾳ, ἀλλὰ καὶ μηδενὸς ἐνοχλοῦντος, μυρίους πολέμους καὶ θορύβους ἔνδον ἐγείρων.

«Ἄνδρα ἄδικον κακὰ θηρεύσαι εἰς διαφθοράν». Οὕτω καὶ ἄλλος σοφὸς λέγει «Παρανομίαι ἄνδρα ἀγρεύουσιν». Ὅρα πάλιν τὴν κακίαν ἀρκοῦσαν εἰς διαφθορὰν τοῦ ἔχοντος. Ἀλλὰ τίνος ἕνεκεν τὸ τῆς θήρας ἔθηκεν ὄνομα; Ἵνα τὸ ἄφευκτον ἴδῃς, ἵνα κἂν μὴ παραυτίκα ἐμπέσῃς ἀδικῶν, μὴ θαρρήσῃς. Τοιαύτη γὰρ ἡ ἄγρα· οὐκ ἀεὶ ἐπιτυγχάνει, οὐδὲ εὐθέως· ἀλλ' ὅμως κἂν μὴ ἁλῷ τὰ ἄγρια ζῶα καὶ τὰ θηρευόμενα, οὐδὲ οὕτως ἐν ἀσφαλείᾳ τυγχάνει, κἂν μηδέπω τῶν δικτύων ἔνδον γένηται. Οὕτω τοίνυν μηδὲ ψυχὴ θαρρείτω ἄδικα πράττουσα, καὶ μηδέπω ἁλοῦσα· ὀτὲ γὰρ δήποτε ἁλώσεται. Εἰ γὰρ βούλει ἐν ἀσφαλείᾳ εἶναι, παῦσαι ταῦτα πράττων, καὶ πολλῆς ἀπολαύσῃ τῆς ἀδείας. Τί δήποτε δὲ εἶπεν, «Εἰς διαφθοράν»; Ὅταν πολλοὶ καὶ εἰς σωτηρίαν ἐθη-

9. Παροιμ. 5, 22.

συγκρατεῖ τὴ γλώσσα του. Διότι «Γλωσσώδη» ἐδῶ ὀνομάζει τὸν ὑβριστή, τὸν φλύαρο, τὸν κακολόγο, ἐκεῖνον ποὺ συνέχεια γαυγίζει, ἐκεῖνον ποὺ δὲν συμπεριφέρεται καθόλου καλύτερα ἀπὸ τὸν σκύλο. Πὲς καὶ ποιὸς εἶναι ὁ καρπός του. «Δὲν θὰ ἔχει», λέγει, «καλὴ κατεύθυνση ἡ ζωή του ἐπάνω στὴ γῆ». Ἄλλος, «Δὲν θὰ στερεωθεῖ»· δηλαδή, θὰ ἐκτραπεῖ, θὰ κατακρημνισθεῖ, θὰ καταστραφεῖ. Αὐτὸς εἶναι ὁ καρπὸς τοῦ κακόλογου· ὁ παρόμοιος ἄνθρωπος εἶναι ἐχθρὸς ὅλων, εἶναι δυσάρεστος σ' ὅλους, εἶναι βαρετὸς καὶ ἐνοχλητικὸς σ' ὅλους. Ὅπως ἀκριβῶς δηλαδὴ ὁ μακρόθυμος, ὁ ἐπιεικὴς καὶ ἐκεῖνος ποὺ γνωρίζει νὰ σιωπᾶ, εἶναι ἀσφαλὴς καὶ προχωρεῖ μὲ σταθερότητα καὶ εἶναι εὐχάριστος σ' ὅλους, ἔτσι καὶ αὐτὸς ποὺ ζεῖ μιὰ τέτοια ἐσφαλμένη ζωή, προσελκύει ἀπὸ παντοῦ ἀμέτρητους ἐχθρούς, καὶ πρὶν ἀπὸ ὅλα τὰ ἄλλα διαταράσσει τὴν ψυχή του καὶ δὲν τὴν ἀφήνει νὰ ζεῖ μὲ ἡσυχία, ἀλλ', ἐνῶ δὲν τὸν ἐνοχλεῖ κανένας, δημιουργεῖ μέσα του ἀμέτρητους πολέμους καὶ θορύβους.

«Τὸν ἄδικο ἄνθρωπο θὰ τὸν συλλάβουν σὰν θήραμα οἱ συμφορὲς καὶ θὰ τὸν καταστρέψουν». Ὅμοια καὶ ἄλλος σοφὸς λέγει· «Οἱ παρανομίες κάποιου συλλαμβάνουν τὸν ἴδιο ποὺ διαπράττει»[9]. Πρόσεχε πάλι τὴν κακία ποὺ εἶναι ἱκανὴ νὰ καταστρέφει ἐκεῖνον ποὺ τὴν ἔχει. Ἀλλὰ γιὰ ποιὸ λόγο ἀνέφερε τὸ ὄνομα τῆς θήρας; Γιὰ ν' ἀντιληφθεῖς τὸ ἀναπόφευκτο, γιὰ νὰ μὴ πάρεις θάρρος καὶ ἂν ἀκόμα ἀδικώντας δὲν περιπέσεις ἀμέσως στὴν παγίδα. Διότι τέτοια εἶναι ἡ φύση τοῦ κυνηγιοῦ· δὲν πετυχαίνει πάντοτε, οὔτε καὶ ἀμέσως· ἀλλ' ὅμως, καὶ ἂν δὲν συλλάβει τὰ ἄγρια ζῶα καὶ τὰ κυνηγούμενα, οὔτε ἔτσι εἶναι σὲ ἀσφάλεια αὐτά, καὶ ἂν ἀκόμα δὲν βρίσκονται μέσα στὰ δίχτυα. Κατὰ τὸν ἴδιο λοιπὸν τρόπο οὔτε ἡ ψυχὴ νὰ παίρνει θάρρος διαπράττοντας ἀδικίες καὶ ἂν ἀκόμα δὲν ἔχει συλληφθεῖ· διότι ὁπωσδήποτε θὰ συλληφθεῖ κάποτε. Ἂν βέβαια θέλεις νὰ εἶσαι ἀσφαλής, πάψε νὰ κάμνεις αὐτά, καὶ θ' ἀπολαύσεις μεγάλη ἀφοβία. Ἀλλὰ γιατί τέλος πάντων εἶπε, «Εἰς διαφθοράν»; Διότι πολλῶν ἡ σύλληψη ἔγινε αἰτία σωτηρίας, ὅ-

ρεύθησαν· ὡς οἱ παρὰ τῶν ἀποστόλων, ὡς οἱ παρὰ τῶν ἁγίων ἀνδρῶν. Ἀλλ' οὐχ οἱ πονηροί, ὅταν ὑπὸ τῆς κακίας θηρεύωνται· ἀλλ' ἐπ' ἀπωλείᾳ καὶ διαφθορᾷ. Καὶ διὰ τί οὐ παρὰ πόδας τῆς κακίας ἕπεται τὰ τῆς τιμωρίας; Διὰ τὴν τοῦ Δεσπότου φιλανθρωπίαν. Εἰ γὰρ ἐβούλετο τῶν ἁμαρτανόντων ἕκαστον εὐθέως ὑπὸ τὴν τιμωρίαν ἄγειν, προανηρπάσθη ἂν τὸ πλέον γένος τῶν ἀνθρώπων.

«Ἔγνων ὅτι ποιήσει Κύριος τὴν κρίσιν τῶν πτωχῶν, καὶ τὴν δίκην τῶν πενήτων. Πλὴν δίκαιοι ἐξομολογήσονται τῷ ὀνόματί σου, καὶ κατοικήσουσιν εὐθεῖς σὺν τῷ προσώπῳ σου». Ἄλλος, «Παρὰ τῷ προσώπῳ σου». Ἀντὶ δὲ τοῦ «Κατοικήσουσι», «Διανεμοῦσιν» ἕτερος λέγει, καὶ ἄλλος, «Καθεδοῦνται»· ἀντὶ δὲ τοῦ «Ἔγνων», «Οἶδα». Ἐπειδὴ γὰρ εἶπεν, ὅτι θηρεύσει, καὶ ὅτι ἀπολοῦνται, καὶ οὐκ εὐθέως δείκνυσι τὴν τιμωρίαν ἐπαγομένην, ἵνα μηδεὶς διὰ τοῦτο τῶν παχυτέρων ῥᾳθυμότερος γένηται, ἐπήγαγε τό, «Οἶδα», δεικνὺς ὅτι πάντως ἔσται τοῦτο. Οὐ γὰρ μενεῖ τὰ τῶν ἀδικουμένων ἀνεκδίκητα. Πτωχοὺς δὲ ἐνταῦθα οὐχ ἁπλῶς τοὺς πένητας καλεῖ, ἀλλὰ τοὺς σφόδρα ταπεινούς, τοὺς συντετριμμένους. Ταῦτα δὲ λέγει, καὶ τοὺς ἀδικουμένους παραμυθούμενος, καὶ τοὺς ἀδικοῦντας σωφρονίζων, ἵνα μήτε ἐκεῖνοι τῇ μελλήσει ἀπογνῶσι, μήτε οὗτοι διὰ τὴν ἀναβολὴν ῥᾳθυμότεροι γένωνται. Ἡ γὰρ ἀναβολὴ εἰς μετάνοιαν ἄγει, τὸν δὲ ἐπιμένοντα χαλεπώτερον κολάζει· καὶ μάλα δικαίως. Διὰ τί; Ὅτι τοσαύτης ἀπολαύσαντες ἀγαθότητος, οὐκ ἐγένοντο βελτίους. Ἐννόησον γὰρ ὅση τοῦ Θεοῦ φιλανθρωπία, ὅταν τοὺς ἀνακειμέ-

πως ἐκεῖνοι ποὺ θηρεύθηκαν ἀπὸ τοὺς ἀποστόλους, ὅπως ἐκεῖνοι ποὺ θηρεύθηκαν ἀπὸ τοὺς ἅγιους ἄνδρες. Ὅμως δὲν συμβαίνει τὸ ἴδιο καὶ μὲ τοὺς κακούς, ὅταν συλλαμβάνονται ἀπὸ τὴν κακία, ἀλλ' ἡ σύλληψή τους γίνεται αἰτία ἀπώλειας καὶ καταστροφῆς. Καὶ γιὰ ποιὸ λόγο δὲν ἀκολουθοῦν τὰ τῆς τιμωρίας ἀμέσως μετὰ τὴν διάπραξη τῆς κακίας; Ἐξ αἰτίας τῆς φιλανθρωπίας τοῦ Κυρίου. Διότι, ἐὰν ἤθελε τὸν καθένα ἀπὸ τοὺς ἁμαρτάνοντες νὰ τὸν τιμωρεῖ ἀμέσως, θὰ εἶχε ἀπὸ πολὺ πρὶν ἁρπαχθεῖ καὶ ὁδηγηθεῖ στὴν ἀπώλεια τὸ μεγαλύτερο μέρος τοῦ ἀνθρώπινου γένους.

«Γνωρίζω πολὺ καλὰ ὅτι ὁ Κύριος θὰ βγάλει δίκαια ἀπόφαση κρίνοντας τοὺς φτωχοὺς καὶ θὰ δικαιώσει τοὺς φτωχούς. Καὶ ὁπωσδήποτε οἱ δίκαιοι θὰ δοξολογήσουν τὸ ὄνομά σου καὶ θὰ κατοικήσουν οἱ ἀγαθοὶ ἄνθρωποι μαζὶ μὲ τὸ πρόσωπό σου». Ἄλλος, «κοντὰ στὸ πρόσωπό σου». Ἀντὶ δὲ τοῦ, «θὰ κατοικήσουν», ἄλλος λέγει, «θὰ διαμείνουν», καὶ ἄλλος, «θὰ καθήσουν»· ἀντὶ δὲ τοῦ «Γνώρισα», λέγει, «Γνωρίζω». Διότι, ἐπειδὴ εἶπε, ὅτι θὰ τοὺς θηρεύσει, καὶ ὅτι θὰ καταστραφοῦν, καὶ δὲν παρουσιάζει ἀμέσως νὰ ἐπιβάλλεται ἡ τιμωρία, γιὰ νὰ μὴ γίνει ἐξ αἰτίας αὐτοῦ κανένας ἀπὸ τοὺς πνευματικὰ κατώτερους πιὸ ἀδιάφορος, πρόσθεσε τό, «Γνωρίζω», γιὰ νὰ δείξει ὅτι ὁπωσδήποτε θὰ συμβεῖ αὐτό. Διότι δὲν θὰ μείνουν ἀτιμώρητα τὰ ἀδικήματα σὲ βάρος τῶν ἀδικουμένων. Φτωχοὺς δὲ ἐδῶ ὀνομάζει ὄχι ἁπλῶς τοὺς φτωχούς, ἀλλὰ τοὺς πάρα πολὺ ταπεινούς, ποὺ ἔχουν καρδιὰ συντριμμένη. Αὐτὰ δὲ τὰ λέγει καὶ παρηγορώντας τοὺς ἀδικουμένους, καὶ σωφρονίζοντας ἐκείνους ποὺ ἀδικοῦν, ὥστε οὔτε οἱ ἀδικούμενοι νὰ κυριευθοῦν ἀπὸ ἀπόγνωση ἐξ αἰτίας τῆς ἀναβολῆς τῆς τιμωρίας, οὔτε αὐτοὶ ποὺ ἀδικοῦν νὰ γίνουν πιὸ ἀδιάφοροι ἐξ αἰτίας τῆς ἀναβολῆς. Διότι ἡ ἀναβολὴ ὁδηγεῖ σὲ μετάνοια, ἐνῶ ἐκεῖνον ποὺ ἐπιμένει νὰ ἀδικεῖ τὸν τιμωρεῖ φοβερότερα· καὶ πάρα πολὺ δίκαια. Γιατί; Διότι, ἂν καὶ ἀπόλαυσαν τόση ἀγαθότητα, δὲν ἔγιναν καλύτεροι. Διότι σκέψου πόση εἶναι ἡ φιλανθρωπία τοῦ Θεοῦ, ὅταν ἀνέχεται νὰ κακοπαθοῦν οἱ ἀφοσιωμένοι σ' αὐτόν, καὶ δὲν προχωρεῖ

νους αὐτῷ ἀνέχηται πάσχειν κακῶς, καὶ μὴ ἐπεξίῃ, τῇ μετανοίᾳ σε βελτίω ποιῆσαι βουλόμενος».

«Πλὴν δίκαιοι ἐξομολογήσονται τῷ ὀνόματί σου». Τί ἐστιν ὃ λέγει; Ὅπερ ἂν γένηται, φησίν, ἐκεῖνοι εὐχαριστήσουσι· κἂν τοὺς ταπεινοὺς ἴδωσιν ἐπηρεαζομένους, καὶ τοὺς πονηροὺς ἐπαιρομένους, οὐκ ἀπαιτήσουσιν εὐθύνας τῶν γινομένων. Τοῦτο γὰρ δικαίων μάλιστα, τὸ διαπαντὸς καὶ ἐν ἅπασιν εὐχαριστεῖν. «Καὶ κατοικήσουσιν εὐθεῖς σὺν τῷ προσώπῳ σου» τουτέστι, τῆς βοηθείας ἀπολαύσαντες τῆς παρὰ σοῦ, τὴν ἔννοιαν ἔχοντες τὴν περὶ σοῦ, ἀεὶ μετὰ σοῦ ὄντες, οὐδέποτε ἀποστήσονται· ὅπερ ἂν γένηται, οὐδέποτε δυσχερανοῦσιν, οὐδέποτε μέμψονται τοῖς γινομένοις. Τοῦτο γὰρ ψυχῆς ἀπεριτρέπτου, τοῦτο γνώμης ἀκλινοῦς, μὴ ἀπαιτεῖν τὸν Δεσπότην εὐθύνας. Διὸ καὶ Παῦλος ἔλεγε· «Μενοῦν γε, ὦ ἄνθρωπε, σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; Μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι, τί με ἐποίησας οὕτως;

Ταύτην τοίνυν καὶ ἡμεῖς διαπαντὸς τηρῶμεν τὴν εὐγνωμοσύνην, ὑπὲρ πάντων εὐχαριστοῦντες τῷ Θεῷ· ὅτι αὐτῷ ἡ δόξα, καὶ ἡ εὐχαριστία, καὶ ἡ προσκύνησις, νῦν καὶ ἀεί, καὶ εἰς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

10. Ρωμ. 9, 20.

στὴν τιμωρία σου, θέλοντας μὲ τὴ μετάνοια νὰ σὲ κάνει καλύτερο.

«Παρ' ὅλα αὐτὰ ὅμως οἱ δίκαιοι θὰ δοξολογήσουν τὸ ὄνομά σου». Τί σημαίνει αὐτὸ ποὺ λέγει; Ὅ,τι καὶ ἂν συμβεῖ, λέγει, ἐκεῖνοι θὰ σὲ εὐχαριστήσουν· καὶ ἂν ἀκόμα δοῦν τοὺς ταπεινοὺς νὰ δοκιμάζονται, καὶ τοὺς κακοὺς νὰ ὑπερηφανεύονται, δὲν θὰ ζητήσουν εὐθύνες γι' αὐτὰ ποὺ συμβαίνουν. Διότι αὐτὸ εἶναι πρὸ πάντων τὸ γνώρισμα τῶν δικαίων, τὸ νὰ εὐχαριστοῦν διαρκῶς καὶ γιὰ ὅλα τὸ Θεό. «Καὶ θὰ κατοικήσουν οἱ δίκαιοι μαζὶ μὲ τὸ πρόσωπό σου»· δηλαδὴ θ' ἀπολαύσουν τὴ βοήθειά σου, θὰ ἔχουν στὴ σκέψη τους ἐσένα, πάντοτε θὰ εἶναι μαζί σου, ποτὲ δὲν θ' ἀπομακρυνθοῦν ἀπὸ κοντά σου· ὅ,τι καὶ ἂν συμβεῖ, ποτὲ δὲν θὰ δυσανασχετήσουν, ποτὲ δὲν θὰ κατηγορήσουν τὰ ὅσα συμβαίνουν. Αὐτὸ εἶναι γνώρισμα ψυχῆς σταθερῆς, αὐτὸ εἶναι δεῖγμα ἀκλόνητης γνώμης, τὸ νὰ μὴ ζητεῖ εὐθύνες ἀπὸ τὸν Κύριο. Γι' αὐτὸ καὶ ὁ Παῦλος ἔλεγε· «Καὶ λοιπόν, ἄνθρωπε, σὺ ποιὸς εἶσαι ποὺ προβάλλεις ἀντιρρήσεις στὸ Θεό; Μήπως μπορεῖ τὸ πλάσμα νὰ πεῖ στὸν πλάστη του, γιατί μὲ ἔκανες ἔτσι;»[19].

Αὐτὴ λοιπὸν τὴν εὐγνωμοσύνη ἂς ἐκδηλώνουμε πάντοτε καὶ ἐμεῖς, εὐχαριστώντας τὸ Θεὸ γιὰ ὅλα, διότι σ' αὐτὸν ἀνήκει ἡ δόξα καὶ ἡ εὐχαριστία καὶ ἡ προσκύνηση, τώρα καὶ πάντοτε καὶ στοὺς ἀτελείωτους αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟΝ ΡΜ' ΨΑΛΜΟΝ.

«Κύριε ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου· πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου».

1. Τούτου τοῦ ψαλμοῦ τὰ μὲν ῥήματα ἅπαντες, ὡς εἰπεῖν, ἴσασι, καὶ διὰ πάσης ἡλικίας διατελοῦσι ψάλλοντες, τὴν δὲ διάνοιαν τῶν εἰρημένων ἀγνοοῦσιν. Ὅπερ οὐ μικρὸν εἰς κατηγορίας λόγον, τὸ καθ' ἑκάστην ἡμέραν ψάλλοντας, μὴ ζητῆσαι τῶν νοημάτων τὴν δύναμιν τῶν ἐναποκειμένων τοῖς ῥήμασιν. Ἀλλ' ὕδωρ μέν τις διαυγὲς καὶ καθαρὸν ὁρῶν, οὐκ ἂν ἀνάσχοιτο μὴ προσελθεῖν, καὶ ἅψασθαι, καὶ πιεῖν· καὶ εἰς λειμῶνά τις συνεχῶς εἰσιών, οὐκ ἂν ὑπομείνειε μὴ συλλέξας τι τῶν ἀνθῶν ἐξελθεῖν, ὑμεῖς δὲ ἐκ πρώτης ἡλικίας εἰς ἔσχατον γῆρας τοῦτον μελετῶντες τὸν ψαλμὸν διατελεῖτε, τὰ ῥήματα εἰδότες μόνον, καὶ παρακάθησθε θησαυρῷ συνεσκιασμένῳ, καὶ βαλάντιον περιφέρετε ἐσφραγισμένον, καὶ οὐδὲ ὑπὸ πολυπραγμοσύνης παρωξύνθη τις μαθεῖν, τί ποτέ ἐστι τὸ λεγόμενον· οὐκ ἐζήτησεν, οὐκ ἠρεύνησε. Καίτοι γε οὐδὲ ἐκεῖνό ἐστιν εἰπεῖν, σαφής τις ὢν ὁ ψαλμὸς πάντας εἰς ὕπνον ἤγαγε, καὶ οὐκ ἀφῆκε ζητῆσαι τὸ προχείρως κείμενον.

---

* Ψαλμὸς τοῦ Δαυὶδ ποὺ γράφτηκε κατὰ τοὺς χρόνους τῶν διωγμῶν τοῦ Σαούλ. Ἀποτελεῖ παράκληση τοῦ ψαλμωδοῦ νὰ τὸν προφυλάξει ἀπὸ τὰ παραπτώματα, στὰ ὁποῖα τὸν ὠθοῦν οἱ ἁμαρτωλοί, μὲ τοὺς ὁποίους δὲν θέλει νὰ ἑ-

ΟΜΙΛΙΑ

ΣΤΟ ΡΜ′ ΨΑΛΜΟ*

«Κύριε, φώναξα δυνατὰ πρὸς ἐσένα· ἄκουσέ με· πρόσεξε τὴ φωνὴ τῆς προσευχῆς μου».

1. Αὐτοῦ τοῦ ψαλμοῦ τὰ μὲν λόγια ὅλοι, ὅπως θὰ μπορούσαμε νὰ ποῦμε, τὰ γνωρίζουν καὶ σ' ὅλη τους τὴ ζωὴ τὰ ψάλλουν διαρκῶς, τὴ σημασία ὅμως τῶν λεγομένων δὲν τὴ γνωρίζουν. Αὐτὸ ἀποτελεῖ ὄχι μικρὴ αἰτία γιὰ κατηγορία, τὸ νὰ τὰ ψάλλουν δηλαδὴ κάθε ἡμέρα καὶ νὰ προφέρουν μὲ τὸ στόμα τους τὰ λόγια, νὰ μὴ ἔχουν ζητήσει δὲ νὰ γνωρίσουν τὴ δύναμη τῶν νοημάτων ποὺ ὑπάρχουν μέσα στὰ λόγια. Ἀλλ' ὅμως, βλέποντας μὲν κάποιος νερὸ κρυστάλλινο καὶ καθαρό, δὲν θὰ μποροῦσε νὰ μὴ τὸ πλησιάσει καὶ νὰ τὸ ἀγγίσει καὶ νὰ τὸ πιεῖ· ἐπίσης καὶ στὸν κῆπο μπαίνοντας κάποιος συνέχεια, δὲν θὰ μποροῦσε νὰ βαστάξει νὰ βγεῖ μέσα ἀπὸ αὐτὸν χωρὶς νὰ μαζέψει κάτι ἀπὸ τὰ ἄνθη, ἐσεῖς ὅμως, ἐνῶ ἀπὸ τὴν πρώτη ἡλικία σας καὶ μέχρι τὰ βαθιὰ γεράματα μελετᾶτε διαρκῶς τὸν ψαλμὸ αὐτό, γνωρίζετε μόνο τὰ λόγια, καί, ἐνῶ κάθεσθε κοντὰ σὲ θησαυρὸ παραχωμένο καὶ κουβαλάτε μαζί σας θησαυροφυλάκιο σφραγισμένο, ὅμως δὲν παρακινήθηκε κανένας οὔτε καὶ ἀπὸ περιέργεια νὰ μάθει, τί τέλος πάντων σημαίνουν τὰ λόγια αὐτά· δὲν τὸ ζήτησε οὔτε τὸ ἐρεύνησε. Ἂν καὶ βέβαια οὔτε καὶ ἐκεῖνο μπορεῖ κάποιος νὰ πεῖ, ὅτι, ἐπειδὴ εἶναι σαφὴς ὁ ψαλμός, τοὺς ὑπνότισε ὅλους καὶ δὲν τοὺς ἄφησε νὰ ἐρευνήσουν τὸ τόσο ἁπλὸ κείμενο.

χει καμιὰ σχέση, καὶ ἐκφράζει τὴ βεβαιότητά του ὅτι αὐτοὶ θὰ τιμωρηθοῦν. Τέλος ζητᾶ νὰ τὸν φυλάξει ἀπὸ τὶς ἐπιβουλὲς καὶ τὶς παγίδες τῶν ἐχθρῶν του.

Καὶ γάρ ἐστιν ἀσαφής, καὶ ἱκανὸς διεγεῖραι τὸν μὴ σφόδρα καθεύδοντα, μᾶλλον δὲ καὶ τὸν καθεύδοντα. Τί γάρ ἐστι τό, «Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας»; τί δὲ τό, «Παιδεύσει με δίκαιος ἐν ἐλέει, καὶ ἐλέγξει με»; Τὸ δὲ μετὰ τοῦτο, εἰπέ μοι, οὐκ ἔστι παντὸς ζόφου ζοφωδέστερον; «Ὅτι ἔτι καὶ ἡ προσευχή μου ἐν ταῖς εὐδοκίαις αὐτῶν. Κατεπόθησαν ἐχόμενα πέτρας οἱ κριταὶ αὐτῶν». Ἀλλ' ὅμως τοσούτων ὄντων ἀσαφῶν, ὥσπερ τινὰ ᾠδὴν ἁπλῶς παρατρέχουσιν οἱ πολλοί. Ἀλλ' ἵνα μὴ τὴν κατηγορίαν ἐπὶ πλεῖον ἐπιτείνοντες, φορτικὸν τὸν λόγον ἐργασώμεθα, φέρε δὴ πρὸς τὴν ἔρευναν τῶν εἰρημένων βαδίσωμεν.

Ἀλλὰ προσέχετε μετὰ ἀκριβείας· οὐδὲ γὰρ ἁπλῶς οἶμαι τὸν ψαλμὸν τοῦτον τετάχθαι παρὰ τῶν πατέρων καθ' ἑκάστην ἑσπέραν λέγεσθαι, οὐδὲ διὰ τὴν μίαν λέξιν τὴν λέγουσαν, «Ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή». Ἐπεὶ καὶ ἄλλοι ψαλμοὶ ταύτην ἔχουσι τὴν λέξιν, ὥσπερ ἐκεῖνος ὁ λέγων, «Ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας διηγήσομαι καὶ ἐπαγγελῶ». Καὶ πάλιν, «Σή ἐστιν ἡ ἡμέρα, καὶ σή ἐστιν ἡ νύξ». Καὶ πάλιν τό, «Ἑσπέρας αὐλισθήσεται κλαυθμός, καὶ εἰς τὸ πρωῒ ἀγαλλίασις», καὶ πολλοὺς ἂν εὕροι τις ψαλμοὺς ἐπιτηδείους τῷ καιρῷ τῆς ἑσπέρας. Οὐ διὰ τοῦτο γοῦν τοῦτον τὸν ψαλμὸν ἐτύπωσαν οἱ πατέρες, ἀλλ' ὥς τι φάρμακον σωτήριον καὶ ἁμαρτημάτων καθάρσιον ἐνομοθέτησαν λέγεσθαι, ἵν' ὅσαπερ ἂν προστριβώμεθα δι' ὅλου τοῦ μήκους τῆς ἡμέρας, ἢ ἐν ἀγορᾷ, ἢ ἐν οἰκίᾳ, ἢ ὅπου δήποτε διατρίβοντες, ταῦτα ἐλθόντες εἰς τὴν ἑσπέραν, διὰ τῆς ἐπῳδῆς ταύτης ἀποδυσώμεθα τῆς πνευματικῆς. Φάρμακον γάρ ἐστιν ἁπάντων τούτων ἀναιρετικόν. Τοιοῦτός ἐστι καὶ ὁ ἑωθινὸς ψαλμός· οὐδὲν γὰρ κωλύει ἐν βραχεῖ κἀκείνου ἐπιμνησθῆναι. Τὸν πόθον γὰρ ἀνάπτει

1. Ψαλμ. 54, 18.
2. Ψαλμ. 73, 16.
3. Ψαλμ. 29, 6.

Πράγματι λοιπὸν εἶναι σαφὴς καὶ ἱκανὸς νὰ διεγείρει ἐκεῖνον ποὺ δὲν εἶναι κυριευμένος ἀπὸ βαθὺ ὕπνο, μᾶλλον δὲ καὶ ἐκεῖνον ποὺ κοιμᾶται. Διότι τί σημαίνει τό, «Μὴ ἀφήσεις τὴν καρδιά μου νὰ στραφεῖ σὲ λόγια πονηρά»; τί δὲ τό, «Θὰ μὲ παιδεύσει ὁ δίκαιος μὲ τρόπο γεμάτο ἀπὸ εὐσπλαχνία καὶ θὰ μὲ ἐλέγξει»; Τὸ δὲ μετὰ ἀπὸ αὐτό, πές μου, δὲν εἶναι σκοτεινότερο ἀπὸ ὁποιοδήποτε σκοτάδι; «Διότι ἀκόμα καὶ ἡ προσευχή μου θὰ ἦταν ἀνάλογη μὲ τὶς πράξεις τῶν ἁμαρτωλῶν. Καταποντίσθηκαν ἀπὸ τὰ κύματα μετὰ τὴ συντριβή τους ἐπάνω στοὺς βράχους οἱ κριτὲς αὐτῶν». Ὅμως, ἐνῶ ὑπάρχουν τόσες ἀσάφειες, οἱ πιὸ πολλοὶ τὸν παρατρέχουν σὰν κάποια ἁπλὴ ᾠδή. Ἀλλὰ γιὰ νὰ μὴ ἐπεκτείνουμε τὴν κατηγορία περισσότερο, καὶ κάνουμε κουραστικὸ τὸ λόγο, ἐμπρὸς λοιπὸν ἂς προχωρήσουμε στὴν ἔρευνα τῶν λόγων αὐτῶν.

Ἀλλὰ προσέχετε μὲ πολὺ ἐνδιαφέρον· διότι νομίζω δὲν ὁρίσθηκε στὴν τύχη ἀπὸ τοὺς πατέρες νὰ ψάλλεται αὐτὸς ὁ ψαλμὸς κάθε ἑσπέρα, οὔτε ἐξ αἰτίας τῆς μιᾶς λέξεως ποὺ λέγει, «Τὸ σήκωμα τῶν χεριῶν μου εἶναι σὰν θυσία ἑσπερινή». Διότι καὶ ἄλλοι ψαλμοὶ ἔχουν αὐτὴ τὴ λέξη, ὅπως ἀκριβῶς ἐκεῖνος ποὺ λέγει, «Τὴν ἑσπέρα, τὸ πρωὶ καὶ τὸ μεσημέρι θὰ διηγηθῶ καὶ θὰ ἀπαγγείλω»[1]. Καὶ πάλι, «Δική σου εἶναι ἡ ἡμέρα, καὶ δική σου εἶναι καὶ ἡ νύχτα»[2]. Καὶ πάλι τό, «Τὴν ἑσπέρα θὰ ἔχουμε παρέα τὸ θρῆνο, καὶ τὸ πρωὶ θὰ ἔλθει ἡ ἀγαλλίαση»[3]· καὶ πολλοὺς ψαλμοὺς θὰ μποροῦσε νὰ βρεῖ κάποιος ποὺ εἶναι κατάλληλοι γιὰ τὸν καιρὸ τῆς ἑσπέρας. Δὲν τὸν ὅρισαν λοιπὸν οἱ πατέρες αὐτὸν τὸν ψαλμὸ γιὰ τὸ λόγο αὐτό, ἀλλ' ὅρισαν νὰ λέγεται σὰν κάποιο σωτήριο φάρμακο καὶ καθάρσιο γιὰ τὰ ἁμαρτήματα, ὥστε, ὅσα ἁμαρτήματα συμβεῖ νὰ διαπράξουμε καθ' ὅλο τὸ μῆκος τῆς ἡμέρας ἀσχολούμενοι εἴτε στὴν ἀγορά, εἴτε στὴν οἰκία, εἴτε ὁπουδήποτε ἀλλοῦ, αὐτά, ἀφοῦ ἔλθει ἡ ἑσπέρα, νὰ τὰ ἀποβάλουμε μὲ τὴν πνευματικὴ αὐτὴ ᾠδή. Διότι εἶναι φάρμακο ποὺ θεραπεύει ὅλα αὐτά. Τέτοιος εἶναι καὶ ὁ πρωϊνὸς ψαλμός· τίποτε λοιπὸν δὲν μᾶς ἐμποδίζει νὰ θυμηθοῦμε μὲ συντομία καὶ ἐκεῖνον. Διότι ἀνάβει τὸν πόθο πρὸς τὸ Θεὸ

τὸν πρὸς τὸν Θεόν, καὶ διεγείρει τὴν ψυχήν, καὶ σφόδρα πυρώσας, καὶ πολλῆς ἐμπλήσας ἀγαθότητος, καὶ ἀγάπης, οὕτως ἀφίησι προσελθεῖν. Ἴδωμεν δὲ καὶ πόθεν ἄρχεται, καὶ τί διδάσκει ἡμᾶς.

«Ὁ Θεός, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω. Ἐδίψησέ σε ἡ ψυχή μου». Ὁρᾷς πῶς πεπυρωμένης δείκνυσι ψυχῆς ῥήματα; Ἔνθα δὲ ἀγάπη Θεοῦ, πάντα οἴχεται τὰ πονηρά· ἔνθα μνήμη Θεοῦ, ἐνταῦθα ἁμαρτημάτων λήθη, καὶ κακῶν ἀναίρεσις. «Οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι, τοῦ ἰδεῖν τὴν δύναμίν σου, καὶ τὴν δόξαν σου». Τί ἐστιν, «Οὕτως»; Μετὰ τοῦ πόθου, φησί, τούτου, μετὰ τῆς ἀγάπης ταύτης, ὥστε ἰδεῖν σου τὴν δόξαν, ἣν πανταχοῦ τῆς γῆς ἔστιν ἰδεῖ. Ἀλλ' ἵνα μὴ τὸ ἐν χερσὶν ἀφέντες, τὸ πάρεργον ἐπεισαγάγωμεν, παραπέμψαντες τὸν ἀκροατὴν εἰς τὰ ὑπὲρ ἐκείνου εἰρημένα, τῶν προκειμένων νῦν ἀψώμεθα. Τί δέ φησιν οὗτος;

«Κύριε, ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου». Τί λέγεις; εἰπέ μοι· ἐπειδὴ ἐκέκραξας, ἀκουσθῆναι ἀξιοῖς, καὶ ταύτην τίθης αἰτίαν, ὡς εὔλογον τοῦ ἀκουσθῆναι; Οὐκοῦν μεγαλοφώνων νῦν χρεία, καὶ τόνον ἐχόντων; Ἀλλ' οὐκ ἂν ἔχοι τοῦτο λόγον. Τί γὰρ ἥμαρτεν ὁ μικρόφωνος καὶ ἰσχνόφωνος καὶ βραδύγλωσσος; Οὐχὶ τοιοῦτος ἦν ὁ Μωϋσῆς, καὶ πάντων μᾶλλον ἠκούετο; οὐχὶ πλείω πάντων οἱ Ἰουδαῖοι ἐβόων, ἀλλ' οὐκ ἐπένευσεν αὐτῶν ταῖς δεήσεσιν ὁ Θεός; Τὸ γὰρ μέγα φωνῆσαι καὶ μικρόν, φύσεως πλεονέκτημα καὶ ἐλάττωμα. Ταῦτα δὲ οὔτε ἀκούεσθαι, οὔτε παρακούεσθαι ποιεῖ· οὔτε γὰρ ἐγκωμίων, οὔτε κατηγορημάτων ἄξια. Πολλὰ γὰρ τῶν τῆς φύσεως πλεονεκτημάτων καὶ μιαροῖς

4. Ψαλμ. 62, 2.
5. Ψαλμ. 62, 3.

καὶ διεγείρει τὴν ψυχὴ καί, ἀφοῦ τὴν διαθερμάνει πάρα πολὺ καὶ τὴν γεμίσει ἀπὸ πολλὴ ἀγαθότητα καὶ ἀγάπη, τὴν ἀφήνει ἔτσι νὰ πλησιάσει. Ἂς δοῦμε ὅμως καὶ πῶς ἀρχίζει καὶ τί μᾶς διδάσκει.

«Θεέ μου, Θεέ μου, σὲ σένα ἀπευθύνω πολὺ πρωΐ τὴν προσευχή μου. Σὲ πόθησε πάρα πολὺ ἡ ψυχή μου»[4]. Βλέπεις πῶς προβάλλει λόγια ψυχῆς ποὺ καταφλέγεται ἀπὸ τὸν πόθο; Ὅπου δὲ ὑπάρχει ἀγάπη Θεοῦ, ὅλα τὰ κακὰ ἐξαφανίζονται, ὅπου δὲ ὑπάρχει ἀνάμνηση Θεοῦ, ἐκεῖ λησμονοῦνται τὰ ἁμαρτήματα καὶ ἐξαλείφονται τὰ κακά. «Μὲ αὐτὸν τὸν πόθο παρουσιάζομαι στὸν ἅγιο τόπο σου γιὰ νὰ νιώσω τὴ δύναμή σου καὶ ν' ἀπολαύσω τὴ δόξα σου»[5]. Τί σημαίνει «Οὕτως»; Μὲ τὸν πόθο αὐτό, λέγει, μὲ τὴν ἀγάπη αὐτή, ὥστε νὰ δῶ τὴ δόξα σου, τὴν ὁποία μπορεῖ κανένας νὰ δεῖ σὲ κάθε μέρος τῆς γῆς. Ἀλλὰ γιὰ νὰ μὴ ἀφήσουμε αὐτὸ ποὺ ἔχουμε στὰ χέρια μας γιὰ ἐξέταση καὶ παρεμβάλουμε αὐτὸ ποὺ δὲν εἶναι αὐτὴ τὴ στιγμὴ τὸ κύριο ἔργο μας, ἀφοῦ παραπέμψουμε τὸν ἀκροατὴ στὰ ὅσα ἔχουν λεχθεῖ γιὰ ἐκεῖνον τὸν ψαλμό, ἂς ἐξετάσουμε τώρα τὰ ἀναφερόμενα σ' αὐτὸν τὸν ψαλμό. Τί δὲ λέγει αὐτός;

«Κύριε, φώναξα δυνατὰ πρὸς ἐσένα· ἄκουσέ με». Τί λέγεις; πές μου· ἐπειδὴ φώναξες μὲ δύναμη ἔχεις τὴν ἀξίωση ν' ἀκουσθεῖς, καὶ προβάλλεις αὐτὴν τὴν αἰτία σὰν δικαιολογία ν' ἀκουσθεῖς; Χρειαζόμαστε λοιπὸν τώρα ἀνθρώπους νὰ φωνάζουν δυνατὰ καὶ νὰ ὑψώσουν τὸν τόνο τῆς φωνῆς τους; Ἀλλ' ὅμως δὲν θὰ μποροῦσε αὐτὸ νὰ κριθεῖ σωστό. Διότι ποιὰ ἁμαρτία διέπραξε ὁ μικρόφωνος, ὁ ἰσχνόφωνος καὶ ὁ βραδύγλωσσος; Δὲν ἦταν τέτοιος ὁ Μωϋσῆς καὶ ἀκουόταν περισσότερο ἀπὸ ὅλους; δὲν φώναζαν οἱ Ἰουδαῖοι περισσότερο ἀπὸ ὅλους, ἀλλ' ὅμως δὲν θέλησε ὁ Θεὸς νὰ ἀκούσει τὶς παρακλήσεις τους; Διότι τὸ νὰ φωνάξει κάποιος δυνατὰ ἢ σιγανά, εἶναι πλεονέκτημα καὶ ἐλάττωμα τῆς φύσεως. Αὐτὰ δὲν συντελοῦν οὔτε ν' ἀκουσθεῖ, οὔτε νὰ μὴ ἀκουσθεῖ· διότι δὲν εἶναι ἄξια οὔτε γιὰ ἐγκώμια, οὔτε γιὰ κατηγορίες. Καθόσον πολλὰ ἀπὸ τὰ πλεονεκτήματα τῆς φύσεως ὑπάρχουν καὶ στοὺς μιαροὺς ἀνθρώπους.

πρόσεστιν. Οὐχὶ καλὸς ἦν, καὶ εὐειδής, καὶ μέχρι τῶν βοστρύχων αὐτῶν εἷλκε τοῦ σώμτος τὴν ὥραν ὁ Ἀβεσσαλώμ; Τί δαί; οὐχὶ φαλακρὸς ἦν ὁ Ἐλισσαῖος, ὡς καὶ σκώπτεσθαι παρὰ τῶν παιδίων; Ἀλλ' οὐδὲν οὐδὲ ἐκεῖνον ἡ ὥρα ὠφέλησεν, οὔτε τοῦτον ἡ ἀμορφία παρέβλαψε. Καὶ τί λέγω τὸν ἰσχνόφωνον, ἢ βραδύγλωσσον, ὅπου γε καὶ σιγῶν ἠκούετο ὁ Μωϋσῆς, καὶ μηδὲ φθεγγομένη ἡ Ἄννα; Ἰουδαίοις δὲ διαλεγόμενος ὁ Θεὸς ἔλεγε· «Ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν».

Τί οὖν οὗτος λέγει, «Ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου»; Κραυγὴν ἐνταῦθα τὴν ἔνδον φησίν, ἣν ἡ καρδία ἔτικτεν ἡ πεπυρωμένη, καὶ ἡ διάνοια ἡ συντετριμμένη, ἣν καὶ Μωϋσῆς βοῶν ἠκούετο. Ὥσπερ γὰρ ὁ βοῶν πᾶσαν τὴν δύναμιν αὐτοῦ κενοῖ, οὕτω καὶ ὁ καρδίᾳ βοῶν πάντα τὸν νοῦν συστρέφει. Τοιαύτην οὖν κραυγὴν ζητεῖ ὁ Θεός, τὴν συστρέφουσαν τὴν καρδίαν, τὴν οὐκ ἐῶσαν χασμᾶσθαι, καὶ ἀνακλᾶσθαι τὸν ψάλλοντα. Οὐ μόνον δὲ κραυγὴν ζητεῖ, ἀλλὰ καὶ τὸ πρὸς αὐτὸν εὔχεσθαι. Εἰσὶ γὰρ πολλοὶ οἳ ἑστήκασι μέν, οὐ βοῶσι δὲ πρὸς τὸν Θεόν, ἀλλὰ τὰ μὲν χείλη πρὸς τὸν Θεὸν βοᾷ, καὶ τὸ ὄνομα τοῦ Θεοῦ περιφέρει, ἡ δὲ διάνοια οὐδενὸς ἐπαισθάνεται τῶν λεγομένων. Ὁ τοιοῦτος οὐ κράζει, κἂν μέγα βοᾷ· ὁ τοιοῦτος οὐδὲ πρὸς τὸν Θεὸν εὔχεται, κἂν δοκῇ πρὸς αὐτὸν εὔχεσθαι. Ἀλλ' οὐχ ὁ Μωϋσῆς οὕτως, ἀλλ' ἐβόα, καὶ ἠκούετο· διὸ καὶ παρὰ τοῦ Θεοῦ, «Τί βοᾷς πρός με;» ἀκούει. Οὐ μόνον δὲ βοῶν, ἀλλὰ καὶ σιγῶν ἤνυσεν ἅπερ ἤθελεν, ἄξιον παρασχὼν ἑαυτὸν τοῦ ἀκούεσθαι. Εἰ δὲ βούλει καὶ

6. Ἠσ. 1, 15.
7. Ἐξ. 14, 15.

Δὲν ἦταν ὡραῖος καὶ ὄμορφος ὁ Ἀβεσσαλὼμ καὶ δὲν μετέφερε τὴν ὀμορφιὰ τοῦ σώματος καὶ μέχρι τὶς ἴδιες τὶς πλεξοῦδες τῶν μαλλιῶν του; Τί δέ; δὲν ἦταν φαλακρὸς ὁ Ἐλισσαῖος, ὥστε καὶ νὰ ἐμπαίζεται ἀπὸ τὰ παιδιά; Ἀλλ' ὅμως σὲ τίποτε δὲν ὠφέλησε ἡ ὀμορφιὰ τὸν Ἀβεσσαλώμ, οὔτε τὸν Ἐλισσαῖο τὸν ἔβλαψε ἡ ἀσχήμια. Καὶ γιατί λέγω τὸν ἰσχνόφωνο ἢ βραδύγλωσσο, τὴ στιγμὴ βέβαια ποὺ ἀκουόταν ὁ Μωϋσῆς ἀπὸ τὸ Θεὸ καὶ σιωπώντας, ἀλλὰ καὶ ἡ Ἄννα χωρὶς νὰ λέγει λέξη; Ὁ Θεὸς δὲ συνομιλώντας μὲ τοὺς Ἰουδαίους ἔλεγε· «Ἂν αὐξήσετε τὶς προσευχές σας, δὲν θὰ σᾶς ἀκούσω»[6].

Γιατί λοιπὸν λέγει αὐτός, «Φώναξα δυνατὰ πρὸς ἐσένα, ἄκουσέ με»; Κραυγὴ ἐδῶ ἐννοεῖ τὴν ἐσωτερικὴ κραυγή, ποὺ ἔβγαινε ἀπὸ τὴν κατακαιομένη ἀπὸ τὸν πόθο καρδιὰ καὶ ἀπὸ τὴ γεμάτη ἀπὸ συντριβὴ διάνοια, μὲ τὴν ὁποία ἀκουόταν φωνάζοντας καὶ ὁ Μωϋσῆς. Διότι, ὅπως ἀκριβῶς ἐκεῖνος ποὺ φανάζει δυνατὰ ἐξαντλεῖ ὅλη τὴ δύναμή του, ἔτσι καὶ ἐκεῖνος ποὺ φωνάζει μὲ τὴν καρδιὰ συγκεντρώνει ὅλο τὸ νοῦ του ἐκεῖ. Τέτοια λοιπὸν κραυγὴ ἐπιθυμοῦσε ὁ Θεός, ἐκείνην ποὺ συγκεντρώνει ὅλη τὴ δύναμη τῆς καρδιᾶς, ποὺ δὲν ἀφήνει νὰ χασμουριέται καὶ νὰ διασπᾶται αὐτὸς ποὺ ψάλλει. Ὄχι δὲ μόνο τέτοια κραυγὴ θέλει, ἀλλὰ καὶ τὸ νὰ προσεύχεται κανένας πρὸς αὐτόν. Διότι ὑπάρχουν πολλοὶ ποὺ στέκονται μὲν σὲ στάση προσευχῆς, δὲν φωνάζουν δὲ πρὸς τὸ Θεὸ ὅπως πρέπει, ἀλλὰ τὰ μὲν χείλη ἀπευθύνονται πρὸς τὸ Θεὸ καὶ προφέρουν τὸ ὄνομα τοῦ Θεοῦ, ὅμως ἡ καρδιὰ δὲν αἰσθάνεται κανένα ἀπὸ τὰ λεγόμενα. Ὁ ἄνθρωπος αὐτὸς δὲν προσεύχεται σωστά, ἔστω καὶ ἂν φωνάζει δυνατά· ὁ ἄνθρωπος αὐτὸς δὲν προσεύχεται πρὸς τὸ Θεό, ἔστω καὶ ἂν φαίνεται ὅτι προσεύχεται πρὸς αὐτόν. Ὅμως δὲν ἔκαμνε τὸ ἴδιο ὁ Μωϋσῆς, ἀλλὰ φώναζε καὶ ἀκουόταν· γι' αὐτὸ καὶ ἀκούει ἀπὸ τὸ Θεό, «Τί φωνάζεις πρὸς ἐμένα;»[7]. Ὄχι δὲ μόνο φωνάζοντας, ἀλλὰ καὶ σιωπώντας κατόρθωσε ἐκεῖνα ποὺ ἤθελε, καταστήσας τὸν ἑαυτό του ἄξιο νὰ ἀκούεται. Ἂν δὲ θέλεις νὰ δεῖς καὶ ἁμαρτωλοὺς νὰ προσεύχονται κατὰ τρόπο ἐπίμονο καὶ νὰ φωνάζουν δυνατὰ καὶ ν' ἀποκομίζουν μεγά-

ἁμαρτωλοὺς ἐκτενῶς ἰδεῖν εὐχομένους, καὶ ἀνύοντας καὶ κράζοντας μεγάλα, ὅρα τὴν πόρνην τὴν σιγῇ βοῶσαν· ὅρα τὸν τελώνην ἀπὸ εὐχῆς δικαιωθέντα μόνης. Τοιαύτην κραυγὴν καὶ οὗτος ποιεῖται, διὸ καὶ λέγει· «Κύριε, ἐκέκαξα πρὸς σέ, εἰσάκουσόν μου»· καὶ διὰ τοῦτο ἀκουσθῆναι ἀξιοῖ.

2. «Ἐν τῷ κεκραγέναι με πρὸς σέ». Ὅρα καὶ ἄλλην ἀρετὴν εὐχῆς. Οὐ γὰρ ἀπὸ τοῦ σπουδαίως εὔχεσθαι ἀξιοῖ ἀκουσθῆναι, ἀλλὰ καὶ ἐκ τοῦ τοιαύτην παραστῆσαι τὴν εὐχήν, ὥστε ἀξίαν εἶναι τῶν ἀκοιμήτων ὀφθαλμῶν ἐκείνων. Ποία δέ ἐστιν αὕτη; Ὅταν μὴ κατ' ἐχθρῶν τις εὔχηται, ὅταν μὴ ὑπὲρ πλούτου καὶ πλεονεξίας, ὅταν μὴ ὑπὲρ δυναστείας καὶ δόξης, μηδὲ ὑπέρ τινος τῶν ἐπικήρων τούτων, ἀλλ' ὑπὲρ τῶν ἀκηράτων καὶ ἀθανάτων ἐκείνων. «Ζητεῖτε γὰρ τὴν βασιλείαν τοῦ Θεοῦ», φησί, «καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν». «Ἐν τῷ κεκραγέναι με πρὸς σέ». Ὁρᾷς πῶς βούλεται καὶ ἡμᾶς μετὰ σπουδῆς καλεῖν, μετὰ προθυμίας; Καὶ γὰρ ὁ διάβολος τότε μάλιστα ἐφεδρεύει. Ἐπειδὴ γὰρ οἶδεν ὅτι μέγιστον ὅπλον ἡ εὐχή, καί, κἂν ἁμαρτωλοὶ ὦμεν καὶ κατῃσχυμμένοι, ὅμως μετὰ ἀκριβείας καὶ κατὰ τοὺς τοῦ Θεοῦ νόμους εὐξάμενοι ἀνύομεν μεγάλα· τότε ἐμβάλλειν ἐσπούδακεν εἰς ῥᾳθυμίαν, καὶ λογισμοὺς ἀνακινεῖν, ὥστε ἀκάρπους ποιεῖν ἡμᾶς ἀπὸ τῆς εὐχῆς ἐπελθεῖν. Διὸ δεῖ ταῦτα εἰδότας ἐπιτειχίζειν αὐτῷ τὴν ἡμετέραν σπουδήν, καὶ μηδέποτε κατ' ἐχθρῶν εὔχεσθαι, ἀλλὰ τοὺς ἀποστόλους μιμεῖσθαι. Καὶ γὰρ ἐκεῖνοι μυρία παθόντες δεινά, εἶτα εἰς δεσμωτήρια ἐμπεσόντες, καὶ τὸν περὶ τῶν ἐσχάτων ὑπομείναντες κίνδυνον, εἰς εὐχὴν καταφυγόντες ἔλεγον, «Ἔπιδε ἐπὶ τὰς ἀπειλὰς αὐτῶν». Καὶ τί μετὰ ταῦτα; «Μή,

---

8. Λουκᾶ 7, 38.
9. Λουκᾶ 18, 13-14.
10. Ματθ. 6, 33.
11. Πράξ. 4, 29.

λα κέρδη, πρόσεχε τὴν πόρνη, ποὺ φωνάζει μὲ τὴ σιωπή της[8]. πρόσεχε τὸν τελώνη ποὺ δικαιώθηκε μόνο ἀπὸ τὴν προσευχή[9]. Τέτοια κραυγὴ βγάζει καὶ αὐτός, γι' αὐτὸ καὶ λέγει· «Κύριε, φώναξα δυνατὰ πρὸς ἐσένα· ἄκουσέ με»· καὶ γι' αὐτὸ ἔχει τὴν ἀξίωση ν' ἀκουσθεῖ.

2. «Κατὰ τὸ χρόνο ποὺ φωνάζω δυνατὰ πρὸς ἐσένα». Πρόσεχε καὶ ἄλλη ἀρετὴ προσευχῆς. Δὲν ἔχει δηλαδὴ ἀξίωση νὰ ἀκουσθεῖ ἐπειδὴ προσεύχεται κατὰ τρόπο ἐξαίρετο, ἀλλὰ καὶ ἐπειδὴ κατέστησε τέτοια τὴν προσευχή του, ὥστε νὰ εἶναι ἐπάξια γιὰ τοὺς ἀκοίμητους ἐκείνους ὀφθαλμούς. Ποιὰ δὲ εἶναι αὐτή; Ὅταν δὲν προσεύχεται κάποιος ἐναντίον τῶν ἐχθρῶν του, ὅταν δὲν προσεύχεται γιὰ πλοῦτο καὶ πλεονεξία, ὅταν δὲν προσεύχεται γιὰ ἐξουσία καὶ δόξα, οὔτε γιὰ κάποιο ἀπὸ αὐτὰ τὰ πρόσκαιρα, ἀλλὰ γιὰ τὰ ἄφθαρτα ἐκεῖνα καὶ ἀθάνατα. Διότι λέγει, «Ζητεῖτε τὴ βασιλεία τοῦ Θεοῦ καὶ ὅλα αὐτὰ θὰ σᾶς δοθοῦν σὰν ἐπιπρόσθετα»[10]. «Κατὰ τὸ χρόνο ποὺ φωνάζω δυνατὰ πρὸς ἐσένα». Βλέπεις πῶς θέλει καὶ ἐμᾶς νὰ τὸν καλοῦμε μὲ ζῆλο καὶ μὲ προθυμία; Καθόσον ὁ διάβολος τότε πρὸ πάντων καιροφυλακτεῖ. Διότι, ἐπειδὴ γνωρίζει, ὅτι ἡ προσευχὴ εἶναι μέγιστο ὅπλο, καί, καὶ ἂν ἀκόμα εἴμαστε ἁμαρτωλοὶ καὶ καταντροπιασμένοι, ὅμως, ἐὰν προσευχηθοῦμε μὲ προσοχὴ καὶ σύμφωνα μὲ τοὺς νόμους τοῦ Θεοῦ, πετυχαίνουμε σπουδαῖα πράγματα, ἔχει φροντίσει τότε νὰ μᾶς κάμνει ἀδιάφορους καὶ νὰ δημιουργεῖ διάφορες σκέψεις στὸ νοῦ μας, ὥστε νὰ μᾶς κάμνει νὰ ἀναχωροῦμε ἄκαρποι ἀπὸ τὴν προσευχή. Γι' αὐτὸ πρέπει, γνωρίζοντας αὐτά, νὰ περιφρουροῦμε τὴν προσοχή μας ἀπὸ αὐτὸν καὶ ποτὲ νὰ μὴ προσευχόμαστε ἐναντίον τῶν ἐχθρῶν μας, ἀλλὰ νὰ μιμούμαστε τοὺς ἀποστόλους. Καθόσον καὶ ἐκεῖνοι, ἂν καὶ ἔπαθαν ἀμέτρητα κακὰ καὶ ρίχτηκαν στὴ συνέχεια στὶς φυλακές, καὶ ὑπέστησαν τὸν μέχρι θανάτου κίνδυνο, ἀφοῦ κατέφυγαν στὴν προσευχή, ἔλεγαν, «πρόσεξε τὶς ἀπειλές τους»[11]. Καὶ τί ἔλεγαν στὴ συνέχεια; Μήπως ἔλεγαν, 'ἐξαφάνισέ τους, φόνευσέ τους', πράγμα ποὺ πολλοὶ λέγουν πολλὲς φορὲς ὅταν προσεύχονται; Καθόλου. Ἀλλὰ τί; «Καὶ δῶσε δύναμη

'κατάρραξον αὐτούς, ἢ ἀπόκτεινον', ἔλεγον, ὃ πολλοὶ πολλάκις ἐπαρώμενοι λέγουσιν; Οὐδαμῶς. Ἀλλὰ τί; «Καὶ δὸς τοῖς δούλοις σου μετὰ παρρησίας λαλεῖν τὸν λόγον σου». Πῶς καὶ τίνι τρόπῳ; ἐν τῷ ἀποκτεῖναι τοὺς ἐπιβουλεύοντας; ἐν τῷ ἀφανίσαι καὶ πανωλεθρίᾳ παραδοῦναι; Οὐδαμῶς. Ἀλλὰ πῶς; Ἐν τῷ «σημεῖα καὶ τέρατα ποιεῖν διὰ τοῦ ἁγίου Παιδός σου Ἰησοῦ».

Εἶδες εὐχὴν φιλοσοφίας γέμουσαν, καὶ μετὰ τοσαῦτα δεινὰ οὐδεμίαν αἰτοῦσαν τῶν ἐχθρῶν τιμωρίαν; Ἀλλ' οὕτω μὲν αὐτοί, ἔτι ζῶντες καὶ ἐμπνέοντες, ὁ δὲ Στέφανος καὶ ἀπορρήγνυσθαι μέλλων τῆς παρούσης ζωῆς, οὐ μόνον οὐδὲν αὐτοῖς κακὸν ᾔτησεν, ἀλλὰ καὶ τοὺς λιθάζοντας καὶ ἀναιροῦντας σπουδάζει διὰ τῆς εὐχῆς ἐξαρπάσαι τῆς ὀργῆς τῆς ἐπὶ τῇ ἁμαρτίᾳ ταύτῃ, καί φησι, «Μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην». Τίνος οὖν ἂν εἶεν συγγνώμης ἄξιοι, ποίας ἀπολογίας, οἱ κατὰ τῶν ἐχθρῶν εὐχόμενοι; πῶς δ' ἡ τοιαύτη ἀκουσθείη εὐχή, ὅταν ἀπεναντίας τοῖς τοῦ Θεοῦ νόμοις ἀναφέρηται; Μὴ δὴ τοιοῦτον μηδὲν λέγωμεν. Οὐ γὰρ δὴ μόνον οὐκ εὔχεσθαι δεῖ κατὰ τῶν ἐχθρῶν, ἀλλὰ καὶ τὴν ὀργὴν ἀναιρεῖν τὴν κατ' αὐτῶν· διό φησι· «Βούλομαι τοὺς ἄνδρας προσεύχεσθαι ἐν παντὶ τόπῳ, ἐπαίροντας ὁσίους χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμοῦ». Τουτέστι, κἂν ἐχθρὸν ἔχῃς, σβέσον τὴν ὀργήν, καὶ οὕτω πρόσιθι τῷ Δεσπότῃ, καὶ μὴ μόνον διὰ τοῦ στόματος μηδὲν εἴπῃς κατ' αὐτοῦ, ἀλλὰ καὶ τὴν διάνοιαν ἀπάλλαξον τοῦ ἰοῦ. Ἂν τοιαύτη ἡ εὐχὴ ᾖ, καὶ μετὰ σπουδῆς καλῇς τὸν Θεόν, καὶ πρὶν ἢ τελέσαι τὴν εὐχὴν ἀκουσθήσῃ. Τοῦτο καὶ αὐτὸς αἰτεῖ λέγων· «Πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου ἐν τῷ κεκραγέναι με πρὸς σέ». Καὶ γὰρ αὐτοῦ τοῦ Θεοῦ ἐστιν ὑπόσχεσις λέγουσα, «Ἔτι λαλοῦντός σου ἐρῶ, ἰδοὺ πάρειμι».

«Κατευθυνθήτω ἡ προσευχή μου, ὡς θυμίαμα ἐνώπιόν

---

12. Πράξ. 4, 29.
13. Πράξ. 4, 30.
14. Πράξ. 7, 60.
15. Α' Τιμ. 2, 8.
16. Ἡσ. 58, 9.

στοὺς δούλους σου νὰ κηρύσσουν μὲ θάρρος τὸ λόγο σου»[12]. Πῶς καὶ μὲ ποιὸ τρόπο; μὲ τὸ νὰ ἐξολοθρεύσει ἐκείνους ποὺ τοὺς ἐπιβουλεύονταν; μὲ τὸ νὰ τοὺς ἐξαφανίσει καὶ νὰ τοὺς παραδώσει στὴν πανωλεθρία; Καθόλου. Ἀλλὰ πῶς; Μὲ τὸ «νὰ κάμνουν σημεῖα καὶ καταπληκτικὰ θαύματα μὲ τὴ δύναμη τοῦ Υἱοῦ του τοῦ Ἰησοῦ»[13].

Εἶδες προσευχὴ γεμάτη ἀπὸ φιλοσοφικότητα, καὶ πού, μετὰ ἀπὸ τόσα πολλὰ κακά, δὲν ζητεῖ καμιὰ τιμωρία τῶν ἐχθρῶν; Ἀλλ' αὐτοὶ μὲν ἔτσι προσεύχονταν, ἐνῶ ἀκόμα ζοῦσαν καὶ ἀνέπνεαν, ὁ Στέφανος ὅμως καὶ ἐνῶ ἐπρόκειτο ν' ἀναχωρήσει ἀπὸ τὴν παρούσα ζωή, ὄχι μόνο δὲν ζήτησε κανένα κακὸ γι' αὐτούς, ἀλλὰ καὶ αὐτοὺς ποὺ τὸν λιθοβολοῦσαν καὶ τὸν φόνευαν φροντίζει μὲ τὴν προσευχὴ νὰ τοὺς σώσει ἀπὸ τὴν ὀργὴ τοῦ Θεοῦ γιὰ τὴν ἁμαρτία τους αὐτή, καὶ λέγει, «Μὴ καταλογίσεις σὲ βάρος τους αὐτὴν τὴν ἁμαρτία»[14]. Ποιᾶς λοιπὸν συγγνώμης θὰ μποροῦσαν νὰ ἦταν ἄξιοι, ποιᾶς ἀπολογίας, ἐκεῖνοι ποὺ προσεύχονται ἐναντίον τῶν ἐχθρῶν τους; πῶς θὰ μποροῦσε νὰ εἰσακουσθεῖ ἡ παρόμοια προσευχή, ὅταν γίνεται ἀντίθετα μὲ τοὺς νόμους τοῦ Θεοῦ; Ἂς μὴ λέμε λοιπὸν τίποτε τὸ παρόμοιο. Διότι πρέπει ὄχι μόνο νὰ μὴ προσευχόμαστε ἐναντίον τῶν ἐχθρῶν μας, ἀλλὰ καὶ νὰ κατανικοῦμε καὶ ἐξαφανίζουμε τὴν ἐναντίον τους ὀργή μας· γι' αὐτὸ λέγει· «Θέλω οἱ ἄνδρες νὰ προσεύχονται σὲ ὁποιοδήποτε τόπο, ὑψώνοντας πρὸς τὸ Θεὸ ἅγια χέρια, χωρὶς ὀργὴ καὶ χωρὶς κακὲς σκέψεις»[15]. Δηλαδή, καὶ ἂν ἀκόμα ἔχεις ἐχθρό, σβῆσε τὴν ὀργή σου, καὶ ἔτσι πλησίασε τὸν Κύριο, καὶ ὄχι μόνο μὴ πεῖς τίποτε ἐναντίον αὐτοῦ μὲ τὸ στόμα σου, ἀλλὰ καὶ τὴ σκέψη σου ἀπάλλαξε ἀπὸ τὸ δηλητήριο. Ἂν τέτοια εἶναι ἡ προσευχὴ καὶ καλεῖς τὸ Θεὸ μὲ μεγάλη προθυμία, θὰ εἰσακουσθεῖς πρὶν ἀκόμη τελειώσεις τὴν προσευχή σου. Αὐτὸ ζητεῖ καὶ αὐτός, λέγοντας· «πρόσεξε τὴ φωνὴ τῆς προσευχῆς μου, ποὺ ἀπευθύνεται μὲ ἰσχυρὴ κραυγὴ πρὸς ἐσένα». Καθόσον ὑπάρχει ὑπόσχεση τοῦ Θεοῦ ποὺ λέγει, «Ἐνῶ ἀκόμα θὰ προσεύχεσαι θὰ σοῦ πῶ, νὰ εἶμαι κοντά σου»[16].

«Ἂς ἀνεβεῖ ἐνώπιόν σου ἡ προσευχή μου σὰν τὸν κα-

σου». Ἕτερος, «Ταχθήτω ἡ προσευχή μου, ὡς θυμίαμα ἔμπροσθέν σου». Ἄλλος, «Ἑτοιμασθήτω». «Ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή». Ἄλλος «Δῶρον ἑσπέρας». Ἕτερος, «Προσφορὰ ἑσπερινή». Τί διδάξαι βουλόμενος ἡμᾶς ὁ προφήτης περὶ θυσίας ἑσπερινῆς διαλέγεται; Δύο βωμοὶ τὸ παλαιὸν ἦσαν, εἷς μὲν ἀπὸ χαλκοῦ κατεσκευασμένος, ἕτερος δὲ χρυσοῦς. Καὶ ὁ μὲν πάνδημος ἦν σχεδόν, προκείμενος τοῖς ἱεροῖς τοῖς τοῦ πλήθους παντός, ὁ δὲ ἐν τοῖς ἀδύτοις ἀπέκειτο, καὶ τοῦ καταπετάσματος ἔνδον. Μᾶλλον δὲ ὥστε σαφέστερα γενέσθαι τὰ λεγόμενα ἡμῖν, εἰς ἀρχὴν τὸν λόγον ἀναγαγεῖν πειρασόμεθα. Ναὸς ἦν παρὰ Ἰουδαίοις τὸ παλαιὸν τεσσαράκοντα μὲν πηχῶν τὸ μῆκος, τὸ δὲ πλάτος εἴκοσι. Τούτου τοῦ μήκους δέκα ἀφελὼν πήχεις ἀπέλαβεν ἔνδον διὰ τοῦ καταπετάσματος, καὶ τὸ ἀπειλημμένον ἐκαλεῖτο ἅγια ἁγίων, τὸ δὲ ἔξω, ἅγια μόνον. Καὶ χρυσῷ πάντα κατελάμπετο. Τινὲς δὲ καὶ τὴν δοκὸν ἐκείνην τὴν ἄνω χρυσήλατον ἔλεγον εἶναι.

Ἔνθα ὁ ἀρχιερεὺς μόνος εἰσῄει ἅπαξ τοῦ ἐνιαυτοῦ, ἐκεῖ καὶ ἡ κιβωτὸς ἔκειτο, καὶ τὰ Χερουβίμ· ἐκεῖ καὶ ὁ βωμὸς εἱστήκει ὁ χρυσοῦς, ἔνθα τὸ θυμιατήριον προσεφέρετο, εἰς οὐδὲν ἕτερον παρεσκευασμένος, ἀλλ' ἢ πρὸς τὸ θυμίαμα μόνον. Τοῦτο δὲ ἐγίνετο ἅπαξ τοῦ ἐνιαυτοῦ. Ἐν τῷ ναῷ οὖν τῷ ἔξω ὁ χαλκοῦς ἦν βωμός, καὶ καθ' ἑκάστην ἑσπέραν ἐφέρετο ἀμνὸς καὶ κατεκαίετο. Τοῦτο ἐκαλεῖτο θυσία ἑσπερινή· ἦν γὰρ καὶ ἑωθινή, καὶ δὶς τῆς ἡμέρας εἰς τὸν ναὸν τὸν βωμὸν καίεσθαι ἔδει, ἐκτὸς τῶν ἄλλων ἱερείων τῶν παρὰ τοῦ λαοῦ προσαγομένων. Τοῦτο γὰρ τοῖς ἱερεῦσιν ἐπίταγμα καὶ νόμος ἦν, ὥστε οἴκοθεν καὶ παρ' ἑαυτῶν, ὅταν μηδεὶς προσέφερεν, ἕνα ἑωθινὸν καὶ ἕνα ἑσπερινὸν ἀμνὸν καταθύειν καὶ κατακαίειν· καὶ ἡ μὲν ἐκαλεῖτο θυσία ἑωθινή, ἡ δὲ ἑσπερινή. Τοῦτο δὲ ὑπὸ τοῦ Θεοῦ νενομοθέτητο γίνεσθαι, δη-

πνὸ τοῦ θυμιάματος». Ἄλλος, «Ἂς τοποθετηθεῖ μπροστά σου ἡ προσευχή μου σὰν θυμίαμα». Ἄλλος, «Ἂς ἑτοιμασθεῖ». «Τὸ ἀνύψωμα τῶν χεριῶν μου ἂς γίνει δεκτὸ σὰν θυσία ἑσπερινή». Ἄλλος, «Σὰν δῶρο ἑσπερινό». Ἄλλος, «Σὰν προσφορὰ ἑσπερινή». Τί θέλει νὰ μᾶς διδάξει ὁ προφήτης, μιλώντας γιὰ θυσία ἑσπερινή; Τὴν παλιὰ ἐποχὴ ὑπῆρχαν δύο θυσιαστήρια, ἕνα μὲν κατασκευασμένο ἀπὸ χαλκό, τὸ ἄλλο δὲ ἀπὸ χρυσό. Καὶ τὸ μὲν πρῶτο ἦταν στὴ διάθεση ὅλου σχεδὸν τοῦ λαοῦ, στὸ ὁποῖο προσφέρονταν τὰ σφάγια ὅλου τοῦ πλήθους, τὸ δὲ ἄλλο βρισκόταν μέσα στὸ ἐσωτερικὸ τοῦ ναοῦ καὶ μέσα ἀπὸ τὸ καταπέτασμα. Καλύτερα ὅμως, γιὰ νὰ μᾶς γίνουν περισσότερο σαφῆ τὰ λεγόμενα, θὰ προσπαθήσω νὰ μεταφέρω τὸ λόγο στὴν ἀρχὴ τῶν γεγονότων. Τὴν παλιὰ ἐποχὴ ὑπῆρχε στοὺς Ἰουδαίους ναός, μήκους σαράντα πήχεων, πλάτους δὲ εἴκοσι. Ἀπὸ αὐτὸ τὸ μῆκος εἶχαν ἀφαιρεθεῖ δέκα πήχεις καὶ εἶχε ἀποχωρισθεῖ ἐσωτερικὰ μὲ τὸ καταπέτασμα, καὶ τὸ ἀποχωρισμένο μέρος ὀνομαζόταν ἅγια ἁγίων, ἐνῶ τὸ ἔξω, μόνο ἅγια. Καὶ ὅλα μέσα ἐκεῖ ἔλαμπαν ἀπὸ χρυσό. Μερικοὶ δὲ ἔλεγαν ὅτι ἡ ἐπάνω δοκὸς ἦταν χρυσοστολισμένη.

Ἐκεῖ ὅπου ἔμπαινε μόνο ὁ ἀρχιερεὺς μιὰ φορὰ τὸ χρόνο, ἐκεῖ βρισκόταν καὶ ἡ κιβωτὸς καὶ τὰ χερουβίμ· ἐκεῖ ἦταν στημένο καὶ τὸ χρυσὸ θυσιαστήριο, ὅπου προσφερόταν τὸ θυμίαμα, ποὺ ἦταν κατασκευασμένο γιὰ τίποτε ἄλλο, παρὰ μόνο γιὰ τὸ θυμίαμα. Αὐτὸ δὲ γινόταν μιὰ φορὰ τὸ χρόνο. Στὸν ἐξωτερικὸ πάλι ναὸ ἦταν τὸ χάλκινο θυσιαστήριο καὶ κάθε ἑσπέρα φερόταν ἀμνὸς καὶ κατακαιόταν. Αὐτὸ ὀνομαζόταν θυσία ἑσπερινή· διότι ὑπῆρχε καὶ πρωινὴ θυσία, καὶ ἔπρεπε δυὸ φορὲς τὴν ἡμέρα νὰ ἄναβε τὸ θυσιαστήριο στὸ ναό, ἐκτὸς ἀπὸ τὰ ἄλλα σφάγια ποὺ προσφέρονταν ἀπὸ τὸ λαό. Καθόσον ὑπῆρχε πρόσταγμα καὶ νόμος γιὰ τοὺς ἱερεῖς, ὥστε ἀπὸ μόνοι τους καὶ ἀπὸ τὰ δικά τους, ὅταν δὲν πρόσφερε κανένας, νὰ θυσιάζουν καὶ νὰ τὰ καίουν ὁλόκληρα ἕναν πρωϊνὸ καὶ ἕναν ἑσπερινὸ ἀμνό· καὶ ἡ πρώτη ὀνομαζόταν θυσία πρωϊνή, ἡ δὲ ἄλλη ἑσπερινή. Αὐτὸ δὲ εἶχε νομοθετηθεῖ νὰ γίνεται ἀπὸ τὸ Θεό, γιὰ νὰ

λοῦντος διὰ τοῦ γινομένου, ὅτι διηνεκῶς αὐτὸν θεραπεύεσθαι χρή, καὶ ἀρχομένης καὶ τελευτώσης ἡμέρας. Αὕτη τοίνυν ἡ θυσία εὐπρόσδεκτος ἦν ἀεί, καὶ τὸ θῦμα τοιοῦτον, τὸ δὲ ὑπὲρ ἁμαρτημάτων ποτὲ μὲν εὐπρόσδεκτον ἦν, ποτὲ δὲ οὐκ εὐπρόσδεκτον ἀπὸ τῆς διαθέσεως τῶν προσφερόντων πρὸς ἀρετὴν ἢ κακίαν τοῦτο κἀκεῖνο γινόμενον· ὅπερ δὲ οὐχ ὑπὲρ ἁμαρτημάτων ἑτέρων προσεφέρετο, ἀλλ' ἱερουργίας νόμος ἦν καὶ θεραπείας τρόπος, πάντως εὐπρόσδεκτον ἦν.

Ἀξιοῖ τοίνυν οὗτος οὕτω γενέσθαι αὐτοῦ τὴν εὐχὴν ὡς ἐκεῖνο τὸ θῦμα τὸ οὐδεμιᾷ κηλῖδι τοῦ προσάγοντος μολυνόμενον, ὡς ἐκεῖνο τὸ θυμίαμα τὸ καθαρὸν καὶ ἅγιον. Διὰ δὲ τὸ ἀξιοῦν καὶ παιδεύει καθαρὰς ἡμᾶς ποιεῖσθαι τὰς εὐχὰς καὶ εὐώδεις. Τοιοῦτον γὰρ ἡ δικαιοσύνη· ὥσπερ οὖν ἡ ἁμαρτία δυσώδης. Διὸ καὶ τὴν δυσωδίαν αὐτῆς παραδηλῶν αὐτὸς οὗτος ἔλεγεν· «Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ. Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου». Ὥσπερ οὖν τὸ θυμίαμα καὶ καθ' ἑαυτό ἐστι καλὸν καὶ εὐῶδες, τότε δὲ μάλιστα ἐπιδείκνυται τὴν εὐωδίαν, ὅταν ὁμιλήσῃ τῷ πυρί, οὕτω δὴ καὶ ἡ εὐχὴ καλὴ μὲν καὶ καθ' ἑαυτήν, καλλίων δὲ καὶ εὐωδεστέρα γίνεται, ὅταν μετὰ θερμῆς καὶ ζεούσης ψυχῆς ἀναφέρηται, ὅταν θυμιατήριον ἡ ψυχὴ γένηται καὶ πῦρ ἀνάπτῃ σφοδρόν. Οὐδὲ γὰρ τὸ θυμίαμα τῆς ἐσχάρας μὴ προαναφθείσης ἐπετίθετο, ἢ τῶν ἀνθράκων μὴ διακαιομένων. Τοῦτο καὶ σὺ ἐπὶ τῆς διανοίας ποίησον· πρότερον ἄναψον αὐτὴν τῇ προθυμίᾳ, καὶ τότε ἐπιτίθει τὴν εὐχήν.

Εὔχεται τοίνυν τὴν μὲν εὐχὴν αὐτοῦ γενέσθαι ὡς θυμίαμα, τὴν δὲ ἔπαρσιν τῶν χειρῶν ὡς θυσίαν ἑσπερινήν. Ἀμφότερα γὰρ εὐπρόσδεκτα. Πῶς δ' ἂν γένοιτο τοῦτο; Εἰ ἀμφότερα εἴη καθαρά, εἰ ἀμφότερα εἴη ἄμωμα, ἥ τε γλῶττα, καὶ αἱ χεῖρες, αἱ μὲν πλεονεξίας καὶ ἁρπαγῆς ἐκκεκαθαρμέναι, ἡ δὲ πονηρῶν ῥημά-

17. Ψαλμ. 37, 5-6.

δείξει μὲ τὴν πράξη αὐτή, ὅτι πρέπει αὐτὸς νὰ λατρεύεται συνέχεια, καὶ ὅταν ἄρχιζε ἡ ἡμέρα καὶ ὅταν τελείωνε. Αὐτὴ λοιπὸν ἡ θυσία ἦταν πάντοτε εὐπρόσδεκτη, ὅπως καὶ τὸ σφάγιο, ἐνῶ ἡ θυσία γιὰ τὰ ἁμαρτήματα, ἄλλοτε μὲν ἦταν εὐπρόσδεκτη, ἄλλοτε δὲ δὲν ἦταν εὐπρόσδεκτη, διότι τὸ πράγμα αὐτὸ ἐξαρτῶταν ἀπὸ τὴ διάθεση γιὰ ἀρετὴ ἢ κακία ἐκείνων ποὺ τὰ πρόσφερναν· ἡ θυσία δὲ ποὺ προσφερόταν ὄχι γιὰ ἁμαρτήματα ἄλλων, ἀλλ' ἦταν νόμος ἱεροτελεστίας καὶ τρόπος λατρείας, ὁπωσδήποτε ἦταν εὐπρόσδεκτη.

Ζητεῖ λοιπὸν αὐτὸς τέτοια νὰ γίνει ἡ προσευχή του, ὅπως ἐκεῖνο τὸ σφάγιο, ποὺ δὲν εἶναι μολυσμένο ἀπὸ καμιὰ κηλίδα ἐκείνου ποὺ τὸ πρόσφερε, ὅπως ἐκεῖνο τὸ θυμίαμα τὸ καθαρὸ καὶ ἅγιο. Μὲ τὴν ἀξίωσή του δὲ αὐτὴ μᾶς διδάσκει νὰ εἶναι οἱ προσευχές μας καθαρὲς καὶ εὐάρεστες. Διότι τέτοια εἶναι ἡ ἀρετή, ὅπως ἀκριβῶς βέβαια ἡ ἁμαρτία εἶναι γεμάτη ἀπὸ δυσωδία. Γι' αὐτό, θέλοντας νὰ δηλώσει ὁ ἴδιος ὁ ψαλμωδὸς τὴ δυσωδία τῆς ἁμαρτίας, ἔλεγε· «Οἱ ἁμαρτίες μου ὑψώθηκαν ἐπάνω ἀπὸ τὸ κεφάλι μου, καὶ ἔπεσαν ἐπάνω μου σὰν βαρὺ φορτίο. Τὰ τραύματα ἀπὸ τὶς ἁμαρτίες μου βρώμησαν καὶ σάπισαν»[17]. Ὅπως ἀκριβῶς λοιπὸν τὸ θυμίαμα καὶ ἀπὸ μόνο του εἶναι καλὸ καὶ εὐωδιάζει, ἀλλ' ὅμως τότε πρὸ πάντων δείχνει τὴν εὐωδιά του, ὅταν ἔλθει σὲ ἐπαφὴ μὲ τὴ φωτιά, ἔτσι λοιπὸν καὶ ἡ προσευχὴ εἶναι μὲν καλὴ καὶ αὐτὴ καθ' ἑαυτή, γίνεται ὅμως καλύτερη καὶ πιὸ εὐάρεστη, ὅταν γίνεται μὲ ψυχὴ γεμάτη ἀπὸ θέρμη καὶ φλόγα, ὅταν γίνεται ἡ ψυχὴ θυμιαστήριο καὶ ἀνάβει πολὺ μεγάλη φωτιά. Διότι οὔτε τὸ θυμίαμα τοποθετοῦνταν ἐπάνω στὴ σχάρα, ἂν δὲν ἄναβε πρῶτα, ἢ ἂν δὲν εἶχαν καεῖ τὰ κάρβουνα. Αὐτὸ καὶ σὺ κάμε στὴ σκέψη σου· πρῶτα ἄναψε αὐτὴν μὲ τὴν προθυμία, καὶ μετὰ κάμνε τὴν προσευχή.

Προσεύχεται λοιπὸν καὶ παρακαλεῖ ἡ μὲν προσευχή του νὰ γίνει σὰν θυμίαμα, ἡ δὲ ὕψωση τῶν χεριῶν του σὰν θυσία ἑσπερινή. Διότι καὶ τὰ δύο εἶναι εὐπρόσδεκτα. Πῶς δὲ θὰ μποροῦσε νὰ γίνει αὐτό; Ἂν καὶ τὰ δύο ἦταν καθαρά, ἂν καὶ τὰ δύο ἦταν ἄμεμπτα, καὶ ἡ γλώσσα καὶ τὰ χέρια, τὰ μὲν χέρια

των ἠλευθερωμένη. Ὥσπερ γὰρ θυμιατήριον οὐδὲν ἔχειν ἀκάθαρτον χρή, ἀλλ' ἢ πῦρ καὶ θυμίαμα, οὕτω καὶ τὴν γλῶτταν μὴ προφέρειν κεκηλιδωμένον ρῆμα, ἀλλ' ἢ ἁγιωσύνην, καὶ εὐφημίαν· οὕτω καὶ τὰς χεῖρας θυμιατήριον γίνεσθαι. Ἔστω τοίνυν θυμιατήριόν σου τὸ στόμα, καὶ σκόπει μὴ κόπρου αὐτὸ ἐμπλήσῃς. Τοιοῦτοι οἱ τὰ αἰσχρὰ φθεγγόμενοι καὶ ἀκάθαρτα ρήματα. Καὶ τίνος ἕνεκεν οὐκ εἶπεν ἑωθινή, ἀλλ' ἑσπερινή; Ἐμοὶ μὲν ἀδιαφόρως εἰρῆσθαι καὶ τοῦτο δοκεῖ. Καὶ γὰρ εἰ εἶπεν, ἑωθινήν, ὁ περίεργος ἠρώτησεν ἄν, τίνος ἕνεκεν οὐκ εἶπεν ἑσπερινήν; Εἰ δέ τις ἀπολυπραγμόνως βούλοιτο ἀκούειν, ὅτι ἡ μὲν ἑωθινὴ ἀναμένει τὴν ἑσπερινήν, ἡ δὲ ἑσπερινὴ γενομένη τὴν ἱερουργίαν ἐπλήρωσε, καὶ οὐκ ἔστιν ἀτελεστέρα πως ἔτι τῆς ἡμέρας λοιπὸν ἡ λατρεία, ἀλλὰ ἀπηρτίσθη, καὶ τέλος ἔλαβεν.

Ἀλλὰ γὰρ τί βούλεται καὶ τῶν χειρῶν ἡ ἔκτασις ἐν τῇ εὐχῇ; Ἐπειδὴ πολλαῖς πονηρίαις διακονοῦνται αὗται, οἷον πληγαῖς, φόνοις, ἁρπαγαῖς, πλεονεξίαις, δι' αὐτὸ μὲν οὖν τοῦτο κελευόμεθα αὐτὰς ἀνατείνειν, ἵνα ἡ τῆς εὐχῆς διακονία δεσμὸς αὐταῖς γένηται τῆς κακίας, καὶ ἀπαλλαγὴ τῆς πονηρίας, ἵν' ὅταν μέλλῃς ἁρπάζειν ἢ πλεονεκτεῖν, ἢ τύπτειν ἕτερον, ἀναμνησθεὶς ὅτι ταύτας μέλλεις ἀντὶ συνηγόρων πρὸς τὸν Θεὸν πέμπειν, καὶ διὰ τούτων τὴν θυσίαν ἀναπέμπειν ἐκείνην τὴν πνευματικήν, μὴ καταισχύνῃς αὐτάς, καὶ ἀπαρρησιάστους ἐργάσῃ τῇ διακονίᾳ τῆς πονηρᾶς ἐργασίας. Κάθαιρε τοίνυν αὐτὰς ἐλεημοσύνῃ, φιλανθρωπίᾳ, προστασίᾳ δεομένων, καὶ οὕτως αὐτὰς εἰς εὐχὴν ἄγε. Εἰ γὰρ ἀνίπτους αὐτὰς οὐκ ἐπιτρέπεις εἰς εὐχὴν ἐπαίρεσθαι, πολλῷ μᾶλλον ἁμαρτήμασιν οὐκ ἂν εἴης δίκαιος αὐτὰς μιαίνειν. Εἰ τὸ ἔλαττον δέδοικας, πολλῷ μᾶλλον τὸ μεῖζον φρῖξον. Τὸ μὲν

καθαρὰ ἀπὸ πλεονεξία καὶ ἁρπαγή, ἡ δὲ γλώσσα ἀπαλλαγμένη ἀπὸ πονηρὰ λόγια. Διότι ὅπως ἀκριβῶς τὸ θυμιατήρι πρέπει νὰ μὴ ἔχει τίποτε τὸ ἀκάθαρτο, παρὰ φωτιὰ μόνο καὶ θυμίαμα, ἔτσι καὶ ἡ γλώσσα δὲν πρέπει νὰ λέγει λόγια αἰσχρά, παρὰ λόγια ἅγια καὶ εὔφημα· ἔτσι καὶ τὰ χέρια νὰ γίνονται σὰν θυμιατήρι. Ἂς εἶναι λοιπὸν τὸ στόμα σου θυμιατήρι καὶ πρόσεχε νὰ μὴ τὸ γεμίσεις μὲ κοπριά. Τέτοιοι εἶναι ἐκεῖνοι ποὺ λέγουν αἰσχρὰ καὶ ἀκάθαρτα λόγια. Καὶ γιὰ ποιὸ λόγο δὲν εἶπε πρωινή, ἀλλὰ ἑσπερινή; Ἐμένα μοῦ φαίνεται ὅτι καὶ αὐτὸ ἔχει λεχθεῖ χωρὶς κάποιο ἰδιαίτερο λόγο. Καθόσον ἐὰν ἔλεγε, *πρωινή*, ὁ περίεργος θὰ μποροῦσε νὰ ρωτήσει, γιὰ ποιὸ λόγο δὲν εἶπε ἑσπερινή; Ἂν ὅμως κάποιος ἤθελε ν' ἀκούσει χωρὶς πολυπραγμοσύνη, διότι ἡ μὲν πρωινὴ προσευχὴ περιμένει τὴν ἑσπερινή, ἡ δὲ ἑσπερινή, ἀφοῦ γίνει, συμπληρώνει τὴν ἱεροτελεστία καὶ δὲν εἶναι κάπως ἀτελέστερη ἡ λατρεία, ἐφόσον ἡ ἡμέρα συνεχίζεται, ἀλλ' ὁλοκληρώθηκε καὶ ἔλαβε τέλος.

Ἀλλ' ὅμως τί χρειάζεται στὴν προσευχὴ καὶ ἡ ἔκταση τῶν χεριῶν; Ἐπειδὴ αὐτὰ κάμνουν πολλὲς κακὲς πράξεις, ὅπως πληγώνουν, φονεύουν, ἁρπάζουν, κάμνουν ἀπληστίες, γι' αὐτὸ λοιπὸν προτρεπόμαστε νὰ σηκώνουμε αὐτὰ ψηλά, ὥστε ἡ διακονία τῆς προσευχῆς νὰ γίνει φραγμὸς γι' αὐτὰ πρὸς τὴν κακία καὶ ἀπαλλαγὴ ἀπὸ τὴν πονηρία καὶ ἔτσι ὅταν πρόκειται ν' ἁρπάζεις ἢ νὰ διαπράττεις ἀπληστίες, ἢ νὰ χτυπᾶς ἄλλον, φέροντας στὸ νοῦ σου τὴ σκέψη, ὅτι αὐτὰ πρόκειται νὰ τὰ στείλεις γιὰ συνήγορό σου πρὸς τὸ Θεό, καὶ μὲ αὐτὰ ν' ἀπευθύνεις πρὸς ἐκεῖνον τὴ θυσία ἐκείνη τὴν πνευματική, νὰ μὴ τὰ καταντροπιάσεις καὶ τὰ στερήσεις τῆς παρρησίας πρὸς αὐτὸν μὲ τὴ διάπραξη τῆς κακῆς πράξεως. Καθάρισε λοιπὸν αὐτὰ μὲ τὴν ἐλεημοσύνη, τὴ φιλανθρωπία, τὴν προστασία ἐκείνων ποὺ ἔχουν ἀνάγκη, καὶ ἔτσι ἀπηύθυνε αὐτὰ γιὰ προσευχή. Διότι ἂν αὐτὰ δὲν τὰ ἀφήνεις νὰ ὑψωθοῦν γιὰ προσευχὴ ἄνιπτα, πολὺ περισσότερο δὲν θὰ ἦταν δίκαιο νὰ τὰ μολύνεις μὲ ἁμαρτήματα. Ἂν φοβᾶσαι τὸ μικρότερο, πολὺ περισσότερο φρῖξε γιὰ τὸ μεγαλύτερο. Διότι τὸ νὰ προσεύχεσαι μὲν μὲ ἄνιπτα χέρια δὲν εἶναι τό-

γὰρ ἀνίπτοις χερσὶ προσεύχεσθαι, οὐ τοσοῦτον ἄτοπον, τὸ δὲ καταρρυπωθείσας αὐτὰς μυρίοις ἁμαρτήμασι προσάγειν, τοῦτο πολλὴν φέρει τὴν ὀργήν.

3. Τοῦτο καὶ ἐπὶ στόματος καὶ γλώττης λογιζώμεθα, καὶ ἄβατον αὐτὸ τῇ πονηρίᾳ τηροῦντες, οὕτω τὴν προσευχὴν προσάγωμεν. Εἰ γὰρ χρυσοῦν τις σκεῦος ἔχων, οὐκ ἂν ἕλοιτο εἰς ἄτιμον αὐτῷ χρήσασθαι διακονίαν διὰ τὸ πολύτιμον τῆς ὕλης, πολλῷ μᾶλλον οἱ χρυσοῦ καὶ μαργαρίτου τιμιώτερα στόματα ἔχοντες, οὐκ ἂν εἴημεν δίκαιοι ταῖς ἀναισχύντοις αὐτὰ καταρρυπαίνειν αἰσχρορρημοσύναις, καὶ λοιδορίαις, καὶ ὕβρεσιν. Οὐκ ἐν χαλκῷ προσάγεις βωμῷ τὸ θυμιατήριον, οὐδὲ ἐν χρυσῷ, ἀλλ' ἐν τῷ τούτου τιμιωτέρῳ, ἐν ναῷ πνευματικῷ. Ἐκείνῳ μὲν γὰρ ἄψυχος ἡ ὕλη· ἐν σοὶ δὲ ὁ Θεὸς ἐνοικεῖ, καὶ μέλος εἶ τοῦ Χριστοῦ καὶ σῶμα.

«Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου». Παρακαλέσας τὸν Δεσπότην ἀκουσθῆναι αὐτοῦ τὴν εὐχήν, καὶ εὐπρόσδεκτον γενέσθαι, ὅρα ποίαν προσάγει πρώτην αἴτησιν, ποίαν ἱκετηρίαν. Οὐ γὰρ εἶπε, δός μοι χρήματα, δός μοι τιμὰς παρὰ ἀνθρώποις, δός μοι κρατῆσαι τῶν ἐχθρῶν, δός μοι παιδία· οὐδὲν τούτων, ἀλλὰ πάντα ἀφεὶς ἐπὶ τῆς γῆς ἐρρῖφθαι, αἰτεῖ παρὰ τοῦ Θεοῦ ταῦτα ἃ παρὰ τοῦ Θεοῦ αἰτεῖν δίκαιον. Τί οὖν; οὐ δεῖ, φησίν, αἰσθητὰ αἰτεῖν; Δεῖ μέν, μετὰ μέτρου δέ, ὡς ὁ Ἰακὼβ λέγων· «Ἐὰν δῷ μοι Κύριος ἄρτον φαγεῖν, καὶ ἱμάτιον περιβαλέσθαι»· ὡς ὁ Χριστὸς ἐκέλευσεν εὔχεσθαι λέγοντας· «Τὸν ἄρτον ἡμῶν τὸ ἐπιούσιον δὸς ἡμῖν σήμερον»· πρὸ δὲ πάντων τὰ πνευματικά. Ὃ καὶ αὐτὸς ποιεῖ λέγων· «Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου». Εἶδες σύνεσιν; εἶδες φιλοσοφίαν; πόθεν ἄρχεται τῆς αἰτήσεως; Ἀπὸ τοῦ μεγίστου τῶν κατορθωμάτων, καὶ ὃ πάντων αἴτιόν ἐστι τῶν κακῶν, ἀμελούμενον· ὥσπερ τῶν ἀγαθῶν, σπουδαζόμενον. Τὰ γὰρ μυρία κακὰ τῆς γλώττης ἡ εὐκολία ἐργάζεται, ὥσπερ οὖν τὰ

18. Γέν. 28, 20. 19. Ματθ. 6, 11.

σο πολὺ ἄτοπο, ἐνῶ τὸ νὰ τὰ χρησιμοποιεῖς καταρρυπωμένα ἀπὸ ἀμέτρητα ἁμαρτήματα, αὐτὸ προξενεῖ μεγάλη ὀργὴ στὸ Θεό.

3. Αὐτὸ ἂς σκεπτόμαστε καὶ γιὰ τὸ στόμα καὶ γιὰ τὴ γλώσσα καί, φυλάσσοντας αὐτὸ ἀδιάβατο στὶς κακίες, ἂς προσευχόμαστε ἔτσι. Διότι ἐὰν κάποιος, ἔχοντας χρυσὸ ἀντικείμενο, δὲν θὰ δεχόταν νὰ τὸ χρησιμοποιήσει γιὰ ἀνάξια ὑπηρεσία, πολὺ περισσότερο ἐμεῖς, ποὺ ἔχουμε στόματα πολυτιμότερα ἀπὸ χρυσὸ καὶ μαργαρίτη, δὲν θὰ ἤμασταν δικαιολογημένοι νὰ τὰ καταλερώνουμε μὲ ἀδιάντροπες αἰσχρολογίες, κακολογίες καὶ ὕβρεις. Δὲν προσφέρεις τὸ θυμιατήρι σὲ χάλκινο βωμό, οὔτε σὲ χρυσό, ἀλλὰ σ' ἐκεῖνο ποὺ εἶναι πολυτιμότερο ἀπὸ αὐτό, στὸν πνευματικὸ ναό. Διότι σ' ἐκεῖνον μὲν ἡ ὕλη εἶναι ἄψυχη, ἐνῶ σὲ σένα κατοικεῖ ὁ Θεὸς καὶ εἶσαι μέλος καὶ σῶμα τοῦ Χριστοῦ.

«Θέσε, Κύριε, φρουρὰ στὸ στόμα μου». Ἀφοῦ παρακάλεσε τὸν Κύριο ν' ἀκουσθεῖ ἡ προσευχή του καὶ νὰ γίνει εὐπρόσδεκτη, πρόσεχε ποιὸ αἴτημα ἀναφέρει πρῶτα, ποιὰ θερμὴ παράκληση. Διότι δὲν εἶπε, δῶσε μου χρήματα, δῶσε μου τιμὲς ἐκ μέρους τῶν ἀνθρώπων, δῶσε μου τὴ δυνατότητα νὰ ἐξουσιάσω τοὺς ἐχθρούς μου, δῶσε μου παιδιά· τίποτε ἀπὸ αὐτὰ δὲν εἶπε, ἀλλ', ἀφοῦ τὰ ἄφησε ὅλα αὐτὰ πεταμένα ἐπάνω στὴ γῆ, ζητᾶ ἀπὸ τὸ Θεὸ αὐτὰ ποὺ πρέπει νὰ ζητᾶ κανένας ἀπὸ τὸ Θεό. Τί λοιπόν; δὲν πρέπει νὰ ζητᾶ κανένας αἰσθητὰ πράγματα; Πρέπει μέν, ἀλλὰ μὲ μέτρο, ὅπως ὁ Ἰακώβ, λέγοντας· «Ἂν μοῦ δώσει ὁ Κύριος νὰ φάγω ἄρτο καὶ νὰ φορέσω ἔνδυμα»[18]· ὅπως ὁ Χριστὸς πρόσταξε νὰ προσευχόμαστε, λέγοντας· «Τὸν ἄρτο μας τὸν ἀναγκαῖο γιὰ σήμερα δῶσε μας σήμερα»[19]· πρὶν ἀπὸ ὅλα δὲ δῶσε μας τὰ πνευματικὰ ἀγαθά. Αὐτὸ κάμνει καὶ αὐτὸς λέγοντας· «Θέσε, Κύριε, φρουρὰ στὸ στόμα μου». Εἶδες σύνεση; εἶδες φιλοσοφικότητα; ἀπὸ ποῦ ἀρχίζει τὴν παράκληση; Ἀπὸ αὐτὸ ποὺ εἶναι τὸ μεγαλύτερο ἀπὸ τὰ κατορθώματα καὶ τὸ ὁποῖο, παραμελούμενο, εἶναι αἴτιο ὅλων τῶν κακῶν, ὅπως ἀκριβῶς καὶ αἴτιο τῶν ἀγαθῶν, ὅταν ἐπιδεικνύεται φροντίδα γι' αὐτό. Διότι τὰ ἀναρίθμητα κακὰ τῆς

ἀγαθὰ ἡ ἀσφάλεια. Ὥσπερ οὖν οὐδὲν ὄφελος οἰκίας, οὐ πόλεως, οὐ τειχῶν, οὐ πυλῶν, οὐ θυρῶν, ἂν μὴ ὦσιν οἱ φυλάττοντες, καὶ εἰδότες πότε μὲν δεῖ κλείειν, πότε δὲ ἀνοίγειν, οὕτως οὐδὲ γλώττης ὄφελος, οὐδὲ στόματος, ἂν μὴ λογισμὸς ᾖ τὴν κλεῖσιν καὶ τὴν ἄνοιξιν μετὰ ἀκριβείας καὶ πολλῆς τῆς ἐπιστήμης ἐπιτετραμμένος, καὶ εἰδὼς τίνα μὲν ἐκφέρειν δεῖ, τίνα δὲ ἔνδον κατέχειν. «Οὐ τοσοῦτοι» γάρ, φησίν, «ἔπεσον ἀπὸ μαχαίρας, ὅσοι ἀπὸ γλώττης». Καὶ πάλιν ὁ Χριστός· «Οὐ τὰ εἰσερχόμενα εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐκπορευόμενα ἀπὸ τοῦ στόματος». Καὶ πάλιν ἕτερος· «Ποίησον τῷ στόματί σου θύραν καὶ μοχλόν».

Οὗτος δὲ ἐπειδὴ σφόδρα δύσκολον ὂν οἶδε τὸ πρᾶγμα, καὶ εὐχὰς προστίθησι, καὶ τὸν Θεὸν εἰς τὴν συμμαχίαν ταύτην καλεῖ. Μᾶλλον δὲ καὶ ἐκεῖνος τὸ αὐτὸ τοῦτο αἰνίττεται, ὡς ὅταν λέγῃ· «Τίς δώσει ἐπὶ τῶ χειλέων μου σφραγῖδα πανοῦργον;» Δεῖ μὲν γὰρ καὶ τὰ παρ' ἡμῶν εἰσφέρειν· διὸ δὴ καὶ ἐν τάξει προστάγματος αὐτὸ τέθεικε λέγων, «Ποίησον θύραν καὶ μοχλόν». Δεῖ δὲ καὶ τὴν παρὰ τοῦ Θεοῦ συμμαχίαν καλεῖν, ἵνα καὶ ἡ ἡμετέρα σπουδὴ εἰς ἔργον γένηται. Φυλάττωμεν τοίνυν τὸ στόμα διηνεκῶς, κλεῖν αὐτῷ τὸν λογισμὸν ἐπιτιθέντες, οὐχ ἵνα διηνεκῶς ᾖ κεκλεισμένον, ἀλλ' ἵνα κατὰ καιρὸν ἀνοίγηται τὸν προσήκοντα. Ἔστι γὰρ ὅτε ἡ σιγὴ μᾶλλον ὠφέλησε λαλιᾶς, ὥσπερ καὶ λαλιὰ μᾶλλον σιγῆς. Διὰ δὴ τοῦτο καὶ ὁ σοφώτατος ἐκεῖνος ἔλεγε· «Καιρὸς τοῦ σιγῆσαι, καὶ καιρὸς τοῦ λαλῆσαι». Εἰ γὰρ διαπαντὸς ἀνεῷχθαι ἔδει, οὐκ ἂν ἐγένοντο θύραι· εἰ δὲ διαπαντὸς κεκλεῖσθαι ἐχρῆν, οὐκ ἔδει φυλακῆς. Τὸ γὰρ κεκλεισμένον τί ἂν τις φυλάξειεν; Ἀλλὰ διὰ τοῦτο θύρα καὶ φυλακή, ἵνα καιρῷ ἐπι-

20. Σοφ. Σειρὰχ 28, 18.
21. Ματθ. 15, 11.
22. Σοφ. Σειρὰχ 28, 25.
23. Σοφ. Σειρὰχ 22, 27.
24. Ἐκκλ. 3, 7.

γλώσσας τὰ προξενεῖ ἡ εὐκολία, ὅπως πάλι βέβαια τὰ ἀγαθὰ ἡ ἀσφάλεια αὐτῆς. Ὅπως ἀκριβῶς λοιπὸν δὲν ἔχει καμιὰ ὠφέλεια ἡ οἰκία, οὔτε ἡ πόλη, οὔτε τὰ τείχη, οὔτε οἱ πύλες, οὔτε οἱ θύρες ἂν δὲν ὑπάρχουν οἱ φύλακες καὶ ποὺ γνωρίζουν πότε μὲν πρέπει νὰ τὶς κλείνουν, πότε δὲ νὰ τὶς ἀνοίγουν, ἔτσι δὲν ὑπάρχει καμιὰ ὠφέλεια ἀπὸ τὴ γλώσσα, οὔτε ἀπὸ τὸ στόμα, ἂν δὲν ὑπάρχει σκέψη ποὺ νὰ ἐπιτρέπει μὲ μεγάλη προσοχὴ καὶ μὲ μεγάλη φροντίδα τὸ κλείσιμο καὶ τὸ ἄνοιγμα αὐτῶν, καὶ ποὺ νὰ γνωρίζει ποιὰ μὲν νὰ λέγει, ποιὰ δὲ νὰ κρατῆ μέσα. Διότι, λέγει, «Δὲν ἔπεσαν τόσοι πολλοὶ ἀπὸ μάχαιρα, ὅσοι ἀπὸ γλώσσα»[20]. Καὶ πάλι ὁ Χριστὸς λέγει· «Δὲν μολύνουν τὸν ἄνθρωπο ἐκεῖνα ποὺ μπαίνουν στὸ στόμα, ἀλλ' ἐκεῖνα ποὺ βγαίνουν ἀπὸ τὸ στόμα»[21]. Καὶ πάλι ἄλλος· «Βάλε στὸ στόμα σου θύρα καὶ μοχλό»[22].

Αὐτὸς ὅμως, ἐπειδὴ γνωρίζει ὅτι τὸ πράγμα εἶναι πάρα πολὺ δύσκολο, προσθέτει καὶ εὐχὲς καὶ καλεῖ καὶ τὸ Θεὸ στὴ συμμαχία αὐτή. Μᾶλλον δὲ καὶ ἐκεῖνος ἀκριβῶς τὸ ἴδιο ὑπαινίσσεται, ὅπως ὅταν λέγει· «Ποιὸς θὰ βάλει στὰ χείλη μου σφραγίδα σοφίας;»[23]. Πρέπει δηλαδὴ νὰ κάμνουμε καὶ αὐτὰ ποὺ ἐξαρτῶνται ἀπὸ ἐμᾶς· γι' αὐτὸ λοιπὸν αὐτὸ τὸ ἀνέφερε καὶ ὑπὸ μορφὴ προστάγματος, λέγοντας, «Βάλε θύρα καὶ μοχλό». Πρέπει ὅμως νὰ ζητοῦμε καὶ τὴ βοήθεια τοῦ Θεοῦ, ὥστε καὶ ἡ δική μας προσπάθεια νὰ γίνεται πράξη. Ἂς φυλάσσουμε λοιπὸν πάντοτε τὸ στόμα μας τοποθετώντας σ' αὐτὸ σὰν κλεῖθρο τὴ σκέψη, ὄχι γιὰ νὰ εἶναι διαρκῶς κλειστό, ἀλλὰ γιὰ νὰ ἀνοίγεται τὴ στιγμὴ ποὺ χρειάζεται. Διότι ὑπάρχουν περιπτώσεις ποὺ ἡ σιωπὴ ὠφέλησε περισσότερο ἀπὸ τὸ μίλημα, ὅπως ἀκριβῶς πάλι καὶ σ' ἄλλες τὸ μίλημα ὠφέλησε περισσότερο ἀπὸ τὴ σιωπή. Γι' αὐτὸ λοιπὸν καὶ ὁ σοφότατος ἐκεῖνος ἔλεγε· «Ὑπάρχουν στιγμὲς ποὺ πρέπει νὰ σιωπήσεις καὶ στιγμὲς ποὺ πρέπει νὰ μιλήσεις»[24]. Διότι, ἂν ἔπρεπε νὰ εἶναι γιὰ πάντα ἀνοιχτό, δὲν θὰ ἔπρεπε νὰ τοποθετοῦνταν θύρες, καὶ ἂν ἔπρεπε γιὰ πάντα νὰ εἶναι κλειστό, δὲν χρειαζόταν φρουρά. Διότι τὸ κλειστὸ γιὰ ποιὸ λόγο θὰ ἔπρεπε κανένας νὰ τὸ φυλάξει; Ἀλλὰ γι' αὐτὸ

τηδείῳ ἕκαστα ἐργαζώμεθα. Ἕτερος δέ φησι, «Ζυγὸν καὶ σταθμὸν ποίησαι τῇ σαυτοῦ γλώττῃ», πλείονα ἀκρίβειαν ἀπαιτῶν, ἵνα μὴ μόνον ἐκφέρωμεν ρήματα ἃ δεῖ, ἀλλὰ καὶ μετὰ τῆς προσηκούσης ἀκριβείας σταθμίζοντες, ὡς ἂν εἴποι τις, καὶ διερευνώμενοι. Εἰ γὰρ ἐπὶ χρυσοῦ τοῦτο ποιοῦμεν, καὶ ὕλης ἀπολλυμένης, πολλῷ μᾶλλον ἐπὶ ρημάτων ποιεῖν δεῖ, ὥστε μηδὲν ὑστερεῖν, ἢ περιττεύειν. Διὸ καί τις φησί· «Μὴ κωλύσῃς λόγον ἐν καιρῷ σωτηρίας.

Εἶδες καιρὸν ἐξόδου; Ἕτερος δὲ καιρὸν σιγῆς λέγων, φησίν· «Εἰ ἔστι σοι λόγος, ἀποκρίθητι, εἰ δὲ μή, ἔστω ἡ χείρ σου ἐπὶ τῷ στόματί σου». Καὶ πάλιν, «Ὁ πλεονάζων ἐν λόγῳ, μισηθήσεται». Καί, «Κρείσσων ἄνθρωπος ἀποκρύπτων τὴν μωρίαν αὐτοῦ, ἢ ἄνθρωπος ἀποκρύπτων τὴν σοφίαν αὐτοῦ». «Ἤκουσας λόγον; Ἐναποθανέτω σοι. Θάρσει, οὐ μή σε ρήξει». Καὶ πάλιν, «Ἀπὸ προσώπου λόγου ὠδινήσει μωρός, ὡς ἀπὸ προσώπου βρέφους ἡ τίκτουσα». Εἶτα καὶ περὶ μέτρου· «Λάλησον, νεανίσκε, εἰ χρεία σοι μόλις δίς· ἐὰν ἐπερωτηθῇς, κεφαλαίωσον ἐν ὀλίγοις πολλά. Πολλῆς γὰρ χρεία ἐπιστασίας τῶν λογισμῶν, ὥστε τῇ ἐξουσίᾳ τῆς γλώττης μετὰ πολλῆς κεχρῆσθαι τῆς ἀσφαλείας. Διὸ καὶ πάλιν ἔλεγεν· «Ἔστιν ἔλεγχος, καὶ οὐκ ἔστιν ὡραῖος· καὶ ἔστι τις σιγῶν καὶ εὑρισκόμενος σοφός». Οὐ γὰρ δὴ μόνον σιγᾶν δεῖ καὶ φθέγγεσθαι εὐκαίρως, ἀλλὰ καὶ μετὰ πολλῆς τῆς χάριτος. Διὸ καὶ Παῦλος ἔλεγεν, «Ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος, εἰδέναι πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι». Ἐννόησον ὅτι τοῦτό ἐστι τὸ μέλος, δι' οὗ ὁμιλοῦμεν τῷ Θεῷ, δι' οὗ τὴν εὐφημίαν ἀναφέρομεν. Τοῦτό ἐστι τὸ μέ-

25. Σοφ. Σειρὰχ 28, 25.
26. Σοφ. Σειρὰχ 4, 23.
27. Σοφ. Σειρὰχ 5, 12.
28. Σοφ. Σειρὰχ 20, 8.
29. Σοφ. Σειρὰχ 20, 3.
30. Σοφ. Σειρὰχ 19, 10.
31. Σοφ. Σειρὰχ 19, 11.
32. Σοφ. Σειρὰχ 32 (35), 7-8.
33. Σοφ. Σειρὰχ 20, 15.
34. Κολ. 4, 6.

τοποθετεῖται θύρα καὶ φρουρά, γιὰ νὰ χρησιμοποιοῦμε τὸ καθένα σὲ κατάλληλη στιγμή. Ἄλλος δὲ λέγει, «Ζυγαριὰ καὶ σταθμὰ κατασκεύασε γιὰ τὴ γλώσσα σου»[25], ζητώντας περισσότερη προσοχή, ὥστε νὰ μὴ λέμε μόνο τὰ λόγια ποὺ πρέπει, ἀλλὰ καὶ ζυγίζοντάς τα καὶ μὲ τὴν πρέπουσα προσοχή, ὅπως θὰ μποροῦσε κάποιος νὰ πεῖ, καὶ ἐξετάζοντάς τα μὲ λεπτομέρεια. Διότι ἂν αὐτὸ τὸ κάμνουμε στὴν περίπτωση τοῦ χρυσοῦ καὶ σὲ ὕλη ποὺ χάνεται, πολὺ περισσότερο πρέπει νὰ τὸ κάμνουμε στὴν περίπτωση τῶν λόγων, ὥστε σὲ τίποτε νὰ μὴ ὑστεροῦμε ἢ νὰ λέμε περιττά. Γι' αὐτὸ καὶ κάποιος λέγει· «Μὴ ἀποφύγεις νὰ μιλήσεις ὅταν πρόκειται νὰ σώσεις κάποιον»[26].

Εἶδες καιρὸ ποὺ πρέπει νὰ μιλήσεις; Ἄλλος δέ, μιλώντας γιὰ καιρὸ σιωπῆς, λέγει· «Ἂν ἔχεις νὰ πεῖς κάτι, μίλησε, ἂν ὅμως δὲν ἔχεις, βάλε τὸ χέρι σου στὸ στόμα σου»[27]. Καὶ πάλι, «Ἐκεῖνος ποὺ λέγει περιττὰ λόγια, θὰ μισηθεῖ»[28]. Καί, «Εἶναι προτιμότερο ὁ ἄνθρωπος νὰ κρύβει τὴν ἀνοησία του, παρὰ ἄνθρωπος νὰ κρύβει τὴ σοφία του»[29]. «Ἄκουσες λόγο; Ἂς πεθάνει μέσα σου. Νὰ εἶσαι βέβαιος ὅτι δὲν θὰ σὲ ἐκθέσει»[30]. Καὶ πάλι, «Ἀπὸ τὰ λόγια σου θὰ πονέσει φοβερὰ ὁ ἀνόητος, ὅπως ἡ γυναίκα ποὺ γεννᾶ τὸ βρέφος»[31]. Ἔπειτα ὁμιλεῖ καὶ γιὰ τὸ μέτρο στὰ λόγια· «Μίλησε, νεανίσκε, ὅταν χρειάζεται, μόλις μετὰ βίας δυὸ φορές· ἂν ξαναερωτηθεῖς, νὰ πεῖς μὲ λίγα λόγια πολλά»[32]. Χρειάζεται δηλαδὴ μεγάλη προσοχὴ στὶς σκέψεις, ὥστε νὰ χρησιμοποιεῖ κάποιος τὴ δύναμη τῆς γλώσσας μὲ μεγάλη ἀσφάλεια. Γι' αὐτὸ καὶ πάλι ἔλεγε· «Ὑπάρχει ἔλεγχος ποὺ δὲν γίνεται στὴν κατάλληλη ὥρα, καὶ συμβαίνει ἄνθρωπος ποὺ σιωπᾶ νὰ ἀποδεικνύεται σοφός»[33]. Διότι δὲν πρέπει κανένας νὰ σιωπᾶ μόνο καὶ νὰ ὁμιλεῖ σὲ κατάλληλη ὥρα, ἀλλὰ καὶ νὰ ὁμιλεῖ μὲ πολλὴ χάρη. Γι' αὐτὸ καὶ ὁ Παῦλος ἔλεγε, «Ὁ λόγος σας νὰ εἶναι πάντοτε γεμάτος ἀπὸ χάρη, μὲ ἅλας ἀρτυμένος, καὶ νὰ γνωρίζετε τί πρέπει νὰ λέτε στὸν καθένα»[34]. Σκέψου ὅτι αὐτὸ εἶναι τὸ μέλος, μὲ τὸ ὁποῖο ὁμιλοῦμε πρὸς τὸ Θεό, μὲ τὸ ὁποῖο ἀπευθύνουμε τὴ δοξολογία μας πρὸς αὐτόν. Αὐτὸ εἶναι τὸ μέλος, μὲ τὸ ὁποῖο ὑποδεχόμαστε τὴ φρικτὴ θυσία.

λος, δι' οὗ τὴν φρικτὴν θυσίαν ὑποδεχόμεθα. Ἴασιν οἱ πιστοὶ τὸ λεγόμενον. Διὸ καὶ κατηγορίας ἁπάσης αὐτὸ καθαρὸν εἶναι χρή, καὶ λοιδορίας, καὶ αἰσχρολογίας, καὶ συκοφαντίας· κἂν ἀσελγής τις λογισμὸς ἐκβιάζηται, ἀποπνίγειν αὐτὸν ἔνδον χρή, καὶ μὴ ἐᾶν εἰς ρήματα ἐκφέρεσθαι· κἂν μικροψυχία τις ἀποδυσπετεῖν σε παρασκευάζῃ, καὶ ταύτην ἀναξηραίνειν τὴν ρίζαν, καὶ ἀσφαλῆ τὴν θύραν ἔχειν, καὶ ἀκριβῆ τὴν φυλακήν· καὶ τὰ πονηρὰ βουλεύματα μήτε ἐᾶν τίκτεσθαι, καὶ τικτόμενα ἀποπνίγειν ἔνδον, καὶ καταξηραίνειν τὴν ρίζαν.

4. Τοιαύτην εἶχε φυλακὴν ὁ Ἰώβ· διὰ τοῦτο οὐδὲν ἐξήνεγκε ρῆμα ἀπηχές, ἀλλ' ἐπὶ πλέον μὲν ἐσίγα· ὅτε δὲ καὶ φθέγξασθαι ἔδει πρὸς τὴν γυναῖκα, ἐφθέγξατο τὰ φιλοσοφίας γέμοντα ρήματα. Τότε γὰρ δεῖ φθέγγεσθαι μόνον, ὅταν τῆς σιγῆς τὰ λεγόμενα χρησιμώτερα ᾖ. Διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγε· «Πᾶν ρῆμα ἀργόν, ὃ ἐὰν λαλήσωσιν ἄνθρωποι, δώσουσιν ὑπὲρ αὐτοῦ λόγον». Καὶ ὁ Παῦλος, «Λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέσθω». Πῶς δ' ἂν γένοιτο ἀσφαλὴς αὕτη ἡ θύρα, καὶ ἡ φυλακὴ ἀκριβής, ἄκουσον ἑτέρου λέγοντος· «Πᾶσα διήγησίς σου ἔστω ἐν νόμῳ Ὑψίστου». Ἐὰν γὰρ παιδευθῇς μηδὲν περιττὸν λαλεῖν, ἀλλὰ διαπαντὸς τῇ τῶν θείων Γραφῶν διηγήσει τειχίζῃς σου καὶ τὴν διάνοιαν καὶ τὸ στόμα, ἀδάμαντος ἔσται ἀσφαλεστέρα ἡ φυλακή. Καὶ γὰρ πολλαὶ ὁδοὶ ἀπωλείας διὰ τοῦ στόματος, οἷον ὅταν τις αἰσχρολογῇ, ὅταν εὐτραπελεύηται, ὅταν κενοδοξῇ, ὅταν μεγαλαυχῇ, ὡς ὁ Φαρισαῖος, ὃς ἐπεὶ οὐκ ἔσχε θύραν ἐπὶ τοῦ στόματος, πάντα ἐξεχύθη τὰ ἔνδον δι' ὀλίγων ρημάτων· διὸ καὶ ὥσπερ οἰκία ἀθύρωτος οὐκ ἰσχύσας κατασχεῖν τὸν θησαυρὸν τὸν ἐναποκείμενον, ἀθρόον ἐγένετο πένης.

Σκόπει μοι καὶ ἄλλον διὰ μεγαληγορίας ἀπολλύμενον ὁμοίως. Εἶπε γάρ, φησίν, «Ἐπάνω τῶν ἄστρων τοῦ οὐρανοῦ θήσω τὸν θρόνον μου». Ἰουδαῖοι δὲ διὰ τὸ ἐφήδεσθαι τοῖς τοῦ πλη-

---

35. Ἰώβ. 2, 9-10.
36. Ματθ. 12, 36.
37. Ἐφ. 4, 29.
38. Σοφ. Σειρὰχ 9, 15.

Γνωρίζουν οἱ πιστοὶ αὐτὸ ποὺ λέγω. Γι' αὐτὸ καὶ πρέπει νὰ εἶναι αὐτὸ καθαρὸ ἀπὸ κάθε κατηγορία, κακολογία, αἰσχρολογία καὶ συκοφαντία· καὶ ἂν συμβαίνει νὰ μᾶς ἐκβιάζει κάποια αἰσχρὴ σκέψη, πρέπει νὰ τὴν πνίγουμε μέσα μας καὶ νὰ μὴ τὴν ἀφήνουμε νὰ ἐκφράζεται μὲ λόγια· καὶ ἂν κάποια μικροψυχία σὲ κάμνει νὰ χάνεις τὸ θάρρος σου, καὶ αὐτὴ τὴ ρίζα πρέπει νὰ τὴν ἀποξηραίνεις καὶ νὰ ἔχεις ἀσφαλισμένη τὴ θύρα καὶ νὰ εἶναι προσεκτικὴ ἡ φρουρά· καὶ τὶς κακὲς σκέψεις οὔτε νὰ τὶς ἀφήνεις νὰ γεννιοῦνται, ἀλλὰ καὶ ὅταν γεννιοῦνται νὰ τὶς καταπνίγεις μέσα σου καὶ νὰ καταξηραίνεις τὴ ρίζα τους.

4. Τέτοια φρουρὰ εἶχε ὁ Ἰώβ· γι' αὐτὸ δὲν ἐξέφρασε κανένα ἄσχημο λόγο, ἀλλ' ἀντίθετα μάλιστα σιωποῦσε, ὅταν δὲ ἔπρεπε νὰ μιλήσει πρὸς τὴ γυναίκα του, εἶπε τὰ γεμάτα ἀπὸ φιλοσοφικότητα λόγια[35]. Διότι τότε πρέπει νὰ μιλοῦμε μόνο, ὅταν τὰ λεγόμενα εἶναι χρησιμότερα ἀπὸ τὴ σιωπή. Γι' αὐτὸ καὶ ὁ Χριστὸς ἔλεγε· «Γιὰ κάθε δὲ περιττὸ λόγο ποὺ θὰ ποῦν οἱ ἄνθρωποι θὰ δώσουν λόγο γι' αὐτόν»[36]. Καὶ ὁ Παῦλος λέγει· «Λόγος βρωμερὸς νὰ μὴ βγαίνει ἀπὸ τὸ στόμα μας»[37]. Πῶς δὲ θὰ μποροῦσε νὰ καταστεῖ ἀσφαλὴς αὐτὴ ἡ θύρα καὶ ἡ φρουρὰ νὰ εἶναι προσεκτική, ἄκουσε ἄλλον ποὺ λέγει· «Κάθε λόγος σου νὰ ἔχει στήριγμά του τὸ νόμο τοῦ Ὑψίστου»[38]. Διότι, ἂν ἀσκηθεῖς νὰ μὴ λέγεις τίποτε τὸ περιττό, ἀλλὰ πάντοτε νὰ περιφρουρεῖς τὴ διάνοιά σου καὶ τὸ στόμα σου μὲ τοὺς λόγους τῶν θείων Γραφῶν, ἡ φρουρὰ θὰ γίνει ἀσφαλέστερη καὶ ἀπὸ διαμάντι. Καθόσον ὑπάρχουν πολλοὶ δρόμοι ἀπώλειας μέσω τοῦ στόματος, ὅπως ὅταν λέγει κάποιος αἰσχρολογίες, ὅταν λέγει χυδαῖα λόγια, ὅταν ματαιοδοξεῖ, ὅταν καυχιέται ὅπως ὁ Φαρισαῖος, ὁ ὁποῖος, ἐπειδὴ δὲν ἔβαλε θύρα στὸ στόμα του, ὅλα, ὅσα εἶχε μέσα του, ξεχύθηκαν μὲ λίγα λόγια· γι' αὐτό, ἐπειδὴ σὰν οἰκία χωρὶς θύρα δὲν μπόρεσε νὰ συγκρατήσει τὸ θησαυρὸ ποὺ ὑπῆρχε, μέσα σὲ μιὰ στιγμὴ ἔγινε φτωχός.

Πρόσεχε, σὲ παρακαλῶ, καὶ ἄλλον ποὺ καταστράφηκε κατὰ τὸν ἴδιο τρόπο ἐξ αἰτίας τῆς καυχήσεώς του. Διότι, λέγει, εἶπε, «Ἐπάνω ἀπὸ τὰ ἄστρα τοῦ οὐρανοῦ θὰ τοποθετήσω τὸ

σίον κακοῖς νῦν μὲν ἀκούουσιν, «Ἀνθ' ὧν εἶπας, εὖγε, γέγονεν ὡς τὰ λοιπὰ ἔθνη Ἰσραήλ», νῦν δὲ ὀνειδίζονται, διὰ τὸ ἀποδυσπετεῖν, καὶ λέγειν· «Πᾶς ποιῶν πονηρόν, καλὸν ἐνώπιον Κυρίου, καὶ ἐν αὐτοῖς αὐτὸς εὐδόκησε. Καὶ ἡμεῖς μακαρίζομεν ἀλλοτρίους, καὶ ἀνοικοδομοῦντες ποιοῦντες ἀνομήματα». Οὐκ ἰδοὺ ταῦτα γέγραπται ἐν βίβλῳ; Ἕτεροι διὰ γογγυσμόν, καθώς φησιν ὁ Παῦλος· «Μηδὲ γογγύζωμεν, καθώς τινες αὐτῶν ἐγόγγυσαν, καὶ ἀπώλοντο ἀπὸ τοῦ ὀλεθρευτοῦ». Καὶ πότε ἐγόγγυσαν; Ὅτε ἔλεγον, «Ἐξήγαγες ἡμᾶς ἀποκτεῖναι ἐν τῇ ἐρήμῳ παρὰ τὸ μὴ εἶναι μνήματα ἐν Αἰγύπτῳ». Ἕτεροι διὰ παιδιάν, καθάπερ φησίν· «Ἔφαγον καὶ ἔπιον, καὶ ἀνέστησαν παίζειν». Ἄλλοι διὰ λοιδορίας. «Πᾶς ὁ λέγων τῷ ἀδελφῷ αὐτοῦ, μωρέ, ἔνοχος ἔσται τῇ κρίσει». Καὶ ἕτεροι τούτων πλείους δι' ἄλλα ἀπώλοντο, μὴ φυλάξαντες τὰ ἑαυτῶν στόματα. Εἰ δὲ βούλει καὶ ἀπὸ σιγῆς ἀκαίρου ἀκοῦσαι ἀπολλυμένους τινάς, ἐγώ σοι δείξω. «Ἐὰν γὰρ μὴ διαστείλῃς», φησί, «τῷ λαῷ, ἐκεῖνος μὲν ἀποθανεῖται τῇ ἁμαρτίᾳ αὐτοῦ, τὸ δὲ αἷμα αὐτοῦ ἐκ τῆς χειρός σου ἐκζητήσω». Ἄλλος, ἐκ τοῦ ἀδιακρίτως τισὶ διαλέγεσθαι, καὶ τὰ ἐμπιστευθέντα ἐκχεῖν. «Μὴ δῶτε» γάρ, φησί, «τὰ ἅγια τοῖς κυσί, μήτε ρίψητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων». Ἄλλος, ἐκ τοῦ γελᾶν· διό φησιν· «Οὐαὶ ὑμῖν οἱ γελῶντες, ὅτι κλαύσετε».

Εἶδες πῶς ἀπόλλυσι στόμα; Ὅρα καὶ πῶς σώζει στόμα ἀπὸ τῶν ἐναντίων. Εἶδες τὸν Φαρισαῖον ἀπολλύμενον δι' αὐτοῦ; Ὅρα τὸν τελώνην σωθέντα δι' αὐτοῦ. Εἶδες τὸν μεγαλήγορον βάρβαρον δίκην δόντα; Ὅρα τὸν δίκαιον μετριάζοντα καὶ λέγοντα,

---

39. Ἠσ. 14, 13.
40. Μαλαχ. 2, 17. 3, 15.
41. Α' Κορ. 10, 10.
42. Ἔξ. 14, 11.
43. Ἐφ. 32, 6.
44. Ματθ. 5, 22.
45. Ἰεζ. 3, 20.
46. Ματθ. 7, 6.
47. Λουκᾶ 6, 25.
48. Λουκᾶ 18, 10-14.

θρόνο μου»[39]. Οἱ δὲ Ἰουδαῖοι, ἐπειδὴ χαίρονταν μὲ τὶς συμφορὲς τῶν πλησίον τους, ἄλλοτε μὲν ἀκοῦν, «Ἐπειδὴ εἶπες, εὖγε, γιὰ τὸ ὅτι καὶ ὁ Ἰσραὴλ ἔγινε ὅπως τὰ ὑπόλοιπα ἔθνη», ἄλλοτε δὲ κατηγοροῦνται γιὰ τὸ ὅτι χάνουν τὴν πίστη τους καὶ τὸν ἐγκαταλείπουν, καὶ λέγουν· «Ὁ καθένας ποὺ πράττει τὸ κακὸ εἶναι ἀρεστὸς στὸν Κύριο, καὶ ὁ ἴδιος ὁ Κύριος ἀρέσκεται μὲ αὐτούς. Καὶ ἐμεῖς μακαρίζουμε τοὺς ξένους, καὶ προστατεύονται ἐκεῖνοι ποὺ διαπράττουν ἀνομίες»[40]. Νά, δὲν ἔχουν γραφεῖ αὐτὰ στὴ Βίβλο; Ἄλλοι δὲ κατηγοροῦνται ἐξ αἰτίας τοῦ γογγυσμοῦ τους, ὅπως λέγει ὁ Παῦλος· «Οὔτε νὰ γογγύζουμε, ὅπως ἐγόγγυσαν μερικοὶ ἀπὸ αὐτοὺς καὶ ἐξολοθρεύθηκαν ἀπὸ τὸν ἐξολοθρευτὴ ἄγγελο»[41]. Καὶ πότε γόγγυσαν; Ὅταν ἔλεγαν, «Μᾶς ἔβγαλες ἀπὸ τὴν Αἴγυπτο γιὰ νὰ μᾶς πεθάνεις στὴν ἔρημο, σὰν νὰ μὴ ὑπῆρχαν μνήματα στὴ Αἴγυπτο»[42]. Ἄλλοι δὲ κατηγοροῦνται γιὰ τὴν παιδαριώδη συμπεριφορά τους, ὅπως ἀκριβῶς λέγει· «Ἔφαγαν καὶ ἤπιαν καὶ σηκώθηκαν νὰ κάνουν ἀστειότητες»[43]. Ἄλλοι γιὰ τὶς κακολογίες τους· «Ὁ καθένας ποὺ ἀποκαλεῖ τὸν ἀδελφό του μωρό, θὰ εἶναι ἔνοχος κατὰ τὴν κρίση»[44]. Καὶ ἄλλοι πολὺ περισσότεροι ἀπὸ αὐτοὺς καταστράφηκαν ἐξ αἰτίας ἄλλων παραπτωμάτων, ἐπειδὴ δὲν φύλαξαν τὰ στόματά τους. Ἂν ὅμως θέλεις ν' ἀκούσεις μερικοὺς νὰ χάνονται καὶ ἀπὸ σιωπὴ ἀκατάλληλη, ἐγὼ θὰ σοῦ δείξω. Διότι λέγει, «Ἂν σὺ δὲν ἀποτρέψεις τὸ λαὸ ἀπὸ τὴν ἁμαρτωλὴ ζωή του, ἐκεῖνος μὲν θὰ πεθάνει ἐξ αἰτίας τῆς ἁμαρτίας του, τὸ δὲ αἷμα του θὰ τὸ ζητήσω ἀπὸ τὰ χέρια σου»[45]. Ἄλλος χάθηκε ἐπειδὴ συνομιλοῦσε μὲ μερικοὺς χωρὶς διάκριση καὶ διέδιδε τὰ ὅσα τοῦ εἶχαν ἐμπιστευθεῖ. Διότι λέγει, «Μὴ δώσετε τὰ ἅγια στοὺς σκύλους, οὔτε νὰ ρίξετε τοὺς μαργαρίτες σας μπροστὰ στοὺς χοίρους»[46]. Ἄλλος χάθηκε ἐπειδὴ γελοῦσε· διότι λέγει· «Ἀλλοίμονο σὲ σᾶς ποὺ γελᾶτε, γιατὶ θὰ κλάψετε»[47].

Εἶδες πῶς ὁδηγεῖ τὸ στόμα στὴν ἀπώλεια; Πρόσεχε καὶ πῶς σώζει τὸ στόμα ἀπὸ τὴν ἀντίθετη στάση του. Εἶδες τὸν Φαρισαῖο ποὺ χάθηκε ἐξ αἰτίας αὐτοῦ; Πρόσεχε τὸν τελώνη ποὺ σώθηκε ἐξ αἰτίας αὐτοῦ[48]. Εἶδες τὸν καυχησιολόγο βάρβα-

«Ἐγώ εἰμι γῆ καὶ σποδός». Εἶδες τὸν ἐφηδόμενον ἐγκαλούμενον καὶ κολαζόμενον; Ὅρα τὸν συναλγοῦντα σωζόμενον. «Δὸς» γάρ, φησί, «τὸ σημεῖον ἐπὶ τὰ πρόσωπα τῶν στεναζόντων καὶ ὀδυνωμένων». Διὸ καὶ Παῦλος ἔλεγε, «Χαίρειν μετὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων». Εἰ καὶ μηδὲν ἕτερον δύνασαι, φησίν, οὐ μικρὸν τοῦτο εἰσοίσεις τῷ ἀλγοῦντι, τὸ συναλγῆσαι. Εἶδες τὸν γελῶντα θρήνῳ παραδιδόμενον; Ὅρα τὸν πενθοῦντα παρακλήσεως ἀπολαύοντα. «Μακάριοι» γάρ, φησίν, «οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται». Εἶδες τοὺς ἀποδυσπετοῦντας κολαζομένους; Ὅρα τοὺς εὐχαριστοῦντας σωζομένους. «Εὐλογητὸς εἶ, Κύριε, καὶ αἰνετὸν τὸ ὄνομά σου, ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν οἷς ἐποίησας ἡμῖν». Καὶ μετ' ὀλίγα, «Πάντα ὅσα ἐπήγαγες ἡμῖν, ἐν ἀληθινῇ κρίσει ἐποίησας». Ἐκεῖνοι ἔλεγον, «Πᾶς ποιῶν πονηρόν, καλὸν ἐνώπιον Κυρίου», οὗτοι, ἀπεναντίας, «Καθαρὸς ὁ ὀφθαλμός σου τοῦ μὴ ὁρᾶν πονηρά». Ἐκεῖνοι ἐμακάριζον ἀλλοτρίους, «ὅτι ἀνοικοδομοῦνται ποιοῦντες ἀνομήματα», οὗτος τοὺς ὑπὸ Θεοῦ βοηθουμένους. «Μακάριος», φησίν, «ὁ λαός, οὗ Κύριος ὁ Θεὸς αὐτοῦ». Καὶ πάλιν, «Μὴ παραζήλου ἐν πονηρευομένοις, μηδὲ ζήλου τοὺς ποιοῦντας τὴν ἀνομίαν».

Εἶδες τοὺς ἁγίους καὶ ἑτέροις παραινοῦντας, καὶ αὐτοὺς ἀπεριτρέπτους ἐν τοῖς πειρασμοῖς μένοντας; Ἄκουσον γοῦν τοῦ Ἰακὼβ λέγοντος· «Ἐὰν δῷ μοι Κύριος ἄρτον φαγεῖν, καὶ ἱμάτιον περιβαλέσθαι». Καὶ τοῦ Ἀβραάμ· «Οὐ μὴ λάβω ἀπὸ σοῦ ἀπὸ σπαρτίου ἕως σφαιρωτῆρος ὑποδήματος». Καὶ ἡνίκα δὲ ἡ γυ-

49. Γεν. 18, 27.
50. Ἰεζ. 9, 4.
51. Ρωμ. 12, 15.
52. Ματθ. 5, 5.
53. Δαν. 3, 28-29.
54. Μαλαχ. 2, 17.
55. Ἀβακ. 1, 13.
56. Μαλαχ. 3, 15.
57. Ψαλμ. 143, 15.
58. Ψαλμ. 36, 1.
59. Γεν. 28, 20.
60. Γεν. 14, 23.

ρο ποὺ τιμωρήθηκε; Πρόσεχε τὸν δίκαιο ποὺ δείχνει μετριοφροσύνη καὶ λέγει, «Ἐγὼ εἶμαι χῶμα καὶ στάχτη»[49]. Εἶδες τὸν χαιρέκακο ποὺ κατηγορεῖται καὶ τιμωρεῖται; Πρόσεχε τὸν συμπονετικὸ ποὺ σώζεται. Διότι λέγει, «Σημάδεψε τὰ μέτωπα τῶν ἀνθρώπων ἐκείνων ποὺ στενάζουν καὶ κλαῖνε μὲ πολὺ πόνο»[50]. Γι' αὐτὸ καὶ ὁ Παῦλος ἔλεγε, «Νὰ χαίρεσθε μαζὶ μὲ ἐκείνους ποὺ χαίρονται καὶ νὰ κλαῖτε μαζὶ μὲ ἐκείνους ποὺ κλαίουν»[51]. Καὶ ἂν ἀκόμα, λέγει, δὲν μπορεῖς νὰ κάνεις τίποτε ἄλλο, δὲν εἶναι μικρὴ αὐτὴ ἡ προσφορά σου πρὸς ἐκεῖνον ποὺ πονᾶ, τὸ νὰ πονέσεις μαζί του. Εἶδες αὐτὸν ποὺ γελᾶ ποὺ παραδίνεται στὸ θρῆνο; Πρόσεχε ἐκεῖνον ποὺ πενθεῖ ποὺ ἀπολαμβάνει παρηγοριά. Διότι λέγει, «Μακάριοι εἶναι ἐκεῖνοι ποὺ πενθοῦν, διότι αὐτοὶ θὰ παρηγορηθοῦν»[52]. Εἶδες ἐκείνους ποὺ χάνουν τὸ θάρρος τους καὶ δυσανασχετοῦν ὅτι τιμωροῦνται; πρόσεχε ἐκείνους ποὺ εὐχαριστοῦν τὸ Θεὸ ποὺ σώζονται. «Εὐλογημένος εἶσαι, Κύριε, καὶ ἂς εἶναι δοξασμένο τὸ ὄνομά σου, διότι εἶσαι δίκαιος γιὰ ὅλα ἐκεῖνα ποὺ ἔκαμες σὲ ἐμᾶς»[53]. Καὶ μετὰ ἀπὸ λίγο, «Ὅλα ὅσα ἔκαμες σ' ἐμᾶς, τὰ ἔκαμες μὲ δίκαια ἀπόφαση». Ἐκεῖνοι ἔλεγαν, «Ὁ καθένας ποὺ κάνει τὸ κακὸ εἶναι ἀρεστὸς μπροστὰ στὸν Κύριο»[54], ἐνῶ αὐτοὶ τὸ ἀντίθετο, «Ὁ ὀφθαλμὸς εἶναι καθαρός, ὥστε νὰ μὴ βλέπει κακά»[55]. Ἐκεῖνοι μακάριζαν τοὺς ἀλλοεθνεῖς, διότι εὐημεροῦν ἂν καὶ κάμνουν παρανομίες[56], αὐτὸς μακαρίζει αὐτοὺς ποὺ βοηθοῦνται ἀπὸ τὸ Θεό. Διότι λέγει, «Μακάριος εἶναι ὁ λαὸς ἐκεῖνος ποὺ βοηθός του εἶναι ὁ Κύριος ὁ Θεός»[57]. Καὶ πάλι, «Μὴ ζηλεύεις καὶ θέλεις νὰ μιμηθεῖς ἐκείνους ποὺ κάμνουν κακὰ πράγματα, οὔτε νὰ ζηλεύεις ἐκείνους ποὺ κάμνουν παρανομίες»[58].

Εἶδες τοὺς ἁγίους ποὺ καὶ σ' ἄλλους δίνουν συμβουλὲς καὶ οἱ ἴδιοι παραμένουν ἀκλόνητοι στὴν ἀντιμετώπιση τῶν πειρασμῶν; Ἄκουσε λοιπὸν τὸν Ἰακὼβ ποὺ λέγει· «Ἐὰν μοῦ δώσει ὁ Κύριος ἄρτο νὰ φάγω καὶ ἔνδυμα νὰ φορέσω»[59]. Καὶ τὸν Ἀβραάμ· «Δὲν θὰ πάρω ἀπὸ σένα ἀπὸ κλωστὴ μέχρι σχοινὶ ὑποδήματος»[60]. Καὶ ὅταν δὲ ἡ γυναίκα ἐπρόκειτο νὰ καταστρα-

νὴ διαφθείρεσθαι ἔμελλε, καὶ ὁ λιμὸς ἐπέκειτο, οὐδὲν ἐφθέγξατο ῥῆμα ἀπηχές. Καὶ ὅτε ὁ παῖς εἶπεν, «Πάτερ, ἰδοὺ τὰ ξύλα καὶ τὸ πῦρ, ποῦ τὸ πρόβατον;» ὅρα πῶς μετὰ ἐπιεικείας καὶ φιλοσόφου διανοίας ἀποκρίνεται, καὶ λέγει· «Ὄψεται ἑαυτῷ ὁ Θεὸς πρόβατον, τέκνον»· οὔτε ὑπὸ τῆς φύσεως, οὔτε ὑπὸ τῆς συμπαθείας ἐπιστραφεὶς πρὸς τὰ τοῦ παιδὸς ῥήματα, μόνος πρὸς μόνον ἃ ἐποιεῖτο, ὅτε μάλιστα καὶ τὰ τοῦ πόθου σφοδρότερον ἀνάπτεσθαι εἰκὸς ἦν. Ἵνα γὰρ μή τις εἴπῃ, ὅτι ἑτέρους αἰδούμενος οὐκ ἐπένθησε, χωρισθεὶς αὐτῶν καὶ μόνος ὢν ἔδειξε τῆς φιλοσοφίας τὸν τόνον.

5. Εἶδες τοὺς διὰ γέλωτος κολαζομένους; Ὅρα τοὺς διὰ θρήνων καὶ νηστειῶν σωζομένους, τοὺς Νινευΐτας ἐννοήσας. Εἶδες τοὺς διὰ λοιδορίας τιμωρουμένους; Σκόπει τοὺς δι' εὐφημίαν μισθὸν λαμβάνοντας. «Ὁ εὐλογῶν σε εὐλογημένος, καὶ ὁ καταρώμενός σε, ἐπικατάρατος». «Εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς, εὔχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς, ὅπως γένησθε ὅμοιοι τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς». Ὁρᾷς ὅτι οὐδὲ κεκλεῖσθαι δεῖ δι' ὅλου, οὐδὲ ἀνεῷχθαι εἰς πάντα, ἀλλ' εἰδέναι τὸν καιρὸν ἑκάστου; Ταῦτα καὶ ὁ προφήτης εἰδὼς ἔλεγε, «Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου». Τίς δ' ἂν γένοιτο φυλακὴ ἄλλη, ἢ λογισμὸς φοβερῶς ἐφεστώς, μετὰ χεῖρας ἔχων τὸ πῦρ τὸ μέλλον κατακαίειν τοὺς ἁπλῶς τῷ στόματι κεχρημένους; Τοῦτο στῆσον πυλωρὸν καὶ φύλακα ἀπειλοῦντα τῷ συνειδότι, καὶ οὐδέποτε ἀνοίξει τὴν θύραν ταύτην ἀκαίρως, ἀλλ' εἰς καιρόν καὶ ἐπὶ κέρδει καὶ μυρίοις ἀγαθοῖς. Διό τις ἔλεγε· Διὰ παντὸς μιμνήσκου τὰ ἔσχατά σου, καὶ εἰς τὸν αἰῶνα οὐ μὴ ἁμάρτῃς.

---

61. Γεν. 22, 7.
62. Γεν. 22, 8.
63. Ἰωνᾶ κεφ. 3.
64. Ἀριθμ. 24, 9.
65. Ματθ. 5, 44-45.

φεῖ καὶ ἡ πείνα βρισκόταν στὰ πρόθυρα, δὲν εἶπε καμιὰ κακὴ λέξη. Καὶ ὅταν τὸ παιδί του εἶπε, «Πατέρα, νὰ τὰ ξύλα καὶ ἡ φωτιά, ποῦ εἶναι τὸ πρόβατο;»[61], πρόσεχε πῶς ἀπαντᾶ μὲ πραότητα καὶ φιλοσοφημένη σκέψη καὶ λέγει· «Θὰ φροντίσει, παιδί μου, ὁ Θεὸς γιὰ τὸ πρόβατο τῆς θυσίας ποὺ προορίζεται γι' αὐτόν»[62], χωρὶς ν' ἀλλάξει γνώμη ἀκούοντας τὰ λόγια του, οὔτε ἐξ αἰτίας τῆς φυσικῆς συγγένειας, οὔτε ἀπὸ συμπάθεια, ἐνεργώντας μόνος ἀπέναντι στὸν μόνο υἱό του, σὲ χρόνο μάλιστα ποὺ φυσικὸ ἦταν ν' ἀνάβει περισσότερο ὁ πόθος του γι' αὐτόν. Διότι, γιὰ νὰ μὴ πεῖ κάποιος, ὅτι δὲν πένθησε ἀπὸ ντροπὴ πρὸς ἄλλους, ἀφοῦ χωρίσθηκε αὐτοὺς καὶ βρέθηκε μόνος του, ἔδειξε τὸ μέγεθος τῆς εὐσέβειάς του.

5. Εἶδες αὐτοὺς ποὺ τιμωροῦνται ἐπειδὴ γελοῦν; Πρόσεχε ἐκείνους ποὺ σώζονται ἐξ αἰτίας τῶν θρήνων καὶ τῶν νηστειῶν ἀφοῦ σκεφθεῖς τοὺς Νινευίτες[63]. Εἶδες ἐκείνους ποὺ τιμωροῦνται ἐξ αἰτίας τῶν κακολογιῶν τους; Σκέψου καὶ αὐτοὺς ποὺ ἀμείβονται ἐπειδὴ ἐπαινοῦν. «Εὐλογημένος θὰ εἶναι αὐτὸς ποὺ σὲ εὐλογεῖ, καὶ καταραμένος αὐτὸς ποὺ σὲ καταρᾶται»[64]. «Νὰ εὐλογεῖτε ἐκείνους ποὺ σᾶς καταδιώκουν, νὰ προσεύχεσθε γιὰ ἐκείνους ποὺ σᾶς κακομεταχειρίζονται, γιὰ νὰ γίνετε ὅμοιοι μὲ τὸν Πατέρα σας τὸν οὐράνιο»[65]. Βλέπεις ὅτι δὲν πρέπει τὸ στόμα νὰ εἶναι τελείως κλειστό, οὔτε ν' ἀνοίγει πρὸς τὸν καθένα, ἀλλὰ νὰ γνωρίζει τὴν κατάλληλη στιγμὴ τῆς κάθε περιπτώσεως; Γνωρίζοντας αὐτὰ καὶ ὁ προφήτης ἔλεγε, «Θέσε, Κύριε, φρουρὰ στὸ στόμα μου καὶ θύρα ποὺ ν' ἀσφαλίζει τὰ χείλη μου». Ποιὰ ἄλλη φρουρὰ θὰ μποροῦσε νὰ τεθεῖ παρὰ σκέψη ποὺ νὰ εἶναι τρομερὰ ἐπάγρυπνη, κρατώντας στὰ χέρια της τὴ φωτιὰ ποὺ πρόκειται νὰ κατακαίει ἐκείνους ποὺ χρησιμοποιοῦν ἀπερίσκεπτα τὸ στόμα; Αὐτὸ τοποθέτησε θυρωρὸ καὶ φύλακα ποὺ ν' ἀπειλεῖ τὴ συνείδηση καὶ ποτὲ νὰ μὴ ἀνοίξει σὲ ἀκατάλληλη στιγμὴ τὴ θύρα αὐτή, ἀλλὰ σὲ κατάλληλη στιγμὴ καὶ μὲ ὠφέλεια καὶ ἀμέτρητα ἀγαθά. Γι' αὐτὸ κάποιος ἔλεγε· «Πάντοτε νὰ θυμᾶσαι τὸ τέλος τῆς ζωῆς σου καὶ δὲν θ' ἁμαρτήσεις ποτέ.

Εἶδες πῶς καὶ οὗτος τοῦτον ἐπέστησε τὸν λογισμόν; Ἐγὼ δὲ καὶ φοβερώτερον ἐποίησα αὐτόν, οὐχὶ τῇ τελευτῇ μόνον, ἀλλὰ καὶ μετὰ τὴν τελευτήν, εἰπὼν αὐτὸν μετὰ χεῖρας ἔχειν. Ἂν τοῦτο ᾖ, οὐδὲ τεχθήσεταί τι πονηρὸν ἐν τῇ διανοίᾳ. Μετὰ τούτου καὶ ἕτερον αὐτῷ παράστησον τὸν λέγοντα, ὅτι παντὸς ῥήματος ἀργοῦ λόγον ἀποδώσεις ἐν ἡμέρᾳ κρίσεως. Ἐννόησον ὅτι καὶ θάνατος ἐντεῦθεν εἰσῆλθεν. Εἰ γὰρ μὴ διελέχθη ἡ γυνὴ πρὸς τὸν ὄφιν ἐκεῖνα ἃ διελέχθη, εἰ μὴ προσήκατο τὰ ῥήματα, οὐκ ἂν ἐδέξατο τὴν βλάβην, οὐκ ἂν ἔδωκε τῷ ἀνδρί, οὐκ ἂν ἔφαγεν ἐκεῖνος. Καὶ ταῦτα λέγω, οὐ γλῶτταν καὶ στόμα αἰτιώμενος, ἄπαγε, ἀλλὰ τὴν ἄκαιρον αὐτῶν χρῆσιν, ἢ παρὰ ῥᾳθυμίαν γίνεται τοῦ λογισμοῦ. Ἔστι δὲ καὶ ἄλλη ὁδὸς ἀπωλείας διὰ στόματος γινομένη, ὅταν φιλήματα αἰσχρὰ ᾖ καὶ ἀκάθαρτα, ὅταν δολερὰ καὶ ὕπουλα. Καὶ τούτοις τίθει φυλακήν. Τοιοῦτον φίλημα ἦν τὸ τοῦ Ἰούδα, δόλου γέμον, ἀλλ' οὐ τὸ τοῦ Παύλου τοιοῦτον, ᾧ φιλεῖν ἀλλήλους ἐκέλευσε, λέγων· «Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ»· ὥσπερ οὐδὲ τοῦ Δαυὶδ τὸ πρὸς τὸν Ἰωνάθαν, ἀλλὰ ἅγιον καὶ σεμνόν, καὶ γνησίας ἀγάπης γέμον, καὶ οἷον ἦν τὸ τῶν ἐπιπεσόντων τῷ τοῦ Παύλου τραχήλῳ, καὶ καταφιλούντων αὐτόν. Διὰ τοῦτό φησι· «Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου, καὶ θύραν»· οὐχ ἁπλῶς «Θύραν», ἀλλὰ «Περιοχῆς» ἐπαγαγών, ὥστε περιέχειν τὸ πᾶν καὶ ἀσφαλίζεσθαι.

Ἔστι καὶ ἕτερον εἶδος ἀπωλείας διὰ γλώττης, τὸ λέγειν, διὰ τί τοῦτο; εἰς τί τοῦτο γέγονε; Διὰ τοῦτο καθαπτόμενος ὁ Παῦλος τῶν οὕτω φθεγγομένων ἀπερισκέπτως· «Μενοῦν γε, ὦ ἄνθρωπε, σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ;». Οὐ στόμα δὲ δεῖ φυλάττειν μόνον, ἀλλὰ καὶ διάνοιαν πρὸ τοῦ στόματος. Διὸ καί τις ἔλεγε· «Τίς δώσει ἐπὶ τοῦ διανοήματός μου μάστιγας, ἵνα

66. Πρβλ. Ματθ. 12, 36.
67. Β' Κορ. 13, 12.
68. Α' Βασ. 20, 41.
69. Πράξ. 20, 37.
70. Ρωμ. 9, 20.

Εἶδες πῶς καὶ αὐτὸς καθόρισε αὐτὴ τὴ σκέψη; Ἐγὼ ὅμως χαρακτήρισα αὐτὴν καὶ φοβερότερη, ὄχι μόνο γιὰ τὸ τέλος τῆς ζωῆς, ἀλλὰ καὶ μετὰ τὸ τέλος τῆς ζωῆς, λέγοντας ὅτι πρέπει νὰ τὴν ἔχουμε πάντοτε στὸ νοῦ μας. Ἂν συμβαίνει αὐτό, δὲν θὰ γεννηθεῖ τίποτε τὸ κακὸ μέσα στὴ διάνοια. Μαζὶ μὲ αὐτὴ καὶ ἄλλη τοποθέτησε κοντὰ σ' αὐτὴν ποὺ λέγει, ὅτι θὰ δώσεις λόγο κατὰ τὴν ἡμέρα τῆς κρίσεως γιὰ ὁποιοδήποτε ἀνάρμοστο λόγο σου[66]. Σκέψου ὅτι καὶ ὁ θάνατος ἀπὸ ἐδῶ εἰσῆλθε στὸν ἄνθρωπο. Διότι ἂν δὲν συζητοῦσε ἡ γυναίκα μὲ τὸ φίδι ἐκεῖνα ποὺ συζήτησε, ἂν δὲν ἀποδεχόταν τὰ λόγια, δὲν θὰ ἦταν δυνατὸ νὰ δεχθεῖ τὴ βλάβη, δὲν θὰ ἔδινε στὸν ἄνδρα της, δὲν θὰ ἔτρωγε ἐκεῖνος. Καὶ αὐτὰ τὰ λέγω, ὄχι γιὰ νὰ κατηγορήσω τὴ γλώσσα καὶ τὸ στόμα, κάθε ἄλλο, ἀλλὰ τὴν ἀπρεπὴ χρήση αὐτῆς, ποὺ συμβαίνει ἀπὸ τὴν ἀδιαφορία τοῦ λογισμοῦ. Ὑπάρχει δὲ καὶ ἄλλη ὁδὸς ἀπώλειας, ποὺ προέρχεται ἀπὸ τὸ στόμα, ὅταν συμβαίνουν φιλήματα αἰσχρὰ καὶ ἀκάθαρτα, γεμάτα ἀπὸ δολιότητα καὶ ὑπουλία. Καὶ σ' αὐτὰ τοποθέτα φρουρά. Τέτοιο φίλημα ἦταν τὸ φίλημα τοῦ Ἰούδα, γεμάτο ἀπὸ δόλο, ἀλλὰ δὲν ἦταν τέτοιο τὸ τοῦ Παύλου, μὲ τὸ ὁποῖο προέτρεψε νὰ φιλοῦμε ὁ ἕνας τὸν ἄλλο, λέγοντας· «φιλήσατε ὁ ἕνας τὸν ἄλλο μὲ φίλημα ἅγιο»[67]· ὅπως δὲν ἦταν οὔτε τοῦ Δαυῒδ πρὸς τὸν Ἰωνάθαν, ἀλλ' ἦταν ἅγιο καὶ σεμνὸ καὶ γεμάτο ἀπὸ γνήσια ἀγάπη[68]· τέτοιο ἦταν καὶ ἐκείνων ποὺ ἔπεσαν ἐπάνω στὸν τράχηλο τοῦ Παύλου καὶ καταφιλοῦσαν αὐτόν[69]. Γι' αὐτὸ λέγει, «Θέσε, Κύριε, φρουρὰ στὸ στόμα μου καὶ θύρα»· ὄχι ἁπλῶς «θύρα», ἀλλὰ προσθέτοντας «περιοχῆς», ὥστε νὰ περικλείει τὰ πάντα καὶ νὰ διασφαλίζει.

Ὑπάρχει καὶ ἄλλο εἶδος ἀπώλειας μέσω τῆς γλώσσας, μὲ τὸ νὰ λέγει κανένας, γιατί συμβαίνει αὐτό; γιὰ ποιὸ σκοπὸ συνέβηκε αὐτό; Γι' αὐτὸ κατηγορώντας ὁ Παῦλος αὐτοὺς ποὺ ὁμιλοῦν ἔτσι ἀπερίσκεπτα, λέγει· «Λοιπόν, ἄνθρωπε, σὺ ποιὸς εἶσαι ποὺ προβάλλεις ἀντιρρήσεις στὸ Θεό;»[70]. Δὲν πρέπει δὲ νὰ φρουροῦμε μόνο τὸ στόμα μας, ἀλλὰ καὶ τὴ διάνοιά μας πρὶν ἀπὸ τὸ στόμα. Γι' αὐτὸ καὶ κάποιος ἔλεγε· «Ποιὸς θὰ μα-

ἐν τοῖς ἀγνοήμασί μου μὴ φείσωνται;». Διὸ καὶ ὁ Χριστὸς ἔνδοθεν αὐτοὺς ἀναιρεῖ τοὺς πονηροὺς λογισμούς, λέγων· «Ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτήν». Ὁρᾷς πῶς οὐκ ἀφίησιν αὐτοὺς βλαστῆσαι, οὐδὲ ἀρχὴν λαβεῖν, οὐκ ἐπιθυμίαν, οὐκ ὀργήν; Καὶ γὰρ «Ὁ ὀργιζόμενος», φησί, «τῷ ἀδελφῷ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός». Οὐ μικρὸν δὲ καὶ τὸ μὴ πολλὰ φθέγγεσθαι εἰς ἀσφάλειαν· διό φησιν, «Ἐκ πολυλογίας οὐκ ἐκφεύξῃ ἁμαρτίαν· φειδόμενος δὲ χειλέων, νοήμων ἔσῃ».

«Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας, τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις». Ἄλλος, «Μὴ παρατρέψῃς τὴν καρδίαν μου εἰς λόγους πονηρούς, ἐννοεῖν ἐννοίας παρανόμους». Τί δήποτε ἐναντίαν τὴν τάξιν ἐποιήσατο, καὶ πρότερον περὶ στόματος διαλεχθείς, τότε ἐπὶ τὴν καρδίαν ἦλθεν; Οὐχ ἁπλῶς, οὐδὲ ὡς ἔτυχε τοῦτο ποιεῖ. Καθάπερ γὰρ ἐπὶ τῶν δεσμωτῶν τῶν βουλομένων ἐκφυγεῖν ἔργον προηγούμενον οἱ τὴν ἐπιμέλειαν ἔχοντες ποιοῦνται προκαταλαβεῖν τοῦ δεσμωτηρίου τὰς θύρας, καὶ τοῦτο πάντες ἐσπουδάκασι, κἂν τοῦτο γένηται, τὸ λειπόμενον εὐδιόρθωτον· οὕτω δὴ καὶ οὗτος ἐνταῦθα ποιεῖ, καὶ δι' ὧν παραινεῖ, τοῦτο μονονουχὶ λέγει· 'ἔστωσαν αἱ θύραι κεκλεισμέναι, καὶ οἱ πονηροὶ λογισμοὶ ταχέως χειρωθήσονται'. Διὰ τοῦτο οὐδὲ τὴν ἀρχὴν συγχωρεῖ ἔξωθεν εἰσελθόντας, καὶ τὴν πονηρὰν ἀνασπᾷ ῥίζαν, λέγων· «Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας». Οὐχ ὅτι ὁ Θεὸς ἐκκλίνει· μὴ γένοιτο· ἀλλ' ὃ λέγει, τοιοῦτόν ἐστι· μὴ ἀφῇς κλιθῆναι, μὴ ἀφῇς περιτραπῆναι εἰς ἐννοίας πονηράς. Ἐκεῖθεν γὰρ ἡ πηγὴ τῆς ἀρετῆς καὶ τῆς κακίας, ἀπὸ τῆς καρδίας.

Τίνες δὲ οἱ λόγοι τῆς πονηρίας; Πολλοὶ καὶ διάφοροι. Καὶ γὰρ οἱ ἐπιβουλὰς ῥάπτοντες, οἱ τὸν Θεὸν διαβάλλοντες, οἱ ἀρε-

71. Σοφ. Σειρὰχ 23, 2.
72. Ματθ. 5, 23.
73. Ματθ. 5, 22.
74. Παροιμ. 10, 19.

στιγώσει τὶς σκέψεις μου, γιὰ νὰ μὴ νιώσουν λύπη γιὰ τὰ σφάλματά μου;»[71]. Γι' αὐτὸ καὶ ὁ Χριστὸς καταπνίγει μέσα μας αὐτὲς τὶς κακὲς σκέψεις, λέγοντας· «Ἐκεῖνος ποὺ εἶδε τὴ γυναίκα μὲ πονηρὴ ἐπιθυμία, ἤδη διέπραξε μοιχία μαζί της»[72]. Βλέπεις πῶς δὲν ἀφήνει νὰ βλαστήσουν αὐτὲς οἱ σκέψεις, οὔτε νὰ κάνουν τὴν ἀρχή τους, οὔτε ἡ ἐπιθυμία, οὔτε ἡ ὀργή; Διότι, λέγει, «Ἐκεῖνος ποὺ ὀργίζεται ἐναντίον τοῦ ἀδελφοῦ του, ἔνοχος θὰ εἶναι γιὰ τὴ γέεννα τοῦ πυρός»[73]. Δὲν ἀποτελεῖ δὲ μικρὴ ἀσφάλεια καὶ τὸ ν' ἀποφεύγει κάποιος τὴν πολυλογία· γι' αὐτὸ λέγει, «Ἀπὸ τὴν πολυλογία δὲν θ' ἀποφύγεις τὴν ἁμαρτία· συγκρατώντας δὲ τὰ χείλη σου, θὰ γίνεις συνετός»[74].

«Μὴ ἀφήνεις τὴν καρδιά μου νὰ ἐκτραπεῖ σὲ λόγια κακά, γιὰ νὰ προβάλλει μετὰ δικαιολογίες ἁμαρτωλές». Ἄλλος, «Μὴ στρέψεις τὴν καρδιά μου σὲ λόγια κακά, καὶ νὰ σκέπτεται παράνομες σκέψεις». Γιατί τέλος πάντων παρουσίασε ἀντίθετα τὰ πράγματα, καί, ἀφοῦ πρῶτα μίλησε γιὰ τὸ στόμα, στὴ συνέχεια ἦλθε στὴν καρδιά; Τὸ κάμνει αὐτὸ ὄχι χωρὶς σκοπὸ καὶ οὔτε στὴν τύχη. Διότι, ὅπως ἀκριβῶς στὴν περίπτωση τῶν φυλακισμένων ποὺ θέλουν νὰ δραπετεύσουν, πρώτη δουλειὰ αὐτῶν ποὺ τοὺς ἐπιβλέπουν εἶναι ν' ἀσφαλίσουν πρῶτα τὶς θύρες τῆς φυλακῆς, καὶ σ' αὐτὸ συγκεντρώνεται ἡ φροντίδα ὅλων, καὶ ἂν συμβεῖ αὐτό, τὰ ὑπόλοιπα εἶναι εὐκολοκατόρθωτα, ἔτσι λοιπὸν κάμνει καὶ αὐτὸς ἐδῶ καὶ μὲ τὶς συμβουλὲς ποὺ δίνει εἶναι σὰν νὰ λέγει σχεδὸν τὸ ἑξῆς· '"Ας εἶναι κλειστὲς οἱ θύρες καὶ οἱ κακὲς σκέψεις ἀμέσως θὰ τιθασευθοῦν'. Γι' αυτὸ οὔτε ἀπὸ τὴν ἀρχὴ τὶς ἐπιτρέπει νὰ βγοῦν ἔξω καὶ ξερριζώνει τὴν πονηρὴ ρίζα, λέγοντας· «Μὴ ἀφήνεις τὴν καρδιά μου νὰ ἐκτραπεῖ σὲ λόγια κακά». Ὄχι ὅτι ὁ Θεὸς τὴν ἐκτρέπει· μακριὰ μιὰ τέτοια σκέψη· ἀλλ' αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· μὴ τὴν ἀφήνεις νὰ ἐκπέσει, μὴ τὴν ἀφήνεις νὰ ἐκτραπεῖ σὲ σκέψεις κακές. Διότι ἀπὸ ἐκεῖ πηγάζει ἡ ἀρετὴ καὶ ἡ κακία, ἀπὸ τὴν καρδιὰ δηλαδή.

Ποιά δὲ εἶναι τὰ λόγια τῆς κακίας; Πολλὰ καὶ διάφορα. Καθόσον ἐκεῖνοι ποὺ σχεδιάζουν τὶς ἐπιβουλές, ἐκεῖνοι ποὺ κα-

τὴν ἀποστρεφόμενοι, οἱ κακίαν διώκοντες, οἱ περὶ δογμάτων διεφθαρμένων καὶ βίου ἠμελημένου ἡδέως ἀκούονται λόγοι, καὶ τὰ τοιαῦτα, ἐκ πονηρίας πολλῆς προϊέμενοι· ὥσπερ δέ εἰσιν ἔννοιαι καὶ ῥήματα πονηρίας, οὕτω καὶ ζωῆς. Διὸ καὶ ἔλεγον οἱ μαθηταὶ τῷ Χριστῷ, «Ῥήματα ζωῆς αἰωνίου ἔχεις· καὶ πρὸς τίνα ἀπελευσόμεθα;» Λέγεται δὲ ῥήματα ζωῆς, τὰ ζωὴν παρέχοντα· λέγεται δὲ καὶ ῥήματα σωτηρίας, τὰ σωτηρίαν περιποιοῦντα. Διὸ καί τις σοφὸς λέγει, «Μὴ κωλύσῃς λόγον ἐν καιρῷ σωτηρίας». Λόγοι πονηρίας καὶ οἱ πονηροὺς ποιοῦντες τοὺς λέγοντας. Ὥσπερ γάρ εἰσιν ἀέρες λοιμώδεις καὶ νοσοποιοί, οὕτω καὶ λόγοι. Ὅπερ γὰρ ἐργάζονται ἐν σώματι ἐκεῖνοι, τοῦτο οὗτοι τῇ παραδεχομένῃ ψυχῇ. Εὔχεται τοίνυν καὶ οὗτος δι' ὧν ἐπήγαγε, καὶ λέγει· 'μὴ ἀφῇς τὴν καρδίαν μου δέξασθαι λόγους τοιούτους, μὴ ἀφῇς ἐκεῖ κλιθῆναι'. Εἶδες πῶς δείκνυσι τὸ αὐτεξούσιον, καὶ ὅτι οὐκ ἐν ἑαυτῇ τὴν πονηρίαν ἡ φύσις ἔχει, ἀλλ' ἀπὸ ῥαθυμίας κλινομένη δέχεται;

6. «Τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις». Αὕτη μάλιστά ἐστιν ἡ τῆς ἀπωλείας ὁδός, ὅταν ἡ αὐτὴ ἡ ἁμαρτοῦσα ψυχὴ τὸν φόβον ἐκλύσῃ, καὶ προφάσεις τινὰς εἰς ῥαθυμίαν ἐπινοῇ· ἢ καὶ ὅταν, μοιχεύσαντός τινος, βουλόμενος ἕτερος ἐκλῦσαι αὐτοῦ τὴν κατάνυξιν, λέγῃ· 'μὴ γὰρ σὺ αἴτιος; ἡ ἐπιθυμία αἰτία'. Κακὸν γοῦν τὸ ἁμαρτεῖν, χαλεπώτερον δὲ αὐτὸ ποιεῖ τὸ ἀρνεῖσθαι μετὰ τὸ ἁμαρτεῖν. Τοῦτο μάλιστα ὅπλον τοῦ διαβόλου. Τοῦτο καὶ ἐπὶ τῶν πρωτοπλάστων ἐγένετο. Δέον γὰρ ὁμολογῆσαι τὸν Ἀδὰμ τὰ πεπλημμελημένα, ὁ δὲ ἐφ' ἑτέραν μεταφέρει τὴν αἰτίαν, κἀκείνη πάλιν ἐπὶ τὸν διάβολον. Δέον εἰπεῖν, 'ἡμάρτομεν, ἠνο-

75. Ἰω. 6, 69.
76. Σοφ. Σειρὰχ 4, 23.
77. Γέν. κεφ. 3.

τηγοροῦν τὸ Θεό, ἐκεῖνοι ποὺ ἀποστρέφονται τὴν ἀρετή, ἐκεῖνοι ποὺ ἐπιδιώκουν τὴν κακία, τὰ λόγια ποὺ μὲ εὐχαρίστηση λέγονται γιὰ διεφθαρμένες διδασκαλίες καὶ βίο διεστραμμένο, καθὼς καὶ τὰ παρόμοια μὲ αὐτά, εἶναι λόγια ποὺ πηγάζουν ἀπὸ μεγάλη κακία. Ὅπως ἀκριβῶς δὲ ὑπάρχουν σκέψεις καὶ λόγια κακίας, ἔτσι ὑπάρχουν καὶ ζωῆς. Γι' αὐτὸ καὶ ἔλεγαν οἱ μαθητὲς στὸ Χριστό, «Ἔχεις λόγια ζωῆς αἰώνιας· πρὸς ποιὸν νὰ πᾶμε;»[75]. Ὀνομάζονται δὲ λόγια ζωῆς, ἐπειδὴ χαρίζουν ζωή, ὀνομάζονται δὲ καὶ λόγια σωτηρίας, ἐπειδὴ χαρίζουν σωτηρία. Γι' αὐτὸ καὶ κάποιος σοφὸς λέγει, «Μὴ ἀποφύγεις νὰ πεῖς λόγο ποὺ πρόκειται νὰ σώσει κάποιον»[76]. Λόγια δὲ κακίας λέγονται αὐτὰ ποὺ κάμνουν κακοὺς αὐτοὺς ποὺ τὰ λέγουν. Διότι, ὅπως ἀκριβῶς ὑπάρχουν ἀέρες μολυσμένοι ποὺ προξενοῦν ἀσθένειες, ἔτσι καὶ λόγια. Ἐκεῖνο δὲ ποὺ προξενοῦν ἐκεῖνοι στὸ σῶμα, αὐτὸ προεξενοῦν καὶ αὐτὰ στὴν ψυχὴ ποὺ τὰ ἀποδέχεται. Προσεύχεται λοιπὸν καὶ αὐτὸς καὶ λέγει μὲ ἐκεῖνα ποὺ πρόσθεσε· 'Μὴ ἀφήνεις τὴν καρδιά μου νὰ δεχθεῖ τέτοια λόγια, μὴ τὴν ἀφήνεις νὰ ἐκτραπεῖ πρὸς τὰ ἐκεῖ'. Εἶδες πῶς παρουσιάζει τὸ αὐτεξούσιο τοῦ ἀνθρώπου καὶ ὅτι ἡ ἀνθρώπινη φύση δὲν ἔχει ἐκ φύσεως μέσα της τὴν κακία, ἀλλὰ τὴ δέχεται παρασυρόμενη ἀπὸ τὴν ἀδιαφορία;

6. «Γιὰ νὰ προβάλλει δικαιολογίες ἁμαρτωλές». Αὐτὴ πρὸ πάντων εἶναι ἡ ὁδὸς τῆς ἀπώλειας, ὅταν ἢ ἡ ἴδια ἡ ἁμαρτάνουσα ψυχὴ διώξει τὸ φόβο καὶ ἐπινοεῖ ὁρισμένες δικαιολογίες ποὺ προέρχονται ἀπὸ ἀδιαφορία, ἢ καὶ ὅταν, διαπράττοντας κάποιος μοιχεία, θέλοντας ἄλλος νὰ τὸν ἀπαλλάξει ἀπὸ τὴ συντριβὴ τῆς καρδιᾶς του, τοῦ λέγει· 'μὰ μήπως σὺ εἶσαι αἴτιος; ἡ ἐπιθυμία εἶναι αἰτία'. Εἶναι κακὸ βέβαια τὸ ν' ἁμαρτάνει κάποιος, φοβερότερο ὅμως κάμνει αὐτὸ τὸ ν' ἀρνεῖται αὐτὸς νὰ μετανοήσει μετὰ τὴ διάπραξη τῆς ἁμαρτίας. Αὐτὸ πρὸ πάντων εἶναι τὸ ὅπλο τοῦ διαβόλου. Αὐτὸ συνέβηκε καὶ στὴν περίπτωση τῶν πρωτοπλάστων[77]. Διότι, ἐνῶ ἔπρεπε ὁ Ἀδὰμ νὰ ὁμολογήσει τὰ πλημμελήματά του, ἐκεῖνος ὅμως μεταφέρει τὴν αἰτία σὲ ἄλλη, καὶ ἐκείνη πάλι στὸ διάβολο. Ἐνῶ ἔπρεπε νὰ ποῦν 'ἁ-

μήσαμεν', οἱ δὲ οὐ μόνον οὐχ ὁμολογοῦσιν, ἀλλὰ καὶ ἀπολογίαν συντιθέασιν. Ὁ γὰρ διάβολος εἰδώς, ὅτι ἡ ὁμολογία τῆς ἁμαρτίας λύσις ἐστὶ τῆς ἁμαρτίας, πείθει τὴν ψυχὴν ἀναισχυντεῖν.

Ἀλλὰ σύ, ἀγαπητέ, ὅταν ἁμάρτῃς, εἰπέ, ὅτι ἥμαρτον· ταύτης τῆς ἀπολογίας οὐδὲν δικαιότερον. Οὕτω τὸν Θεὸν ἵλεων ποιεῖς· οὕτω καὶ σεαυτὸν ὀκνηρότερον εἰς τὸ τοῖς αὐτοῖς περιπεσεῖν. Ὅταν δὲ μέλλῃς προφάσεις οὐκ οὔσας ζητεῖν, καὶ ἀπαλλάττειν τὴν ψυχὴν τοῦ δέους, προθυμοτέραν αὐτὴν ἐργάσῃ πρὸς τὸ πάλιν ἐμφύρεσθαι τοῖς αὐτοῖς, καὶ τὸν Θεὸν μειζόνως παροξυνεῖς. Οὐδένα γὰρ τῶν ἁμαρτανόντων πρόφασις λείπει ἀναίσχυντος. Καὶ γὰρ ὁ ἀνδροφόνος τὸν θυμὸν αἰτιάσασθαι ἔχει, καὶ ὁ κλέπτης τὴν πενίαν, καὶ ὁ μοιχὸς τὴν ἐπιθυμίαν, καὶ ἕτερος τὴν δυναστείαν· ἀλλὰ ταῦτα προφάσεις εἰσὶν ἄλογοι, οὐδεμίαν ἀπολογίαν εὔλογον ἔχουσαι. Οὐδὲ γὰρ ἐκεῖνα ποιεῖ τὰς ἁμαρτίας, ἀλλ' αἱ γνῶμαι τῶν ἁμαρτανόντων. Καὶ ὅτι αὗται, ἀπὸ τῶν προσεχόντων τοῦτο ποιήσω φανερόν. Ὅταν γὰρ φαίνηται ἕτερος ἄνθρωπος, καὶ πενίᾳ συζῶν, καὶ ἐπιθυμίαν ἔχων, καὶ ταῖς ἀνάγκαις τῆς φύσεως ὑποκείμενος, καὶ ταῦτα μὴ ἁμαρτάνων, ποίαν ἕξουσιν οὗτοι ἀπολογίαν; Διὰ τοῦτο σοφός τις καλῶς οὕτως εἶπε· «Τίς δώσει ἐπὶ διανοίας μου μάστιγας, ἵνα ἐπὶ τοῖς ἀγνοήμασί μου μὴ φείσωνται»; Ὅρα τὸν Δαυὶδ οὐ προφασιζόμενον ἡνίκα ἥμαρτεν, ἀλλὰ λέγοντα· «Ἡμάρτηκα τῷ Κυρίῳ». Καίτοι γε εἶχεν εἰπεῖν· 'τί γὰρ ἐγυμνοῦτο ἡ γυνή; τί γὰρ ἐλούετο πρὸ τῶν ὀφθαλμῶν τῶν ἐμῶν'; Ἀλλ' ᾔδει ὅτι ταῦτα πρόφασις ἦν ἄλογος· καὶ διὰ τοῦτο ἦλθεν ἐπὶ τὴν σαφῆ ἀπολογίαν, τῷ εἰπεῖν, «Ἥμαρτον». Ἀλλ' οὐχ ὁ Σαοὺλ οὕτως, ἀλλ' ἐγκαλούμενος περὶ τῆς ἐγγαστριμύθου, ἔλεγε, «Θλίβομαι, καὶ οἱ ἀλλόφυλοι πολεμοῦσιν ἐν

78. Σοφ. Σειρὰχ 23, 2.
79. Β' Βασ. 12, 13.
80. Α' Βασ. 28, 15 καὶ 7.

μαρτήσαμε, παρανομήσαμε', ἐκεῖνοι ὅμως ὄχι μόνο δὲν ὁμολογοῦν, ἀλλὰ καὶ μηχανεύονται δικαιολογία. Διότι ὁ διάβολος γνωρίζοντας, ὅτι ἡ ὁμολογία τῆς ἁμαρτίας ἀποτελεῖ ἀπαλλαγὴ ἀπὸ τὴν ἁμαρτία, πείθει τὴν ψυχὴ νὰ γίνει ἀδιάντροπη.

Ἀλλὰ σύ, ἀγαπητέ, ὅταν ἁμαρτήσεις, πές, ὅτι ἁμάρτησα· δὲν ὑπάρχει τίποτε ἄλλο ποὺ νὰ δικαιώνει περισσότερο ἀπὸ αὐτὴ τὴν ἀπολογία. Ἔτσι κάμνεις τὸ Θεὸ εὐσπλαχνικό, ἔτσι κάμνεις καὶ τὸν ἑαυτό σου πιὸ ἀπρόθυμο στὸ νὰ ὑποπέσει στὰ ἴδια ἁμαρτήματα. Ὅταν ὅμως φροντίζεις νὰ βρεῖς δικαιολογίες ἀνύπαρκτες καὶ ν' ἀπαλλάσσεις τὴν ψυχή σου ἀπὸ τὸ φόβο, θὰ τὴν κάνεις προθυμότερη πρὸς τὸ νὰ ὑποπέσει πάλι στὰ ἴδια ἁμαρτήματα καὶ θὰ παροργίσεις περισσότερο τὸ Θεό. Διότι ἀπὸ κανένα ἁμαρτωλὸ δὲν λείπει ἡ ἀδιάντροπη δικαιολογία. Καθόσον ὁ ἀνθρωποκτόνος ἔχει νὰ κατηγορήσει τὸ θυμό, ὁ κλέφτης τὴ φτώχεια, ὁ μοιχὸς τὴν ἐπιθυμία καὶ ἄλλος τὴν ἐξουσία, ἀλλ' αὐτὰ εἶναι δικαιλογίες παράλογες, ποὺ δὲν ἔχουν καμιὰ λογικὴ δικαιολογία. Διότι δὲν κάμνουν ἐκεῖνα τὶς ἁμαρτίες, ἀλλ' οἱ γνῶμες ἐκείνων ποὺ ἁμαρτάνουν. Καὶ τὸ ὅτι αὐτὲς τὶς κάμνουν, θὰ τὸ ἀποδείξω ἀπὸ ἐκείνους ποὺ εἶναι προσεκτικοὶ στὶς γνῶμες τους. Διότι ὅταν παρουσιάζεται ἄλλος ἄνθρωπος ποὺ καὶ ζεῖ μὲ τὴ φτώχεια καὶ ἐπιθυμία ἔχει καὶ ὑπόκειται στὶς ἀνάγκες τῆς φύσεως, καὶ παρ' ὅλα αὐτὰ δὲν ἁμαρτάνει, ποιὰ δικαιολογία θὰ ἔχουν αὐτοί; Γι' αὐτὸ κάποιος σοφὸς πολὺ σωστὰ εἶπε τὰ ἑξῆς· «Ποιὸς θὰ μαστιγώσει τὴ διάνοιά μου, ὥστε νὰ μὴ μὲ λυπηθοῦν γιὰ τὰ σφάλματά μου;»[78]. Πρόσεχε τὸν Δαυὶδ ποὺ δὲν δικαιολογεῖται ὅταν ἁμάρτησε, ἀλλὰ λέγει· «Ἁμάρτησα ἀπέναντι στὸν Κύριο»[79]. Ἂν καὶ βέβαια μποροῦσε νὰ πεῖ· 'Γιατί λοιπὸν γυμνωνόταν ἡ γυναίκα; γιατί λουζόταν μπροστὰ στὰ μάτια μου;'. Ἀλλὰ γνώριζε ὅτι ὅλα αὐτὰ ἦταν παράλογη δικαιολογία· καὶ γι' αὐτὸ προχώρησε στὴν ὁλοκάθαρη ἀπολογία μὲ τὸ νὰ πεῖ, «Ἁμάρτησα». Ὅμως δὲν ἐνήργησε ἔτσι ὁ Σαούλ, ἀλλά, κατηγορούμενος γιὰ τὴν ἐγγαστρίμυθο, ἔλεγε· «Ἐγὼ δοκιμάζω θλίψεις καὶ οἱ ἀλλόφυλοι μὲ πολεμοῦν»[80]. Γι' αὐτὸ λοιπὸν πρὸ πάντων τιμωροῦνταν. Διότι, ἐνῶ ἔπρεπε νὰ

ἐμοί». Διὰ δὴ τοῦτο μάλιστα ἐκολάζετο. Δέον γὰρ εἰπεῖν, 'ἥμαρτον, καὶ παρηνόμησα', ὁ δὲ τοῦτο μὲν οὐκ εἶπε, περιήρχετο δὲ προφάσεις ἀλόγους ζητῶν.

«Σὺν ἀνθρώποις ἐργαζομένοις τὴν ἀνομίαν». Τοῦτο ἐπήγαγε δεικνύς, ὅτι ἐκείνων ἐστὶ μάλιστα τὸ προφασίζεσθαι, τὸ ἀναισχυντεῖν. Διὰ δὴ τοῦτο καὶ ὁ Δαυὶδ συνεχῶς ἀντὶ ἀρετῆς τοῦτο προβάλλεται, τὸ φεύγειν τοὺς τοιούτους συλλόγους, μᾶλλον δὲ καὶ ἐντεῦθεν τοῦ βιβλίου παντὸς ἄρχεται λέγων· «Μακάριος ἀνήρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν, καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη, καὶ ἐπὶ καθέδραν λοιμῶν οὐκ ἐκάθισε». Δι' αὐτὸ δὲ τοῦτο εὑρίσκεις αὐτὸν ἀεὶ ἐν τοῖς ἁμαρτήμασιν εὐγνώμονα. Ὅτε γοῦν ἠρίθμησε τὸν λαόν, ἔλεγεν· «Ἐγὼ ἥμαρτον, καὶ ἐγὼ ὁ ποιμὴν ἐκακοποίησα». Οὐκ εἶπε, 'τί γάρ ἐστι, ὅτι ἠρίθμησα'; ἀλλ' ἑαυτὸν καταδικάζει, διὸ καὶ συγγνώμης τυγχάνει. Οὐδὲν γὰρ οὕτω τὸν Θεὸν ἵλεων ποιεῖ, ὡς τὸ τὰ οἰκεῖα ὁμολογεῖν ἁμαρτήματα. Τοῦτο γένοιτ' ἂν ἐκ τοῦ φεύγειν τοὺς συλλόγους τοὺς ἐκλύοντας τὸν ἐκ τῶν ἁμαρτημάτων φόβον, καὶ εἰς ῥᾳθυμίαν ἐμβάλλοντας. Διὸ καὶ Παῦλος καὶ Ἱερεμίας πολὺν ὑπὲρ τούτου ποιοῦνται λόγον, φεύγειν κελεύοντες ἑκάτεροι τῶν πονηρῶν τὰς συνουσίας, καὶ τῶν οὕτω ῥᾳθύμων. Καὶ ὁ Ἰὼβ δὲ ἐν τάξει ἀρετῆς καὶ τοῦτο τίθεται λέγων· «Εἰ ἤμην πορευόμενος μετὰ γελοιαστῶν». Οὗτος δὲ μηδὲ καθίσαι δείκνυσιν ἑαυτὸν μετὰ τοιούτων, λέγων· «Οὐκ ἐκάθισα ἐν συνεδρίῳ παιζόντων». Διά τοι τοῦτο καὶ Παῦλος οὐκ ἀφίησι συνεσθίειν τοῖς πονηροῖς, οὐδὲ ἁπλῶς συγγίνεσθαι, λέγων· «Εἰ δέ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν διὰ τῆς ἐπιστολῆς, τοῦτον σημειοῦσθε, καὶ μὴ συναναμίγνυσθε αὐτῷ.

81. Ψαλ. 1, 1.
82. Β' Βασ. 24, 17.
83. Ἰώβ. 31, 5.
84. Ψαλμ. 25, 4.
85. Β' Θεσ. 3, 14.

πεῖ, 'ἁμάρτησα καὶ παρανόμησα', ἐκεῖνος ὅμως αὐτὸ μὲν δὲν τὸ εἶπε, ἀλλ' ἔφθανε στὸ νὰ ζητᾶ νὰ βρεῖ παράλογες δικαιολογίες.

«Μαζὶ μὲ τοὺς ἀνθρώπους ἐκείνους ποὺ διαπράττουν τὴν παρανομία». Αὐτὸ τὸ πρόσθεσε γιὰ νὰ δείξει, ὅτι σ' ἐκείνους πρὸ πάντων ἀνήκει τὸ νὰ προβάλλουν προφάσεις, τὸ νὰ εἶναι ἀδιάντροποι. Γι' αὐτὸ βέβαια καὶ ὁ Δαυὶδ αὐτὸ προβάλλει συνέχεια ἀντὶ τῆς ἀρετῆς, τὸ ν' ἀποφεύγει κανένας τὶς σκέψεις αὐτοῦ τοῦ εἴδους, μᾶλλον δὲ καὶ ἀπὸ αὐτὸ ἀρχίζει ὅλο τὸ βιβλίο τῶν ψαλμῶν, λέγοντας· «Μακάριος εἶναι ὁ ἄνθρωπος ἐκεῖνος ποὺ δὲν πῆγε σὲ συνέδριο ἀσεβῶν καὶ δὲν στάθηκε σὲ δρόμο ἁμαρτωλῶν καὶ δὲν κάθισε σὲ σύσκεψη ἀνθρώπων φθοροποιῶν»[81]. Γι' αὐτὸ δι' ἀκριβῶς βρίσκεις αὐτὸν πάντοτε ν' ἀναγνωρίζει τὰ ἁμαρτήματά του. Ὅταν λοιπὸν ἀρίθμησε τὸ λαὸ ἔλεγε· «Ἐγὼ ἁμάρτησα καὶ ἐγὼ ὁ ποιμένας διέπραξα τὸ κακό»[82]. Δὲν εἶπε, 'Ποιὰ σημασία λοιπὸν ἔχει τὸ ὅτι ἀρίθμησα τὸ λαό;' ἀλλὰ καταδικάζει τὸν ἑαυτό του, γι' αὐτὸ καὶ βρίσκει συγχώρηση. Διότι τίποτε δὲν κάνει τὸ Θεὸ τόσο εὐσπλαχνικό, ὅσο τὸ νὰ ὁμολογεῖ κάποιος τὰ ἁμαρτήματά του. Αὐτὸ θὰ μποροῦσε νὰ συμβεῖ μὲ τὸ νὰ ἀποφεύγει κάποιος τὶς συγκεντρώσεις ἐκεῖνες ποὺ ἐξαφανίζουν τὸ φόβο γιὰ τὰ ἁμαρτήματα καὶ ὁδηγοῦν σὲ ἀδιαφορία. Γι' αὐτὸ καὶ ὁ Παῦλος καὶ ὁ Ἱερεμίας κάμνουν μεγάλο λόγο γι' αὐτὸ τὸ πράγμα, προτρέποντας καὶ οἱ δύο ν' ἀποφεύγουμε τὶς συναναστροφὲς τῶν κακῶν ἀνθρώπων καὶ ἐκείνων ποὺ εἶναι τόσο πολὺ ἀδιάφοροι. Καὶ ὁ Ἰὼβ δὲ τοποθετεῖ καὶ αὐτὸ στὴ θέση τῆς ἀρετῆς, λέγοντας· «Ἂν πήγαινα μαζὶ μὲ ἀνθρώπους χλευαστές»[83]. Αὐτὸς ὅμως παρουσιάζει τὸν ἑαυτό του ὅτι δὲν κάθισε μὲ τέτοιους ἀνθρώπους, λέγοντας· «Δὲν κάθισα σὲ συγκέντρωση ἀνθρώπων ποὺ ἀστειεύονται»[84]. Γι' αὐτὸ λοιπὸν καὶ ὁ Παῦλος δὲν ἐπιτρέπει νὰ τρώγει κάποιος μαζὶ μὲ κακούς, οὔτε ἁπλῶς καὶ νὰ συναναστρέφεται αὐτούς, λέγοντας· «Ἂν ὅμως κάποιος δὲν ὑπακούει στὰ λόγια τῆς ἐπιστολῆς μου, αὐτὸν νὰ τὸν σημειώνετε καὶ νὰ μὴ τὸν συναναστρέφεσθε»[85].

«Καὶ οὐ μὴ συνδυάσω μετὰ τῶν ἐκλεκτῶν αὐτῶν». Ἕτερος, «Μηδὲ συμφάγοιμι τὰ ἡδέα αὐτῶν». Ἄλλος, «Μὴ συναυλισθῶ ἐν ταῖς τερπνότησιν αὐτῶν». Τὸ ἀποστολικὸν ἐνταῦθα λέγει, ὅτι καὶ τρυφὰς αὐτῶν καὶ συμπόσια φεύγειν δεῖ, ἔνθα μάλιστα τὰ τῆς ἁμαρτίας αὔξεται, ἔθνα πλείων ἡ ἄδεια γίνεται. Οὐ μικρὸν δὲ τοῦτο ἀρετῆς σημεῖον, οὐ μικρὰ διορθώσεως ὁδός, τὸ φεύγειν τὰ τοιαῦτα συμπόσια, καὶ τοὺς συλλόγους, καὶ μήτε φιλίαν αἰδεῖσθαι, μήτε γαστρὶ δουλεύοντας τὸν τόνον ἐκλύειν τῆς ψυχῆς, καὶ τὸ τῆς φιλοσοφίας εὔτονον παραλύειν. Οὕτω πολλοὶ φιλίαν αἰδεσθέντες εἰς τὸ τῆς μέθης κατεκυλίσθησαν κλυδώνιον, οὕτως ὑπὸ πορνείας ἑάλωσαν, καὶ πῦρ ἡδονῆς ἀνῆψαν, συμπόσια διώξαντες καὶ θέατρα πολλὴν ἔχοντα παρανομίαν. Τοῦτο καὶ αὐτὸς δείκνυσιν ἑαυτὸν πεποιηκέναι, ὡς μηδὲ μετασχεῖν τῆς τοιαύτης τραπέζης.

7. «Παιδεύσει με δίκαιος ἐν ἐλέει, καὶ ἐλέγξει με· ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου». Ἄλλος, «Κατελεησάτω με δίκαιος ἐλέους, καὶ ἐλεγξάτω». Καὶ τοῦτο οὐ μικρὸν ἀρετῆς εἶδος μετὰ τοῦ προτέρου, τὸ μὴ φεύγειν ἐλέγχους, μηδὲ ἐπιτιμήσεις τὰς παρὰ τῶν δικαίων γινομένας. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· τῶν μὲν πρὸς χάριν διαλεγομένων ἐπὶ βλάβῃ μηδέποτε μεταλάβοιμι, φησί, τῶν συλλόγων, τοὺς δὲ ἐπιστύφοντας καὶ διορθουμένους, τούτους ἑλοίμην, τοὺς ἐλέγχοντας, τοὺς ἐγκαλύπτοντας τὰ πεπλημμελημένα, τοὺς ἐπιτιμῶντας. Τοῦτο γὰρ μάλιστα ἐλέους καὶ φιλανθρωπίας, τὸ τὰ τραύματα δορθοῦν.

«Ἔλαιον δέ», φησίν, «ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφα-

«Καὶ δὲν θὰ παρακαθήσω μαζί τους στὰ ἐκλεκτὰ γεύματά τους». Ἄλλος λέγει, «Οὔτε θὰ φάγω μαζί τους τὰ εὐχάριστα φαγητά τους». Ἄλλος, «Δὲν θὰ παραβρεθῶ μὲ αὐτοὺς γιὰ νὰ φάγω τὰ ἀπολαυστικὰ φαγητά τους». Ἐδῶ ἐννοεῖ τὸ ἀποστολικὸ παράγγελμα, ὅτι πρέπει ν' ἀποφεύγει κάποιος καὶ τὶς ἀπολαύσεις καὶ τὰ συμπόσια αὐτῶν, ὅπου κατ' ἐξοχὴ αὐξάνονται οἱ ἀφορμὲς γιὰ ἁμαρτία, ὅπου γίνεται μεγαλύτερη ἡ ἀφοβία γιὰ τὴ διάπραξη τῆς ἁμαρτίας. Δὲν εἶναι δὲ αὐτὸ μικρὴ ἀπόδειξη ἀρετῆς, δὲν εἶναι μικρὸς τρόπος διορθώσεως, τὸ ν' ἀποφεύγουμε τὰ παρόμοια συμπόσια καὶ τὶς συγκεντρώσεις, καὶ οὔτε τέτοιου εἴδους φιλία νὰ σεβόμαστε, οὔτε γενόμενοι δοῦλοι τῆς κοιλιᾶς νὰ διαλύουμε τὴ δύναμη τῆς ψυχῆς καὶ νὰ παραλύουμε τὴ διάθεση γιὰ εὐσέβεια. Ἔτσι πολλοί, μὲ τὸ νὰ σεβασθοῦν τὴ φιλία, κατακυλίσθηκαν μέσα στὸ ναυάγιο τῆς μέθης, ἔτσι αἰχμαλωτίσθηκαν ἀπὸ τὴν πορνεία καὶ ἄναψαν τὴ φωτιὰ τῆς ἡδονῆς, ἐπειδὴ ἐπιδίωξαν τὰ συμπόσια καὶ τὰ θέατρα ποὺ ἦταν γεμάτα ἀπὸ μεγάλη παρανομία. Αὐτὸ δείχνει καὶ αὐτὸς ὅτι ἔκαμε γιὰ τὸν ἑαυτό του, μὲ τὸ ὅτι δὲν ἔλαβε μέρος στὰ τραπέζια αὐτοῦ τοῦ εἴδους.

7. «Θὰ μὲ παιδαγωγήσει ὁ δίκαιος μὲ εὐσπλαχνία καὶ θὰ μὲ ἐλέγξει, ἀλλ' ὅμως λάδι ἁμαρτωλοῦ ἀνθρώπου ἂς μὴ χυθεῖ ποτὲ στὸ κεφάλι μου». Ἄλλος, «Ἂς μοῦ προσφέρει ὁ δίκαιος μὲ εὐσπλαχνία τὸ ἔλεός του καὶ ἂς μὲ ἐλέγξει». Καὶ αὐτὸ δὲν εἶναι μαζὶ μὲ τὸ προηγούμενο μικρὸ εἶδος ἀρετῆς, τὸ νὰ μὴ ἀποφεύγει κάποιος τοὺς ἐλέγχους οὔτε τὶς ἐπιτιμήσεις ποὺ προέρχονται ἀπὸ δίκαιους ἀνθρώπους. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Οὐδέποτε, λέγει, θὰ λάβω μέρος στὶς συγκεντρώσεις ἐκείνων ποὺ οἱ συζητήσεις τους εἶναι εὐχάριστες, ἀλλὰ προξενοῦν βλάβη, ἐνῶ θὰ προτιμοῦσα ἐκείνους ποὺ εἶναι αὐστηροί, ποὺ ἔχουν διάθεση νὰ διορθώσουν, ποὺ ἐλέγχουν καὶ ἀποκρύπτουν τὰ παραπτώματα καὶ ἐπιβάλλουν ἐπιτιμήσεις. Διότι αὐτὸ πρὸ πάντων εἶναι γνώρισμα εὐσπλαχνίας καὶ φιλανθρωπίας, τὸ νὰ διορθώνει κανένας τὰ τραύματα.

«Λάδι ὅμως ἁματωλοῦ», λέγει, «δὲν θὰ χυθεῖ στὸ κεφάλι

λήν μου». Εἶδες ψυχὴν συγκεκροτημένην ἀρετῇ; Τῶν μὲν δικαίων καὶ τὰς ἐπιτιμήσεις μεθ' ἡδονῆς φέρει, τῶν δὲ παρανόμων καὶ τὰ πρὸς χάριν λεγόμενα διακρούεται. Τί δήποτε; Ὅτι ἐκεῖνοι μὲν ἐλεοῦντες πολλάκις ἀπώλεσαν, οὗτοι δὲ ἐπιτιμῶντες καὶ ἐπιστύφοντες διώρθωσαν· καὶ τῷ μὲν ἐλέγχῳ τούτων συγκεκλήρωται ἔλεος, τῷ δὲ ἐλέῳ ἐκείνων θάνατος. Διὸ καί τις ἔφησεν· «Ἀξιοπιστότερα τραύματα φίλων ἢ ἑκούσια φιλήματα ἐχθρῶν». Καὶ σκόπει πῶς τὸ ἀποστολικὸν ἐνταῦθα δηλοῖ, τό, «Ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον». Τοιοῦτος γὰρ καὶ ὁ ἔλεγχος τῶν ἁγίων. Οὕτω καὶ ἰατροὶ ποιοῦσιν· οὐ τέμνουσι μόνον, ἀλλὰ καὶ ἐπιδεσμοῦσι. Διὰ τοῦτο καὶ ὁ Χριστὸς εὐπαράδεκτον ποιῶν γίνεσθαι τὸν ἔλεγχον, οὐκ ἀφίησι δημοσιεύεσθαι ἐκ προοιμίων τὴν ἐπιτίμησιν, λέγων· «Ὕπαγε, ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου». Οὕτω καὶ Παῦλος ἐποίει, μετὰ ἐλέους τὸν ἔλεγχον ἐπιδεικνύμενος, καὶ νῦν μὲν λέγων, «Ὦ ἀνόητοι Γαλάται», νῦν δέ, «Τεκνία μου, οὓς πάλιν ὠδίνω». Πολλὰ γὰρ δεῖ τὸν ἐλέγχοντα ἐπινοεῖν, ὥστε εὐπαράδεκτον γενέσθαι τὸν ἔλεγχον, καὶ πολλῆς χρεία συνέσεως τῷ τοῦτο ἐπάγοντι τὸ φάρμακον· μᾶλλον μὲν οὖν, πλείονος ὁ ἐλέγχων δεῖται συνέσεως, ἢ ὁ σῶμα τέμνων. Πῶς; Ὅτι ἐκεῖ μὲν ἕτερον τὸ τέμνον, καὶ ἕτερον τὸ ὑπομένον τὴν ὀδύνην, ἐνταῦθα δὲ αὕτη καὶ ἡ τεμνομένη καὶ ἡ φέρουσα τὴν ἀλγηδόνα.

Ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου». Τί ἐστι τοῦτο; Ἐκεῖνος, φησίν, οὐ τὸ χρήσιμον ζητεῖ τοῦ ἀκούοντος, ἀλλὰ τὸ ἑαυτοῦ, ἵνα ἡδὺς φαίνηται, ἵνα προσφιλής, οὗτος δὲ πρὸ τῆς ἑαυτοῦ χάριτος τὸ ἐκείνου συμφέρον σκοπεῖ. Ὥστε ἀλ-

---

86. Παροιμ. 27, 6.
87. Β' Τιμ. 4, 2.
88. Ματθ. 18, 15.
89. Γαλ. 3, 1.
90. Γαλ. 4, 19.

μου». Εἶδες ψυχὴ ποὺ εἶναι ἐξ ὁλοκλήρου πλημμυρισμένη ἀπὸ ἀρετή; Τῶν μὲν δικαίων καὶ τὶς ἐπιτιμήσεις ὑπομένει μὲ εὐχαρίστηση, ἐνῶ τῶν παράνομων τὰ λόγια, ποὺ λέγονται γιὰ εὐχαρίστηση, τὰ ἀποκρούει. Γιατί τέλος πάντων; Διότι οἱ μὲν παράνομοι καὶ ἐλεώντας πολλὲς φορὲς προξένησαν καταστροφή, ἐνῶ οἱ δίκαιοι μὲ τὶς ἐπιτιμήσεις καὶ τοὺς αὐστηροὺς ἐλέγχους τους διόρθωσαν ἐκείνους ποὺ ὑπέπεσαν σὲ παραπτώματα· καὶ μὲ τὸν ἔλεγχο μὲν αὐτῶν συνδέεται στενὰ καὶ εὐσπλαχνία, ἐνῶ στὴν εὐσπλαχνία ἐκείνων κρύβεται θάνατος. Γι' αὐτὸ καὶ κάποιος εἶπε· «Εἶναι προτιμότερα τὰ τραύματα ποὺ προέρχονται ἀπὸ φίλους, παρὰ τὰ γεμάτα προθυμία φιλήματα τῶν ἐχθρῶν»[86]. Καὶ πρόσεχε πῶς μὲ αὐτὸ ἐδῶ δηλώνει τὸν ἀποστολικὸ λόγο, «Ἔλεγξε, ἐπιτίμησε, πρότρεψε γιὰ μετάνοια»[87]. Τέτοιος βέβαια εἶναι καὶ ὁ ἔλεγχος τῶν ἁγίων. Ἔτσι κάμνουν καὶ οἱ ἰατροί· δὲν ἐγχειρίζουν μόνο, ἀλλὰ καὶ ἐπιδένουν μὲ ἐπιδέσμους τὶς πληγές. Γι' αὐτὸ καὶ ὁ Χριστὸς θέλοντας νὰ κάνει εὐπρόσδεκτο τὸν ἔλεγχο, δὲν ἐπιτρέπει ἀπὸ τὴν ἀρχὴ τὴ δημοσίευση τῆς ἐπιτιμήσεως, λέγοντας· «Πήγαινε, ἔλεγξε αὐτὸν ἐνῶ θὰ εἴσασθε μόνοι σας σὺ καὶ αὐτός»[88]. Ἔτσι καὶ ὁ Παῦλος ἔκαμνε, ἀσκώντας τὸν ἔλεγχο μὲ εὐσπλαχνία, καὶ ἄλλοτε μὲν λέγοντας, «Ἀνόητοι Γαλάτες»[89], ἄλλοτε δέ, «Τέκνα μου, γιὰ τὰ ὁποῖα ὑποφέρω πάλι πολύ»[90]. Διότι πρέπει αὐτὸς ποὺ κάμνει τὸν ἔλεγχο νὰ ἐπινοεῖ πολλοὺς τρόπους ἐλέγχου, ὥστε νὰ γίνει εὐπρόσδεκτος ὁ ἔλεγχος καὶ χρειάζεται πολλὴ σύνεση ἐκεῖνος ποὺ παρέχει αὐτὸ τὸ φάρμακο· μᾶλλον δὲ περισσότερη σύνεση χρειάζεται ἐκεῖνος ποὺ ἐλέγχει παρὰ ἐκεῖνος ποὺ ἐγχειρίζει. Γιατί; Διότι στὴν περίπτωση μὲν ἐκείνη ἄλλος εἶναι ἐκεῖνος ποὺ ἐγχειρίζει καὶ ἄλλος αὐτὸς ποὺ ὑπομένει τὸν πόνο, ἐνῶ ἐδῶ ἡ ἴδια εἶναι ἐκείνη καὶ ποὺ δέχεται τὴν ἐγχείρηση καὶ ποὺ ὑποφέρει τὸν πόνο.

«Λάδι δὲ ἁμαρτωλοῦ δὲν θὰ χυθεῖ στὸ κεφάλι μου». Τί σημαίνει αὐτό; Ἐκεῖνος, λέγει, δὲν ζητεῖ τὴν ὠφέλεια ἐκείνου ποὺ ἀκούει τὰ λόγια του, ἀλλὰ τὰ δικά του, ὥστε νὰ φαίνεται εὐχάριστος καὶ ἀγαπητός, ἐνῶ αὐτὸς πρὶν ἀπὸ τὴ δική του εὐχαρί-

λήλων καὶ ταύτῃ μάλιστα διεστήκασιν. Εἰ δὲ ἐλεοῦντας ἀποστρέφεσθαι χρὴ τοὺς πονηρούς, πότε αὐτοὺς δεῖ προσίεσθαι; Οὐδέποτε. Ὥστε κἂν χρήματα παρέχῃ, κἂν τρυφὴν ἐπαγγέλληται καὶ τιμάς, διακρούου καὶ φεῦγε· τὸν δὲ δίκαιον, κἂν σκώπτῃ λόγοις, κἂν ἐπιτιμᾷ, δίωκε· ἐκεῖνος γάρ ἐστι ὁ φιλῶν.

Ὅτι ἔτι καὶ ἡ προσευχή μου ἐν ταῖς εὐδοκίαις αὐτῶν». Ἄλλος, «Ἔτι γὰρ καὶ ἡ προσευχή μου ἐντὸς τῶν κακιῶν αὐτῶν». Ἄλλος, «Ὅτι ἔτι καὶ ἡ προσευχή μου ἐν ταῖς πονηρίαις αὐτῶν». Τὰ μὲν ᾔτησε, τὰ δὲ παρ' ἑαυτοῦ παρέχεται· ἐντεῦθεν δείκνυσιν, ὅτι εὐχῇ οὐ δεῖ θαρρεῖν μόνον αὐτοὺς ἀναπεπτωκότας καὶ καθεύδοντας, ἀλλὰ τὰ παρ' ἑαυτῶν εἰσφέρειν. Τί οὖν οὗτος ἐξ ἑαυτοῦ παρέχεται; Οὐ πρόβατα, καὶ βόας, καὶ χρήματα, ἀλλὰ τρόπων ἐπιείκειαν, καὶ τὸ μεθ' ὑπερβολῆς ἀποστρέφεσθαι αὐτῶν τὴν πονηρίαν. Οὐ μόνον, φησί, φεύξομαι τὴν ἐκείνων χάριν τὴν ἐπιβλαβῆ, οὐδὲ αἱρήσομαι τὴν τούτων ἐπιτίμησιν, ἀλλὰ καὶ κατὰ τῶν ἐπιθυμιῶν αὐτῶν στήσομαι· τοσοῦτον ἀπέχω ἑλέσθαι τὸν ἐκείνων ἔλεον, ὅτι καὶ εὔχομαι κατὰ τῶν ἐπιθυμιῶν αὐτῶν. Τοῦτο γάρ ἐστιν, «Ἐν ταῖς εὐδοκίαις αὐτῶν».

Κατεπόθησαν ἐχόμενα πέτρας οἱ κριταὶ αὐτῶν». Ἄλλος, «Ἐκτιλήσονται ἐν χειρὶ πέτρας». Ἐνταῦθα δείκνυσι τὸ τῆς ἁμαρτίας εὐχείρωτον, καὶ τὸ ἀπόκρημνον τῆς κακίας. Αὐτοί, φησίν, οἱ δυνάσται, οἱ πάντα ἄγοντες καὶ φέροντες, ἀπώλοντο. Καὶ οὐκ εἶπεν 'ἀπώλοντο', ἀλλά, «Κατεπόθησαν», δηλῶν ὅτι οὐ-

στηση ἐπιδιώκει τὸ συμφέρον ἐκείνου ποὺ ἐλέγχει. Ὥστε μεταξύ τους διαφέρουν πρὸ πάντων καὶ ὡς πρὸς αὐτό. Ἂν δὲ πρέπει νὰ ἀποστρεφόμαστε τοὺς πονηροὺς καὶ ὅταν ἀκόμα φαίνονται εὐσπλαχνικοί, πότε πρέπει νὰ πλησιάζουμε αὐτούς; Ποτέ. Ὥστε εἴτε χρήματα δίνει, εἴτε ὑπόσχεται ἀπολαύσεις καὶ τιμές, ἀπόκρουέ τον καὶ ἀπόφευγέ τον, ἐνῶ τὸν δίκαιο, εἴτε σὲ δυσαρεστεῖ μὲ λόγια, εἴτε σὲ ἐπιπλήττει, ἐπιδίωκε νὰ συμβαίνει αὐτό· διότι αὐτὸς εἶναι ἐκεῖνος ποὺ σὲ ἀγαπᾶ.

«Διότι ἀκόμα καὶ ἡ προσευχή μου εἶναι νὰ μὴ ἐκπληρωθοῦν οἱ ἐπιθυμίες τους». Ἄλλος λέγει, «Διότι ἀκόμα καὶ ἡ προσευχή μου θὰ εἶναι κατὰ τῶν κακιῶν αὐτῶν». Ἄλλος, «Διότι ἀκόμα καὶ ἡ προσευχή μου θὰ εἶναι ἐναντίων τῶν πονηριῶν αὐτῶν». Ἄλλα μὲν ζήτησε ἀπὸ τὸ Θεό, ἄλλα δὲ τὰ προσφέρει ὁ ἴδιος. Μὲ αὐτὸ φανερώνει, ὅτι δὲν πρέπει οἱ ἄνθρωποι νὰ στηρίζουν τὴν πεποίθησή τους στὴν προσευχὴ καὶ ν' ἀδρανοῦν καὶ νὰ κοιμοῦνται, ἀλλὰ καὶ νὰ προσφέρουν αὐτὰ ποὺ ἐξαρτῶνται ἀπ' αὐτούς. Τί λοιπὸν αὐτὸς προσφέρει ἀπὸ τὸν ἑαυτό του; Ὄχι πρόβατα καὶ βόδια καὶ χρήματα, ἀλλ' ἐπιεικὴ τρόπο συμπεριφορᾶς καὶ ἀποστροφὴ σὲ ὑπερβολικὸ βαθμὸ τῆς κακίας αὐτῶν. Ὄχι μόνο, λέγει, θ' ἀποφύγω τὴν εὐχάριστη ἀλλ' ὅμως ἐπιβλαβὴ συμπεριφορὰ τῶν πονηρῶν πρὸς ἐμένα, οὔτε θὰ προτιμήσω τὴν ἐπιτίμηση τῶν δικαίων, ἀλλὰ καὶ θὰ σταθῶ ἀντιμέτωπος στὶς ἐπιθυμίες τους· τόσο πολὺ ἀπέχω ἀπὸ τὸ νὰ προτιμήσω τὴν εὐσπλαχνία ἐκείνων, ὥστε καὶ νὰ προσεύχομαι ἀκόμα ἐναντίον τῶν ἐπιθυμιῶν αὐτῶν. Διότι αὐτὸ σημαίνει, «Ἐν ταῖς εὐδοκίαις αὐτῶν».

«Καταβροχθίσθηκαν καὶ ἐξαφανίσθηκαν οἱ πανίσχυροι μεταξὺ αὐτῶν σὰν τὴν πέτρα μέσα στὸ πέλαγος τῆς κακίας τους». Ἄλλος λέγει, «Ἐξαφανίζονται ὅπως ἡ πέτρα μέσα στὴ θάλασσα». Ἐδῶ παρουσιάζει τὸ εὐκολοκατάβλητο τῆς ἁμαρτίας καὶ τὸ ἀπόκρημνο τῆς κακίας. Αὐτοί, λέγει, οἱ ἐξουσιαστές τους, ἀπὸ τοὺς ὁποίους προέρχονται ὅλα τὰ κακά, ἐξολοθρέφθηκαν. Καὶ δὲν εἶπε, 'καταστράφηκαν', ἀλλά, «καταβροχθίσθηκαν», γιὰ νὰ δείξει ὅτι τέτοια ὑπῆρξε ἡ καταστροφὴ

τως, ὡς μηδὲ ἴχνος αὐτῶν φαίνεσθαι, ὃ καὶ περὶ τοῦ ἀσεβοῦς λέγει, ὅτι «Παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν· καὶ ἐζήτησα αὐτόν, καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ». Τί ἐστιν, «Ἐχόμενα»; Ἐγγύς. Ὃ δὲ λέγει, τοῦτό ἐστιν· ὥσπερ ἡ πέτρα τις κατὰ πόντου βληθεῖσα οὐκ ἂν φανείη, οὕτω δὴ καὶ αἱ ἐκείνων εὐημερίαι καταδυόμεναι λοιπὸν ἀφανεῖς γίνονται, ὁλοσχερῆ τὴν ἀπώλειαν ὑπομένουσαι. Ἢ τοῦτο τοίνυν φησί, 'τὸ ἀνώνυμον, τὸ πρόρριζον', ἢ 'τὸ ἰσχυρόν, καὶ δυνατόν, καὶ κραταιόν'. Τοῦτο γὰρ τό, «Ἐκτιλήσονται ἐν χειρὶ πέτρας». «Ἀκούσονται τὰ ῥήματά μου, ὅτι ἡδύνθησαν». Ἕτερος, «Ὅτι ἐδορυφορήθησαν». Ἄλλος, «Ὅτι εὐπροσωπίσθησαν». Τουτέστι, διὰ τῆς πείρας εἴσονται τῶν πραγμάτων τὴν ἡδονὴν τῆς ἐμῆς παραινέσεως καὶ συμβουλῆς. Καὶ πῶς; Ὁ ἔλεγχος τῶν δικαίων τοῦτον φέρει τὸν καρπόν, καὶ ἡ παιδεία αὐτῶν πολλὴν ἔχει τὴν ἡδονήν. Τοιοῦτον γὰρ ἡ ἀρετή· πρόσκαιρον μὲν ἔχει τὸν πόνον, διηνεκῆ δὲ τὴν εὐφροσύνην.

8. «Ὡσεὶ πάχος γῆς ἐρράγη ἐπὶ τῆς γῆς· διεσκορπίσθη τὰ ὀστᾶ ἡμῶν παρὰ τὸν ᾅδην». Ἕτερος, «Ὥσπερ γεωργός, ὅταν ῥήσσῃ τὴν γῆν· οὕτως ἐσκορπίσθη τὰ ὀστᾶ ἡμῶν εἰς στόμα ᾅδου». Ἄλλος, «Ὁμοίως εἰ ἀποκλῶντι καὶ διασχίζοντι τὴν γῆν, ἐσκορπίσθη τὰ ὀστᾶ ἡμῶν εἰς τὸν ᾅδην». Ἄλλος, «Ὡς καλλιεργῶν καὶ σκάπτων ἐν τῇ γῇ, διεσκορπίσθη τὰ ὀστᾶ ἡμῶν παρὰ τὸν ᾅδην». Εἰπὼν ὅτι πολλὴν ἔχει αὐτοῦ τὰ ῥήματα τὴν ἡδονήν, λέγει καὶ τὰς παλαιὰς συμφοράς. Ὅτι καίτοι γε τὰ ἔσχατα ἐπάθομεν, καὶ ὥσπερ γῆ διαρραγεῖσα, καὶ ἀροτριωμένη, ἢ διασκαπτομένη, οὕτω πάντες διεσπάρημεν, καὶ ἀπωλόμεθα, καὶ πρὸς αὐτὰς τοῦ θανάτου τὰς πύλας ἤλθομεν, ἀλλ' ὅμως καὶ οὔ-

---

91. Ψαλμ. 36, 36.

τους, ὥστε οὔτε ἴχνος αὐτῶν νὰ μὴ φαίνεται, πράγμα ποὺ λέγει καὶ γιὰ τὸν ἀσεβή· «Καὶ ἐπέρασα ἀπὸ ἐκεῖ, καὶ ὅμως δὲν ὑπῆρχε· καὶ ζήτησα νὰ τὸν βρῶ, καὶ δὲν βρέθηκε ὁ τόπος αὐτοῦ»[91]. Τί σημαίνει,«'Εχόμενα»; Ὅμοια πρός. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Ὅπως ἀκριβῶς κάποια πέτρα ποὺ ρίχθηκε στὴ θάλασσα, δὲν θὰ ἦταν δυνατὸ νὰ φανεῖ πιὰ ξανά, ἔτσι λοιπὸν καὶ οἱ εὐημερίες ἐκείνων καταβυθίζονται πλέον καὶ ἐξαφανίζονται, καὶ ὑφίστανται ὁλοκληρωτικὴ καταστροφή. Ἢ αὐτὸ λοιπὸν ἐννοεῖ, 'τὸ ἐξαφανιζόμενο τελείως, τὸ καταστρεφόμενο ἀπὸ τὴ ρίζα του', ἢ τὴν ἰσχυρή, τὴ δυνατὴ καὶ τὴν κραταιὰ καταστροφή τους. Διότι αὐτὸ σημαίνει τό, «'Εκτιλήσονται ἐν χειρὶ πέτρας». «Θὰ ἀκούσουν τὰ λόγια μου καὶ θὰ νιώσουν εὐχαρίστηση». Ἄλλος, «Διότι ἡ ἐπίδρασή τους σ' αὐτοὺς εἶναι μεγάλη». Ἄλλος, «Διότι προξενοῦν μεγάλη εὐχαρίστηση». Δηλαδή, ἀπὸ τὴν ἴδια τὴν πείρα θὰ γνωρίσουν τὴ χαρὰ καὶ τὴν εὐχαρίστηση ποὺ περιέχουν οἱ παραινέσεις καὶ συμβουλές μου. Καὶ πῶς; Ὁ ἔλεγχος τῶν δικαίων αὐτὸν τὸν καρπὸ προσφέρει καὶ ἡ διδασκαλία αὐτῶν περιέχει μεγάλη εὐχαρίστηση. Διότι τέτοιο πράγμα εἶναι ἡ ἀρετή· ἔχει προσωρινὸ μὲν τὸν κόπο, αἰώνα ὅμως τὴν εὐφροσύνη.

8. «Σὰν μεγάλα κομμάτια τῆς γῆς κατασυντριφθήκαμε ἐπάνω στὴ γῆ· διασκορπίσθηκαν τὰ ὀστᾶ μας μπροστὰ στὶς πύλες τοῦ ἅδη». Ἄλλος λέγει, «Ὅπως ἀκριβῶς ὁ γεωργός, ὅταν ὀργώνει τὴ γῆ, ἔτσι διασκορπίσθηκαν τὰ ὀστᾶ μας μπροστὰ στὸ στόμιο τοῦ ἅδη». Ἄλλος, «Ὅμοια μὲ ἐκεῖνον ποὺ κατακομματιάζει καὶ καταξεσχίζει τὴ γῆ, ἔτσι διασκορπίσθηκαν τὰ ὀστᾶ μας στὸν ἅδη». Ἄλλος, «Σὰν ἐκεῖνον ποὺ καλλιεργεῖ καὶ σκάβει τὴ γῆ, ἔτσι διασκορπίσθηκαν τὰ ὀστᾶ μας κοντὰ στὸν ἅδη». Ἀφοῦ εἶπε ὅτι τὰ λόγια του προξενοῦν μεγάλη εὐχαρίστηση καὶ χαρά, λέγει καὶ τὶς παλιὲς συμφορές. Ὅτι δηλαδή, ἂν καὶ καταστραφήκαμε καὶ φθάσαμε καὶ πρὸς αὐτὲς ἀκόμα τὶς πύλες τοῦ θανάτου, ὅπως ἡ γῆ ποὺ σχίζεται, ποὺ ὀργώνεται καὶ κατασκάβεται, ἀλλ' ὅμως ἂν καὶ βρισκόμασταν καὶ σ' αὐτὴν τὴν κατάσταση, θὰ προτιμούσαμε μᾶλλον τὴν ἐκ μέρους

τω διακείμενοι μᾶλλον ἂν ἑλοίμεθα τὴν ἀπὸ τῶν δικαίων παίδευσιν καὶ διόρθωσιν, ἢ τὸν ἀπὸ τῶν ἁμαρτωλῶν ἔλεον. Καὶ γάρ, ὅπερ ἂν γένοιτο, τῆς πρὸς σὲ ἐλπίδος ἐκκρεμάμεθα, καὶ οὐκ ἄν ποτε ἐκπέσοιμεν τοῦ πρὸς σὲ ὁρᾶν. Διὸ καὶ ἐπήγαγε λέγων, «Ὅτι πρὸς σέ, Κύριε, Κύριε, οἱ ὀφθαλμοί μου. Ἐπὶ σοὶ ἤλπισα, μὴ ἀντανέλῃς τὴν ψυχήν μου». Κἂν μυρία, φησίν, ἐπέλθῃ δεινά, κἂν πόλεμοι, κἂν μάχαι, κἂν θάνατοι, κἂν πύλαι ᾅδου, οὐκ ἀφιστάμεθα τῆς ἱερᾶς ἀγκύρας, ἀλλ' ἐχόμεθα τῆς ἐλπίδος τῆς ἐπὶ τὴν σὴν συμμαχίαν, καὶ ὅπλα καὶ παρατάξεις ἀφέντες, ἐντεῦθεν τὴν ἀπαλλαγὴν προσδοκῶμεν, ἀπὸ τῆς σῆς ῥοπῆς. «Ἐπὶ σοὶ ἤλπισα, μὴ ἀντανέλῃς τὴν ψυχήν μου». Ἄλλος, «Μὴ ἐκκενώσῃς». Τουτέστι, μὴ ἄπρακτόν με ἀφῇς ἀπελθεῖν.

«Φύλαξόν με ἀπὸ παγίδος ἧς συνεστήσαντό μοι, «καὶ ἀπὸ σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν». Οὐχ ἁπλῶς ἐνταῦθα ἐπιβουλὰς λέγει, ἀλλὰ τὰς λαθραίους, τὰς κεκρυμμένας, αἵπερ εἰσὶ καὶ δυσφύλακτοι καὶ δυσφώρατοι, διὸ μάλιστα καὶ τῆς ἄνωθεν δέονται ῥοπῆς. Διὰ δὴ τοῦτο εἰς εὐχὴν κατακλείει τὸν λόγον, ἐντεῦθεν προοιμιασάμενος, καὶ ἐνταῦθα τελευτῶν· δεικνύς, ὅτι τὰ μὲν παρ' αὐτοῦ ταῦτά ἐστιν, ἡ ἐλπὶς ἡ εἰς τὸν Θεόν, τὸ διαπαντὸς πρὸς τὸν Θεὸν βλέπειν, τὸ φεύγειν αὐτῶν τοὺς συλλόγους, τὸ μισεῖν αὐτῶν τὰς πονηρὰς ἐπιθυμίας, τὰ δὲ παρὰ τοῦ Θεοῦ, ἡ βοήθεια, ἡ συμμαχία, τὸ τῶν δυσφορωτάτων αὐτὸν ἀνώτερον ποιεῖν. Οὕτω γὰρ ἡ ἀρετὴ ὑφαίνεται, καὶ τῆς ἡμετέρας σπουδῆς εἰσαγομένης, καὶ τῆς τοῦ Θεοῦ βοηθείας συμμαχούσης.

«Πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτοῦ οἱ ἁμαρτωλοί· καταμό-

τῶν δικαίων διδασκαλία καὶ διόρθωση, παρὰ τὴν εὐσπλαχνία ἐκ μέρους τῶν ἁμαρτωλῶν. Καθόσον, ὁ,τιδήποτε καὶ ἂν συνέβηκε, ἤμασταν κρεμασμένοι ἀπὸ τὴν ἐλπίδα πρὸς ἐσένα καὶ ποτὲ δὲν θὰ ἦταν δυνατὸ νὰ πάψουμε νὰ ἔχουμε στραμμένο τὸ βλέμα μας πρὸς ἐσένα. Γι' αὐτὸ πρόσθεσε καὶ εἶπε· «Διότι πρὸς ἐσένα, Κύριε, Κύριε, εἶναι στραμμένα τὰ μάτια μου. Σὲ ἐσένα στήριξα τὶς ἐλπίδες μου, μὴ καταστρέψεις τὴν ψυχή μου». Καὶ ἂν ἀκόμα, λέγει, μᾶς βροῦν ἀμέτρητες συμφορές, καὶ ἂν ἀκόμα πόλεμοι, καὶ ἂν ἀκόμα μάχες, καὶ ἂν ἀκόμα θάνατοι, καὶ ἂν ἀκόμα βρεθοῦμε μπροστὰ στὶς πύλες τοῦ ἅδη, δὲν ἀπομακρυνόμαστε ἀπὸ τὴν ἱερὴ ἄγκυρα, ἀλλὰ στηρίζουμε σταθερὰ τὴν ἐλπίδα μας στὴν ἐκ μέρους σου βοήθεια πρὸς ἐμᾶς, καί, ἐγκαταλείποντας ὅπλα καὶ πολεμικὲς παρατάξεις, ἀπὸ ἐδῶ θὰ περιμένουμε τὴν ἀπαλλαγή, ἀπὸ τὴ δική σου βοήθεια. «Σὲ σένα στήριξα τὶς ἐλπίδες μου, μὴ καταστρέψεις τὴν ψυχή μου». Ἄλλος λέγει, «Μὴ τὴν ἀφήσεις ἔρημη». Δηλαδή, μὴ μὲ ἀφήσεις νὰ φύγω χωρὶς κάποια ὠφέλεια τῆς ψυχῆς μου.

«Προφύλαξέ με ἀπὸ τὴν παγίδα ποὺ μοῦ ἔστησαν καὶ ἀπὸ τὰ σκάνδαλα ἐκείνων ποὺ διαπράττουν τὴν ἀνομία». Δὲν ἐννοεῖ ἐδῶ ἁπλῶς τὶς ἐπιβουλές, ἀλλὰ τὶς ἐπιβουλὲς ἐκεῖνες τὶς μυστικές, τὶς κρυφές, ἀπὸ τὶς ὁποῖες δύσκολα μπορεῖ κανένας νὰ προφυλαχθεῖ καὶ νὰ τὶς ἀνακαλύψει, γι' αὐτὸ πρὸ πάντων καὶ χρειάζονται τὴν οὐράνια βοήθεια. Γι' αὐτὸ λοιπὸν τελειώνει τὸ λόγο μὲ εὐχή, μὲ τὴν ὁποία καὶ ἄρχισε τὸ λόγο καὶ τὸν τελείωσε, δείχνοντας ἔτσι, ὅτι αὐτὰ ποὺ ἔχει νὰ παρουσιάσει αὐτὸς εἶναι τὰ ἑξῆς, ἡ ἐλπίδα του δηλαδὴ πρὸς τὸ Θεό, ἡ συνεχὴς προσήλωσή του πρὸς τὸ Θεό, ἡ ἀποφυγὴ τῶν συγκεντρώσεων αὐτῶν καὶ τὸ μίσος πρὸς τὶς πονηρὲς ἐπιθυμίες αὐτῶν, ἐνῶ τὰ προσφερόμενα ἀπὸ τὸ Θεὸ εἶναι ἡ βοήθεια, ἡ συμμαχία, καὶ ἡ δύναμη ποὺ τοῦ παρέχεται, ὥστε νὰ στέκεται ἐπάνω ἀπὸ τὶς θλίψεις ποὺ τὸν περιβάλλουν. Διότι ἔτσι κατορθώνεται ἡ ἀρετή, καὶ μὲ τὴν ἐκ μέρους μας φροντίδα καὶ μὲ τὴν ἐνίσχυσή μας μὲ τὴ βοήθεια τοῦ Θεοῦ.

«Θὰ πέσουν οἱ ἁμαρτωλοὶ μέσα στὸ δίχτυ αὐτοῦ, ἐνῶ ἐγὼ

νας εἰμὶ ἐγώ, ἕως οὗ παρέλθω». Τίνος ἐν ἀμφιβλήστρῳ πεσοῦνται; Αὐτοῦ τοῦ Θεοῦ. Τουτέστιν, ἁλώσονται, χειρωθήσονται. Τὰ μὲν γὰρ τῶν δικαίων, μέχρι διορθώσεως καὶ τοῦ διεγεῖραι αὐτῶν τὴν φιλοσοφίαν, τὰ δὲ τῶν ἁμαρτωλῶν, ἅτε ἀνίατα νοσούντων, μέχρι κολάσεως καὶ τιμωρίας. «Καταμόνας εἰμὶ ἐγώ, ἕως οὗ παρέλθω». Ἕτερος, «Ἅμα ἐγώ εἰμι, ἕως οὗ παρέλθω». Ἄλλος, «Ἐπὶ τὸ αὐτό». Τουτέστι, συνημμένος, συγκεκροτημένος, οὐ διεσπαρμένος· ἢ κατὰ τοὺς ἑβδομήκοντα, ἀπηλλαγμένος τῶν πονηρῶν, καθαρεύων τῆς ἐκείνων συνουσίας, καὶ ὡσανεὶ μόνος οἰκῶν· ὅπερ καὶ μέγιστόν ἐστιν ἀρετῆς εἶδος. Καὶ οὐ μίαν δὲ καὶ δύο καὶ τρεῖς φησιν ἡμέρας τοῦτο ποιεῖν, ἀλλὰ πάντα τὸν βίον.

Τοῦτο ἀσφάλεια, τοῦτο τεῖχος, τοῦτο ἀρετῆς ἐπίδοσις, τὸ φεύγειν τοὺς πονηρούς, καὶ πρὸς ἑαυτὸν συγκεκροτημένον καὶ συνηγμένον εἶναι ἅπαντα τὸν βίον, καὶ καταμόνας οἰκεῖν τῶν διαφθειρόντων. Οὐ γὰρ ἐρημία ποιεῖ τὸ μόνον εἶναι, ἀλλὰ γνώμη φιλόσοφος. Οὕτω καὶ πόλεις μέσας οἰκοῦντες, καὶ θορύβους, καὶ ἀγοράς, δύναιτ' ἂν εἶναι καταμόνας ἄνθρωποι, ὅταν τοὺς διεφθαρμένους φεύγωσι συλλόγους, καὶ τοῖς τῶν δικαίων συνεδρίοις ἑαυτοὺς ἐκδιδῶσιν. Αὕτη ἀσφαλὴς ὁδός. Ὁ μὲν οὖν ἀρκῶν καὶ ἑτέρους διορθῶσαι, μιγνύσθω τοῖς μέλλουσι δέχεσθαι τὴν θεραπείαν, καὶ ποιείτω βελτίους, ὁ δὲ ἀτονώτερος ὤν, φευγέτω τοὺς πονηρούς, ὥστε μὴ τὴν παρ' ἐκείνων δέξασθαι λύμην. Καὶ οὕτω καὶ τὸν παρόντα βιώσεται βίον μετὰ ἀσφαλείας, καὶ τῶν μελλόντων ἐπιτεύξεται ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

θὰ μένω μακριὰ ἀπὸ αὐτούς, μέχρι ποὺ νὰ διαφύγω τὶς ἐπιβουλές τους». Σὲ ποιοῦ τὸ δίχτυ θὰ πέσουν; Στὸ δίχτυ τοῦ ἴδιου τοῦ Θεοῦ. Δηλαδή, θὰ κυριευθοῦν, θὰ αἰχμαλωτισθοῦν. Διότι τῶν μὲν δικαίων οἱ θλίψεις φθάνουν μέχρι τὴ διόρθωση καὶ μέχρι νὰ τοὺς διεγείρουν πρὸς τὴν εὐσέβεια, ἐνῶ τῶν ἁμαρτωλῶν, ἐπειδὴ ἡ ἀσθένειά τους εἶναι ἀθεράπευτη, φθάνουν μέχρι τὴν κόλαση καὶ τὴν τιμωρία. «Ἐγὼ θὰ εἶμαι μακριὰ ἀπὸ αὐτούς, μέχρι ποὺ νὰ διαφύγω τὶς ἐπιβουλές τους». Ἄλλος λέγει, «Ἐγὼ θὰ εἶμαι μαζί σου, μέχρι τὸ τέλος τῆς ζωῆς μου». Ἄλλος, «Ὅπου εἶμαι μαζί σου, μέχρι τὸ τέλος τῆς ζωῆς μου». Ἄλλος, «Ὅπου εἶσαι σύ». Δηλαδή, ἑνωμένος, συνδεδεμένος, ὄχι διασπασμένος· ἤ, σύμφωνα μὲ τὴν ἑρμηνεία τῶν ἑβδομήκοντα, ναστροφὲς ἐκείνων, καὶ σὰν νὰ κατοικῶ μόνος, πράγμα ποὺ εἶναι τὸ πιὸ μεγαλύτερο εἶδος ἀρετῆς. Καὶ δὲν τὸ κάμνω, λέγει, μία καὶ δύο καὶ τρεῖς ἡμέρες, ἀλλὰ σ' ὅλη τὴ ζωή μου.

Αὐτὸ εἶναι ἀσφάλεια, αὐτὸ τεῖχος, αὐτὸ πρόοδος ἀρετῆς, τὸ νὰ ἀποφεύγει κανένας τοὺς κακοὺς καὶ νὰ εἶναι σ' ὅλη τὴ ζωή του συγκεντρωμένος καὶ ἀφοσιωμένος στὸν ἑαυτό του, καὶ νὰ κατοικεῖ μακριὰ ἀπὸ τοὺς διαφθορεῖς. Διότι δὲν κάμνει τὸν ἄνθρωπο μόνο ἡ ἐρημιά, ἀλλὰ ἡ γεμάτη ἀπὸ φιλοσοφικότητα καὶ εὐσέβεια σκέψη. Ἔτσι, κατοικώντας οἱ ἄνθρωποι μέσα στὶς πόλεις, στοὺς θορύβους καὶ στὶς ἀγορές, θὰ μποροῦσαν νὰ εἶναι μόνοι τους, ἐφόσον ἀποφεύγουν τὶς διεφθαρμένες συγκεντρώσεις καὶ παίρνουν μέρος στὶς συγκεντρώσεις τῶν δικαίων ἀνθρώπων. Αὐτὴ εἶναι ἀσφαλὴς ὁδός. Ἐκεῖνος μὲν ποὺ μπορεῖ καὶ ἄλλους νὰ διορθώσει, ἂς συναναστρέφεται ἐκείνους ποὺ πρόκειται νὰ δεχθοῦν τὴ θεραπεία καὶ ἂς τοὺς κάμνει καλύτερους, ἐνῶ ἐκεῖνος ποὺ δὲν ἔχει τόση δύναμη, ἂς ἀποφεύγει τοὺς κακούς, ὥστε νὰ μὴ δεχθεῖ τὴν καταστροφὴ ἐκ μέρους ἐκείνων. Καὶ ἔτσι καὶ τὴν παροῦσα ζωὴ θὰ ζήσει μὲ ἀσφάλεια καὶ τὰ μελλοντικὰ ἀγαθὰ θὰ ἐπιτύχει, τὰ ὁποῖα εὔχομαι ὅλοι μας νὰ ἐπιτύχουμε, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟΝ ΡΜΑ' ΨΑΛΜΟΝ.

«Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, φωνῇ μου πρὸς Κύριον ἐδεήθην».

1. Ὁρᾷς πῶς πανταχοῦ τοῦτο ποιεῖ, καὶ ἀπὸ ταύτης προοιμιάζεται τῆς ἀρχῆς, καὶ δεύτερον ἐνταῦθα Φωνῇ καὶ Φωνῇ λέγει; Ποιεῖ δὲ τοῦτο οὐχ ἁπλῶς, ἀλλ' ὥστε διδάξαι ἡμᾶς δύο ταῦτα διὰ τοῦ διπλασιασμοῦ, τό τε εὔτονον τῆς προθυμίας, τό τε συντεταμένον τῆς διανοίας· καὶ πρὸς τούτοις ἔτι τὸ αὐτοῦ εἶναι τὴν φωνήν. Οὐ γὰρ πάντες οὔτε φωνῇ βοῶσιν, οὔτε πρὸς τὸν Θεόν, οὔτε τῇ οἰκείᾳ. Δεῖ δὲ ἅπαντα ταῦτα συνελθεῖν. Ὁ κατ' ἐχθρῶν βοῶν, οὐκ ἀνθρώπου φωνὴν προΐεται, ἀλλὰ θηρίου καὶ ὄφεως. Ὁ ῥᾳθυμῶν, καὶ μὴ ἀκούων ὧν λέγει, οὐ πρὸς τὸν Θεὸν βοᾷ, ἀλλὰ ἁπλῶς καὶ εἰκῇ φθέγγεται. Ὁ μὴ διεγείρων τὴν διάνοιαν, κἂν μεγάλα κράζῃ, πάλιν οὗτος οὐ βοᾷ. Φωνὴ γάρ, ὃ πολλάκις ἔφθην εἰπών, οὐ τὸν τόνον δηλοῖ τοῦ πνεύματος, ἀλλὰ τὴν συντεταμένην διάνοιαν. Ἀλλ' οὐχ οὗτος οὕτως· ἀλλὰ τρία ταῦτα συνάγει, καὶ δείκνυσιν, ὅτι τε φωνῇ βοᾷ, καὶ πρὸς τὸν Θεόν, καὶ τῇ ἑαυτοῦ φωνῇ. Διὰ τοῦτο δεύτερόν φησι, «Φωνῇ μου καὶ Φωνῇ μου».

«Ἐκχεῶ ἐνώπιον αὐτοῦ τὴν δέησίν μου, τὴν θλίψιν μου ἐ-

---

* Ψαλμὸς τοῦ Δαυὶδ μὲ διδακτικὸ περιεχόμενο. Ὁ ψαλμῳδὸς βρίσκεται σὲ κατάσταση ἀπελπιστική. Εἶναι ἀπομονωμένος ἀπὸ ὅλους ἐχθροὺς καὶ φίλους. Ἐλπίζει ὅμως ἀκλόνητα στὸν Κύριο καὶ τὸν παρακαλεῖ ν' ἀκούσει τὴν

Ο Μ Ι Λ Ι Α

ΣΤΟ ΡΜΑ' ΨΑΛΜΟ*

«Μὲ φωνὴ γεμάτη ἀπὸ προθυμία φώναξα δυνατὰ πρὸς τὸν Κύριο, μὲ φωνὴ βγαλμένη μέσα ἀπὸ τὰ βάθη τῆς καρδιᾶς μου παρακάλεσα τὸν Κύριο».

1. Βλέπεις πῶς παντοῦ αὐτὸ κάμνει, καὶ ἀρχίζει τὸν ψαλμὸ μὲ αὐτὴν τὴν ἀρχὴ καὶ ἐπαναλαμβάνει δύο φορὲς ἐδῶ τὴ λέξη φωνὴ καὶ φωνή; Τὸ κάμνει δὲ αὐτὸ ὄχι τυχαῖα, ἀλλὰ γιὰ νὰ μᾶς διδάξει μὲ τὸ διπλασιασμὸ αὐτὸ δυὸ πράγματα, καὶ τὴ ζωηρὴ προθυμία καὶ τὴν ὑπερβολικὴ καὶ σταθερὴ προσπάθεια τῆς διάνοιας, καὶ μαζὶ μὲ αὐτὰ ἀκόμα καὶ τὸ ὅτι ἡ φωνὴ εἶναι δική του. Διότι δὲν φωνάζουν ὅλοι μὲ πρόθυμη φωνή, οὔτε πρὸς τὸ Θεό, οὔτε μὲ τὴ δική τους φωνή. Πρέπει δὲ ὅλα αὐτὰ νὰ συνυπάρξουν. Ἐκεῖνος ποὺ φωνάζει ἐναντίον τῶν ἐχθρῶν, δὲν βγάζει ἀπὸ τὸ στόμα του φωνὴ ἀνθρώπου, ἀλλὰ θηρίου καὶ φιδιοῦ. Ὁ ἀδιάφορος καὶ ποὺ δὲν ἀκούει ἐκεῖνα ποὺ λέγει, δὲν φωνάζει πρὸς τὸ Θεό, ἀλλὰ φωνάζει ἄσκοπα καὶ στὰ χαμένα. Ἐκεῖνος ποὺ δὲν διεγείρει τὴ σκέψη του, καὶ ἂν ἀκόμα κραυγάζει δυνατά, πάλι αὐτὸς δὲν φωνάζει ὅπως πρέπει. Διότι φωνή, ὅπως πολλὲς φορὲς παλαιότερα ἔχω πεῖ, δὲν σημαίνει τὴ δύναμη τοῦ ἀέρα ποὺ βγαίνει ἀπὸ τὸ στόμα, ἀλλὰ τὴ γεμάτη προθυμία καὶ ἐπιμονὴ σκέψη. Ὅμως αὐτὸς δὲν ἐνεργεῖ ἔτσι, ἀλλὰ συγκεντρώνει αὐτὰ τὰ τρία καὶ δείχνει, ὅτι καὶ μὲ φωνὴ ὁλοπρόθυμη φωνάζει, καὶ ἡ φωνή του ἀπευθύνεται πρὸς τὸ Θεό, καὶ ὅτι εἶναι δική του φωνή. Γι' αὐτὸ δυὸ φορὲς λέγει, «Φωνῇ μου, φωνῇ μου».

«Θὰ ἐκχύσω ἐνώπιόν του τὴ δέησή μου καὶ θὰ πῶ τὴ θλίψη

προσευχή του καὶ νὰ τὸν βγάλει μέσα ἀπὸ τὴ φυλακὴ τῶν θλίψεων καὶ νὰ τὸν σώσει.

νώπιον αὐτοῦ ἀπαγγελῶ». Εἶδες ψυχὴν τῶν βιωτικῶν ἀπηλλαγμένην; Οὐδὲ γὰρ πρὸς ἀνθρώπους κατέφυγεν, οὐδὲ τὰς παρὰ τούτων ἐζήτησε συμμαχίας, ἀλλὰ πρὸς τὴν ἀχείρωτον βοήθειαν, καὶ τὴν ἄνωθεν ῥοπήν. Εἶτα τὸ συντεταμένον τῆς διανοίας, καὶ τὴν θερμότητα, ἣν εἶχεν ἐναποκειμένην, διὰ τῆς λέξεως ταύτης ἐμφῆναι βουλόμενος, «Ἐκχεῶ», φησί, μετὰ πολλῆς τῆς δαψιλείας. Ἐντεῦθεν μανθάνομεν, ὅτι οὐ μικρὸν καὶ αἱ θλίψεις εἰς φιλοσοφίαν συμβάλλονται· τοῦτο γὰρ τῆς θλίψεως ὁ καρπός· μηδεὶς τοίνυν φευγέτω αὐτήν. Δύο γὰρ ταῦτα ἔχει τὰ κέρδη· ἓν μέν, ὅτι τε σπουδαιοτέρους ἐργάζεται καὶ προσεκτικωτέρους, ἕτερον δέ, καὶ ὅτι οὐ μικρὸν ἡμῖν δικαίωμα εἰς τὸ ἀκουσθῆναι γίνεται. Διά τοι τοῦτο καὶ αὐτὸς οὐκ εἶπε, 'τὴν δικαιοσύνην μου', οὐδέ, 'τὰ κατορθώματά μου', ἀλλά, «Τὴν θλίψιν μου», ὡς οὐ μικρᾶς καὶ ταύτης οὔσης αὐτῷ συνηγορίας. Διὰ τοῦτο καὶ ὁ Ἠσαΐας, «Παρακαλεῖτε», φησί, «τὸν λαόν μου, ἱερεῖς· λαλήσατε εἰς τὴν καρδίαν Ἱερουσαλήμ, ὅτι ἐδέξατο ἐκ χειρὸς Κυρίου διπλᾶ τὰ ἁμαρτήματα αὐτῆς». Καὶ ὁ Παῦλος· «Παράδοτε τὸν τοιοῦτον τῷ σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός, ἵνα τὸ πνεῦμα σωθῇ». Καὶ Κορινθίοις ἐπιστέλλων, ἔλεγε· «Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς, καὶ ἄρρωστοι, καὶ κοιμῶνται ἱκανοί. Εἰ γὰρ ἑαυτοὺς διεκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα. Κρινόμενοι δὲ ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν». Καὶ τῷ πλουσίῳ δὲ ὁ Ἀβραὰμ ἔλεγεν· «Ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος τὰ κακὰ αὐτοῦ, καὶ νῦν μὲν οὗτος παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι». Καὶ ὁ Δαυὶδ δὲ ἡνίκα αὐτὸν κατηράσατο ὁ Σεμεεί, ἔλεγεν· «Ἄφες αὐτὸν καταρᾶσθαί με, ὅτι Κύριος αὐτῷ ἐνετείλατο, ὅπως ἂν ἴδῃ τὴν ταπείνωσίν μου». Καὶ πανταχοῦ τῶν Γραφῶν εὑρήσομεν, ὅτι οἱ τὰς θλίψεις εὐχαρίστως φέροντες, οὐ μό-

1. Ἠσ. 40, 1-2.
2. Α' Κορ. 5, 5.
3. Α' 11, 30-32.
4. Λουκᾶ 16, 25.
5. Β' Βασ. 16, 11-12.

μου ἐνώπιον αὐτοῦ». Εἶδες ψυχὴ ἀπαλλαγμένη ἀπὸ τὰ κοσμικὰ πράγματα; Διότι δὲν κατέφυγε οὔτε πρὸς τοὺς ἀνθρώπους, οὔτε ζήτησε τὴ βοήθεια αὐτῶν, ἀλλὰ καταφεύγει πρὸς τὴν ἀκατανίκητη βοήθεια καὶ πρὸς τὴν οὐράνια δύναμη. Ἔπειτα, θέλοντας μὲ τὴ λέξη αὐτὴ νὰ φανερώσει τὴ μεγάλη προθυμία τῆς ψυχῆς καὶ τὴ θερμότητα ποὺ εἶχε συγκεντρωμένη μέσα της, «Θὰ ἐκχύσω», λέγει, αὐτὰ μὲ μεγάλη ἀφθονία. Ἀπὸ ἐδῶ μαθαίνουμε, ὅτι δὲν εἶναι μικρὴ ἡ συμβολὴ τῶν θλίψεων γιὰ τὴν ἄσκηση τῆς εὐσέβειας· διότι αὐτὸς εἶναι ὁ καρπὸς τῆς θλίψεως· κανένας λοιπὸν νὰ μὴ τὴν ἀποφεύγει. Διότι δυὸ εἶναι τὰ κέρδη αὐτὰ ποὺ ἔχει· ἕνα μέν, τὸ ὅτι μᾶς κάμνει σπουδαιότερους καὶ προσεκτικότερους, τὸ ἄλλο δὲ τὸ ὅτι δὲν εἶναι μικρὸ τὸ δικαίωμα ποὺ μᾶς δίνει γιὰ ν' ἀκουσθοῦμε. Γι' αὐτὸ λοιπὸν καὶ αὐτὸς δὲν εἶπε, 'τὴ δικαιοσύνη μου', οὔτε 'τὰ κατορθώματά μου', ἀλλά, «Τὴ θλίψη μου», διότι δὲν εἶναι γι' αὐτὸν καὶ αὐτὴ μικρὴ συνηγορία. Γι' αὐτὸ καὶ ὁ Ἠσαΐας λέγει, «Παρηγορεῖτε τὸ λαό μου, ἱερεῖς· μιλήσατε στὴν καρδιὰ τῆς Ἱερουσαλήμ, διότι δέχθηκε ἀπὸ τὸν Κύριο διπλὴ τιμωρία γιὰ τὰ ἁμαρτήματά της»[1]. Καὶ ὁ Παῦλος λέγει· «Παραδώσατε τὸν παρόμοιο ἄνθρωπο στὸ σατανᾶ, ὥστε νὰ καταστραφεῖ τὸ σῶμα του καὶ νὰ σωθεῖ τὸ πνεῦμα του»[2]. Καὶ στέλλοντας τὴν ἐπιστολή του πρὸς τοὺ Κορινθίους, ἔλεγε· «Γι' αὐτὸ ὑπάρχουν ἀναμεταξύ σας πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι καὶ ἀρκετοὶ ἔχουν πεθάνει. Διότι ἐὰν κρίναμε τοὺς ἑαυτούς μας, δὲν θὰ συνέβαινε νὰ καταδικασθοῦμε. Κρινόμενοι ὅμως ἀπὸ τὸν Κύριο τιμωρούμαστε κατὰ τρόπο παιδαγωγικό, γιὰ νὰ μὴ καταδικασθοῦμε μελλοντικὰ μαζὶ μὲ τὸν κόσμο»[3]. Καὶ στὸν πλούσιο δὲ ὁ Ἀβραὰμ ἔλεγε· «Ἀπόλαυσες τὰ ἀγαθά σου στὴ ζωή σου, καὶ ὁ Λάζαρος τὶς συμφορές του, καὶ τώρα αὐτὸς μὲν παρηγορεῖται, ἐνῶ σὺ ὑποφέρεις»[4]. Καὶ ὁ Δαυὶδ δὲ ὅταν τὸν καταράσθηκε ὁ Σεμεεί, ἔλεγε· «Ἄφησέ τον νὰ μὲ καταριέται, διότι ὁ Κύριος τοῦ ἔδωσε τὴν ἐντολὴ αὐτή, γιὰ νὰ δεῖ τὴν ταπείνωσή μου»[5]. Καὶ παντοῦ στὶς Γραφὲς θὰ βροῦμε, ὅτι ἐκεῖνοι ποὺ ὑποφέρουν μὲ εὐχαρίστηση τὶς θλίψεις, ὄχι μόνο πολλὰ ἀπὸ τὰ ἁμαρτήματά τους

νον πολλὰ τῶν ἁμαρτημάτων διαλύονται, ἀλλὰ καὶ οὐ μικρὰν ἐντεῦθεν κτῶνται πρὸς τὸν Θεὸν τὴν παρρησίαν.

«Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμά μου, καὶ σὺ ἔγνως τὰς τρίβους μου». Ὅτε μάλιστα οἱ μικρόψυχοι τῶν ἀνθρώπων ἀναπίπτουσι, πολλοὶ δὲ καὶ δύσφημα ρήματα φθέγγονται, τότε οὗτος μάλιστα φιλοσοφεῖ, διδάσκαλον ἔχων τῆς σπουδῆς τὴν θλίψιν. Ὅταν οὖν ἴδῃς τινὰ ἀπογινώσκοντα ἀπὸ θλίψεως, ἢ πικρόν τι ρῆμα φθεγγόμενον, μὴ τὴν θλίψιν αἰτίαν ἡγοῦ, ἀλλὰ τὴν μικροψυχίαν τοῦ ταῦτα λαλοῦντος. Τῆς γὰρ θλίψεως ἡ φύσις τὰ ἐναντία κατασκευάζειν εἴωθε, προσοχήν, συντριβὴν διανοίας, συντεταμένην γνώμην, εὐλαβείας ἐπίστασιν. Διὸ καὶ ὁ Παῦλος ἔλεγεν· «Ἡ θλίψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν». Εἰ δὲ Ἰουδαῖοι θλιβόμενοι ἐγόγγυζον, οὐ τῆς θλίψεως, ἀλλὰ τῆς ἐκείνων ἀνοίας ἦν τὰ τοῦ γογγυσμοῦ ρήματα· ἐπεὶ οἱ ἅγιοι θλιβόμενοι, λαμπρότεροι καὶ φιλοσοφώτεροι ἐγίνοντο. Διὸ καὶ ἔλεγεν αὐτὸς οὗτος. «Ἀγαθόν μοι, Κύριε, ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου». Καὶ ὁ Παῦλος· «Καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων, ἵνα μὴ ὑπεραίρωμαι, ἐδόθη μοι σκόλοψ τῇ σαρκὶ ἄγγελος σατᾶν, ἵνα με κολαφίζῃ. Ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα, καὶ εἴρηκέ μοι· ἀρκεῖ σοι χάρις μου. Ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται· διὸ εὐδοκῶ ἐν θλίψεσιν, ἐν ἀσθενείαις, ἐν διωγμοῖς. Ὅτε γὰρ ἀσθενῶ, τότε δυνατός εἰμι». Ὁρᾷς καὶ τοῦτον ἐν τῇ θλίψει μᾶλλον διεγειρόμενον, καὶ πρὸς τὸν Θεὸν καταφεύγοντα, καὶ μειζόνως ἀντεχόμενον αὐτοῦ μετὰ πολλῆς τῆς σφοδρότητος, καὶ ἐν αὐτῷ τῷ πυθμένι τῶν κακῶν (τοῦτο γάρ ἐστιν, «Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ

---

6. Ρωμ. 5, 3-4.
7. Ψαλμ. 118, 71.
8. Β' Κορ. 12, 7-10.

ἐξαλείφονται, ἀλλὰ καὶ δὲν εἶναι μικρὴ ἡ παρρησία πρὸς τὸ Θεὸ ποὺ ἀποκτοῦν μὲ τὸν τρόπο αὐτό.

«Τὴν ὥρα ἀκριβῶς ποὺ κινδυνεύει νὰ μὲ ἐγκαταλείψει τὸ πνεῦμα μου σὺ ἔχεις πλήρη γνώση τῶν βημάτων μου». Τότε ποὺ πρὸ πάντων οἱ μικρόψυχοι ἀπὸ τοὺς ἀνθρώπους χάνουν τὸ θάρρος τους, πολλοὶ δὲ ἐκστομίζουν καὶ ὑβριστικὰ λόγια, τότε αὐτὸς πρὸ πάντων ἀντιμετωπίζει τὰ πράγματα μὲ φιλοσοφικότητα, ἔχοντας διδάσκαλο τῆς προσπάθειάς του τὴ θλίψη. Ὅταν λοιπὸν δεῖς κάποιον νὰ κυριεύεται ἀπὸ ἀπόγνωση ἐξ αἰτίας τῆς θλίψεως, ἢ νὰ λέγει κάποιο κακὸ λόγο, μὴ θεωρεῖς σὰν αἰτία τὴ θλίψη, ἀλλὰ τὴ μικροψυχία αὐτοῦ ποὺ λέγει αὐτά. Διότι συνήθως ἡ φύση τῆς θλίψεως προξενεῖ τὰ ἀντίθετα, προσοχή, συντριβὴ διάνοιας, ὁλοπρόθυμη γνώμη, καὶ αὐξημένη εὐλάβεια. Γι' αὐτὸ καὶ ὁ Παῦλος ἔλεγε· «Ἡ θλίψη δημιουργεῖ ὑπομονή, ἡ δὲ ὑπομονὴ δοκιμασμένη ἀρετή»[6]. Ἂν δὲ οἱ Ἰουδαῖοι δεχόμενοι θλίψεις γόγγυζαν, τὰ λόγια τοῦ γογγυσμοῦ ἦταν ἀποτέλεσμα ὄχι τῆς θλίψεως, ἀλλὰ τῆς ἀνοησίας ἐκείνων· διότι οἱ ἅγιοι ὅταν δοκίμαζαν θλίψεις, γίνονταν λαμπρότεροι καὶ φιλοσοφότεροι. Γι' αὐτὸ καὶ αὐτὸς ὁ ἴδιος ὁ ψαλμωδὸς ἔλεγε· «Μεγάλη ἦταν ἡ ὠφέλειά μου, Κύριε, ποὺ μὲ ταπείνωσες, γιὰ νὰ γνωρίσω τὶς ἐντολές σου»[7]. Καὶ ὁ Παῦλος· «Καὶ ἐξ αἰτίας τῶν ὑπερβολικῶν ἀποκαλύψεων πρὸς ἐμένα, γιὰ νὰ μὴ ὑπερηφανεύομαι, δόθηκε στὴ σάρκα μου ἕνα ἀγκάθι, ἄγγελος τοῦ σατανᾶ, γιὰ νὰ μοῦ δίνει ραπίσματα. Γι' αὐτὸ παρακάλεσα τρεῖς φορὲς τὸν Κύριο νὰ μ' ἀπαλάξει ἀπ' αὐτό, καὶ μοῦ εἶπε· σοῦ εἶναι ἀρκετὴ ἡ χάρη μου. Διότι ἡ δύναμή μου ἀποδεικνύεται τέλεια ὅπου ὑπάρχει ἀδυναμία· γι' αὐτὸ νιώθω εὐχαρίστηση ὅταν δοκιμάζω θλίψεις, γιὰ τὶς ἀδυναμίες μου, γιὰ τὶς διώξεις ποὺ δέχομαι. Διότι ὅταν βρίσκομαι σὲ κατάσταση ἀδυναμίας, τότε εἶμαι δυνατός»[8]. Βλέπεις καὶ αὐτὸν νὰ εἶναι περισσότερο ἀφοσιωμένος στὸ Θεὸ κατὰ τὶς ὧρες τῶν θλίψεων καὶ νὰ καταφεύγει πρὸς αὐτὸν καὶ νὰ εἶναι προσηλωμένος σ' αὐτὸν μὲ ὅλες τὶς δυνάμεις του, καὶ βρισκόμενος καὶ σ' αὐτὸν τὸν πυθμένα τῶν κακῶν (διότι αὐτὸ σημαίνει τό, «Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ

πνεῦμά μου»), καὶ τότε μάλιστα σπουδαιότερον γινόμενον; Τὸ δέ, «Σὺ ἔγνως τὰς τρίβους μου», ἕτερος ἑρμηνευτὴς εἶπε, «Σὺ γὰρ οἶδας».

2. «Ἐν ὁδῷ ταύτῃ, ᾗ ἐπορευόμην, ἔκρυψαν παγίδα μοι. Κατενόουν εἰς τὰ δεξιά, καὶ ἐπέβλεπον· καὶ οὐκ ἦν ὁ ἐπιγινώσκων με». Ἐνταῦθα τὴν ἐπίτασιν τῆς συμφορᾶς καὶ τὰ δεινὰ αὐξόμενα δείκνυσι, καὶ τῶν πολεμίων τὰς ἐπιβουλάς, πῶς προσῄεσαν καὶ ἐγγυτέρω ἐγίνοντο, βουλόμενοι ὑποσκελίσαι· καὶ τὸ δὴ χαλεπώτερον, ὅτι οὐ μόνον οὐκ ἦσαν αὐτῷ τινες βοηθοὶ ἢ σύμμαχοι, ἀλλ' οὐδὲ ἐπεγίνωσκον. Τοῦτο ἡ ἐπίτασις τῆς ἐρημίας, ἡ ὑπερβολὴ τῆς ἀλλοτριώσεως· ὀλίγων γάρ ἐστι τὸ ἐν συμφοραῖς παρεῖναι καὶ βοηθεῖν, καὶ μάλιστα ὅταν αἱ συμφοραὶ κινδύνους ἀπειλῶσιν. Ἀλλὰ τοῦτο οὐ μόνον αὐτὸν οὐκ ἔβλαψεν, ἀλλὰ καὶ μειζόνως ὠφέλησε, πρὸς τὸν Θεὸν αὐτὸν οἰκειῶσαν.

Καὶ σὺ τοίνυν, ἀγαπητέ, ὅταν ἴδῃς αὐξόμενα τὰ δεινά, μὴ ἀναπέσῃς, ἀλλὰ νῆφε μειζόνως. Διὰ γὰρ τοῦτο ἀφίησιν ὁ Θεὸς αἴρεσθαι αὐτά, ἵνα σου τὴν ῥᾳθυμίαν ἀποτινάξῃ, ἵνα σε ἀφυπνίσῃ καθεύδοντα. Τότε γὰρ πάντα τὰ περιττὰ περικόπτεται, τότε πάντα ἐκφυσσᾶται τὰ βιωτικά, τότε ἐν προσευχῇ σπουδαιότερος γίνεται, πρὸς ἐλεημοσύνην προθυμότερος, πρὸς ὑπεροψίαν γαστρός, καὶ ἕκαστον πάθος εὐκαταγώνιστον γίνεται, ὑπὸ τῆς θλίψεως φυγαδευόμενον. Ἐπεὶ καὶ παρὰ τὴν ἀρχὴν οὐχὶ κολάσαι βουλόμενος λύπαις ἡμᾶς συνέδησε καὶ πόνοις, εἰ καὶ ἐν τάξει κολάσεως τὴν ἀπόφασιν τέθεικεν, ἀλλὰ σωφρονίσαι καὶ βελτίους ἐργάσασθαι. Εἰ γὰρ καὶ λύπης ἐπικειμένης καὶ τοῦ βίου ἐπιμόχθου ὄντος, τοσαύτη κρατεῖ κακία, εἰ μηδὲν τούτων ἦν, ποῦ οὐκ ἂν ἐξέβη τὰ τῆς πονηρίας; Καὶ τί θαυμάζεις, εἰ ἐπὶ τῆς ψυχῆς, ὅπου γε καὶ ἐν τοῖς σώμασιν ἀγαθὸν ἡ θλίψις; Καὶ γὰρ τὸ

πνεῦμα μου»), καὶ τότε πρὸ πάντων νὰ γίνεται σπουδαιότερος; Τὸ δέ, «Σὺ γνώρισες τὶς ὁδούς μου», ἄλλος ἑρμηνευτὴς ἑρμήνευσε, «Διότι σὺ γνωρίζεις».

2. «Στὸ δρόμο αὐτὸ ποὺ βάδιζα μοῦ ἔστησαν κρυφὴ παγίδα. Ἔστρεψα τὸ βλέμμα μου πρὸς τὰ δεξιὰ καὶ ἔβλεπα καὶ δὲν ὑπῆρχε κανένας νὰ μὲ προσέχει». Ἐδῶ δείχνει τὸ μέγεθος τῆς συμφορᾶς, τὴν αὔξηση τῶν δεινῶν καὶ τὶς ἐπιβουλὲς τῶν ἐχθρῶν, πῶς τὸν πλησίαζαν καὶ ἔρχονταν ὅλο καὶ πιὸ κοντά του, θέλοντας νὰ τὸν ὑποσκελίσουν· καὶ τὸ φοβερότερο βέβαια εἶναι, ὅτι ὄχι μόνο δὲν ὑπῆρχαν μερικοὶ βοηθοὶ ἢ σύμμαχοί του, ἀλλ' οὔτε τὸν ἀναγνώριζαν. Αὐτὸ εἶναι ἡ μεγαλύτερη ἐρημία, ἡ ὑπερβολικὴ ἀπομόνωση· διότι λίγοι εἶναι ἐκεῖνοι ποὺ εἶναι παρόντες στὶς συμφορὲς καὶ βοηθοῦν καὶ μάλιστα ὅταν οἱ συμφορὲς περιέχουν κινδύνους. Αὐτὸ ὅμως ὄχι μόνο δὲν ἔβλαψε αὐτόν, ἀλλὰ καὶ τὸν ὠφέλησε περισσότερο, διότι τὸν ἔφερε πλησιέστερα πρὸς τὸ Θεό.

Καὶ σὺ λοιπόν, ἀγαπητέ, ὅταν δεῖς ν' αὐξόνονται οἱ συμφορές, μὴ χάσεις τὸ θάρρος σου, ἀλλὰ δεῖχνε μεγαλύτερη ἐπαγρύπνηση. Διότι γι' αὐτὸ τὶς ἀφήνει ὁ Θεὸς νὰ διογκόνονται, γιὰ ν' ἀποτινάξει τὴν ἀδιαφορία σου, γιὰ νὰ σὲ ξυπνήσει ποὺ κοιμᾶσαι. Καθόσον τότε ὅλα τὰ περιττὰ ἀπορρίπτονται, τότε ὅλα τὰ κοσμικὰ διασκορπίζονται, τότε δείχνει κανένας μεγαλύτερο ἐνδιαφέρον γιὰ προσευχή, γίνεται προθυμότερος γιὰ ἐλεημοσύνη, γιὰ περιφρόνηση τῆς γαστέρας, καὶ κάθε πάθος γίνεται εὐκολονίκητο, διότι φυγαδεύεται ἀπὸ τὴ θλίψη. Ἄλλωστε καὶ στὴν ἀρχὴ μᾶς συνέδεσε μὲ λύπες καὶ κόπους, ὄχι θέλοντας νὰ μᾶς τιμωρήσει, ἂν καὶ παρουσίασε τὴν ἀπόφασή του μὲ μορφὴ τιμωρίας, ἀλλὰ γιὰ νὰ μᾶς σωφρονίσει καὶ νὰ μᾶς κάνει καλύτερους. Διότι, ἄν, μολονότι καὶ λύπη ὑπάρχει καὶ ἡ ζωὴ εἶναι γεμάτη ἀπὸ πολλοὺς κόπους, ἐπικρατεῖ τόση μεγάλη κακία, ἂν δὲν ὑπῆρχε τίποτε ἀπὸ αὐτά, ποῦ θὰ ἦταν δυνατὸ νὰ μὴ φθάσουν τὰ τῆς κακίας; Καὶ γιατί ἀπορεῖς ἂν αὐτὸ συμβαίνει στὴν περίπτωση τῆς ψυχῆς, τὴ στιγμὴ βέβαια ποὺ καὶ στὴν περίπτωση τῶν σωμάτων ἡ θλίψη εἶναι ὠφέλιμη γι' αὐτά; Καθόσον εἶναι

εἰς ἄκραν εὐπάθειαν ἐξάγεσθαι τὴν σάρκα ἐπιβλαβές· ἄλλως τε καὶ τὸ πολλαχόθεν ἐπιβουλὰς συνίστασθαι, νήφειν ποιεῖ· κἂν προσέχωμεν, οὐδὲν βλαπτόμεθα. Διὸ καί τίς φησιν· «Ἐπίγνωθι ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις, καὶ ἐπὶ ἐπάλξεων πόλεων περιπατεῖς»· καὶ οὗτος, «Ἐν ὁδῷ, ᾗ ἐπορευόμην, ἔκρυψαν παγίδα μοι». Εἰ δέ τις καὶ κατὰ ἀναγωγὴν ταῦτα ἐκλάβοι, ὄψεται τὸν διάβολον αὐτὸ ποιοῦντα, οὐ πόρρωθεν, ἀλλὰ πλησίον κρύπτοντα τὰς ἐπιβουλάς. Διὸ καὶ πολλῆς ἡμῖν δεῖ τῆς νήψεως. Κρύπτει γὰρ παγίδα, ἐν ἐλεημοσύνῃ τὴν κενοδοξίαν, ἐν νηστείᾳ τὴν ἀλαζονείαν, οὐκ ἐν ἑτέροις, ἀλλὰ ἐν αὐταῖς ταῖς ὁδοῖς, αἷς βαδίζομεν, ὅπερ ἐστὶ καὶ χαλεπώτερον.

«Ἀπώλετο φυγὴ ἀπ' ἐμοῦ». Ὅρα πάλιν ἑτέραν προσθήκην τῶν δεινῶν. Δείκνυσι γὰρ οὐ μόνον ὅτι ἐν ταῖς ὁδοῖς αἱ παγίδες, οὐδ' ὅτι οὐδεὶς ἦν ὁ βοηθῶν, οὐδὲ ὁ ἐπιγινώσκων, ἀλλ' ὅτι οὐδὲ τὸ λειπόμενον αὐτῷ πρὸς ἀπαλλαγήν, τὸ φυγῇ τὴν σωτηρίαν πορίσασθαι, ῥᾴδιον καὶ εὔκολον ἦν. Οὕτως ἐν μέσοις ἀπείληπτο τοῖς κακοῖς, καὶ ἐν ἀφύκτῳ συμφορᾷ ἦν, ἀλλ' ὅμως καὶ οὕτως οὐκ ἀπεγίνωσκε. «Καὶ οὐκ ἔστιν ὁ ἐκζητῶν τὴν ψυχήν μου», τουτέστιν, ὁ ἀμύνων, ὁ βοηθῶν. Τί οὖν αὐτός; ἆρα ἐν τοσαύτῃ ἀπορίᾳ καὶ ἀμηχανίᾳ ὢν ἀπέγνω τὴν σωτηρίαν; Οὐδαμῶς, ἀλλὰ πρὸς τὸν Θεὸν καταφεύγει εὐθέως, καὶ λέγει· «Ἐκέκραξα πρὸς σέ, Κύριε, εἶπα, σὺ εἶ ἐλπίς μου, μερίς μου ἐν γῇ ζώντων». Ὁρᾷς νῆψιν ψυχῆς; Οὐκ ἐβάπτισεν αὐτὸν τὰ δεινά, ἀλλὰ μᾶλλον ἐπτέ-

9. Σοφ. Σειρὰχ 9, 13.

ἐπιβλαβὲς τὸ νὰ προσφέρει κανένας ὑπερβολικὲς ἀνέσεις στὸ σῶμα· ἐξ ἄλλου δὲ καὶ τὸ νὰ περιβαλλόμαστε ἀπὸ παντοῦ ἀπὸ ἐπιβουλές, μᾶς καθιστᾶ ἄγρυπνους, καὶ ἂν προσέχουμε, δὲν θὰ πάθουμε κανένα κακό. Γι' αὐτὸ καὶ κάποιος λέγει· «Γνώριζε πολὺ καλὰ ὅτι βαδίζεις ἀνάμεσα σὲ παγίδες καὶ ὅτι περπατεῖς ἐπάνω στὶς ἐπάλξεις τῶν πόλεων»[9]· καὶ ὁ ψαλμωδὸς λέγει· «Στὸ δρόμο ποὺ βάδιζα μοῦ ἔστησαν κρυφὴ παγίδα». Ἂν ὅμως κάποιος ἐξετάσει αὐτὰ κατὰ τρόπο ἀλληγορικό, θὰ δεῖ τὸ διάβολο νὰ κάμνει αὐτό, καὶ νὰ κρύβει τὶς ἐπιβουλές του ὄχι μακριά, ἀλλὰ πολὺ κοντά. Γι' αὐτὸ καὶ χρειαζόμαστε μεγάλη ἐπαγρύπνηση. Διότι κρύβει παγίδα, μέσα στὴν ἐλεημοσύνη τὴ ματαιοδοξία, μέσα στὴ νηστεία τὴν ὑπερηφάνεια, ὄχι σὲ ἄλλους, ἀλλὰ μέσα σ' αὐτοὺς τοὺς δρόμους ποὺ βαδίζουμε, πράγμα ποὺ εἶναι καὶ φοβερότερο.

«Χάθηκε κάθε εὐκαιρία ν' ἀποφύγω τὸν κίνδυνο». Πρόσεχε πάλι ἄλλη προσθήκη συμφορῶν. Διότι δείχνει ὅτι ὄχι μόνο οἱ παγίδες εἶναι στημένες στοὺς δρόμους του, οὔτε ὅτι δὲν ὑπῆρχε κανένας νὰ τὸν βοηθήσει, οὔτε κανένας ποὺ νὰ τὸν ἀναγνωρίζει, ἀλλ' ὅτι δὲν ἦταν εὔκολο καὶ κατορθωτὸ οὔτε αὐτὸ ποὺ ὑπολειπόταν γιὰ νὰ ἐπιτύχει τὴν ἀπαλλαγή του ἀπὸ τὸ κακό, τὸ νὰ ἐπιτύχει δηλαδὴ τὴ σωτηρία του μὲ τὴ φυγή. Τόσο πολὺ εἶχε ἐγκαταλειφθεῖ μέσα στὶς συμφορὲς ποὺ βρισκόταν καὶ ἦταν τόσο ἀναπόφευκτη ἡ συμφορά του, ἀλλ' ὅμως καὶ ἔτσι δὲν ἔχανε τὸ θάρρος του. «Καὶ δὲν ὑπάρχει κάποιος ποὺ νὰ θέλει νὰ σώσει τὴν ψυχή μου», δηλαδὴ νὰ μὲ προστατεύσει, νὰ μὲ βοηθήσει. Τί κάμνει λοιπὸν αὐτός; Ἆραγε, βρισκόμενος μέσα σὲ τόση ἀπορία καὶ ἀμηχανία, ἔνιωσε ἀπελπισία γιὰ τὴ σωτηρία του; Καθόλου, ἀλλὰ ἀμέσως καταφεύγει πρὸς τὸ Θεὸ καὶ λέγει· «Φώναξα πρὸς ἐσένα, Κύριε, μὲ ὅλη τὴ δύναμη τῆς ψυχῆς μου καὶ εἶπα, ὅτι σὺ εἶσαι ἡ ἐλπίδα μου, ἡ βοήθειά μου μέσα στὴ γῆ τῶν ζώντων». Βλέπεις ἐπαγρύπνηση ψυχῆς; Δὲν τὸν καταπόντισαν οἱ συμφορές, ἀλλὰ περισσότερο τὸν ἀναπτέρωσαν, καί, ἐνῶ βρισκόταν σὲ ἀδιέξοδο, διέκρινε τὸ ἀκαταμάχη-

ρωσε, καὶ ἐν ἀπόροις ὤν, ἔγνω τὴν ἄμαχον χεῖρα καὶ τὴν παναλκῆ δύναμιν, καὶ τὴν ἐν ἀμηχάνοις εὐκολίαν.

«Εἶπα, σὺ εἶ ἐλπίς μου». Τὰ ἀνθρώπινα, φησί, πάντα ἐλήλεκται, καὶ ὁ χειμὼν μείζων συμμαχίας οὕτως ἁπάσης, ὡς οὐδεμιᾷ τέχνῃ, οἷόν τε εἶναι περιγενέσθαι τοῦ ναυαγίου. Ἀλλ' ὅμως εἰ καὶ παρὰ ἀνθρώποις ταῦτα ἀπέγνωσται, καὶ πάντες ἀπηγορεύσαμεν, ἀλλὰ σοὶ πάντα ῥᾴδια· ὅθεν καὶ ἐλπίζοντες οὐκ ἀποναρκῶμεν. «Μερίς μου εἶ ἐν γῇ ζώντων». Τουτέστιν, ὁ κλῆρός μου, ὁ θησαυρός μου, ὁ πλοῦτός μου, τὰ πάντα αὐτὸς εἶ. «Ἐν γῇ ζώντων». «Γῆν ζώντων» ἐνταῦθα τὴν οἰκείαν πατρίδα καλεῖ. Οἶδε γὰρ πολλάκις τὴν αἰχμαλωσίαν τὴν εἰς Βαβυλῶνα ᾅδην καὶ θάνατον καλεῖν. Εἶτα ἐπειδὴ ἐν μὲν ἀλλοτρίᾳ ὤν, οὐδεμίαν λατρείαν ἐπετέλει τὴν εἰωθυῖαν, ἐκεῖ δὲ τὰ τῆς ἁγιαστίας ἅπαντα ἐπληροῦτο, διὰ τοῦτό φησι, «Μερίς μου εἶ ἐν γῇ ζώντων». Ἀεί μου προέστης, φησί, καὶ ᾠκειώσω με ἐν γῇ ζώντων, καὶ πολλή μοι πρὸς σὲ γέγονε κοινωνία.

«Πρόσχες πρὸς τὴν δέησίν μου, ὅτι ἐταπεινώθην σφόδρα». Ὁρᾷς πῶς ὅπερ ἀνωτέρω ἔλεγε, τοῦτο καὶ ἐνταῦθα ἀντὶ συνηγορίας τίθησι, τὸ ταπεινωθῆναι λέγω, τὸ δίκην δοῦναι τῶν ἡμαρτημένων μεθ' ὑπερβολῆς. Τὸ δέ, «Σφόδρα», οὐ τῆς γενομένων κατηγορίας ἐστίν, ἀλλὰ τῆς λύπης καὶ τῆς ἀσθενείας τοῦ πάσχοντος. Ἂν μὲν γὰρ πρὸς τὴν ἀξίαν τῶν ἁμαρτημάτων ἴδῃς, οὐ σφοδρὰ ἡ ταπείνωσις, ἂν δὲ πρὸς τὴν ἀσθένειαν τοῦ φέροντος, σφοδρὰ μεθ' ὑπερβολῆς. Οὐδαμοῦ γὰρ ὁ Θεὸς ἀξίαν ἀπαιτεῖ τῶν πλημμελημάτων τιμωρίαν. Εἰ δὲ τοῖς πάσχουσιν ἀφόρητος εἶναι δοκεῖ, οὐ παρὰ τὴν φύσιν τῶν γινομένων, ἀλλὰ παρὰ τὴν ἀσθένειαν τῶν ὑπομενόντων.

3. Ῥῦσαί με ἐκ τῶν καταδιωκόντων με, ὅτι ἐκραταιωθησαν

το χέρι καὶ τὴν πανίσχυρη δύναμη καὶ τὴν εὐκολία στὴν ἀντιμετώπιση τῶν ἀδιεξόδων.

«Εἶπα, σὺ εἶσαι ἡ ἐλπίδα μου». Τὰ ἀνθρώπινα, λέγει, ὅλα χάθηκαν καὶ ἡ συμφορὰ τόσο πολὺ ὑπερβάλλει κάθε συμμαχία, ὥστε νὰ μὴ εἶναι δυνατὸ μὲ καμιὰ τέχνη νὰ ἀποφευχθεῖ τὸ ναυάγιο. Ὅμως ἂν καὶ χάθηκε κάθε ἐλπίδα βοήθειας ἐκ μέρους τῶν ἀνθρώπων καὶ ὅλοι μας ἀποκάμαμε, ἀλλὰ σὲ σένα εἶναι ὅλα εὔκολα· γι' αὐτὸ δὲν δειλιάζουμε ἔχοντας στηριγμένη τὴν ἐλπίδα σὲ σένα. «Σὺ εἶσαι ἡ μερίδα μου μέσα στὴ γῆ τῶν ζώντων». Δηλαδή, ὁ κλῆρος μου, ὁ θησαυρός μου, ὁ πλοῦτος μου, τὰ πάντα αὐτὸς εἶναι. «Στὴ γῆ τῶν ζώντων». «Γῆ ζώντων» ἐδῶ ὀνομάζει τὴν πατρίδα του. Διότι γνωρίζει νὰ ὀνομάζει πολλὲς φορὲς τὴν αἰχμαλωσία στὴ Βαβυλώνα ᾅδη καὶ θάνατο. Ἔπειτα, ἐπειδὴ ὅταν βρισκόταν στὴν ξένη χώρα δὲν ἐπιτελοῦσε καμιὰ ἀπὸ τὶς συνηθισμένες λατρευτικὲς ἀκολουθίες, ἐνῶ ἐκεῖ ἐκτελοῦνταν ὅλες οἱ ἱεροτελεστίες, γι' αὐτὸ λέγει, «Μερίδα μου εἶσαι στὴ γῆ τῶν ζώντων». Πάντοτε, λέγει, μὲ συμπαραστάθηκες καὶ μὲ θεώρησες πολὺ δικό σου μέσα στὴ γῆ τῶν ζώντων καὶ ὑπῆρξε πολὺ στενὴ ἡ ἐπικοινωνία μου μὲ σένα.

«Πρόσεξε τὴν παράκλησή μου, διότι ταπεινώθηκα πάρα πολύ». Πρόσεχε πῶς, ἐκεῖνο ἀκριβῶς ποὺ ἔλεγε προηγουμένως, αὐτὸ καὶ ἐδῶ προσθέτει γιὰ συνηγορία, ἐννοῶ τὴν ταπείνωση, τὸ ὅτι τιμωρήθηκε ὑπερβολικὰ γιὰ τὰ ἁμαρτήματά του. Τὸ δὲ «σφόδρα», δὲν ἀποτελεῖ κατηγορία γιὰ τὰ ὅσα συνέβηκαν, ἀλλὰ δείχνει τὴ λύπη καὶ τὴν ἀδυναμία ἐκείνου ποὺ ὑποφέρει. Ἂν λοιπὸν ἐξετάσεις τὴν ἀξία τῶν ἁμαρτημάτων δὲν εἶναι πάρα πολὺ μεγάλη ἡ ταπείνωση, ἂν ὅμως λάβεις ὑπ' ὄψη τὴν ἀδυναμία ἐκείνου ποὺ δέχεται τὴν ταπείνωση, εἶναι ὑπερβολικὴ σὲ μεγάλο βαθμό. Ὁ Θεὸς δηλαδὴ σὲ καμιὰ περίπτωση δὲν ἀπαιτεῖ τιμωρία ἄξια τῶν ἁμαρτημάτων. Ἂν ὅμως φαίνεται σ' αὐτοὺς ποὺ ὑποφέρουν ἀνυπόφορη, αὐτὸ συμβαίνει ὄχι ἐξ αἰτίας τῆς φύσεως αὐτῶν ποὺ συμβαίνουν, ἀλλ' ἐξ αἰτίας τῆς ἀδυναμίας αὐτῶν ποὺ ὑπομένουν αὐτά.

3. Ἐλευθέρωσέ με ἀπὸ αὐτοὺς ποὺ μὲ καταδιώκουν, διότι

ὑπὲρ ἐμέ». Ἰδοὺ καὶ ἄλλη αἰτία πάλιν, ἡ ἄδικος ἐπιβουλὴ τῶν ἐπηρεαζόντων, καὶ τὸ εἶναι αὐτὸν ἐν ἀσθενείᾳ πολλῇ. «Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου». Τὸ ἐξομολογήσασθαι ἐνταῦθα ἀντὶ τοῦ εὐχαριστῆσαί ἐστιν. Ὃ δὲ λέγει, τοῦτό ἐστιν· ἀπάλλαξόν με τῶν δεινῶν. Φυλακὴν γὰρ τὴν τῶν συμφορῶν ὑπερβολὴν αἰνίττεται. Ὥστε εὐχαριστῆσαι τῷ ὀνόματί σου. Οὐ μικρὸν καὶ τοῦτο, τὸ ἐν εὐημερίᾳ γενομένους μὴ εἰς λήθην ἐμπεσεῖν τῆς εὐεργεσίας. Πολλοὶ γὰρ τῶν ἀνθρώπων ἐν θλίψεσι μέν εἰσι σπουδαιότεροι, ἐν ἀνέσει δὲ ῥᾳθυμότεροι· ἕτεροι πάλιν ἐν ἀνέσει ῥᾴθυμοι, καὶ ἐν θλίψεσιν ἀπογινώσκοντες ἑαυτῶν, ὑπτιώτεροι γινόμενοι. Ἀλλ᾽ οὗτος ἐν ἑκατέρᾳ τῇ τῶν καιρῶν διαφορᾷ μένει τὴν αὐτὴν εὐλάβειαν διατηρῶν· οὔτε γὰρ ἡ θλίψις αὐτὸν ἀναπεσεῖν ἐποίησεν, ἀλλὰ μᾶλλον συνήγαγε πρὸς τὴν δέησιν καὶ τὴν εὐχήν, οὔτε ἡ ἄνεσις ὕπτιον κατεσκεύασεν, ἀλλὰ καὶ τότε πρὸς εὐχαριστίαν παρασκευάζεται.

«Ἐμὲ ὑπομενοῦσι δίκαιοι, ἕως οὗ ἀνταποδῷς μοι». Ἕτερος, «Στεφανώσονται δίκαιοι, ὅταν εὐεργετήσῃς με». Τί ἐστι τοῦτο; Καὶ τοὺς δικαίους, φησί, τοῦτο ὠφελήσει. Καὶ γὰρ καὶ ἐκεῖνοι εὐφρανθήσονται, χαρήσονται, σκιρτήσουσιν, ἰδόντες μου τὴν ἀπαλλαγὴν τῶν δεινῶν. Τοιαῦται γὰρ αἱ τῶν ἁγίων ψυχαί· καὶ τοῖς πάσχουσι κακῶς συναλγοῦσι, καὶ εὐθυνουμένοις οὐ βασκαίνουσιν, ἀλλὰ καὶ χαίρουσι, καὶ συνευφραίνονται καὶ συνήδονται τοῖς εὐεργετουμένοις. Ὃ καὶ Παῦλος ἐκέλευσε λέγων, «Χαίρειν μετὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων». Οὐ μικρὰ δὲ αὕτη ἀρετή. Πολλοὶ γὰρ καὶ κειμένοις ἐφήδονται, καὶ ἀνισταμένοις βασκαίνουσιν, ἐξ ὠμότητος καὶ ἀπανθρωπίας πολ-

---

10. Ρωμ. 12, 15.

αὐτοὶ εἶναι πολὺ πιὸ ἰσχυροὶ ἀπὸ ἐμένα». Νὰ πάλι καὶ ἄλλη αἰτία, ἡ ἄδικη ἐπιβουλὴ ἐκείνων ποὺ τὸν πολεμοῦν καὶ τὸ ὅτι αὐτὸς βρίσκεται σὲ μεγάλη ἀδυναμία· «Βγάλε τὴν ψυχή μου ἀπὸ τὴν φυλακὴ αὐτή, γιὰ νὰ εὐχαριστήσει τὸ ὄνομα σου». Τὸ «ἐξομολογήσασθαι» ἐδῶ προστίθεται ἀντὶ τοῦ νὰ σὲ εὐχαριστήσει. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· ἀπάλλαξέ με ἀπὸ τὶς συμφορές. Διότι φυλακὴ ἐννοεῖ τὶς ὑπερβολικὲς συμφορές. «Ὥστε νὰ εὐχαριστήσει τὸ ὄνομά σου». Δὲν εἶναι μικρὸ καὶ αὐτό, τὸ νὰ μὴ λησμονοῦμε τὴν εὐεργεσία ὅταν βρεθοῦμε σὲ εὐημερία. Διότι πολλοὶ ἀπὸ τοὺς ἀνθρώπους ὅταν μὲν βρίσκονται μέσα στὶς θλίψεις δείχνουν μεγαλύτερη προθυμία γιὰ εὐχαριστία, ἐνῶ σὲ περίοδο ἀνέσεως εἶναι πιὸ ἀδιάφοροι· ἄλλοι πάλι σὲ στιγμὲς ἀνέσεως εἶναι ἀδιάφοροι, ὅταν δὲ βρεθοῦν μέσα σὲ θλίψεις, κυριευμένοι ἀπὸ ἀπελπισία, καταντοῦν σὲ χειρότερη κατάσταση. Ἀλλ' αὐτὸς σὲ κάθε μιὰ ἀπὸ αὐτὲς τὶς διαφορετικὲς περιστάσεις ἐξακολουθεῖ νὰ διατηρεῖ τὴν ἴδια εὐλάβεια· διότι οὔτε ἡ θλίψη τὸν ἔκαμε ν' ἀποθαρρυνθεῖ, ἀλλὰ περισσότερο τὸν ἔκαμε νὰ προσφύγει πρὸς τὴν παράκληση καὶ τὴν προσευχή, οὔτε ἡ ἄνεση τὸν ὁδήγησε σὲ ἀδιαφορία, ἀλλὰ καὶ τότε προετοιμάζεται γιὰ εὐχαριστία.

«Οἱ δίκαιοι θὰ περιμένουν, μέχρι ποὺ ν' ἀνταποδώσεις στὶς ἐλπίδες μου γιὰ ἀμοιβὴ τὴν ἀπαλλαγὴ ἀπὸ τὶς συμφορές». Ἄλλος λέγει, «Οἱ δίκαιοι θὰ σὲ τιμήσουν, ὅταν θὰ μὲ εὐεργετήσεις». Τί σημαίνει αὐτό; Καὶ τοὺς δίκαιους, λέγει, αὐτὸ θὰ ὠφελήσει. Καθόσον καὶ ἐκεῖνοι θὰ εὐφρανθοῦν, θὰ χαροῦν, θὰ σκιρτήσουν ἀπὸ χαρά, βλέποντας τὴν ἀπαλλαγή μου ἀπὸ τὶς συμφορές. Διότι τέτοιες εἶναι οἱ ψυχὲς τῶν ἁγίων· καὶ ὑποφέρουν μαζὶ μὲ ἐκείνους ποὺ κακοπαθοῦν, καὶ δὲν φθονοῦν αὐτοὺς ὅταν εὐτυχοῦν, ἀλλὰ καὶ χαίρονται καὶ νιώθουν εὐφροσύνη καὶ εὐχαρίστηση μαζὶ μὲ ἐκείνους ποὺ εὐεργετοῦνται. Αὐτὸ καὶ ὁ Παῦλος παράγγειλε, λέγοντας, «Νὰ χαίρεσθε μαζὶ μὲ ἐκείνους ποὺ χαίρονται, καὶ νὰ κλαῖτε μαζὶ μὲ ἐκείνους ποὺ κλαῖνε»[10]. Δὲν εἶναι δὲ αὐτὴ μικρὴ ἀρετή. Διότι πολλοὶ καὶ εὐχαριστοῦνται βλέποντας ἀνθρώπους νὰ ὑποφέρουν, καὶ τοὺς

λῆς ἑκάτερα τὰ πάθη τίκτοντες. Ἀλλ' οὐχ οἱ δίκαιοι οὕτως, ἀλλ' ἑκατέρας ταύτης τῆς κακίας ἀπηλλαγμένοι, καὶ ἐλεήμονες ὄντες καὶ φιλάνθρωποι, τὰς ἀρετὰς ταύτας κτῶνται. Ὥσπερ οὖν ἐκεῖνοι ἐξ ὠμότητος ἀμφότερα πάσχουσιν, οὕτως οὗτοι ἀπὸ φιλανθρωπίας, τῷ τε συμπάσχειν ἀλγοῦσι, τῷ τε συγχαίρειν εὖ πάσχουσι.

Διὰ τί δὲ εἶπεν, «Ἀνταποδῷς μοι»; Ὁ μὲν ἕτερός φησιν, «Ὅταν εὐεργετήσῃς με». Οἱ δὲ ἄλλοι, «Ἀνταποδῷς καὶ ἀμείψῃ με». Καίτοι γε ἀνωτέρω θλῖψιν καὶ ταπείνωσιν εἶπεν, οὐ κατορθώματα, καὶ παρρησίαν τὴν ἀπὸ τῶν ἔργων. Ἀντὶ τίνος δὲ καὶ ἀνταπόδοσιν αἰτεῖ; Ἀντὶ τῶν ἡμερῶν τῆς ταπεινώσεως. Οὐ γὰρ μικρὸν καὶ τοῦτο κατόρθωμα, τὸ θλῖψιν ἐνεγκεῖν μετ' εὐχαριστίας. Διὸ καὶ ἀνταπόδοσιν καλεῖ τὴν μετὰ ταῦτα ἀμοιβήν. Μὴ τοίνυν μηδὲ ἡμεῖς ἀλύωμεν ἐν ταῖς θλίψεσιν, ἀλλ' εὐχώμεθα μὴ εἰσελθεῖν εἰς πειρασμόν· ἐπιόντα δὲ δεχώμεθα. Τά τε γὰρ ὄντα ἁμαρτήματα ἀποτιθέμεθα, καὶ εἴ τινα δικαιοσύνην ἔχομεν, κἀκείνην λαμπροτέραν ἐργαζόμεθα. Καὶ τοῦτο δείκνυσιν ὁ Ἰώβ, τότε μειζόνως διαλάμψας. Τοῦτο καὶ ἐν σώμασιν ἀγαθόν· τοῦτο οὐκ ἐν ἀνθρώποις μόνον, ἀλλὰ καὶ ἐν ἀλόγοις· οὐκ ἐν ἀλόγοις μόνον, ἀλλὰ καὶ ἐν φυτοῖς. Διὰ δὴ τοῦτο οὐδὲ ταῖς ἀμπέλοις συγχωροῦσιν οἱ γηπόνοι ὑπὲρ τὸ μέτρον κομᾶν, οὐδὲ ἑτέροις δένδροις, ἀλλὰ κωλύουσι τὴν εἰς τὸ πρόσω φοράν, τῇ δρεπάνῃ ἅπασαν αὐτῆς τὴν δύναμιν εἰς τὴν ῥίζαν περιστρέφοντες, ὥστε μὴ ἐν τοῖς φύλλοις ἀναλωθεῖσαν αὐτὴν ἐξίτηλον ἐνεγκεῖν τὸν καρπόν. Ὅπερ καὶ ἐπ' ἀνθρώπῳ συμβαίνει. Τῆς γὰρ σπουδῆς εἰς τὰ περιττὰ ἀναλισκομένης, ἀτονωτέρα γίνεται ἡ ψυχὴ πρὸς τὸ τῆς εὐ-

φθονοῦν βλέποντάς τους νὰ προοδεύουν, γεννώντας καὶ τὰ δύο πάθη ἀπὸ μεγάλη σκληρότητα καὶ ἀπανθρωπιά. Ὅμως δὲν κάμνουν τὸ ἴδιο οἱ δίκαιοι, ἀλλ', ἀπαλλαγμένοι ἀπὸ κάθε μιὰ ἀπὸ τὶς δυὸ μορφὲς αὐτῆς τῆς κακίας, σὰν ἐλεήμονες καὶ φιλάνθρωποι ποὺ εἶναι, κάμνουν κτῆμα τους αὐτὲς τὶς ἀρετές. Ὅπως ἀκριβῶς δηλαδὴ ἐκεῖνοι πάσχουν αὐτὰ τὰ δυὸ ἀπὸ ἀπανθρωπιά, ἔτσι αὐτὸς ἀπὸ φιλανθρωπία, καὶ ὑποφέρουν μαζὶ μὲ ἐκείνους ποὺ πονοῦν, καὶ χαίρονται μαζὶ μὲ ἐκείνους ποὺ εὐτυχοῦν.

Ἀλλὰ γιατί εἶπε, «Μέχρις ὅτου μοῦ ἀνταποδώσεις»; Ὁ μὲν ἄλλος λέγει, «Ὅταν μὲ εὐεργετήσεις». Οἱ δὲ ἄλλοι ἑρμηνευτὲς λέγουν, «Μέχρις ὅτου μοῦ ἀνταποδώσεις καὶ μὲ ἀμείψεις». Καὶ βέβαια προηγουμένως μίλησε γιὰ θλίψη καὶ ταπείνωση, ὄχι γιὰ κατορθώματα καὶ παρρησία ποὺ προέρχεται ἀπὸ τὴν ἐπιτέλεση ἔργων. Γιὰ ποιὸ πράγμα δὲ ζητεῖ καὶ ἀνταπόδοση; Γιὰ τὶς ἡμέρες τῆς ταπεινώσεως. Διότι δὲν εἶναι καὶ αὐτὸ μικρὸ κατόρθωμα, τὸ νὰ ὑπομένει δηλαδὴ μὲ εὐχαρίστηση τὴ θλίψη. Γι' αὐτὸ καὶ ἀνταπόδοση ὀνομάζει τὴν ἀμοιβὴ στὴ συνέχεια. Ἂς μὴ λοιπὸν ταρασσόμαστε καὶ ἐμεῖς ὅταν βρισκόμαστε μέσα σὲ θλίψεις, ἀλλὰ νὰ εὐχόμαστε νὰ μὴ πέσουμε σὲ δοκιμασία, ὅταν ὅμως μᾶς ἔλθει νὰ τὴ δεχόμαστε. Διότι καὶ τὰ ἁμαρτήματα ποὺ μᾶς βαρύνουν τὰ ἀποβάλλουμε καί, ἂν ἔχουμε κάποια μορφὴ ἀρετῆς, καὶ ἐκείνη τὴν κάμνουμε λαμπρότερη. Καὶ αὐτὸ δείχνει ὁ Ἰώβ, ποὺ τότε διέλαμψε περισσότερο. Αὐτὸ δὲ εἶναι καλὸ καὶ γιὰ τὰ σώματα· αὐτὸ εἶναι καλὸ ὄχι μόνο γιὰ τοὺς ἀνθρώπους, ἀλλὰ καὶ γιὰ τὰ ἄλογα ζωᾶ· καὶ ὄχι μόνο γιὰ τὰ ἄλογα ζῶα, ἀλλὰ καὶ γιὰ τὰ φυτά. Γι' αὐτὸ βέβαια οἱ γεωπόνοι οὔτε στὰ ἀμπέλια ἐπιτρέπουν νὰ ἔχουν περισσότερο ἀπὸ τὸ κανονικὸ φύλλωμα, οὔτε σὲ ἄλλα δένδρα, ἀλλ' ἐμποδίζουν τὴν μεγάλη ἀνάπτυξή τους πρὸς τὰ ἐπάνω, ἐπαναφέροντας μὲ τὸ δρεπάνι ὅλη τὴ δύναμή τους στὴ ρίζα, ὥστε νὰ μὴ ξοδευθεῖ ὅλη ἡ δύναμη στὰ φύλλα καὶ παράγει ἔτσι καρπὸ ἐξασθενημένο. Αὐτὸ ἀκριβῶς συμβαίνει καὶ στοὺς ἀνθρώπους. Διότι ὅταν ἡ φροντίδα καταναλώνεται στὰ περιττά, ἡ ψυχὴ γίνεται πιὸ ἀδιά-

σεβείας καρπὸν ὥριμον ἐνεγκεῖν καὶ ἀκμάζοντα. Τοῦτο καὶ ἐπὶ ὑδάτων ἴδοι τις ἄν. Τὸ μὲν γὰρ ἑστηκὸς καὶ ἀπόρευτον, βλαβερόν, τὸ δὲ κινούμενον καὶ ἐξαντλούμενον καὶ μετοχετευόμενον, οὐ μόνον ὑγιεινόν, ἀλλὰ καὶ ἰδεῖν καὶ ἅψασθαι καὶ πιεῖν ἥδιόν ἐστι. Πολλάκις δὲ καὶ τὴν φύσιν ἐνίκησεν ἡ θλίψις. Τὸ γὰρ κατωφερὲς τοῦτο καὶ ῥυτὸν θλιβόμενον πρὸς τὴν ἄνω φορὰν ἐξακοντίζεται. Ὃ δὴ καὶ ἐπ' ἀνθρώπων συμβαίνει. Οἱ γὰρ εὐκόλως τὰς θλίψεις φέροντες, ὑψηλότεροι καθίστανται, κἂν σφόδρα ὦσι χαμαίζηλοι, καὶ σφόδρα γήϊνοι, καὶ ταπεινοί, μεγάλα ἐντεῦθεν κερδαίνουσι.

Ταῦτ' οὖν εἰδότες, φέρωμεν μετ' εὐχαριστίας τὰ ἐπαγόμενα δεινά, ἵνα κἀκεῖνα εὐκολώτερα ἡμῖν γένηται, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

φορη στὸ νὰ παράγει καρπὸ εὐσέβειας ὥριμο καὶ τέλειο. Αὐτό θὰ μποροῦσε κανένας νὰ δεῖ νὰ συμβαίνει καὶ μὲ τὰ ὕδατα. Διότι τὸ μὲν στάσιμο ἀκίνητο νερὸ εἶναι βλαβερό, ἐνῶ αὐτὸ ποὺ κινεῖται καὶ ἀντλεῖται καὶ διοχευτεύεται, ὄχι μόνο εἶναι ὑγιεινό, ἀλλὰ καὶ εὐχάριστο νὰ τὸ βλέπει κανένας καὶ νὰ τὸ ἀγγίσει καὶ νὰ τὸ πιεῖ. Πολλὲς φορὲς δὲ ἡ θλίψη καὶ τὴ φύση νίκησε. Διότι τὸ νερὸ αὐτὸ ποὺ φέρεται ἐκ φύσεως πρὸς τὰ κάτω καὶ εἶναι ρευστό, ὅταν πιεσθεῖ ἐξακοντίζεται πρὸς τὴν ἐπάνω κατεύθυνση. Αὐτὸ βέβαια συμβαίνει καὶ μὲ τοὺς ἀνθρώπους. Διότι ἐκεῖνοι ποὺ ὑποφέρουν μὲ εὐκολία τὶς θλίψεις, γίνονται πνευματικὰ ὑψηλότεροι, καὶ ἂν ἀκόμα εἶναι πάρα πολὺ προσκολλημένοι στὴ γῆ καὶ πάρα πολὺ γήινοι καὶ ταπεινοί, ἀποκομίζουν ἀπὸ ἐδῶ μεγάλα κέρδη.

Γνωρίζοντας λοιπὸν αὐτά, ἂς ὑποφέρουμε μὲ εὐχαρίστηση τὶς συμφορὲς ποὺ μᾶς βρίσκουν, ὥστε καὶ ἐκεῖνες νὰ τὶς ἀντιμετωπίζουμε εὐκολότερα καὶ τὰ μελλοντικὰ ἀγαθὰ νὰ ἐπιτύχουμε, τὰ ὁποῖα εὔχομαι ὅλοι μας νὰ ἀξιωθοῦμε, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟΝ ΡΜΒ' ΨΑΛΜΟΝ.

«Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου».

1. Ἔστι μὲν προσευχὴ καὶ ἡ διὰ ρημάτων δέησις, ἔστι δὲ καὶ ἡ ἐπαγγελία. Διὰ τοῦτο καί τις σοφὸς παραινεῖ, λέγων· «Μὴ δευτερώσῃς λόγον ἐν προσευχῇ σου». Οὐχ ἵνα μὴ δεύτερον τὰ αὐτὰ λέγωμεν, παρακαλοῦντες τὸν Θεὸν καὶ δεόμενοι, τοῦτο παραινεῖ καὶ συμβουλεύει, ἄπαγε, καὶ γὰρ κελευόμεθα προσκαρτερεῖν ταῖς προσευχαῖς, ἀλλ' ἵνα μὴ ἀναβαλλώμεθα ὅταν τι ὑποσχώμεθα τῷ Θεῷ, ἀλλ' ἵνα ἐπειγώμεθα. Διὸ καὶ ἀλλαχοῦ φησι· «Μὴ χρονίσῃς ἀποδοῦναι τὴν προσευχήν». Καὶ γὰρ ἄδηλον τὸ μέλλον. Ἢ γὰρ νόσος, ἢ πραγμάτων ἀδόκητοι ἀσχολίαι συμπεσοῦσαι ἐκώλυσαν. Εἰ δὲ καὶ θάνατος ἐπελθὼν διακόψειε, συγγνώμην οὐκ ἔχεις. Ἐνταῦθα μέντοι προσευχὴν τὴν δέησιν λέγει καὶ τὴν ἱκετηρίαν. Διὸ ἐπήγαγεν αὐτὸ τοῦτο δηλῶν, «Ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου». Ἕτερος, «Ἐν τῇ πίστει σου». Ἄλλος, «Ἐν τῇ βεβαιότητί σου». Τουτέστιν, ἐπίνευσον τῇ αἰτήσει, καὶ εἰς ἔργον αὐτὴν ἐξάγαγε, βεβαιῶν τῇ ἀληθείᾳ σου· χρῆσαι τῇ δυνάμει πρὸς τὸ πληρῶσαι ἅπερ αἰτῶ. Ἀλλ' ἴδωμεν οἷα ἐστὶν ἡ δέησις.

Ἐπ' ἀνθρώπων, ὅταν τις δέησιν προσαγάγῃ, τοῦτο σκοποῦσιν οἱ δεχόμενοι, κἂν τὸ δίκαιον καὶ ἔννομον ἔχῃ, ἀκούεται.

---

* Ψαλμὸς τοῦ Δαυίδ, ἕβδομος καὶ τελευταῖος στὴ σειρὰ τῶν ψαλμῶν μετάνοιας, χαρακτηριζόμενος σὰν τὸ ἀπόσταγμα τοῦ ἀρώματος τῶν ψαλμῶν τοῦ Δαυίδ. Ὁ Δαυὶδ ἀπευθύνεται πρὸς τὸν Κύριο καὶ τὸν παρακαλεῖ νὰ εἰσακούσει κατεπειγόντως τὴν παράκλησή του καὶ νὰ σπεύσει νὰ τὸν βοηθήσει, ἀπαλλάσσοντάς τον ἀπὸ τοὺς κινδύνους ποὺ τὸν περιβάλλουν.

Ο Μ Ι Λ Ι Α

ΣΤΟ ΡΜΒ′ ΨΑΛΜΟ*

«Κύριε, ἄκουσε τὴν προσευχή μου».

1. Εἶναι μὲν προσευχὴ καὶ ἐκείνη ποὺ γίνεται μὲ λόγια, εἶναι δὲ καὶ ἡ ὑπόσχεση. Γι' αὐτὸ καὶ κάποιος σοφὸς συμβουλεύει, λέγοντας· «Μὴ ἐπαναλάβεις τὸν ἴδιο λόγο στὴν προσευχή σου»[1]. Δὲν προτρέπει καὶ συμβουλεύει αὐτὸ γιὰ νὰ μὴ λέμε τὰ ἴδια γιὰ δεύτερη φορά, ὅταν παρακαλοῦμε καὶ προσευχόμαστε στὸ Θεό, μακριὰ μιὰ τέτοια σκέψη, καθόσον προτρεπόμαστε νὰ ἐπιμένουμε στὶς προσευχές μας, ἀλλὰ γιὰ νὰ μὴ ἀναβάλλουμε ὅταν ὑποσχόμαστε κάτι στὸ Θεό, ἀντίθετα δὲ νὰ βιαζόμαστε νὰ ἐκπληρώσουμε αὐτό. Γι' αὐτὸ καὶ ἀλλοῦ λέγει· «Μὴ ἀργοπορήσεις νὰ ἐκπληρώσεις τὴν προσευχή σου»[2]. Καθόσον εἶναι ἄγνωστο τὸ μέλλον. Διότι, ἐὰν συμβεῖ κάποια ἀσθένεια ἢ ἀπροσδόκητες δυσκολίες στὰ πράγματα τῆς ζωῆς, θὰ ἐμποδίσουν τὴν πραγματοποίηση αὐτῆς. Ἂν δὲ συμβεῖ νὰ ἔλθει ὁ θάνατος καὶ διακόψει τὴν ἐκπλήρωση αὐτῆς, συγγνώμη δὲν ἔχεις. Ἐδῶ ὅμως προσευχὴ ὀνομάζει τὴν παράκληση καὶ τὴν ἱκεσία. Γι' αὐτό, γιὰ νὰ δηλώσει ἀκριβῶς αὐτό, πρόσθεσε· «Καταδέξου νὰ δεχθεῖς τὴν παράκλησή μου στὸ ὄνομα τῆς ἀληθειάς σου». Ἄλλος, «Στὸ ὄνομα τῆς πιστότητας τῶν λόγων σου». Ἄλλος, «Στὸ ὄνομα τῆς βεβαιότητας τῶν λόγων σου». Δηλαδή, εἰσάκουσε τὸ αἶτημά μου καὶ πραγματοποίησε αὐτό, ἐπιβεβαιώνοντας ἔτσι τὴν ἀλήθεια τῶν λόγων σου· χρησιμοποίησε τὴ δύναμή σου γιὰ τὴν ἐκπλήρωση αὐτοῦ ποὺ ζητῶ. Ἀλλ' ἂς δοῦμε ποιὰ εἶναι ἡ σημασία τῆς παρακλήσεως.

Στὴν περίπτωση τῶν ἀνθρώπων, ὅταν κάποιος κάνει μιὰ παράκληση, αὐτοὶ ποὺ δέχονται αὐτὴν ἐξετάζουν ἂν αὐτὴ εἶναι

1. Σοφ. Σειρὰχ 7, 14. 2. Ἐκκλ. 5, 3.

Ἀλλὰ παρὰ μὲν ἀνθρώποις ὑπὲρ ἀξιωμάτων γίνεται καὶ χρημάτων ἡ δέησις, πολλάκις δὲ καὶ ὑπὲρ κωλύματος ἀδικίας· ἔνιοι δὲ καὶ τὰ ὑπερβαίνοντα τοὺς δικάζοντας ἀξιοῦσιν· ἀλλ' ἡμεῖς ὑπὲρ ἁμαρτημάτων δεόμεθα συγχωρήσεως, καὶ τότε ἐρχόμεθα ἐπὶ δέησιν, ὅταν ὁ δικαστὴς ἡμῖν μὴ ἀφῇ ὁ ἔνδον, τὸ συνειδὸς λέγω τὸ ἡμῖν ἐγκαθήμενον. Οὐδὲ γὰρ ἐξουσίαν ἔχει τοῦ ἀφιέναι. Καὶ καθάπερ βασιλεῖ οὐδεὶς ὑπὲρ ἱματίου διαρραγέντος, οὐδὲ ὑπὲρ δέκα ὀβολῶν ἀφαιρεθέντων τολμᾷ προσελθεῖν, οὕτω καὶ σύ, μᾶλλον δὲ καὶ πολλῷ ὑπὲρ εὐτελῶν πραγμάτων καὶ μηδαμινῶν, οἷον εἴ τίς σε ἐν χρήμασιν ἠδίκησεν, ἢ καὶ ὕβρισεν, ἀλλ' ἐν οἷς σε ὁ διάβολος ἀδικεῖ, ἔνθα μάλιστα τῆς ἄνωθεν χρεία ῥοπῆς.

Ἀλλ' οὐκ ἔχεις τὸν προϊστάμενον καὶ εἰσάγοντά σου τὴν δέησιν; Προϊόντος τοῦ βασιλέως φώνησον, καὶ καιρὸν ἐπιτήδειον ζήτησον. Πότε οὖν πρόεισιν ὁ βασιλεύς; Ἀεὶ καὶ διαπαντός. Πότε δὲ καὶ ἐπιτήδειος ὁ καιρός; Ὅταν σὺ θέλῃς, ὅταν ἄξιον σαυτὸν παρασκευάσῃς. Ἰουδαῖοι μὲν οὖν ἐκελεύοντο ὑπὲρ τὴν ὑπωρείαν ἑστάναι, τῷ Θεῷ φαινόμενοι, καὶ τὰ ἱμάτια ἔχειν λευκά, καὶ μὴ προσιέναι γυναικί, σὺ δὲ ἀντὶ τῶν ἱματίων τὴν ψυχὴν ἀπόσμηξον, καὶ μετὰ σωφροσύνης καὶ ἐπιεικείας πρόσελθε, καὶ μετὰ πολλῆς τῆς σχολῆς, καὶ ἀποδήμησον πρὸς τὸν βασιλέα, εἰ βούλει δεόντως ἀνύσαι. Οὐ δεῖται ἀναλωμάτων πολλῶν ἡ ἀποδημία· λάβε ἐφόδια τὴν ἀρετήν. Καὶ ποῦ οὗτος ὁ βασιλεὺς διατρίβει; Ἐγγὺς τῶν συντετριμμένων τῇ καρδίᾳ. Ἐκείνην ἔπελθε τὴν ὁδόν. «Ἐγγύς», φησί, «Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ». Ἐκεῖ αὐτὸν εὑρήσεις, ἐκεῖ συντεύξῃ. Ἐγγὺς ἐστι τῶν διαθρυπτόντων πεινῶσι τὸν ἄρτον καὶ ἐλεημοσύνην ἐρ-

---

3. Ἐξ. 19, 12· 14-15.
4. Ψαλμ. 144, 18.

δίκαια καὶ νόμιμη, ὁπότε γίνεται ἀποδεκτή. Ἀλλὰ στὴν περίπτωση μὲν τῶν ἀνθρώπων ἡ παράκληση γίνεται γιὰ ἀξιώματα καὶ γιὰ χρήματα, πολλὲς φορὲς δὲ καὶ γιὰ τὴν ἐμπόδιση τῆς ἀδικίας· μερικοὶ δὲ ζητοῦν ἀπὸ τοὺς δικαστὲς καὶ νὰ ὑπερβοῦν τὴ δικαιοδοσία τους. Ὅμως ἐμεῖς παρακαλοῦμε γιὰ τὴ συγχώρηση τῶν ἁμαρτιῶν μας, καὶ τότε προχωροῦμε στὴν παράκληση, ὅταν ὁ ἐσωτερικός μας δικαστής, ἐννοῶ τὴ συνείδηση ποὺ εἶναι ἐγκαθιδρυμένη μέσα μας, δὲν μᾶς δίνει συγχώρηση. Οὔτε βέβαια ἔχει ἐξουσία νὰ συγχωρεῖ. Καὶ ὅπως ἀκριβῶς κανένας δὲν τολμᾶ νὰ προσέλθει στὸ βασιλιὰ γιὰ ἔνδυμά του ποὺ τοῦ τὸ ἔσχισαν, οὔτε γιὰ δέκα ὀβολοὺς ποὺ τοῦ τοὺς ἔκλεψαν, ἔτσι καὶ σύ, μᾶλλον δὲ καὶ μὲ πολὺ περισσότερη εὐλάβεια, μὴ προσέλθεις στὸ Θεὸ γιὰ εὐτελὴ καὶ ἀσήμαντα πράγματα, γιὰ παράδειγμα, ἐὰν κάποιος σὲ ἀδίκησε σὲ χρήματα, ἢ καὶ σὲ ἔβρισε, ἀλλὰ γιὰ τὰ ἀδικήματα ἐκεῖνα ποὺ σοῦ κάμνει ὁ διάβολος, γιὰ τὰ ὁποῖα πρὸ πάντων χρειάζεται ἡ οὐράνια βοήθεια.

Ἀλλὰ μήπως δὲν ἔχεις τὸν προϊστάμενο καὶ τὸν εἰσηγητὴ τῆς παρακλήσεώς σου; Ὅταν θὰ περνᾶ ὁ βασιλιὰς φώναξε, καὶ ζήτησε κατάλληλη εὐκαιρία. Πότε λοιπὸν περνᾶ ὁ βασιλιάς; Πάντοτε καὶ διαρκῶς. Πότε δὲ εἶναι ἡ κατάλληλη εὐκαιρία; Ὅταν σὺ θέλεις, ὅταν κάνεις τὸν ἑαυτό σου ἄξιο. Οἱ μὲν Ἰουδαῖοι ἔπαιρναν ἐντολὴ νὰ στέκονται στοὺς πρόποδες τοῦ ὄρους καὶ νὰ παρουσιάζονται στὸ Θεὸ φορώντας λευκὰ ἐνδύματα καὶ νὰ μὴ πλησιάζουν γυναίκα γιὰ συνουσία[3], σὺ ὅμως ἀντὶ γιὰ τὰ ἐνδύματά σου καθάρισε τὴν ψυχή σου καὶ πλησίασε μὲ σωφροσύνη καὶ πραότητα, καὶ μὲ πολλὴ προσοχὴ καὶ προθυμία πήγαινε πρὸς τὸ βασιλιά, ἂν θέλεις πράγματι νὰ ἐπιτύχεις στὸ αἴτημά σου. Δὲν χρειάζεται πολλὰ ἔξοδα αὐτὴ ἡ μετάβαση· πάρε ἐφόδια τὴν ἀρετή. Καὶ ποῦ βρίσκεται αὐτὸς ὁ βασιλιάς; Κοντὰ σ' ἐκείνους ποὺ ἔχουν καρδιὰ συντριμμένη ἀπὸ ταπείνωση. Ἐκεῖνο τὸ δρόμο βάδισε. Διότι λέγει, «Ὁ Κύριος εἶναι πολὺ κοντὰ σ' ἐκείνους ποὺ τὸν ἐπικαλοῦνται μὲ εἰλικρίνεια»[4]. Ἐκεῖ θὰ βρεῖς αὐτόν, ἐκεῖ θὰ τὸν συναντήσεις. Εἶναι κοντὰ σ' ἐκείνους ποὺ τρέφουν μὲ ψωμὶ τοὺς φτωχοὺς καὶ κά-

γαζομένων. Ἐὰν ταύτην ἔλθῃς, εὑρήσεις αὐτὸν ἕτοιμον, ἐπινεύοντά σου τῇ αἰτήσει. «Ἔτι γὰρ λαλοῦντός σου ἐρῶ, ἰδοὺ πάρειμι»· καὶ οὐ δεήσῃ μεσίτου, ἀλλὰ διὰ σεαυτοῦ τὴν δέησιν ἐπιδώσεις.

Ἐπάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου». Τί ποιεῖς, ἄνθρωπε; Προϊὼν μέλλεις ἐρεῖν, «Μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν», καὶ ἐνταῦθα ἀξιοῖς κατὰ τὸ δίκαιον ἀκουσθῆναι; Τί οὖν ἐστι τὸ λεγόμενον; Δικαιοσύνην ἐνταῦθα τὴν φιλανθρωπίαν λέγει, καὶ πολλαχοῦ τῆς Γραφῆς ἴδοι τις ἂν ἐπὶ τοῦ σημαινομένου τούτου τὴν δικαιοσύνην λαμβανομένην, καὶ μάλα εἰκότως· παρὰ μὲν γὰρ τοῖς ἀνθρώποις τὸ δίκαιον ἀπεστέρηται τοῦ ἐλέους, παρὰ δὲ τῷ Θεῷ οὐχ οὕτως, ἀλλὰ ἀναμέμικται τῷ δικαίῳ καὶ ἔλεος, καὶ τοσοῦτον, ὡς καὶ αὐτὴν τὴν δικαιοσύνην φιλανθρωπίαν καλεῖσθαι. Σκόπει γοῦν ἐπὶ τοῦ κατακλυσμοῦ, πόσος μὲν ἦν ὁ ἔλεος, πόσον δὲ τὸ δίκαιον. Εἰ γὰρ καὶ ἐκολάσθησαν ἁμαρτάνοντες οἱ τότε, ἀλλὰ οὐ τὴν ἀξίαν ἔδοσαν δίκην.

Μὴ γάρ μοι τὸν ὄγκον ἴδῃς τῶν ὑδάτων, μηδὲ τὸ πλῆθος τῶν ἡμερῶν, ὧν τὸ ναυάγιον ἐκεῖνο παρετείνετο, μηδὲ τὴν οἰκουμένην ἄβυσσον γινομένην. Τί γὰρ τοῦτο πρὸς τοὺς ἀπολωλότας; Ταῦτα γὰρ φόβον μὲν δύναιτ' ἂν ἔχειν ὑπέρογκον, τιμωρίαν δὲ τοῖς τετελευτηκόσιν οὐδεμίαν ἐπάγει. Οἱ γὰρ οὐκ αἰσθανόμενοι τῶν γινομένων πῶς ἐκολάζοντο; ὧν καὶ ἐν βραχείᾳ καιροῦ ῥοπῇ τὰ τῆς ἀπωλείας ἐγίνετο, καὶ τὸν σύντομον καὶ κουφότατον ὑπέμειναν θάνατον, καὶ πυρὸς καὶ ξίφους καὶ ἀγχόνης καὶ βασάνων εὐκολώτερόν τε καὶ ἀλυπότερον; Ὥστε ὄψιν μᾶλλον τιμωρίας, ἢ πεῖραν εἶχε τὰ γινόμενα. Παρὰ πάντα τοίνυν τὸν

---

5. Ἠσ. 58, 9.

μνουν ἐλεημοσύνη. Ἂν ἀσκήσεις αὐτὴν θὰ τὸν βρεῖς ἕτοιμο νὰ ἐκπληρώσει τὸ αἴτημά σου. Διότι, «Ἐνῶ ἐσὺ θὰ ὁμιλεῖς, θὰ σοῦ πῶ, νά, εἶμαι ἐδῶ»[5]· καὶ δὲν θὰ χρειασθεῖς μεσίτη, ἀλλὰ θὰ ἐπιδώσεις μόνος σου τὸ αἴτημά σου.

Ἄκουσέ με στὸ ὄνομα τῆς δικαιοσύνης σου». Τί κάμνεις, ἄνθρωπε; Στὴ συνέχεια πρόκειται νὰ πεῖς, «Μὴ θελήσεις νὰ κρίνεις τὸ δοῦλο σου μὲ τὴ δικαιοσύνη σου, διότι δὲν θὰ δικαιωθεῖ μπροστά σου κανένας ἄνθρωπος», καὶ ἐδῶ ἔχεις τὴν ἀξίωση νὰ εἰσακουσθεῖς σύμφωνα μὲ τὴ δικαιοσύνη του; Τί σημαίνει λοιπὸν τὸ λεγόμενο; Δικαιοσύνη ἐδῶ ἐννοεῖ τὴ φιλανθρωπία, καὶ σὲ πολλὰ μέρη τῆς Γραφῆς θὰ μποροῦσε κανένας νὰ δεῖ νὰ χρησιμοποιεῖται ἡ λέξη δικαιοσύνη μὲ αὐτὴ τὴ σημασία, καὶ πάρα πολὺ σωστά· διότι στὴν περίπτωση μὲν τῶν ἀνθρώπων τὸ δίκιο στερεῖται τῆς εὐσπλαχνίας, στὴν περίπτωση ὅμως τοῦ Θεοῦ δὲν συμβαίνει τὸ ἴδιο, ἀλλ' εἶναι ἀναμιγμένο τὸ δίκιο μὲ τὴν εὐσπλαχνία, καὶ τόσο πολύ, ὥστε καὶ ἡ ἴδια ἡ δικαιοσύνη νὰ ὀνομάζεται φιλανθρωπία. Σκέψου λοιπὸν στὴν περίπτωση τοῦ κατακλυσμοῦ, πόση ἦταν ἡ εὐσπλαχνία τοῦ Θεοῦ καὶ πόση ἡ δικαιοσύνη. Διότι, ἂν καὶ τιμωρήθηκαν οἱ τότε ἐπειδὴ ἁμάρτησαν, ἀλλ' ὅμως δὲν τιμωρήθηκαν ὅσο ἄξιζε.

Διότι, σὲ παρακαλῶ, μὴ δεῖς τὸν ὄγκο τῶν ὑδάτων, οὔτε τὸ πλῆθος τῶν ἡμερῶν, κατὰ τὶς ὁποῖες ἐκράτησε τὸ ναυάγιο ἐκεῖνο, οὔτε τὴν οἰκουμένη ποὺ ἔγινε ἄβυσσος. Διότι τί προξένησε αὐτὸ σ' ἐκείνους ποὺ χάθηκαν; Καθόσον αὐτὰ φόβο μὲν ὑπερβολικὸ θὰ μποροῦσαν νὰ δημιουργήσουν, καμιὰ ὅμως τιμωρία δὲν ἐπιβάλλουν σ' ἐκείνους ποὺ ἔχουν πεθάνει. Διότι πῶς τιμωροῦνταν ἐκεῖνοι ποὺ δὲν αἰσθάνονταν τὰ ὅσα γίνονταν; ἐκεῖνοι ποὺ πέθαναν μέσα σὲ πάρα πολὺ σύντομο χρόνο καὶ ὑπέμειναν τὸν σύντομο καὶ τὸν πιὸ ἐλαφρὺ θάνατο, ποὺ εἶναι εὐκολώτερος καὶ μὲ μικρότερο πόνο ἀπὸ ἐκεῖνον ποὺ προξενεῖται μὲ τὴ φωτιά, τὸ ξίφος, τὴν ἀγχόνη καὶ τὰ βάσανα; Ὥστε ἐκεῖνα ποὺ ἔγιναν ἀποτελοῦσαν μᾶλλον μορφὴ τιμωρίας, παρὰ πραγματικὴ τιμωρία. Ἐνῶ δηλαδὴ σ' ὅλη τὴ ζωή τους καὶ μέχρι τὰ βαθιὰ γεράματα διέπραξαν τέτοιου εἴδους παρα-

χρόνον μέχρι γήρως ἐσχάτου τοιαῦτα παρανομήσαντες, ἐν βραχείᾳ καιροῦ ῥοπῇ τὴν τιμωρίαν ἔδοσαν, εἴ γε τιμωρίαν δεῖ καλεῖν τῆς φύσεως χρέος.

2. Εἶδες πόση ἡ φιλανθρωπία; Βούλει καὶ ἑτέρωθεν αὐτὴν ἰδεῖν; Οὐκ εὐθέως αὐτὴν ἐπήγαγεν, ἀλλὰ προεῖπε καὶ ἅπαξ καὶ δὶς καὶ πολλάκις. Καὶ γὰρ διὰ τῆς λάρνακος αὐτοῖς διελέγετο· οἱ δὲ οὐδὲ οὕτως ἐνέδοσαν, καίτοι οὐδὲ παραγγελίας ἐδεῖτο ἡ παρανομία. Ἀλλ' οὐδὲ ἡ φύσις αὐτοὺς ἐπαίδευσεν, οἱ δὲ ὡς χοῖροι, μᾶλλον δὲ καὶ χοίρων χαλεπώτερον ἁπάντων ἐν ἀλλήλοις φθειρόμενοι, καὶ τοὺς τῆς φύσεως νόμους ἐκ βάθρων αὐτῶν ἀνασπάσαντες, καὶ μηδεμιᾷ παραινέσει, μηδὲ συμβουλῇ ἐνδόντες, μηδὲ τὴν ἀπὸ τῆς τοῦ δικαίου γειτνιάσεως ὠφέλειαν καρπωσάμενοι, ἐν βραχείᾳ καιροῦ ῥοπῇ μόνον τὴν δίκην ἔδοσαν, μᾶλλον δὲ φθορᾶς ἀπηλλάγησαν, καὶ δίκης ἠλεθερώθησαν. Τοῦ γὰρ κατακλυσθῆναι πολλῷ χαλεπώτερον τὸ τοιαῦτα ποιεῖν. Τοῦτο οὖν, εἰπέ μοι, τιμωρία τὸ κακίᾳ φθειρομένους, καὶ ἀλλήλοις φυρομένους παρανόμως, καὶ καταισχύνοντας, καὶ καταισχυνομένους ἀπαλλάξαι τῆς τοσαύτης λύμης;

Εἶτα ἰατρὸν μὲν τὰ σεσηπότα ἐκτέμνοντα οὐ φήσομεν τιμωρεῖσθαι τὸ σῶμα, ἀλλ' ὡς φιλάνθρωπον ἀποδεξόμεθα, τὸν δὲ Θεὸν οὐ πολλῷ μᾶλλον ἐκπλαγησόμεθα καὶ τῆς σοφίας καὶ τῆς φιλανθρωπίας, οὕτω τοὺς ἑαυτοῦ κολάζοντα; Διαπαντὸς μὲν οὖν καὶ θαυμάζειν αὐτὸν καὶ δοξάζειν χρή· ταύτης δὲ ἕνεκεν τῆς ὑποθέσεως μηδέποτε ἀποστῶμεν αὐτοῦ τὴν κηδεμονίαν ἐκπληττόμενοι, οὐδὲ παυσώμεθα αὐτὸν καὶ διὰ ταῦτα ἀνυμνοῦντες, ὅτι τε τομὴν ἔδωκε σύντομον, καὶ τὴν νομὴν ἀπέκοψε, καὶ τὴν ἰατρείαν ἀνώδυνον ἐπέθηκε. Μὴ δὴ οὖν τοῦτό σε θορυβείτω, ὅτι ἀ-

νομίες, τιμωρήθηκαν μέσα σὲ πάρα πολὺ σύντομο χρονικὸ διάστημα, ἂν βέβαια πρέπει νὰ ὀνομάζουμε τιμωρία τὸ φυσικὸ χρέος.

2. Εἶδες πόση εἶναι ἡ φιλανθρωπία; Θέλεις νὰ ἰδεῖς αὐτὴν καὶ ἀπὸ ἄλλου; Δὲν ἐπέβαλε ἀμέσως τὴν τιμωρία, ἀλλὰ προειδοποίησε μία καὶ δύο καὶ πολλὲς φορές. Διότι καὶ μὲ τὴν ἴδια τὴν κιβωτὸ μιλοῦσε πρὸς αὐτούς, αὐτοὶ ὅμως οὔτε ἔτσι ὑποχώρησαν, ἂν καὶ βέβαια οὔτε προειδοποίση χρειαζόταν ἡ παρανομία. Καὶ οὔτε ἡ φύση τοὺς δίδαξε, ἀλλὰ σὰν χοῖροι, μᾶλλον δὲ καταστρεφόμενοι ἀναμεταξύ τους χειρότερα καὶ ἀπὸ ὅλους τοὺς χοίρους καὶ ἀφοῦ ἀνέτρεψαν ἐκ θεμελίων τοὺς νόμους τῆς φύσεως, καὶ χωρὶς νὰ ὑπακούουν σὲ καμιὰ παραίνεση, οὔτε συμβουλή, οὔτε καὶ νὰ ἐπωφελήθηκαν ἀπὸ τὴ συγκατοίκησή τους μὲ τὸν δίκαιο, τιμωρήθηκαν μέσα σὲ ἐλάχιστο χρονικὸ διάστημα, μᾶλλον δὲ ἀπαλλάχτηκαν ἀπὸ τὴ φθορὰ καὶ ἐλευθερώθηκαν ἀπὸ τὴν τιμωρία. Διότι ἀπὸ τὸ νὰ ὑποστοῦν τὸν κατακλυσμὸ ἦταν πολὺ πιὸ φοβερότερο τὸ νὰ κάμνουν τέτοια ἔργα. Αὐτὸ λοιπόν, πές μου, εἶναι τιμωρία ἡ ἀπαλλαγή τους ἀπὸ μιὰ τόσο μεγάλη καταστροφή, τὴ στιγμὴ ποὺ φθείρονταν ἀπὸ τὴν κακία καὶ μολύνονταν ἀναμεταξύ τους ἀπὸ τὴν παρανομία, καταντροπιάζοντας ἄλλους καὶ καταντροπιαζόμενοι οἱ ἴδιοι;

Ἔπειτα τὸν ἰατρὸ μὲν ποὺ κόβει τὰ σάπια μέρη τοῦ σώματος δὲν θὰ ποῦμε ὅτι τιμωρεῖ τὸ σῶμα, ἀλλὰ θὰ τὸν ἀποδεχθοῦμε σὰν φιλάνθρωπο, γιὰ τὸν Θεὸ δὲ δὲν θὰ νιώσουμε πολὺ πιὸ μεγαλύτερη ἔκπληξη καὶ γιὰ τὴ σοφία του καὶ γιὰ τὴ φιλανθρωπία, ποὺ τιμωρεῖ μ' αὐτὸν τὸν τρόπο τοὺς δικούς του; Διαρκῶς πρέπει βέβαια νὰ τὸν θαυμάζουμε καὶ νὰ τὸν δοξάζουμε, ἐξ αἰτίας ὅμως αὐτοῦ τοῦ πράγματος ἂς μὴ παύσουμε ποτὲ νὰ νιώθουμε ἔκπληξη γιὰ τὴ φροντίδα του, οὔτε νὰ παύσουμε νὰ τὸν ἀνυμνοῦμε καὶ γι' αὐτά, γιὰ τὸ ὅτι δηλαδὴ καὶ τὴν ἐγχείριση ἔκαμε σύντομα καὶ τὴ φθορὰ ἐπέκοψε καὶ τὴ θεραπεία τὴν ἔκανε ἀνώδυνη. Ἂς μὴ σὲ θορυβεῖ λοιπὸν αὐτό, τὸ ὅτι ὅλοι μαζὶ καὶ σὲ μιὰ στιγμὴ καταποντίστηκαν. Διότι τί διαφέρει αὐτὸ ἀ-

θρόον καὶ πάντες κατεποντίσθησαν. Τί γὰρ διαφέρει τοῦτο τοῦ κατὰ μικρόν; τί τὸν ἀπελθόντα ὠφελεῖ τὸ καθ' ἑαυτόν, ἢ βλάπτει τὸ μετὰ πάντων;

«Ἐπάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου», τουτέστιν, ἐν φιλανθρωπίᾳ. Ὅτι γὰρ τοῦτο δηλοῖ, ἐπήγαγε· «Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου». Τοῦτο καὶ ὁ Ἰὼβ αἰτεῖ, οὕτω Δίκαιος ὤν, καὶ ἀληθινός, καὶ θεοσεβής, καὶ ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος· «Εἴθε ἦν ὁ διακρίνων καὶ διελέγχων μεταξὺ ἀμφοτέρων», λέγων· τοῦ δὲ Θεοῦ φανέντος, «Χεῖρα θήσω ἐπὶ στόματί μου», καίτοι τοῦ Θεοῦ προκαλουμένου καὶ λέγοντος· «Μή, ἀλλὰ ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου». Καὶ Ἰουδαίοις τοῦτο ὀνειδίζει λέγων· «Τί εὕροσαν οἱ πατέρες ὑμῶν ἐν ἐμοὶ πλημμέλημα, ὅτι οἱ ἄρχοντες ὑμῶν ἠνόμησαν εἰς ἐμέ;». Ποιεῖ δὲ τοῦτο, οὐ χαλεπωτέραν θέλων τὴν ψῆφον ἐργάσασθαι, ἀλλ' εἰς αἴσθησιν αὐτοὺς ἐμβαλεῖν καὶ ὁμολογίαν τῶν οἰκείων ἁμαρτημάτων, καὶ τότε δοῦναι τὴν συγχώρησιν, ἵνα οὕτως ἴδωσι τῆς εὐεργεσίας τὸ μέγεθος. Διό φησι, «Λέγε σὺ τὰς ἀνομίας σου πρῶτος», οὐχ ἵνα κατακριθῇς, ἀλλ', «Ἵνα δικαιωθῇς». Διά τοι τοῦτο οὐδὲ αὐτὸς αὐτὰς λέγει, ἀλλ' ἐκεῖνον παρασκευάζει. Εἰ μὲν γὰρ κολάσαι ἐβούλετο, αὐτὸς ἂν κατηγόρησε· νυνὶ δὲ ἐπειδὴ ἐλεῆσαι θέλει, παραχωρεῖ τῷ ἡμαρτηκότι, ὥστε αὐτὸν εὐγνωμοσύνης λαβεῖν στέφανον, καὶ διὰ τῆς ὁμολογίας ἐπισπάσασθαι τὸν ἔλεον. Τί ταύτης τῆς φιλανθρωπίας γένοιτ' ἂν ἴσον; Οὐδέν. Εἰπέ, φησί, καὶ οὐδὲν πλέον ζητῶ· ὁμολόγησον, καὶ ἀρκεῖ μοι· εἰπέ, καὶ τὸ πᾶν ἀπέχω.

«Μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου». Τοῦτο ἀπὸ τοῦ μέλλειν δικάζεσθαι τὸν Θεὸν παρὰ πολλοῖς κατώρθωται. Οἱ

---

6. Ἰώβ. 1, 1.
7. Ἰώβ. 39, 34.
8. Ἰὼβ 40, 2.
9. Ἱερ. 2, 5.
10. Ἠσ. 43, 26.
11. Μιχ. 6, 2.

πὸ τὸν κατὰ μικρὰ διαστήματα θάνατο; τί ὠφελεῖ ἐκεῖνον ποὺ πεθαίνει τὸ νὰ πεθάνει μόνος, ἢ τί βλάπτει τὸ νὰ συμβεῖ αὐτὸ μαζὶ μὲ ὅλους;

«Εἰσάκουσέ με στὸ ὄνομα τῆς δικαιοσύνης σου», δηλαδή, μὲ φιλανθρωπία. Τὸ ὅτι βέβαια αὐτὸ θέλει νὰ δηλώσει, φαίνεται ἀπὸ αὐτὸ ποὺ πρόσθεσε· «Καὶ μὴ θελήσεις νὰ προχωρήσεις σὲ λεπτομερὴ ἐξέταση τοῦ δούλου σου». Αὐτὸ καὶ ὁ 'Ιὼβ ζητεῖ, ποὺ ἦταν τόσο πολὺ «Δίκαιος, ἀληθινὸς καὶ θεοσεβὴς καὶ ἀπεῖχε ἀπὸ κάθε πονηρὸ πράγμα»[6], καὶ ἔλεγε· «Μακάρι νὰ ὑπῆρχε κάποιος ποὺ νὰ διέκρινε τὸ δίκιο καὶ τὸ ἄδικο καὶ νὰ ἀσκοῦσε ἔλεγχο μεταξὺ τῶν δύο»[7]· ὅταν ὅμως φανερώθηκε ὁ Θεὸς σ' αὐτόν, λέγει, «θὰ θέσω τὸ χέρι μου στὸ στόμα μου»[8], ἂν καὶ βέβαια ὁ Θεὸς τὸν προέτρεπε καὶ τοῦ ἔλεγε· «Μή, ἀλλὰ ζῶσε σὰν ἄνδρας τὴ μέση σου»[9]. Καὶ τοὺς 'Ιουδαίους γι' αὐτὸ τὸ πράγμα τοὺς κατηγορεῖ καὶ λέγει· «Ποιὸ πλημμέλημα βρῆκαν οἱ πατέρες σας σὲ μένα καὶ συνέβηκε οἱ ἄρχοντές σας νὰ παρανομήσουν ἀπέναντί μου;»[10]. Αὐτὸ τὸ κάμνει ὄχι γιὰ νὰ καταστήσει τὴν ἀπόφασή του γιὰ τὴν τιμωρία τους φοβερότερη, ἀλλὰ γιὰ νὰ τοὺς κάνει νὰ συναισθανθοῦν καὶ νὰ μετανοήσουν γιὰ τὰ ἁμαρτήματά τους, καὶ τότε νὰ τοὺς δώσει τὴ συγχώρηση, γιὰ νὰ γνωρίσουν ἔτσι τὸ μέγεθος τῆς εὐεργεσίας του. Γι' αὐτὸ λέγει, «Λέγε σὺ πρῶτος τὶς ἀνομίες σου· ὄχι γιὰ νὰ κατακριθεῖς, ἀλλὰ γιὰ νὰ δικαιωθεῖς»[11]. Γι' αὐτὸ λοιπὸν οὔτε αὐτὸς τὶς λέγει, ἀλλὰ προετοιμάζει ἐκεῖνον νὰ τὶς πεῖ. Διότι, ἐὰν μὲν ἤθελε νὰ τὸν τιμωρήσει, αὐτὸς θὰ τὸν κατηγοροῦσε· τώρα ὅμως ἐπειδὴ θέλει νὰ τὸν ἐλεήσει, ἀφήνει στὸν ἁμαρτωλὸ νὰ ὁμολογήσει αὐτές, ὥστε νὰ λάβει τὸ στέφανο τῆς εὐγνωμοσύνης καὶ μὲ τὴν ὁμολογία του νὰ ἐπιτύχει τὴν εὐσπλαχνία αὐτοῦ. Τί θὰ μποροῦσε νὰ ἐξισωθεῖ μὲ αὐτὴ τὴ φιλανθρωπία; Τίποτε. Πές, λέγει, τὸ ἁμάρτημά σου καὶ τίποτε ἐπὶ πλέον δὲν ζητῶ· ὁμολόγησέ το καὶ μοῦ εἶναι ἀρκετό· πές το καὶ τὸ συγχωρῶ ἐξ ὁλοκλήρου.

«Μὴ θελήσεις νὰ ἐξετάσεις μὲ ἀκρίβεια τὸ δοῦλο σου». Αὐτὸ πολλοὶ τὸ ἔχουν κατορθώσει ἀπὸ τὸ ὅτι πρόκειται στὸ

μὲν γὰρ εὐγνώμονες καὶ πρὸ τούτου ἴσασι τοῦτο, οἱ δὲ ἀγνώμονες ἀπὸ τοῦ συνεχῶς λέγειν τοὺς προφήτας, «Κρίσις τῷ Κυρίῳ πρὸς τὸν λαὸν αὐτοῦ, καὶ μετὰ τοῦ Ἰσραὴλ διαλεχθήσεται»· καὶ πάλιν, «Ἀκούσατε, φάραγγες καὶ θεμέλια τῆς γῆς»· καί, «Ἄκουε, οὐρανέ, καὶ ἐνωτίζου, γῆ». Ἀπὸ τοῦ συνεχῶς οὖν αὐτὸν λέγεσθαι δικάζειν, καὶ παρὰ τοῖς ἀναισθήτοις κατωρθοῦτο. Καὶ γὰρ ἔλεγόν τινες τῶν Ἰουδαίων· «Τί ὅτι ἐνηστεύσαμεν, καὶ οὐκ εἶδες;»· καί, «Πᾶς ποιῶν πονηρόν, καλὸν ἐνώπιον Κυρίου»· Καί, «Ἀνοικοδομοῦνται ποιοῦντες ἀνομήματα, καὶ μακαρίζομεν ἀλλοτρίους»· καί, «Οὐκ εὐθεῖα ἡ ὁδὸς Κυρίου». Καὶ ὁ μακάριος δὲ Ἰώβ, ἐπειδὴ εἰς τὸν πειρασμὸν ἐνέπεσεν ἐκεῖνον, οὐκ ἀπὸ τοιαύτης γνώμης ἧς οἱ Ἰουδαῖοι, οὐδὲ τὰ τοιαῦτα, μὴ γένοιτο, ἔλεγε δ' οὖν ὅμως· «Εἴθε ἦν ὁ μεσίτης, καὶ διακρίνων καὶ ἐλέγχων μεταξὺ ἀμφοτέρων. Ἀπαλλαξάτω τὴν ῥάβδον αὐτοῦ ἀπ' ἐμοῦ, καὶ ὁ φόβος αὐτοῦ μή με στροβείτω». Διὰ δὴ τοῦτο λέγει αὐτῷ· «Ἐρωτήσω δέ σε, σὺ δέ μοι ἀποκρίθητι».

Εἶτα, ἐπειδὴ κατεπλάγη, καὶ ἔλεγε, «Τί ἔτι κἀγὼ κρίνομαι νουθετούμενος, καὶ ἐλέγχω Κύριον;» καὶ πάλιν, «Ἀκοῇ μὲν ὠτὸς ἤκουόν σου τὸ πρότερον, νυνὶ δὲ οἱ ὀφθαλμοί μου ἑωράκασί σε· διὸ ἐφαύλισα ἐμαυτόν, καὶ ἐτάκην· ἥγημαι δὲ ἐμαυτὸν γῆν καὶ σποδόν· χεῖρα θήσω ἐπὶ τῷ στόματί μου», λέγει πρὸς αὐτόν· «Μή, ἀλλὰ ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου, μονονουχὶ αὐτὸν ἀναμιμνήσκων αὐτοῦ τῶν ῥημάτων καὶ λέγων· ἐπεὶ ἐβούλου κρίνεσθαι πρὸς ἐμέ, ἰδοὺ πάρειμι δικασόμενος. Εἶδες Θεοῦ φιλανθρωπίαν ἄφατον, εἶδες ἀγαθότητα πέρας οὐκ ἔχουσαν; Διὰ δὴ τοῦτο καὶ οἱ παῖδες οἱ τρεῖς ἔλεγον, «Ἡμάρτομεν, ἠνομήσα-

---

12. Μιχ. 6, 2.
13. Ἠσ. 1, 1.
14. Ἠσ. 58, 3.
15. Πρβλ. Μαλ. 2, 17.
16. Μαλ. 3, 15.
17. Ἰεζ. 33, 17.
18. Ἰώβ. 9, 33-34.
19. Ἰώβ. 42, 4.
20. Ἰώβ. 40, 4.
21. Ἰώβ. 42, 5-6· 40, 4.
22. Ἰώβ. 38, 3· 40, 7.
23. Δαν. 3, 29.

μέλλον νὰ μᾶς δικάσει ὁ Θεός. Οἱ μὲν λοιπὸν εὐγνώμονες τὸ γνωρίζουν αὐτὸ προτοῦ νὰ συμβεῖ, οἱ δὲ ἀχάριστοι ἀπὸ τὸ ὅτι συνεχῶς οἱ προφῆτες λέγουν· «Ὁ Κύριος θὰ κρίνει τὸ λαό του καὶ θὰ καθήσει νὰ δικάσει τὸν Ἰσραήλ»[12]· καὶ πάλι, «Ἀκούσατε, φαράγγια καὶ θεμέλια τῆς γῆς»[13]· καί, «Ἄκουε, οὐρανέ, καὶ ἀκροάσου μὲ προσοχή, γῆ»[14]. Ἀπὸ τὴ συνεχὴ λοιπὸν διδασκαλία, ὅτι ὁ Θεὸς θὰ δικάσει αὐτούς, κατορθωνόταν καὶ ὁ συνετισμὸς τῶν ἀναίσθητων. Καθόσον ἔλεγαν μερικοὶ ἀπὸ τοὺς Ἰουδαίους· «Τί νόημα ἔχει τὸ ὅτι νηστεύσαμε καὶ δὲν τὸ εἶδες;»[15]· καὶ «Ὁ καθένας ποὺ πράττει τὸ κακὸ εἶναι ἀρεστὸς μπροστὰ στὸν Κύριο»[16]· καί, «Εὐτυχοῦν ἐκεῖνοι ποὺ κάμνουν παρανομίες καὶ ἐμεῖς μακαρίζουμε τοὺς ἀλλοεθνεῖς»[17]· καί, «Δὲν εἶναι εὐθεία ἡ ὁδὸς τοῦ Κυρίου»[18]. Καὶ ὁ μακάριος δὲ Ἰώβ, ἐπειδὴ περιέπεσε σ' ἐκείνη τὴ δοκιμασία, ὄχι μὲ τὴν ἴδια σκέψη ποὺ ἔλεγαν οἱ Ἰουδαίοι, οὔτε ἔλεγε τὰ ἴδια μὲ αὐτούς, μακριὰ μιὰ τέτοια σκέψη, ἀλλ' ὁπωσδήποτε ὅμως ἔλεγε· «Μακάρι νὰ ὑπῆρχε ὁ μεσίτης, ὁ ὁποῖος διακρίνει τὸ καλὸ ἀπὸ τὸ κακό, καὶ νὰ ἔκαμνε τὴν κρίση μεταξὺ τῶν δύο. Ἄς μ' ἀπαλλάξει ἀπὸ τὴ ράβδο τῶν μαστιγώσεων καὶ ἄς μὴ μὲ τρελλαίνει ὁ φόβος του»[19]. Γι' αὐτὸ λοιπὸν λέγει σ' αὐτόν· «Θὰ σ' ἐρωτήσω ἐγώ, σὺ δὲ ἀπάντησέ μου»[20].

Ἔπειτα, ἐπειδὴ ἔνιωσε ἔκπληξη καὶ ἔλεγε, «Γιατί ἐξακολουθῶ ἐγὼ νὰ παραπονοῦμε, ἐνῶ δέχομαι τὶς συμβουλές του, καὶ νὰ ἐλέγχω τὸν Κύριο;»[21], καὶ πάλι, «Μὲ τὰ αὐτιά μου μὲν σ' ἄκουσα προηγουμένως, τώρα ὅμως καὶ τὰ μάτια μου σ' ἔχουν δεῖ· γι' αὐτὸ θεώρησα ἐλεεινὸ τὸν ἑαυτό μου καὶ ἔλειωσα ἀπὸ τὴ θλίψη μου· θεωρῶ δὲ τὸν ἑαυτό μου χῶμα καὶ στάχτη· θὰ βάλω τὸ χέρι μου στὸ στόμα μου»[22], λέγει πρὸς αὐτόν· «Μή, ἀλλὰ ζῶσε σὰν ἄνδρας τὴ μέση σου»[23], ποὺ εἶναι σὰν νὰ τοῦ ὑπενθυμίζει τὰ λόγια του καὶ τοῦ λέγει· ἐπειδὴ ἤθελες νὰ δικασθεῖς ἀπὸ μένα, νὰ βρίσκομαι μπροστά σου γιὰ νὰ σὲ κρίνω καὶ ν' ἀποδώσω δικαιοσύνη. Εἶδες ἀπερίγραπτη φιλανθρωπία τοῦ Θεοῦ, εἶδες ἀγαθότητα ποὺ δὲν ἔχει τέλος; Γι' αὐτὸ λοιπὸν καὶ τὰ τρία παιδιὰ ἔλεγαν· «Ἁμαρτήσαμε, παρανομήσαμε, ἀ-

μεν, ἠδικήσαμεν». Ἐπειδὴ γὰρ πολλοὶ τῶν ἀναισθήτων τὰ ἑαυτῶν ἁμαρτήματα ἐπὶ τὸν Θεὸν ἐπάγουσι, τοῦτο τοῦ διαβόλου κατασκευάσαντος, πρόρριζον ταύτην ἀνασπῶν τὴν συνήθειαν ὁ Θεός, συνεχῶς λέγει κρίνεσθαι πρὸς αὐτούς. Τοιοῦτον γοῦν τι καὶ ὁ πρωτόπλαστος ἥμαρτε· διὸ καὶ ἔλεγεν· «Ἡ γυνή, ἣν ἔδωκας μετ' ἐμοῦ, αὕτη μοι ἔδωκε, καὶ ἔφαγον». Καὶ Ἰουδαῖοι δὲ πολλὰ τοιαῦτα ἡμάρτανον.

3. «Ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν». Τί δαὶ λέγω ἐμαυτὸν καὶ τὸν δεῖνα καὶ τὸν δεῖνα; φησίν. Οὐκ ἔστιν ἄνθρωπος ἐπὶ τῆς γῆς, ὃς κρινόμενος πρὸς τὰ ἐπηγγελμένα παρὰ σοῦ, δικαιωθῆναι δύναται· οὕτως ἐκ περιουσίας τὰ νικητήρια παρὰ σοί. «Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου». Ἔστι μὲν τοῦτο νοεῖν καὶ διὰ τὸν Σαοὺλ εἰρῆσθαι, ἐχθρὸν ὄντα, καὶ αὐτὸν τότε διώκοντα, ἔστι δὲ καὶ κατὰ ἀναγωγὴν ἐχθρὸν τὸν διάβολον εἰπεῖν· οὐ παύεται γὰρ ἐκεῖνος διώκων τοὺς τοῦ Θεοῦ. Πῶς οὖν ἂν ἀπαλλαγείημεν τοῦ διώκεσθαι; Εἰ τόπον εὕροιμεν, ἔνθα εἰσελθεῖν οὐ δύναται. Καὶ ποῖος, φησίν, οὗτός ἐστιν ὁ τόπος; Ποῖος δὲ ἕτερος, ἀλλ' ἢ ὁ οὐρανός; Πῶς δὲ δυνατὸν εἰς τὸν οὐρανὸν ἀναβῆναι; Ἄκουσον Παύλου λέγοντος καὶ δεικνύντος, ὅτι καὶ σαρκὶ συμπεπλεγμένοι δυνάμεθα διατρίβειν ἐκεῖ· «Τὰ ἄνω γὰρ φρονεῖτε», φησίν, «οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος». Καὶ πάλιν· «Ἡμῶν δὲ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει.

«Ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου». Πολλὰ σημαίνει τῆς ταπεινώσεως τὸ ὄνομα. Ἔστι γὰρ καὶ ἀρετῆς ταπείνωσις, ὡς ὅταν λέγῃ· «Καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει». Ἔστι καὶ ἀπὸ συμφορῶν ταπείνωσις· ἔστι καὶ ἀπὸ ἁμαρτημάτων. Ἐνταῦθα μέντοι τὴν ἀπὸ τῶν συμφορῶν λέγει. Διὸ καὶ ἐπήγαγε τοῦτο δεικνύς· «Ἐταπείνωσεν εἰς γῆν

24. Γέν. 3, 12.
25. Γέν. 3, 12.
26. Κολ. 3, 1.
27. Φιλ. 3, 20.
28. Ψαλμ. 50, 19.

δικήσαμε»[24]. Ἐπειδὴ δηλαδὴ πολλοὶ ἀπὸ τοὺς ἀναίσθητους ἀποδίδουν τὰ ἁμαρτήματά τους στὸ Θεό, πράγμα ποὺ ἀποτελεῖ ἐπινόηση καὶ προτροπὴ τοῦ διαβόλου, γιὰ νὰ ἐξαλείψει ἀπὸ τὴ ρίζα αὐτὴ τὴ συνήθεια ὁ Θεός, συνέχεια λέγει ὅτι θὰ κριθεῖ πρὸς αὐτούς. Παρόμοιο βέβαια ἁμάρτημα ἔκανε καὶ ὁ πρωτόπλαστος, καὶ γι' αὐτὸ ἔλεγε· «Ἡ γυναίκα ποὺ μοῦ ἔδωσες γιὰ σύντροφο, αὐτὴ μοῦ ἔδωσε καὶ ἔφαγα»[25]. Καὶ οἱ Ἰουδαῖοι δὲ πολλὰ τέτοια ἁμαρτήματα ἔκαμναν.

3. «Διότι δὲν θὰ δικαιωθεῖ ἐνώπιόν σου κανένας ἄνθρωπος». Γιατί δὲ λέγω, λέγει, γιὰ τὸν ἑαυτό μου καὶ γιὰ τὸν τάδε καὶ τάδε; Δὲν ὑπάρχει ἄνθρωπος ἐπάνω στὴ γῆ, ποὺ νὰ μπορεῖ νὰ δικαιωθεῖ, ἂν κριθεῖ σύμφωνα μὲ τὰ παραγγέλματά σου· τόσο πολὺ ἀνήκουν σ' ἐσένα τὰ νικητήρια. «Διότι κατεδίωξε ὁ ἐχθρός μου τὴν ψυχή μου». Εἶναι δυνατὸ μὲν αὐτὸ νὰ σκεφθοῦμε ὅτι ἔχει λεχθεῖ γιὰ τὸν Σαούλ, ποὺ ἦταν ἐχθρός του καὶ τὸν καταδίωκε τότε, εἶναι δυνατὸ ὅμως ἀλληγορικὰ νὰ ἐννοήσουμε σὰν ἐχθρὸ τὸ διάβολο· διότι δὲν σταματᾶ ὁ διάβολος νὰ καταδιώκει τοὺς ἀνθρώπους τοῦ Θεοῦ. Πῶς λοιπὸν θὰ μπορούσαμε ν' ἀπαλλαγοῦμε ἀπὸ τὴν καταδίωξη ἐκ μέρους αὐτοῦ; Ἐὰν βροῦμε τόπο στὸν ὁποῖο δὲν μπορεῖ νὰ μπεῖ. Καὶ ποιός, λέγει, εἶναι αὐτὸς ὁ τόπος; Ποιὸς δὲ ἄλλος, παρὰ ὁ οὐρανός; Πῶς δὲ εἶναι δυνατὸ ν' ἀνεβοῦμε στὸν οὐρανό; Ἄκουσε τὸν Παῦλο ποὺ λέγει καὶ δείχνει, ὅτι, καὶ ἂν ἀκόμα φοροῦμε τὴ σάρκα, μποροῦμε νὰ ζοῦμε ἐκεῖ· διότι λέγει, «Τὰ οὐράνια νὰ σκέπτεσθε, κοντὰ στὰ ὁποῖα στέκεται ὁ Χριστός, καθισμένος στὰ δεξιὰ τοῦ Θεοῦ»[26]. Καὶ πάλι· «Ἡ δική μας δὲ πατρίδα καὶ ὁ τρόπος ζωῆς βρίσκεται στοὺς οὐρανούς»[27].

«Ἐταπείνωσε τὴ ζωή μου ἐπάνω στὴ γῆ». Πολλὰ σημαίνει τὸ ὄνομα τῆς ταπεινώσεως. Διότι ὑπάρχει καὶ ταπείνωση ἀρετῆς, ὅπως ὅταν λέγει· «Καρδιὰ συντριμμένη καὶ ταπεινωμένη ὁ Θεὸς δὲν θὰ περιφρονήσει»[28]. Ὑπάρχει καὶ ταπείνωση ἐξ αἰτίας συμφορῶν· ὑπάρχει καὶ ταπείνωση ποὺ προέρχεται ἀπὸ τὰ ἁμαρτήματα. Ἐδῶ ὅμως ἐννοεῖ τὴν ταπείνωση ποὺ προέρχεται ἀπὸ τὶς συμφορές. Γι' αὐτὸ καὶ πρόσθεσε τὰ στὴ συνέχεια γιὰ

τὴν ζωήν μου». Ἔστι καὶ ταπείνωσις ἐξ ἀπονοίας, ὡς ὅταν λέγῃ, «Ὁ ὑψῶν ἑαυτόν, ταπεινωθήσεται». Ἔστι καὶ ἑτέρα ταπείνωσις, ἡ ἀπὸ τῆς ἀπληστίας. Τί γὰρ ταπεινότερον τῶν κατορυττόντων ἑαυτοὺς ἐν πλούτῳ καὶ δυναστείαις καὶ δόξαις; Διπλῶς γάρ εἰσι ταπεινοὶ οἱ τοιοῦτοι, ὅτι τε χαμαὶ σύρονται, καὶ ὅτι μεγάλα ταῦτα νομίζουσιν, ὡς τὰ παιδία τὰ μικρὰ ἀστραγάλους καὶ σφαίρας καὶ τὰ τοιαῦτα ἀθύρματα μεγάλα τίθενται. Ἀλλὰ τοῦτο οὐ τοῦ μεγάλα εἶναι ἐκεῖνα σημεῖόν ἐστιν, ἀλλὰ τοῦ τῶν θαυμαζόντων τὴν διάνοιαν ἀτελῆ τυγχάνειν καὶ ταπεινήν.

Ἀλλ᾽ ἐκεῖνο μὲν ἡλικίας καὶ φύσεώς ἐστιν ἐλάττωμα, τοῦτο δὲ προαιρέσεως ἔγκλημα. Καὶ γὰρ ἀνὴρ ὤν, καὶ ἐν ἡλικίᾳ τελείᾳ γεγονώς, τραπέζας καὶ πόρνας καὶ τρυφὴν μεγάλα εἶναι νομίζει· οὗ τί γένοιτ᾽ ἂν ταπεινότερον; Καίτοι πολλοὶ τοὺς τοιούτους μεγαλοψύχους καλοῦσιν· ἀλλ᾽ οὗτοι ἐκείνων πολλῷ ταπεινότεροι πάλιν. Μάθωμεν τοίνυν ὅπερ ἐστὶν ὕψος ἀληθές, καὶ τὶ εὐτέλειαν ἐργάζεται. Οὐδὲν γὰρ οὕτως ὑψηλόν, ὡς τὸ τούτων ὑπερορᾶν, ποιεῖ. Νῦν οὖν ὁ προφήτης τὴν ἀπὸ τῶν συμφορῶν λέγει ταπείνωσιν· «Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος». Διπλῆν λέγει τὴν συμφοράν, καὶ ὅτι ἐν σκοτεινεῖς, καὶ ὅτι ὡς νεκροὺς αἰῶνος, δι᾽ ἑκατέρων αἰνιττόμενος τὴν τότε αἰχμαλωσίαν. Ἐπεὶ γάρ ἐστι καὶ ἐν σκοτεινοῖς ὄντα πράττειν τι, λύχνον

29. Λουκᾶ 18, 14.

νὰ δείξει αὐτό· «Ἐταπείνωσε τὴ ζωή μου ἐπάνω στὴ γῆ». Ὑπάρχει καὶ ταπείνωση ποὺ προέρχεται ἀπὸ ἀνοησία, ὅπως ὅταν λέγει, «Ἐκεῖνος ποὺ ὑπερηφανεύεται, θὰ ταπεινωθεῖ»[29]. Ὑπάρχει καὶ ἄλλη ταπείνωση, ποὺ προέρχεται ἀπὸ τὴν πλεονεξία. Διότι τί ὑπάρχει ταπεινότερο ἀπὸ ἐκείνους ποὺ καταχώνουν τοὺς ἑαυτούς τους μέσα στὸν πλοῦτο, τὶς ἐξουσίες καὶ τὶς κοσμικὲς τιμές; Πράγματι αὐτοὶ οἱ ἄνθρωποι εἶναι διπλάσια ταπεινοί, καὶ διότι σύρονται πνευματικὰ πολὺ χαμηλά, καὶ διότι θεωροῦν σπουδαῖα αὐτά, ὅπως τὰ μικρὰ τὰ παιδιὰ θεωροῦν σπουδαῖα τοὺς ἀστραγάλους, τὶς μπάλλες καὶ τὰ παρόμοια παιδικὰ παιχνίδια. Αὐτὸ ὅμως δὲν εἶναι ἀπόδειξη ὅτι ἐκεῖνα εἶναι σπουδαῖα, ἀλλ' ὅτι εἶναι ἀτελὴς καὶ ταπεινὴ ἡ σκέψη ἐκείνων ποὺ θαυμάζουν αὐτά.

Ἀλλ' ἐκεῖνο μὲν εἶναι ἐλάττωμα τῆς ἡλικίας καὶ τῆς φύσεως, ἐνῶ αὐτὸ ἔγκλημα τῆς προαιρέσεώς τους. Καθόσον, ἐνῶ εἶναι ἄνδρας καὶ βρίσκεται σὲ ὥριμη ἡλικία, θεωρεῖ σπουδαῖα πράγματα τὰ τραπέζια τῶν φαγητῶν, τὶς πόρνες καὶ τὶς ἀπολαύσεις, πράγμα ἀπὸ τὸ ὁποῖο τί θὰ μποροῦσε νὰ ὑπάρξει ταπεινότερο; Ἂν καὶ πολλοὶ βέβαια τοὺς ἀνθρώπους αὐτοῦ τοῦ εἴδους τοὺς ὀνομάζουν μεγαλόψυχους, ἀλλ' αὐτοὶ πάλι εἶναι πολὺ περισσότερο ταπεινότεροι ἀπὸ ἐκείνους. Ἂς μάθουμε λοιπὸν πιὸ πράγμα εἶναι πραγματικὰ ὑψηλό, καὶ ποιὸ εἶναι ἐκεῖνο ποὺ προξενεῖ τὴν εὐτέλεια. Πράγματι τίποτε δὲν κάμνει τὸν ἄνθρωπο τόσο ὑψηλό, ὅσο τὸ νὰ περιφρονεῖ αὐτά. Τώρα ὅμως ὁ προφήτης ἐννοεῖ τὴν ταπείνωση ποὺ προέρχεται ἀπὸ τὶς συμφορές· «Μὲ ἔβαλε νὰ καθήσω μέσα στοὺς σκοτεινοὺς θαλάμους τοῦ ἅδη, σὰν ἐκείνους ποὺ εἶναι νεκροὶ πρὶν ἀπὸ αἰῶνες». Διπλὴ παρουσιάζει τὴ συμφορά· καὶ ὅτι κάθεται μέσα στὰ σκοτεινά, καὶ ὅτι εἶναι σὰν τοὺς νεκροὺς ποὺ πέθαναν πρὶν ἀπὸ αἰῶνες, ὑπονοώντας καὶ μὲ τὶς δύο αὐτὲς συμφορὲς τὴν τότε αἰχμαλωσία. Διότι, ἐπειδὴ εἶναι δυνατὸ καὶ ὅταν ἀκόμα βρίσκεται κανεὶς στὰ σκοτεινὰ νὰ κάμνει κάτι, ἀφοῦ ἀνάψει λυχνάρι, θέλοντας νὰ δείξει σὲ μεγάλο βαθμὸ τὸ ὑπερβολικὸ μέ-

ἅψαντα, μετ' ἐπιτάσεως βουλόμενος δεῖξαι τὴν ὑπερβολὴν τῶν κακῶν, τῷ ὀνόματι τῶν νεκρῶν ὤγκωσε τὴν τραγῳδίαν.

Τοιοῦτοί εἰσι καὶ οἱ ἐν ἁμαρτήμασι ζῶντες. Ὡς γὰρ ἐν σκότῳ νεκροί, οὕτως εἰσί· κἂν μυρίας οὖν περιφέρωσι λαμπηδόνας, κἂν πρὸς τὸν ἥλιον βλέπωσι, κἂν φαιδροὶ γίνωνται ἀπὸ τῶν ἐσθημάτων καὶ τῆς ἄλλης θεραπείας, τῶν νεκρωθέντων ἅπαξ καὶ ἐν σκότῳ ὄντων οὐδὲν ἄμεινον διάκεινται, ἀλλὰ καὶ πολλῷ χαλεπώτερον, ὅσῳ τὸ μὲν φύσεως πρᾶγμα, τὸ δὲ προαιρέσεως κατηγορία. Ἔστι σκότος καὶ τὸ μέλλον περὶ οὗ φησιν, «Ἄρατε αὐτόν, καὶ ἐμβάλετε εἰς τὸ σκότος τὸ ἐξώτερον». Ἔστι καὶ σκότος τὸ τῆς κακίας. «Καθημένους ἐν σκότει», φησί, «καὶ σκιᾷ θανάτου». Καὶ ὁ Παῦλος, «Οὐκ ἐσμὲν υἱοὶ σκότους». Καὶ πάλιν, «Ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία». Διὰ δὴ τοῦτο καὶ ὥσπερ οἱ ἐν σκότῳ οὐκ ἴσασι τῶν πραγμάτων τὴν φύσιν, καὶ καθάπερ οἱ ἐν ἁμαρτίαις ζῶντες πεπήρωνται, καὶ οὐ διαγινώσκουσι τὰ φαινόμενα, ἀλλὰ πρὸς τὰς σκιὰς ὡς πρὸς τὴν ἀλήθειαν τρέχουσι, πλοῦτον καὶ τρυφὰς καὶ δυναστείας διώκοντες, καὶ ἀγνοοῦσιν ἐχθρούς, καὶ ἀγνοοῦσι φίλους, τοῖς μὲν ἐχθροῖς ὡς φίλοις θαρροῦντες, τοῖς δὲ φίλοις ὡς πολεμίοις συρρηγνύμενοι.

Οὐχ ὁρᾷς καθ' ἑκάστην ἡμέραν πένητας βοῶντας, ὀδυνωμένους, καὶ οὐδένα ἀκούοντα; Διὰ τί οὖν οὐκ ἀκούουσιν; Ὅτι ἐκάθισεν αὐτοὺς ὁ διάβολος ἐν σκοτεινοῖς, ὡς νεκροὺς αἰῶνος. Ὅπερ γὰρ ἑτέροις τὸ σκότος καὶ ἡ νεκρότης, τοῦτο τούτοις ἡ ἀπανθρωπία. Τῶν ἐν σκότῳ καθημένων ἐστὶ τὸ μὴ ὁρᾶν τὰ ἐπιόντα κακά. Τοῦτο καὶ οὗτοι πάσχουσι, παρακειμένας σχεδὸν τὰς συμφορὰς οὐ βλέποντες, καὶ εἰς βάραθρα καὶ εἰς κρημνοὺς κατα-

30. Ματθ. 22, 13.
31. Λουκᾶ 1, 79.
32. Α' Θεσ. 5, 5.
33. Ρωμ. 1, 21.

γεθος τῶν κακῶν, διόγκωσε τὴν τραγωδία μὲ τὸ ὄνομα τῶν νεκρῶν.

Τέτοιοι εἶναι καὶ ἐκεῖνοι ποὺ ζοῦν μέσα στὰ ἁμαρτήματα. Διότι, ὅπως ἀκριβῶς εἶναι οἱ νεκροὶ μέσα στὸ σκοτάδι, ἔτσι εἶναι καὶ αὐτοί· καὶ ἂν ἀκόμα λοιπὸν κρατοῦν ἄπειρες λαμπάδες, καὶ ἂν ἀκόμα βλέπουν πρὸς τὸν ἥλιο, καὶ ἂν ἀκόμα νιώθουν χαρὰ ἀπὸ τὰ ἐνδύματα καὶ τὴν ἄλλη φροντίδα, δὲν βρίσκονται σὲ καθόλου καλύτερη θέση ἀπὸ ἐκείνους ποὺ πέθαναν πιὰ καὶ βρίσκονται μέσα στὸ σκοτάδι, ἀλλὰ βρίσκονται καὶ σὲ πολὺ πιὸ χειρότερη θέση, τόσο, ὅσο τὸ μὲν ἕνα εἶναι φυσικὸ πράγμα, ἐνῶ τὸ ἄλλο ἀποτελεῖ κατηγορία τῆς ἐλεύθερης ἐκλογῆς αὐτῶν. Ὑπάρχει καὶ τὸ μελλοντικὸ σκοτάδι γιὰ τὸ ὁποῖο λέγει, «Πάρτε τον καὶ ρίξτε τον στὸ σκοτάδι τὸ ἐξώτερο»[30]. Ὑπάρχει καὶ τὸ σκοτάδι τῆς κακίας. «Ἐκείνους ποὺ κάθονται», λέγει, «στὸ σκοτάδι καὶ κάτω ἀπὸ τὴ σκιὰ τοῦ θανάτου»[31]. Καὶ ὁ Παῦλος λέγει, «Δὲν εἴμαστε υἱοὶ τοῦ σκότους»[32]. Καὶ πάλι, «παραδόθηκαν μὲ τὶς σκέψεις τους σὲ μάταια πράγματα καὶ σκοτίσθηκε ἡ ἀνόητη διάνοιά τους»[33]. Γι' αὐτὸ λοιπὸν καί, ὅπως ἐκεῖνοι ποὺ βρίσκονται μέσα στὸ σκοτάδι, δὲν γνωρίζουν τὴ φύση τῶν πραγμάτων, ἔτσι ἀκριβῶς καὶ ἐκεῖνοι ποὺ ζοῦν μέσα στὴν ἁμαρτία εἶναι τυφλωμένοι καὶ δὲν γνωρίζουν τὰ φαινόμενα, ἀλλὰ τρέχουν πρὸς τὶς σκιές σὰν πρὸς ἀληθινὰ πράγματα, ἐπιδιώκοντας τὸν πλοῦτο, τὶς ἀπολαύσεις καὶ τὶς ἐξουσίες, καὶ ἀγνοοῦν τοὺς ἐχθρούς, ἀγνοοῦν τοὺς φίλους, καὶ τοὺς μὲν ἐχθροὺς τοὺς θεωροῦν φίλους, μὲ τοὺς δὲ φίλους συγκρούονται σὰν πρὸς ἐχθρούς.

Δὲν βλέπεις κάθε ἡμέρα φτωχοὺς ποὺ φωνάζουν καὶ ὑποφέρουν καὶ ποὺ κανένας δὲν ἀκούει; Γιατί λοιπὸν δὲν ἀκοῦν; Διότι τοὺς τοποθέτησε ὁ διάβολος στὰ σκοτεινὰ μέρη, σὰν νεκροὺς πρὶν ἀπὸ αἰῶνες. Καθόσον αὐτὸ ποὺ εἶναι γιὰ ἄλλους τὸ σκοτάδι καὶ ἡ νεκρότητα, αὐτὸ εἶναι γι' αὐτοὺς ἡ ἀπανθρωπιά. Γνώρισμα αὐτῶν ποὺ κάθονται στὸ σκοτάδι εἶναι νὰ μὴ βλέπουν τὰ κακὰ ποὺ ἔρχονται. Αὐτὸ καὶ αὐτοὶ παθαίνουν, ἐνῶ βρίσκονται σχεδὸν κοντά τους οἱ συμφορὲς δὲν τὶς βλέπουν,

φερόμενοι. Τῶν ἐν σκότῳ καθημένων ἐστὶ τὰ αἰσχρὰ μετὰ πάσης ἀδείας τολμᾶν. Τοῦτο καὶ οἱ ἐν πονηρίᾳ ζῶντες πράττουσιν, ὥσπερ ἐν σκότῳ καθήμενοι, καὶ μηδενὸς ὄντος ἀνθρώπων τοῦ βλέποντος τὰ πραττόμενα, οὕτω μετὰ ἀδείας ἅπαντα τολμῶσιν ἐν μέσαις πόλεσιν ὡς ἐν ἐρημίᾳ παρανομοῦντες.

4. Οἱ ἐν σκότῳ καθήμενοι ἐν φόβῳ εἰσὶ διηνεκεῖ· τοῦτο καὶ οὗτοι. Οὐδεὶς γὰρ πλεονέκτης καὶ ἅρπαξ ἐκτὸς δέους ἐστί, κἂν μυρία κομπάζῃ καὶ φαιδρὸς ἔξωθεν φαίνηται. Τοιαύτη γὰρ τοῦ συνειδότος ἡ φύσις. Καὶ ἔμπροσθεν μὲν οὖν ἦσαν ἀπεστερημένοι συγγνώμης ἁπάσης οὗτοι, πολλῷ δὲ μᾶλλον νῦν, διότι, τοῦ ἡλίου τῆς δικαιοσύνης λάμψαντος, ἔτι ἐν σκότῳ κάθηνται. Καὶ πῶς, ἡλίου λάμψαντος, ἔτι ἐν σκότῳ κάθηνται; Παρὰ τὴν τῶν οἰκείων ὀφθαλμῶν ἀσθένειαν. Πρὸς γὰρ καταδύσεις ἢ φωλεοὺς ἢ καὶ χηραμοὺς ἑαυτοὺς κατορύττοντες τῆς πονηρίας, διαβλέψαι οὐ δύνανται πρὸς τὴν ἀκτῖνα, διὰ τὴν τῶν ὀμμάτων ἀσθένειαν.

«Καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου· ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου». Ἕτερος, «Καὶ περιειλεῖτο ἐπ' ἐμὲ ἡ ψυχή μου». Πολλὴν τὴν ὑπερβολὴν τῆς θλίψεως διὰ τοῦ θορύβου τῆς διανοίας ἐμφαίνει. Τί δέ ἐστιν, «Ἐν ἐμοί»; Οὐδὲ εἰς ἄλλους ἐξενεγκεῖν εἶχον, φησί, καὶ λαβεῖν τινα παραμυθίαν. Τοιαῦται αἱ τῶν πονηρῶν ἀνθρώπων ψυχαί· οὐκ ἔστιν ὅτε οὐ ταράττονται, οὐ μόνον παρόντων, ἀλλὰ καὶ προσδοκωμένων τῶν δεινῶν. Οὐκ ἔστι παρ' αὐτοῖς οὐδέποτε γαλήνη, οὐκ ἔστιν ἄδεια τῆς ψυχῆς, ἀλλὰ παντὸς πελάγους διακόπτονται μειζόνως· οὐ νύξ, οὐχ ἡμέρα ἀτέλειαν δίδωσιν αὐτοῖς τοῦ χειμῶνος, ἀλλ' ἐλαύνονται πανταχόθεν, κἂν μηδεὶς ὁ ἐνοχλῶν ᾖ, τὸν πόλεμον σύνοικον ἔχον-

καὶ ὁδηγοῦνται στὰ βάραθρα καὶ στοὺς γκρεμούς. Γνώρισμα ἐκείνων ποὺ ζοῦν μέσα στὸ σκοτάδι εἶναι νὰ πράττουν τελείως ἄφοβα τὰ αἰσχρὰ πράγματα. Αὐτὸ κάμνουν καὶ ἐκεῖνοι ποὺ ζοῦν μέσα στὴν κακία, οἱ ὁποῖοι, σὰν νὰ ζοῦν μέσα στὸ σκοτάδι καὶ χωρὶς νὰ ὑπάρχει κανένας ἀπὸ τοὺς ἀνθρώπους ποὺ νὰ βλέπει αὐτὰ ποὺ πράττουν, ἔτσι τελείως ἄφοβα τολμοῦν καὶ πράττουν τὰ πάντα στὸ μέσο τῶν πόλεων, σὰν νὰ κάμνουν τὶς παρανομίες τους στὴν ἐρημιά.

4. Αὐτοὶ ποὺ ζοῦν μέσα στὸ σκοτάδι βρίσκονται σὲ διαρκὴ φόβο· ἔτσι καὶ αὐτοί. Διότι κανένας πλεονέκτης καὶ ἅρπαγας δὲν βρίσκεται ἐκτὸς φόβου, καὶ ἂν ἀκόμα καυχιέται καὶ φαίνεται ἐξωτερικὰ χαρούμενος. Καθόσον τέτοια εἶναι ἡ φύση τῆς συνειδήσεως. Καὶ πρὶν ἀπὸ τὸν ἐρχομὸ βέβαια τοῦ Κυρίου αὐτοὶ ἦταν στερημένοι κάθε συγγνώμης, πολὺ περισσότερο ὅμως τώρα, διότι, ἂν καὶ ἔλαμψε ὁ ἥλιος τῆς δικαιοσύνης, αὐτοὶ ζοῦν ἀκόμα μέσα στὸ σκοτάδι. Καὶ πῶς, ἀφοῦ ὁ ἥλιος ἔλαμψε, αὐτοὶ ζοῦν ἀκόμα μέσα στὸ σκοτάδι; Ἐξ αἰτίας τῆς ἀσθένειας τῶν ὀφθαλμῶν τους. Διότι, κρύβοντας τοὺς ἑαυτούς τους μέσα στὶς τρύπες, στὶς φωλιὲς καὶ στὶς σπηλιὲς τῆς κακίας, δὲν μποροῦν νὰ ρίξουν τὸ βλέμμα τους πρὸς τὴν ἀκτίνα τοῦ φωτός, ἐξ αἰτίας τῆς ἀσθένειας τῶν ὀφθαλμῶν τους.

«Καὶ κυριεύθηκε ἀπὸ ἀδράνεια τὸ πνεῦμα μου καὶ ταραχὴ κατέλαβε τὴν καρδιά μου». Ἄλλος λέγει, «Καὶ βασανιζόταν μέσα μου ἡ ψυχή μου». Μὲ τὸ θόρυβο τῆς διάνοιας παρουσιάζει τὴν ὑπερβολικὴ θλίψη του. Τί σημαίνει ὅμως, «Ἐν ἐμοί»; Δὲν μποροῦσα, λέγει, νὰ πῶ τὴ θλίψη μου σ' ἄλλους καὶ νὰ λάβω κάποια παρηγοριά. Τέτοιες εἶναι οἱ ψυχὲς τῶν κακῶν ἀνθρώπων· δὲν εἶναι δυνατὸ νὰ μὴ ταράσσονται, ὄχι μόνο ὅταν εἶναι παρόντα τὰ κακά, ἀλλὰ καὶ ὅταν περιμένουν τὸν ἐρχομό τους. Δὲν ὑπάρχει ποτὲ σ' αὐτοὺς γαλήνη, δὲν ὑπάρχει ἀφοβία τῆς ψυχῆς, ἀλλὰ νιώθουν ταραχὴ μεγαλύτερη ἀπὸ ὁποιοδήποτε πέλαγος· οὔτε ἡ νύχτα, οὔτε ἡ ἡμέρα τοὺς ἀπαλλάσσει ἀπὸ τὰ κακὰ ποὺ τοὺς περιζώνουν, ἀλλὰ βασανίζονται ἀπὸ παντοῦ, καὶ ἂν ἀκόμα κανεὶς δὲν τοὺς ἐνοχλεῖ, στὴ σκέψη τους κυριαρ-

τες, καὶ τῶν ἤδη ληφθέντων οὐκ ἀπολαύουσι, ταῖς φροντίσι τῶν μηδέπω προσγενομένων τρυχόμενοι, κοπτόμενοι, τὰ πάντων μεριμνῶντες πράγματα, τὰς ἁπάντων περιουσίας περιεργαζόμενοι, ἀναλογιζόμενοι πῶς τὸν μὲν πείσουσι, τὸν δὲ φοβήσουσι, τὸν δὲ κολακεύσουσι, τὸν δὲ βιάσονται, τὸν δὲ θεραπεύσουσι, συκοφαντίας, ὠνάς, ἀπεμπολήσεις, διαθήκας, ἐγγύας, τόκους, κεφάλαια, τὸν φορυτὸν τῶν κακῶν τούτων παρ' ἑαυτοῖς ἀνελίττοντες· καὶ ὅταν κατὰ ροῦν αὐτοῖς τὰ πράγματα ἔλθῃ, τότε μάλιστα θορυβοῦνται. Ὅρα γοῦν τὸν πλούσιον ἐκεῖνον ταραττόμενον, ὅταν εὐθύνησεν αὐτοῦ ἡ χώρα, καὶ διαπορούμενον, καὶ ἐν ἀμηχανίᾳ καθεστῶτα, καὶ λέγοντα· «Τί ποιήσω; Καθελῶ μου τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω». Ἀλλ' ὁ πένης οὐδὲν πάσχει τοιοῦτον.

«Ἐμνήσθην ἡμερῶν ἀρχαίων· ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου». Οὐ μικρὰ αὕτη παράκλησις, τὸ τὰ πρότερα εἰδέναι καὶ τὰ παρόντα. Ἐπειδὴ γάρ, ὡς εἰπεῖν, τοῖς αὐτοῖς νόμοις ὁ Θεὸς διοικεῖ καὶ τὰ νῦν, καὶ τὰ ἔμπροσθεν, μεγίστη παράκλησις εἰς τὰ παρόντα τῶν παρελθόντων ἡ μνήμη. Διὸ καὶ ἐν ἑτέρῳ ψαλμῷ λέγει· «Μὴ εἰς τοὺς αἰῶνας ἀπώσεται Κύριος, ἢ εἰς τέλος τὸ ἔλεος αὐτοῦ ἀποκόψει;». Καὶ ἄλλος· «Ἐμβλέψατε εἰς τὰς ἀρχαίας γενεάς, καὶ ἴδετε, τίς ἤλπισεν ἐπὶ Κύριον καὶ ἐγκατελείφθη;». Καὶ ὁ Παῦλος· «Ταῦτα δὲ πάντα τυπικῶς συνέβαινεν ἐκείνοις· ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησεν». Οὐ τὰ ἀλλότρια δέ, ἀλλὰ καὶ τὰ οἰκεῖα πολλάκις ἀναμιμνησκόμενοι κερδαίνομεν. Καὶ τοῦτο δείκνυσιν ὁ ἀπόστολος λέγων· «Ἀναμιμνήσκεσθε τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων». Καὶ ἀπὸ τοῦ ἐναντίου· «Τίνα οὖν καρπὸν εἴχετε τότε, ἐφ' οἷς νῦν ἐπαισχύνεσθε;». Καὶ ἄλλος σοφός· «Ἀναμιμνήσκου τὰ ἔσχατά σου, καὶ

---

34. Λουκᾶ 12, 18.
35. Ψαλμ. 76, 8-9.
36. Σοφ. Σειρὰχ 2, 10.
37. Α' Κορ. 10, 11.
38. Ἑβρ. 10, 32.
39. Ρωμ. 6, 21.

χεῖ ὁ φόβος τοῦ πολέμου, καὶ δὲν ἀπολαμβάνουν ἐκεῖνα ποὺ ἤδη ἔλαβαν, βασανίζονται ἀπὸ τὶς φροντίδες ποὺ δὲν συνέβηκαν ἀκόμα, θρηνοῦν, μεριμνοῦν για τὰ πράγματα ὅλων, ἀσχολοῦνται μὲ τὶς περιουσίες ὅλων, σκεπτόμενοι πῶς τὸν μὲν ἕνα νὰ πείσουν, τὸν ἄλλο νὰ φοβήσουν, τὸν ἄλλο νὰ κολακεύσουν, τὸν ἄλλο νὰ ἐκβιάσουν, τὸν ἄλλο νὰ ἐξυπηρετήσουν, περιστρέφοντας στὴ σκέψη τους συκοφαντίες, ἀγορές, πωλήσεις, συμφωνίες, ἐγγυήσεις, τόκους, κεφάλαια, ὅλο δηλαδὴ αὐτὸ τὸ πλῆθος τῶν κακῶν· καὶ ὅταν ὅλα τὰ πράγματα τοὺς ἔλθουν εὐνοϊκά, τότε πρὸ πάντων ἀνησυχοῦν. Πρόσεχε λοιπὸν τὸν πλούσιο ἐκεῖνο ποὺ κυριεύεται ἀπὸ ταραχή, ὅταν εὐημέρισε ἡ χώρα του, καὶ ἀποροῦσε καὶ βρισκόταν σὲ ἀμηχανία καὶ ἔλεγε· «Τί νὰ κάνω; Θὰ γκρεμίσω τὶς ἀποθῆκες μου καὶ θὰ χτίσω μεγαλύτερες»[34]. Ἀλλ' ὁ φτωχὸς δὲν παθαίνει τίποτε παρόμοιο.

«Θυμήθηκα ἡμέρες παλιές· ἐμελέτησα ὅλα τὰ ἔργα σου». Δὲν εἶναι μικρὴ παρηγοριὰ αὐτή, τὸ νὰ γνωρίζει δηλαδὴ τὰ προγούμενα καὶ τὰ παρόντα. Διότι, ἐπειδή, ὅπως θὰ λέγαμε, ὁ Θεὸς κυβερνᾶ μὲ τοὺς ἴδιους νόμους καὶ τὰ σημερινὰ καὶ τὰ περασμένα, εἶναι πάρα πολὺ μεγάλη παρηγοριὰ γιὰ τὰ παρόντα ἡ ἀνάμνηση τῶν παρελθόντων. Γι' αὐτὸ καὶ σ' ἄλλο ψαλμὸ λέγει· «Μήπως αἰώνια θὰ μᾶς ἀπωθεῖ ὁ Κύριος ἢ θὰ μᾶς στερήσει τελείως τὸ ἔλεος;»[35]. Καὶ ἄλλος λέγει· «Ρίξατε τὸ βλέμμα σας στὶς ἀρχαῖες γενεὲς καὶ ἐξετάσατε, ποιὸς στήριξε τὶς ἐλπίδες του στὸν Κύριο καὶ ἐγκαταλείφθηκε;»[36]. Καὶ ὁ Παῦλος λέγει· «Ὅλα δὲ αὐτὰ ποὺ συνέβαιναν σ' ἐκείνους ἦταν προεικονίσεις, γράφτηκαν δὲ γιὰ δική μας νουθεσία, πρὸς τοὺς ὁποίους ἦλθε τὸ τέλος τῶν αἰώνων»[37]. Ὠφελούμαστε δὲ πάρα πολὺ ἐνθυμούμενοι ὄχι μόνο τὰ ξένα, ἀλλὰ πολλὲς φορὲς καὶ τὰ δικά μας γεγονότα. Καὶ αὐτὸ τὸ φανερώνει ὁ ἀπόστολος, λέγοντας· «Νὰ θυμόσαστε τὶς παλιὲς ἡμέρες, κατὰ τὶς ὁποῖες, ἀφοῦ λάβατε τὸ βάπτισμα, ὑπομείνατε πολλοὺς ἀγῶνες παθημάτων»[38]. Καὶ ἀπὸ τὴν ἀντίθετη πλευρά· «Ποιὸ λοιπὸν καρπὸ εἴχατε τότε ἀπὸ τὰ ἔργα σας ἐκεῖνα γιὰ τὰ ὁποῖα τώρα νιώθετε ντροπή;»[39]. Καὶ ἄλλος σοφὸς λέγει· «Νὰ θυμᾶσαι τὸ τέλος τῆς

εἰς τὸν αἰῶνα οὐ μὴ ἁμάρτῃς». Τοῦτο γὰρ εἰ καὶ μέλλον ἐστίν, ἀλλ᾽ ὅμως ἀπὸ τοῦ παρελθόντος ἔχει τὴν ἀρχὴν ὁ θάνατος ὁ κοινός.

Τοῦτο καὶ ὁ Παῦλος ποιεῖ ἀπὸ τῶν μελλόντων καὶ παρελθόντων, καὶ ὅταν παρακαλέσαι δέῃ, καὶ ὅταν σωφρονίσαι· «Οὐ θέλω», φησίν, «ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον, καὶ πάντες τὸ αὐτὸ βρῶμα τὸ πνευματικὸν ἔφαγον· ἀλλ᾽ οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν εὐδόκησεν ὁ Θεός». Ποτὲ δὲ ἀπὸ τῶν μελλόντων· «Οἵτινες δίκην τίσουσιν, ὄλεθρον αἰώνιον ἀπὸ προσώπου Κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ». Καὶ πάλιν· «Ἔφθασε δὲ ἐπ᾽ αὐτοὺς ἡ ὀργὴ εἰς τέλος». «Ἡ γὰρ ἡμέρα δηλώσει, ὅτι ἐν τῷ πυρὶ ἀποκαλύπτεται». Καὶ πάλιν· «Διὰ ταῦτα γὰρ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας».

Ἀλλὰ ταῦτα μὲν ὅταν σωφρονίσαι· ὅταν δὲ παρακαλέσαι δέῃ, ἀφ᾽ ἑκατέρων παρακαλεῖ· ἀπὸ μὲν τῶν παρελθόντων, λέγων οὕτως, «Εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ Θεὸς τῶν οἰκτιρμῶν, καὶ πατὴρ πάσης παρακλήσεως, ὁ παρακαλῶν ἡμᾶς ἐν πάσῃ τῇ θλίψει, διὰ τῆς παρακλήσεως, ἧς παρακαλούμεθα αὐτοὶ ὑπὸ τοῦ Θεοῦ»· ἀπὸ δὲ τῶν μελλόντων, «Οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς». Διὰ τοῦτο καὶ οὗτος λέγει, «Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου». Οὐχ ἁπλῶς εἶπεν, «Ἐμνήσθην», ἀλλ᾽, «Ἐμελέτησα»· τουτέστιν, ἔργον ἐποιησάμην καὶ πολλὴν τὴν μελέτην, τὰ τοῖς παλαιοῖς συμβεβηκότα αὐτὸς ἀνελίττειν παρ᾽ ἐμαυτῷ. Μεγάλη γὰρ ἀπὸ τῆς τῶν Γραφῶν ἱστορίας ἐγγίνεται ἡμῖν καὶ παράκλησις καὶ φιλοσοφία. Διὸ καὶ ἔλεγεν ὁ Παῦλος· «Διὰ τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως τῶν Γραφῶν τὴν ἐλπίδα ἔχομεν».

---

40. Σοφ. Σειρὰχ 7, 36.
41. Α' Κορ. 10, 1. 3-5.
42. Β' Θεσ. 1, 9.
43. Α' Θεσ. 2, 16.
44. Α' Κορ. 3, 13.
45. Ἐφ. 5, 6.
46. Β' Κορ. 1, 3-4.
47. Ρωμ. 8, 18.
48. Ρωμ. 15, 4.

ζωῆς σου καὶ δὲν θὰ ἁμαρτήσεις οὐδέποτε»[40]. Διότι ὁ κοινὸς αὐτὸς θάνατος, ἂν καὶ θὰ συμβεῖ στὸ μέλλον, ἀλλ' ὅμως ἔχει τὴν ἀρχή του στὸ παρελθόν.

Αὐτὸ κάμνει καὶ ὁ Παῦλος προτρέποντας ἀπὸ τὰ μελλοντικὰ καὶ ἀπὸ τὰ παρελθόντα, ὅταν χρειάζεται καὶ νὰ παρηγορήσει καὶ νὰ σωφρονίσει· «Δὲν θέλω», λέγει, «ἀδελφοί, νὰ ἀγνοεῖτε, ὅτι ὅλοι οἱ πατέρες μας ἦταν κάτω ἀπὸ τὴ νεφέλη καὶ ὅτι ὅλοι πέρασαν μέσα ἀπὸ τὴ θάλασσα, καὶ ὅτι ὅλοι ἔφαγαν τὴν ἴδια πνευματικὴ τροφή· ἀλλ' ὅμως ὁ Θεὸς δὲν ἔμεινε εὐχαριστημένος μὲ τοὺς περισσότερους ἀπ' αὐτούς»[41]. Ἄλλος δὲ τοὺς προτρέπει ἀπὸ τὰ μελλοντικά· «Οἱ ὁποῖοι θὰ τιμωρηθοῦν μὲ αἰώνια καταστροφὴ ἀπομακρυνόμενοι ἀπὸ τὸ πρόσωπο τοῦ Κυρίου καὶ ἀπὸ τὴ δόξα τῆς δυνάμεως αὐτοῦ»[42]. Καὶ πάλι· «Ἔφθασε δὲ ἐπὶ τέλους ἐπάνω τους ἡ ὀργή του »[43]. «Διότι ἡ ἡμέρα ἐκείνη θὰ τὸ ἀποκαλύψει, διότι θὰ ἀποκαλυφθεῖ αὐτὴ μὲ φωτιά»[44]. Καὶ πάλι· «Διότι γιὰ ὅλα αὐτὰ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐναντίον ἐκείνων ποὺ δείχνουν ἀπείθεια στὸ Θεό»[45].

Καὶ αὐτὰ μὲν τὰ λέγει ὅταν θέλει νὰ σωφρονίσει, ὅταν ὅμως χρειάζεται νὰ παρηγορήσει, ἀπὸ ἄλλα παρηγορεῖ· ἀπὸ μὲν τὰ περασμένα λέγοντας τὰ ἑξῆς· «Ἂς εἶναι εὐλογημένος ὁ Θεὸς καὶ Πατέρας τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, ὁ Θεὸς τῶν οἰκτιρμῶν καὶ πατέρας κάθε παρηγοριᾶς, ὁ ὁποῖος μᾶς παρηγορεῖ σὲ κάθε θλίψη, μὲ τὴν παρηγοριὰ ἐκείνη μὲ τὴν ὁποία παρηγορούμαστε ἐμεῖς οἱ ἴδιοι ἀπὸ τὸ Θεό»[46]· ἀπὸ δὲ τὰ μελλοντικὰ λέγοντας· «Τὰ παθήματα τοῦ παρόντος καιροῦ δὲν μποροῦν νὰ ἐξισωθοῦν μὲ τὴ μελλοντικὴ δόξα ποὺ θὰ ἀποκαλυφθεῖ σὲ μᾶς»[47]. Γι' αὐτὸ καὶ αὐτὸς λέγει, «Θυμήθηκα ἡμέρες ἀρχαῖες, μελέτησα ὅλα τὰ ἔργα σου». Δὲν εἶπε ἁπλῶς, «Θυμήθηκα», ἀλλά, «Μελέτησα»· δηλαδὴ τὸ ἔκανα ἔργο μου καὶ τὸ μελέτησα πάρα πολύ, σκεπτόμενος ὅλα ἐκεῖνα ποὺ συνέβηκαν στοὺς παλαιούς. Διότι προκύπτει μεγάλη παρηγοριὰ καὶ εὐσέβεια σὲ ἐμᾶς ἀπὸ τὴν ἱστορία τῶν Γραφῶν. Γι' αὐτὸ καὶ ἔλεγε ὁ Παῦλος· «Μὲ τὴν ὑπομονὴ καὶ τὴν παρηγοριὰ ποὺ παρέχουν οἱ Γραφὲς διατηροῦμε τὴν ἐλπίδα μας στὸν Κύριο»[48]. Καὶ πάλι·

Καὶ πάλιν· «Πᾶσα Γραφὴ θεόπνευστος καὶ ὠφέλιμος πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον, πρὸς ἐπανόρθωσιν».

5. Καὶ οὗτος γοῦν ἐντεῦθεν ἤδη παρεκλήθη ἐν τοσαύτῃ θλίψει ὢν καὶ ταραχῇ, τῷ τὰ παλαιὰ ἀνελίττειν παρ' ἑαυτῷ, καὶ τοῦ Θεοῦ τὰς οἰκονομίας τὰς διαφόρως γεγενημένας ἀναμιμνήσκεσθαι. Ἕτερος γοῦν φησι, «Καὶ ἐμελέτησα πάσας τὰς πράξεις σου». «Ἐν τοῖς ποιήμασι τῶν χειρῶν σου ἐμελέτων». Ἄλλος, «Τὰ ἔργα τῶν χειρῶν σου ἐμελέτων». Δείκνυσι διὰ τούτου, ὅτι ταῦτα ποιῶν, πολλὴν ἐκαρποῦτο τὴν παράκλησιν, καὶ οἰκειότερος πρὸς τὸν Θεὸν ἐγίνετο. Διὸ καὶ ἐπήγαγε τοῦτο ἐμφαίνων, «Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου». Οὐκ εἶπεν, 'ἐξέτεινα', ἀλλά, «Διεπέτασα», πολλὴν δεικνὺς τὴν διάθεσιν τῆς καρδίας, μονονουχὶ ἐξάλλεσθαι τοῦ σώματος ἐπειγομένης καὶ πρὸς αὐτὸν ἀνατρέχειν. Ἔθνους οὖν γενόμενος ὑπὸ τῆς μνήμης τῶν κατορθωμάτων, καὶ τὴν φιλανθρωπίαν ἀναλογισάμενος ἅπασαν, καὶ τὴν ἀπὸ τῶν συμφορῶν παίδευσιν, καὶ τὴν ἀπὸ τῆς ἀπαλλαγῆς ἐλευθερίαν, πρὸς σὲ πάλιν κατέφυγον.

«Ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι». Ἕτερος, «Ὡς γῆ διψῶσα πρὸς σὲ ἀεί»· τοῦτο γάρ ἐστι τό, «Διάψαλμα». Καὶ ἐν ταῖς συμφοραῖς καὶ ἐν ταῖς εὐημερίαις καὶ ἐν πάσῃ καιρῶν διαφορᾷ τὴν ἴσην ἐπεδεικνύμην σπουδήν, φησί. Τί δέ ἐστιν, «Ὡς γῆ ἄνυδρός σοι»; Ὥσπερ γῆ διψῶσα τοῦ ὑετοῦ ἐφίεται, οὕτω κἀγὼ τοῦ παρὰ σοὶ εἶναι διηνεκῶς. Μάλιστα δὲ ταύτην ἐπέτεινε τὴν ἐπιθυμίαν τῶν θλίψεων ὁ ὄγκος· διὸ καὶ ἀφῆκεν αὐτὰς ὁ Θεὸς αὐξηθῆναι, τὴν πολλὴν πρόνοιαν ἐπιδεικνύμενος. Οὐ γὰρ ἐποίησε τὰ κτίσματα μόνον, ἀλλὰ καὶ γενομένων ἐπιμελεῖται, καὶ ἀνθρώπων, καὶ τῶν ἄλλων ἁπάντων. Τοῦτο γοῦν καὶ ὁ Παῦλος εἰδὼς ἔλεγεν· Ἐν αὐτῷ γὰρ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν». Καὶ πάλιν· «Ἐν αὐτῷ τὰ πάντα συνέστηκε». Καὶ ὁ Δαυίδ· «Πάντα

---

49. Β' Τιμ. 3, 16.
50. Πράξ. 17, 28.
51. Κολ. 1, 17.

«Όλη ἡ Γραφὴ εἶναι θεόπνευστη καὶ ὠφέλιμη γιὰ διδασκαλία, ἔλεγχο καὶ ἐπανόρθωση»[49].

5. Καὶ αὐτὸς λοιπόν, ἂν καὶ βρισκόταν μέσα σὲ τόση θλίψη καὶ ταραχή, ἀπὸ ἐδῶ ἤδη παρηγορήθηκε, μὲ τὸ νὰ φέρει στὴ σκέψη του τὰ παλιὰ καὶ νὰ θυμᾶται τὰ ἔργα τῆς οἰκονομίας τοῦ Θεοῦ ποὺ ἔκαμε κατὰ διαφόρους καιρούς. Ἄλλος δὲ ἑρμηνευτὴς λέγει, «Καὶ μελέτησα ὅλες τὶς πράξεις σου». «Μελετοῦσα τὰ ἔργα τῶν χεριῶν σου». Ἄλλος, «Τὰ ἔργα τῶν χεριῶν σου μελετοῦσα». Δείχνει μὲ αὐτό, ὅτι κάμνοντας αὐτὰ ἀπεκόμιζε μεγάλη ὠφέλεια καὶ παρηγοριὰ καὶ γινόταν περισσότερο οἰκεῖος στὸ Θεό. Γι' αὐτὸ καὶ γιὰ νὰ δηλώσει αὐτὸ πρόσθεσε· «Ἄνοιξα πρὸς ἐσένα τὰ χέρια μου». Δὲν εἶπε, 'ἅπλωσα', ἀλλ', «Ἄνοιξα», γιὰ νὰ δείξει τὴ μεγάλη διάθεση τῆς καρδιᾶς του, σὰν δηλαδὴ νὰ ἤθελε νὰ πηδήξει μέσα ἀπὸ τὸ σῶμα καὶ νὰ ἀνατρέξει πρὸς αὐτόν. Κυριευθεὶς λοιπὸν ἀπὸ μεγάλο ἐνθουσιασμὸ ἐξ αἰτίας τῆς ἀναμνήσεως τῶν κατορθωμάτων, καὶ ἀναλογιζόμενος ὅλη τὴ φιλανθρωπία σου, καὶ τὴ διδασκαλία ἀπὸ τὶς συμφορὲς καὶ τὴν ἐλευθερία ποὺ βρῆκα, ἀπαλλαχθεὶς ἀπὸ αὐτές, πάλι πρὸς ἐσένα κατέφυγα.

Ἡ ψυχή μου σὲ ζητεῖ σὰν τὴ διψασμένη γῆ». Ἄλλος λέγει, «Σὰν γῆ διψασμένη πρὸς ἐσένα πάντοτε»· διότι αὐτὸ σημαίνει τὸ «Διάψαλμα». Καὶ στὶς συμφορὲς καὶ στὶς εὐτυχισμένες στιγμὲς καὶ σ' ὅλες τὶς ἐναλλαγὲς τῶν διαφόρων περιστάσεων τὴν ἴδια, λέγει, ἔδειχνα προθυμία. Τί σημαίνει δέ, «Σὰν γῆ διψασμένη ἀπευθύνεται πρὸς ἐσένα»; Ὅπως ἀκριβῶς ἡ διψασμένη γῆ ποθεῖ τὴ βροχή, ἔτσι καὶ ἐγὼ ἐπιθυμῶ νὰ βρίσκομαι πάντοτε κοντά σου. Καὶ βέβαια αὐτὴ τὴν ἐπιθυμία τὴν αὔξησε τὸ μέγεθος τῶν θλίψεων· γι' αὐτὸ καὶ ἄφησε αὐτὲς ὁ Θεὸς ν' αὐξηθοῦν, γιὰ νὰ δείξει τὴ μεγάλη πρόνοιά του. Διότι δὲν δημιούργησε μόνο τὰ κτίσματα, ἀλλὰ καὶ ἀφοῦ τὰ ἔκαμε τὰ φροντίζει, καὶ τοὺς ἀνθρώπους καὶ ὅλα τὰ ἄλλα γενικά. Αὐτὸ λοιπὸν γνωρίζοντας καὶ ὁ Παῦλος ἔλεγε· «Διότι μέσα σ' αὐτὸν ζοῦμε καὶ κινούμαστε καὶ ὑπάρχουμε»[50]. Καὶ πάλι· «Ἀπὸ αὐτὸν κυβερνοῦνται τὰ πάντα»[51]. Καὶ ὁ Δαυὶδ λέγει· «Ὅλα ἀπὸ

πρὸς σὲ προσδοκῶσι δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον. Δόντος σου αὐτοῖς, συλλέξουσιν· ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσεται χρηστότητος· ἀποστρέψαντος δέ σου τὸ πρόσωπον ταραχθήσονται». Καὶ πάλιν· «Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν». Καὶ ὁ Ἠσαΐας· «Ὁ κατέχων τὸν γῦρον τῆς γῆς». Καὶ περὶ ἀρετῆς, «Ἐὰν μὴ Κύριος», φησίν, «οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες αὐτόν». Καὶ πάλιν, «Ὁ κατοικίζων στεῖραν ἐν οἴκῳ, μητέρα ἐπὶ τέκνοις εὐφραινομένην».

Διὰ τοῦτο καὶ σείει τὴν γῆν, καὶ καπνίζει τὰ ὄρη ἁπτόμενος, τὴν δεσποτείαν αὐτοῦ δηλῶν. Σκοτοῖ δὲ τὸν ἥλιον, καὶ ἐκλείπειν ποιεῖ, διὰ τούτου πάλιν τὴν δημιουργίαν αὐτοῦ ἀνακηρύττων. Καὶ ἐν Γραφαῖς δὲ ὁρᾷς ἥλιον ἀναποδίζοντα, καὶ σελήνην μετ' αὐτοῦ πάλιν ἱσταμένην, καὶ πολλὰ ἕτερα θαύματα. Ὅτε μὲν γὰρ αὐτοῦ ἡ γνῶσις οὔπω ἐκτέτατο, ταῦτα ἐγίνετο, νυνὶ δὲ οὐκ ἔστι χρεία ταύτης τῆς διδασκαλίας, τῶν πραγμάτων βοώντων καὶ δεικνύντων τὸν Δεσπότην. Εἶδες ἐν Αἰγύπτῳ σκότος, καὶ στοιχείων μεταβολάς; Εἰ δὲ λέγοιέν τινες, ὅτι ἡ ἔκλειψις φυσικῶς ἀλλ' οὐ τοῦ Θεοῦ κελεύσαντος συνέβη, εἰπάτωσαν πῶς ἐν τῷ καιρῷ τοῦ σταυροῦ γέγονεν. Οὐ γὰρ δὴ τῷ ὡρισμένῳ τότε καιρῷ, ἀλλ' ὅτε μάλιστα οὐκ ἦν ἀκόλουθον, ἢ κατὰ δρόμον φύσεως, τότε συνέβη, τεσσαρεσκαιδεκαταίας καὶ πλήρους οὔσης. Αἱ δὲ ἐκλείψεις οὐχ οὕτω γίνονται. Ἀλλ' οὐκ ἂν ἔχοιεν. Ὥστε δῆλον ὅτι καθάπερ τὰ ἄλλα τῇ τοῦ δημιουργοῦ προστάξει, οὕτω καὶ ἐκλείψεις ἅπασαι γίνονται.

«Ταχὺ εἰσάκουσόν μου, Κύριε· ἐξέλιπε τὸ πνεῦμά μου». Τί

---

52. Ψαλμ. 103, 27-29.
53. Ψαλμ. 103, 32.
54. Ἠσ. 40, 22.
55. Ψαλμ. 126, 1.
56. Ψαλμ. 112, 9.
57. Ψαλμ. 103, 32.
58. Ἠσ. κεφ. 38.
59. Ἰησ. Ναυῆ 10, 13.
60. Ματθ. 27, 45.

σένα περιμένουν νὰ τοὺς δώσεις τὴν τροφή τους στὴν κατάλληλη στιγμή. Ὅταν δὲ τὴ δώσεις, αὐτὰ θὰ τὴ μαζέψουν. Ὅταν ἀνοίγεις τὰ χέρια σου, τὰ σύμπαντα γεμίζουν ἀπὸ τὴν ἀγαθότητά σου, ὅταν ὅμως ἀποστρέψεις τὸ πρόσωπό σου ἀπ' αὐτὰ κυριεύονται ἀπὸ ταραχή»[52]. Καὶ πάλι· «Σὺ ποὺ ρίχνεις τὸ βλέμμα σου στὴ γῆ καὶ τὴν κάμνεις νὰ τρέμει»[53]. Καὶ ὁ Ἠσαΐας λέγει· «Αὐτὸς εἶναι ποὺ ἐξουσιάζει ὅλη τὴ γῆ»[54]. Καὶ γιὰ τὴν ἀρετὴ λέγει, «Ἐὰν ὁ Κύριος δὲν οἰκοδομήσει οἶκο, ἄδικα κόπιασαν αὐτοὶ ποὺ τὸν οἰκοδομοῦν»[55]. Καὶ πάλι «Αὐτὸς εἶναι ποὺ βάζει τὴ στείρα νὰ κατοικήσει σὲ οἰκία καὶ τὴ μητέρα νὰ χαίρεται γιὰ τὰ παιδιά της»[56].

Γι' αὐτὸ καὶ κάμνει τὴ γῆ νὰ τρέμει καὶ τὰ βουνὰ ἀγγίζοντάς τα νὰ καπνίζουν[57], γιὰ νὰ δείξει τὴν ἐξουσία αὐτοῦ. Σκοτίζει δὲ τὸν ἥλιο καὶ κάνει νὰ χάνεται τὸ φῶς του, ἀνακηρύσσοντας μὲ αὐτὸ πάλι τὴ δημιουργικὴ δύναμή του[58]. Καὶ στὶς Γραφὲς δὲ βλέπεις τὸν ἥλιο νὰ σταματᾶ τὴν πορεία του καὶ τὴ σελήνη πάλι νὰ σταματᾶ μαζὶ μ' αὐτὸν[59] καὶ πολλὰ ἄλλα θαύματα. Διότι, ὅταν ἡ γνώση αὐτοῦ δὲν εἶχε ἀκόμα ἁπλωθεῖ, συνέβαιναν αὐτά, τώρα ὅμως δὲν χρειάζεται αὐτὴ ἡ διδασκαλία, τὴ στιγμὴ ποὺ τὰ πράγματα φωνάζουν δυνατὰ καὶ φανερώνουν τὸν Κύριο. Εἶδες στὴν Αἴγυπτο τὸ σκοτάδι καὶ τὶς μεταβολὲς τῶν φυσικῶν στοιχείων; Ἐὰν ὅμως ἤθελαν πεῖ μερικοί, ὅτι ἡ ἔκλειψη τοῦ ἥλιου ἦταν φυσικὸ φαινόμενο, καὶ συνέβηκε ὄχι ἐπειδὴ τὸ πρόσταξε ὁ Θεός, ἂς μᾶς ποῦν πῶς συνέβηκε αὐτὴ κατὰ τὴν ὥρα τῆς σταυρώσεως τοῦ Κυρίου. Διότι τότε βέβαια δὲν ἦταν ὁ καθορισμένος χρόνος, ἀλλ', ἐνῶ ἦταν τελείως ἀκατάλληλη στιγμὴ καὶ ἐντελῶς ἀντίθετη ἡ φυσικὴ πορεία τῶν πραγμάτων[60], τότε συνέβηκε, καὶ ἐνῶ μάλιστα ἡ σελήνη ἦταν δέκα τεσσάρων ἡμερῶν καὶ πανσέληνος. Οἱ ἐκλείψεις ὅμως δὲν γίνονται ἔτσι. Ἀλλὰ δὲν θὰ μπροῦσαν νὰ μᾶς ἀπαντήσουν αὐτοὶ ποὺ ἀμφιβάλλουν. Ὥστε εἶναι φανερὸ ὅτι, ὅπως ἀκριβῶς τὰ ἄλλα, ἔτσι καὶ ὅλες οἱ ἐκλείψεις γίνονται μὲ τὸ πρόσταγμα τοῦ δημιουργοῦ.

«Εἰσάκουσέ με, Κύριε, ἀμέσως, γιατὶ μὲ ἐγκατέλειψε τὸ

λέγεις; ἐπείγεις τὸν ἰατρὸν πρὸς τὴν θεραπείαν; Οὐδαμῶς· ἀλλ' ἔθος καὶ τοῦτο ταῖς θλιβομέναις ψυχαῖς, ὥσπερ καὶ τοῖς κάμνουσι τῶν ἀνθρώπων, παρακαλεῖν τοὺς ἰατρούς, κἂν ὁ καιρὸς μὴ ἀπαιτῇ, καὶ ταχέως ἐπάγειν τὴν λύσιν. Διὸ καὶ ὁ αὐτὸς τὴν αἰτίαν προστιθεὶς ἔλεγεν, «Ἐξέλιπε τὸ πνεῦμά μου». Καίτοι ὁ Θεὸς καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὤν, πολλῷ μᾶλλον πρὸ τελευτῆς. Ἀλλ' ὅπερ ἔφθην εἰπών, ἡ ἀσθένεια τῆς φύσεως ἐντεῦθεν ἐλέγχεται. Ἤδει μὲν γάρ, ὅτι αὐτῷ πάντα ῥᾴδια, ἀλλ' οὐ φέρει τὴν ἐπαγωγὴν τῶν δεινῶν.

«Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον». Ἕτερος, «Μὴ κρύψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ». Καὶ πόθεν ἡ ἀποστροφὴ γίνεται; Αὐτὸς ὁ Θεὸς διὰ τοῦ Ἠσαΐου λέγει, «Μὴ οὐκ ἰσχύει ἡ χείρ μου; Ἀλλ' αἱ ἁμαρτίαι ὑμῶν διιστῶσιν ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν». Ὅταν οὖν τι πράξωμεν πονηρόν, ἀποστρέφεται. «Καθαρὸς» γάρ, φησίν, «ὁ ὀφθαλμός σου τοῦ μὴ ὁρᾶν πονηρά· καὶ ἐπιβλέπειν ἐπὶ πόνους οὐ δυνήσῃ». Διὰ τοῦτο ἀποστρέφεται καὶ τοὺς ἀπονενοημένους. Διό φησιν· «Ἐπὶ τίνα ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον καὶ ἡσύχιον, καὶ τρέμοντά μου τοὺς λόγους;». Ταύτην τοίνυν διώκωμεν τὴν ἀρετήν, ἵνα ἐπισπασώμεθα αὐτοῦ τὸ πρόσωπον, ἵνα μὴ καταπέσωμεν εἰς τὰ βάραθρα τῆς κακίας, πολλοῦ τοῦ σκότους κατέχοντος. Ἔστι καὶ πεσόντας ἀνελθεῖν. Δεῖ τοίνυν τοὺς καταπίπτοντας μὴ μένειν κάτω κειμένους. Λάκκος δέ ἐστι χαλεπὰ θηρία ἔχων καὶ σκότους γέμων, τῆς ἁμαρτίας ἡ φύσις. Οὐκοῦν χαλάσωμεν τῶν Γραφῶν τὰ σχοινία, καὶ τὴν προαί-

61. Ἠσ. 59, 1-2.
62. Ἀββακ. 1, 13.
63. Ἠσ. 66, 2.

πνεῦμα μου». Τί λέγεις; ἐξαναγκάζεις τὸν ἰατρὸ νὰ σπεύσει γιὰ θεραπεία; Καθόλου, ἀλλὰ συνηθίζεται αὐτὸ νὰ γίνεται ἀπὸ τὶς θλιμμένες ψυχές, ὅπως ἀκριβῶς καὶ ἀπὸ τοὺς ἀνθρώπους ἐκείνους ποὺ ὑποφέρουν, νὰ παρακαλοῦν τοὺς ἰατρούς, καὶ ἂν ἀκόμα δὲν εἶναι κατάλληλος ὁ καιρός, καὶ νὰ ζητοῦν ἀμέσως τὴν ἀπαλλαγή. Γι' αὐτὸ καὶ αὐτός, προσθέτοντας τὴν αἰτία, ἔλεγε· «Μὲ ἐγκατέλειψε τὸ πνεῦμα μου». Ἂν καὶ βέβαια ὁ Θεὸς μπορεῖ καὶ ἀπὸ τοὺς νεκροὺς νὰ ἀναστήσει κάποιον, πολὺ περισσότερο δὲ πρὶν νὰ πεθάνη. Ἀλλ', ὅπως προανέφερα, ἡ ἀδυναμία τῆς φύσεως ἀπὸ ἐδῶ ἐλέγχεται. Διότι γνώριζε μὲν ὅτι σ' αὐτὸν ὅλα εἶναι εὔκολα, ἀλλὰ δὲν ὑποφέρει τὸν ἐρχομὸ τῶν συμφορῶν.

«Μὴ ἀποστρέψεις τὸ πρόσωπό σου ἀπὸ μένα, γιατὶ τότε θὰ γίνω ὅμοιος μὲ ἐκείνους ποὺ τοποθετοῦνται στὸν τάφο». Ἄλλος, «Μὴ κρύψεις τὸ πρόσωπό σου ἀπὸ μένα». Καὶ ἀπὸ ποιὰ αἰτία ἀποστρέφει ὁ Θεὸς τὸ πρόσωπό του; Ὁ ἴδιος ὁ Θεὸς λέγει μέσω τοῦ Ἠσαΐα· «Μήπως δὲν μπορεῖ τὸ χέρι μου νὰ τὸ κάνει; Ἀλλ' οἱ ἁμαρτίες σας γίνονται αἰτία τῆς ἀποστάσεως ἀνάμεσα σὲ μένα καὶ σὲ σᾶς»[61]. Ὅταν λοιπὸν διαπράξουμε κάτι τὸ κακό, μᾶς ἀποστρέφεται. Διότι λέγει, «Εἶναι καθαρὸς ὁ ὀφθαλμός σου, ὥστε νὰ μὴ μπορεῖ νὰ βλέπει τὰ κακὰ ἔργα· καὶ δὲν θὰ μπορέσει νὰ δεῖ τοὺς πόνους τῶν ἀνθρώπων»[62]. Γιὰ τὸ λόγο αὐτὸ ἀποστρέφεται καὶ τοὺς ἀνθρώπους ποὺ περιέρχονται σὲ ἀπόγνωση. Γι' αὐτὸ λέγει· «Πρὸς ποιὸν νὰ ρίξω τὸ βλέμμα μου, παρὰ πρὸς τὸν πρᾶο, τὸν ἥσυχο καὶ ἐκεῖνον ποὺ σέβεται τὰ λόγια μου;»[63]. Ἂς ἐπιδιώκουμε λοιπὸν αὐτὴ τὴν ἀρετή, γιὰ νὰ προσελκύσουμε τὸ πρόσωπο αὐτοῦ, ὥστε νὰ μὴ πέσουμε μέσα στὰ βάραθρα τῆς κακίας, ὅπου ἐπικρατεῖ πολὺ σκοτάδι. Εἶναι δυνατὸ ἂν πέσουμε ἐκεῖ καὶ νὰ βγοῦμε ἀπὸ ἐκεῖ μέσα. Πρέπει λοιπὸν ἐκεῖνοι ποὺ πέφτουν ἐκεῖ μέσα νὰ μὴ παραμένουν ἐκεῖ πεσμένοι. Γιατὶ ἡ φύση τῆς ἁμαρτίας εἶναι λάκκος ποὺ ἔχει φοβερὰ θηρία καὶ εἶναι γεμάτος ἀπὸ σκοτάδι. Λοιπὸν ἂς ἀποκόψουμε τὰ σχοινιὰ τῆς ἁμαρτίας, σύμφωνα μὲ τὶς ὑποδείξεις τῶν Γραφῶν, καὶ ἂς αὐξήσουμε τὴ θέλησή μας, καὶ ἀ-

ρεσιν ἐπιδῶμεν· καὶ ταχέως ἀναστησόμεθα, κἂν καταπέσωμεν. Πῶς δ' ἂν γένοιτο ἀρχὴ ὁδοῦ; Ἂν καταπεσόντες μὴ καταφρονήσωμεν, μηδὲ ἀπογνῶμεν, ἀλλ' ἐπᾴδωμεν ἑαυτοῖς τὰ προφητικὰ ταῦτα· «Μὴ ὁ πίπτων οὐκ ἀνίσταται»; Καὶ πάλιν, «Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν ὡς ἐν τῷ παραπικρασμῷ»· καὶ τούτοις τοῖς λογισμοῖς δήσαντες ἑαυτοὺς ἀνελκύσωμεν.

6. «Ἀκουστὸν ποίησόν μοι τὸ πρωΐ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα». Ἕτερος, «Ἀκουστὸν ποίησόν μοι ἐξ ὄρθρου τὸ ἔλεός σου», τουτέστι, ταχέως. Εἶδες θλιβομένην ψυχὴν καὶ θορυβουμένην; Πρὸ γὰρ τῆς πείρας ἀκοῦσαι βούλεται, ὥστε ταῖς ἐλπίσιν ὀρθωθῆναι καὶ τῇ προσδοκίᾳ. Ὃ δὲ λέγει, τοῦτό ἐστιν· ἀνάστησόν με ἀπὸ τῆς ἐπαγγελίας. Εἶτα καὶ τὴν δικαιολογίαν τοῦ τυχεῖν προστίθησι, λέγων· «Ὅτι ἐπὶ σοὶ ἤλπισα». Οὐδὲν γὰρ ὁ Θεὸς οὕτως ἐπιζητεῖ, ὡς τὸ διηνεκῶς πρὸς αὐτὸν κεχηνέναι.

«Γνώρισόν μοι, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι· ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου». Τί λέγεις; καὶ τῆς φύσεως ἐχούσης τὸν νόμον τὸν ἐξ ἀρχῆς ὑπὸ τοῦ Θεοῦ ἐντεθέντα, καὶ τῶν γραμμάτων αὐτὸν ἀνανεούντων τῶν μωσαϊκῶν, πῶς ἀξιοῖς λέγων πάλιν, «Γνώρισόν μοι, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι»; Ἦ οὖν τοῦτό ἐστιν εἰπεῖν, ἐπεὶ ὑπὸ τῆς κακίας κατεχώσθη μου τὸ συνειδός, ἀξιῶ αὐτὸ ἀνανεωθῆναι, ἢ ὁδὸν ἐνταῦθα τὰ πολλὰ τῶν ἀγνοουμένων ἀνθρώποις λέγει, ὥσπερ καὶ Παῦλος δείκνυσι, λέγων· «Τὸ γὰρ τί προσευξώμεθα καθ' ὃ δεῖ, οὐκ οἴδαμεν». Εἰ δὲ Παῦλος ἀγνοεῖ μετὰ τοσαύτην γνῶσιν, τί θαυμάζεις εἰ οὗτος ταῦτα λέγει; Ὅρα δὲ αὐτὸν οὐδὲν αἰσθητὸν ἐνταῦθα ζητοῦντα, ἀλλὰ τὴν ὁδὸν

64. Ἱερ. 8, 4.
65. Ψαλμ. 94, 8-9.
66. Ρωμ. 8, 26.

μέσως θὰ σηκωθοῦμε, καὶ ἂν ἀκόμα πέσουμε μέσα σ' αὐτήν. Πῶς ὅμως θὰ μποροῦσε νὰ γίνει ἡ ἀρχὴ τῆς ὁδοῦ; Ἂν πέφτοντας μέσα σ' αὐτὴν δὲν δείξουμε ἀδιαφορία, οὔτε κυριευθοῦμε ἀπὸ ἀπόγνωση, ἀλλὰ ποῦμε μέσα μας τὰ προφητικὰ αὐτὰ λόγια· «Μήπως αὐτὸς ποὺ πέφτει δὲν σηκώνεται;»[64]. Καὶ πάλι· «Σήμερα, ἐὰν ἀκούσετε τὰ λόγια του, μὴ σκληρύνετε τὶς καρδιές σας, ὅπως κατὰ τὸν καιρὸ τῆς ἀπείθειάς σας»[65]· καὶ ἀφοῦ δεθοῦμε μὲ αὐτὲς τὶς σκέψεις, ἂς σύρουμε τοὺς ἑαυτούς μας μέσα ἀπὸ ἐκεῖ.

6. «Κάνε με ν' ἀκούσω τὸ πρωὶ καὶ νὰ νιώσω τὴν εὐσπλαχνία σου, διότι σὲ σένα στήριξα τὶς ἐλπίδες μου». Ἄλλος λέγει, «Κάνε με ν' ἀκούσω καὶ νὰ νιώσω τὸ ἔλεός σου κατὰ τὴν ὥρα τοῦ ὄρθρου», δηλαδὴ γρήγορα. Εἶδες ψυχὴ ποὺ εἶναι κυριευμένη ἀπὸ θλίψη καὶ πολλὴ ταραχή; Πρὶν δηλαδὴ λάβει γνώση τοῦ πράγματος, θέλει ν' ἀκούσει, ὥστε μὲ τὶς ἐλπίδες καὶ τὴν προσδοκία ν' ἀνορθωθεῖ. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Ἀνόρθωσε τὸ φρόνημά μου δίνοντάς μου τὴν ὑπόσχεσή σου. Ἔπειτα προσθέτει καὶ τὴ δικαιολογία γιὰ τὴν ὁποία ζητεῖ νὰ λάβει τὴν ὑπόσχεσή του γιὰ βοήθειά του, λέγοντας· «Διότι σὲ σένα στήριξα τὶς ἐλπίδες μου». Διότι τίποτε ὁ Θεὸς δὲν ἐπιζητεῖ τόσο πολύ, ὅσο τὸ νὰ εἴμαστε διαρκῶς προσηλωμένοι σ' αὐτόν.

«Γνώρισέ μου, Κύριε, τὴν ὁδὸ ποὺ πρέπει νὰ βαδίσω· διότι πρὸς ἐσένα ἔστρεψα τὴν ψυχή μου». Τί λέγεις; ἐνῶ ἔχεις καὶ τὸν φυσικὸ νόμο τὸν ὁποῖο ὁ Θεὸς ἀπὸ τὴν ἀρχὴ ἔθεσε μέσα σου, καὶ τὶς ἐντολὲς τοῦ Μωϋσῆ ποὺ ἀνανεώνουν αὐτόν, πῶς ἔχεις τὴν ἀξίωση νὰ λέγεις πάλι, «Γνώρισέ μου, Κύριε, τὴν ὁδὸ ποὺ πρέπει νὰ βαδίσω»; Ἢ λοιπὸν αὐτὸ μποροῦμε νὰ ποῦμε, ἐπειδὴ δηλαδὴ ἡ συνείδησή μου ἐπισκιάσθηκε ἀπὸ τὴν κακία, ζητῶ νὰ ἀνανεωθεῖ αυτή, ἢ ὁδὸ ἐδῶ ἐννοεῖ τὰ πολλὰ πράγματα ποὺ ἀγνοοῦν οἱ ἄνθρωποι, ὅπως ἀκριβῶς καὶ ὁ Παῦλος, θέλοντας νὰ δηλώσει αὐτό, λέγει· «Διότι ποιὸ εἶναι αὐτὸ ποὺ πρέπει νὰ ζητοῦμε στὶς προσευχές μας δὲν γνωρίζομε»[66]. Ἂν δὲ ὁ Παῦλος δὲν γνωρίζει μετὰ ἀπὸ τόση γνώση, τί θαυμάζεις ἂν αὐ-

τὴν πρὸς Θεὸν φέρουσαν, καὶ οἴκοθεν παρέχοντα τὰς ἀρχάς. Οὐ γὰρ ἁπλῶς εἶπε, «Γνώρισόν μοι, Κύριε, τὴν ὁδὸν» 'τὴν πρὸς σὲ φέρουσαν', ἀλλὰ τί; Ἐπειδὴ «πρὸς σὲ ἦρα τὴν ψυχήν μου»· τουτέστι, πρὸς σὲ κέχηνα, πρὸς σὲ βλέπω. Τούτοις γὰρ μάλιστα ὁ Θεὸς γνωρίζει. Διὸ περὶ Ἰουδαίων ἔλεγεν, ἐρωτώμενος διὰ τί ἐν παραβολαῖς λαλεῖ αὐτοῖς, «Ὅτι βλέποντες οὐ βλέπουσι, καὶ ἀκούοντες οὐκ ἀκούουσι». Τὸ δέ, «Ἦρα», μετέστησα, ἢ μετέθηκα πρὸς σὲ ψυχήν μού ἐστιν.

«Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον». Ὅρα πανταχοῦ τὰς αἰτίας καὶ παρὰ τοῦ δεομένου προσφερομένας. «Μὴ ἀποστρέψῃς», φησί, «τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, ὅτι ἤλπισα ἐπὶ σέ. Γνώρισόν μοι ὁδόν, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὅτι πρὸς σὲ κατέφυγον. Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου». Οὐκ εἶπε, δίδαξόν με τὸ θέλημά σου ἁπλῶς, ἀλλά, «Τοῦ ποιεῖν τὸ θέλημά σου»· τουτέστιν, εἰς τὰ ἔργα αὐτὰ ἐμβίβασον. Τῆς γὰρ ἄνωθεν ῥοπῆς χρεία, καὶ ἐκεῖθεν τῆς διδασκαλίας, ὥστε βαδίζειν τὴν ἐπὶ τὴν ἀρετὴν φέρουσαν ὁδόν· οὐχ ἡμῶν ἀργούντων, ἀλλὰ καὶ ἡμῶν τὰ παρ' ἑαυτῶν εἰσφερόντων. «Ὅτι σὺ εἶ ὁ Θεός μου». Ὁρᾷς τὰς αἰτήσεις αὐτοῦ πνευματικάς; Οὐ γὰρ περὶ χρημάτων καὶ δυναστείας, καὶ δόξης, ἀλλ' ὑπὲρ τοῦ τὸ θέλημα τοῦ Θεοῦ ποιεῖν, προσάγει τὴν αἴτησιν· ὅπερ ἐστὶ θησαυρὸς τῶν ἀγαθῶν ἁπάντων, καὶ πλοῦτος ἀνελλιπής, καὶ εὐημερίας ἀρχή, καὶ ῥίζα, καὶ μέσα, καὶ τέλος.

«Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ». Ὁρᾷς πῶς μανθάνομεν, πῶς διδασκόμεθα ἀνύειν τὴν ὁδὸν διὰ τοῦ Πνεύματος τοῦ ἁγίου; Διὸ καὶ ὁ Παῦλος ἔλεγεν· «Ἡμῖν δὲ ὁ Θεὸς ἀπεκάλυψε διὰ τοῦ Πνεύματος αὐτοῦ». «Ἐν γῇ εὐθείᾳ». Κατὰ μὲν τὴν ῥῆσιν, τὴν πατρίδα αὐτοῦ φησι, κατὰ δὲ ἀναγωγήν, τὴν ἐ-

67. Ματθ. 13, 13.
68. Α' Κορ. 2, 10.

τὸς λέγει αὐτά; πρόσεχε δὲ αὐτὸν ποὺ δὲν ζητεῖ ἐδῶ τίποτε τὸ αἰσθητό, ἀλλὰ τὴν ὁδὸ ποὺ ὁδηγεῖ πρὸς τὸ Θεὸ καὶ ὁ ἴδιος δὲ κάμνει τὴν ἀρχή. Διότι δὲν εἶπε ἁπλῶς, «Γνώρισέ μου, Κύριε τὴν ὁδό» 'ποὺ ὁδηγεῖ πρὸς ἐσένα', ἀλλὰ τί; «Ἐπειδὴ πρὸς ἐσένα ἔστρεψα τὴν ψυχή μου»· δηλαδή, πρὸς ἐσένα εἶμαι προσηλωμένος, πρὸς ἐσένα ἔχω στραμμένο τὸ βλέμμα μου. Διότι σ' αὐτοὺς πρὸ πάντων ὁ Θεὸς γνωρίζει τὴν ὁδό του. Γι' αὐτὸ γιὰ τοὺς Ἰουδαίους ἔλεγε, ὅταν τὸν ρώτησαν γιατί ὁμιλεῖ πρὸς αὐτοὺς μὲ παραβολές, «Διότι, ἐνῶ ἔχουν μάτια, δὲν βλέπουν, καὶ ἐνῶ ἔχουν αὐτιά, δὲν ἀκοῦν»[67]. Τὸ δὲ «Ἦρα» σημαίνει, μετέφερα ἢ μετέθεσα πρὸς ἐσένα τὴν ψυχή μου».

«Σῶσε με ἀπὸ τοὺς ἐχθρούς μου, Κύριε, γιατὶ πρὸς ἐσένα κατέφυγα». Πρόσεχε παντοῦ ὅτι προσφέρονται καὶ ἀπὸ τὸν προσευχόμενο οἱ αἰτίες γιὰ βοήθεια. «Μὴ ἀποστρέψεις», λέγει, «τὸ πρόσωπό σου ἀπὸ ἐμένα, διότι σὲ σένα στήριξα τὶς ἐλπίδες μου. Γνώρισε μου τὴν ὁδό σου, διότι πρὸς ἐσένα μετέθεσα τὴν ψυχή μου. Σῶσε με ἀπὸ τοὺς ἐχθρούς μου, διότι πρὸς ἐσένα κατέφυγα. Δίδαξέ με νὰ κάμνω τὸ θέλημά σου, διότι σὺ εἶσαι ὁ Θεός μου». Δὲν εἶπε ἁπλῶς, 'δίδαξέ με τὸ θέλημά σου', ἀλλὰ «τὸ νὰ κάμνω τὸ θέλημά σου»· δηλαδὴ καθοδήγησέ με νὰ μεταβάλω αὐτὸ σὲ ἔργα. Δηλαδὴ χρειάζεται ἡ οὐράνια βοήθεια καὶ ἡ διδασκαλία ἀπὸ ἐκεῖ, γιὰ νὰ βαδίζομε τὴν ὁδὸ ποὺ ὁδηγεῖ στὴν ἀρετή· ὄχι παραμένοντας ἐμεῖς ἀδρανεῖς, ἀλλὰ προσφέροντας καὶ ἐμεῖς οἱ ἴδιοι ὅ,τι ἐξαρτᾶται ἀπὸ ἐμᾶς. «Διότι σὺ εἶσαι ὁ Θεός μου». Βλέπεις ὅτι τὰ αἰτήματά του εἶναι πνευματικά; Διότι ἀπευθύνει τὸ αἴτημά του ὄχι γιὰ χρήματα καὶ ἐξουσία καὶ δόξα, ἀλλὰ γιὰ νὰ πράττει τὸ θέλημα τοῦ Θεοῦ, πράγμα ποὺ εἶναι θησαυρὸς ὅλων τῶν ἀγαθῶν καὶ πλοῦτος διαρκής, καὶ ἡ ἀρχὴ τῆς εὐημερίας, ἡ ρίζα, τὸ μέσο καὶ τὸ τέλος αὐτῆς.

«Τὸ Πνεῦμα σου τὸ ἀγαθὸ ἂς μὲ ὁδηγήσει στὴν ὀρθὴ ὁδό». Βλέπεις πῶς μαθαίνομε, πῶς διδασκόμαστε νὰ διανύομε τὴν ὀρθὴ ὁδὸ μὲ τὴ βοήθεια τοῦ ἁγίου Πνεύματος; Γι' αὐτὸ καὶ ὁ Παῦλος ἔλεγε· «Σὲ ἐμᾶς δὲ ὁ Θεὸς τὰ φανέρωσε αὐτὰ μὲ τὸ Πνεῦμα του»[68], «Ἐν γῇ εὐθείᾳ». Σύμφωνα μὲ τὴν κατὰ λέξη σημασία ἐννοεῖ τὴν πατρίδα του, ἀλληγορικὰ ὅμως ἐννοεῖ τὴν ὁ-

πὶ τὴν ἀρετὴν φέρουσαν ὁδόν. Ἄλλος δέ φησι, «Διὰ γῆς ὁμαλῆς». Οὐδὲν γὰρ λειότερον ἀρετῆς, θορύβων ἀπηλλαγμένης καὶ ταραχῆς. «Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με». Ὁρᾷς πάλιν ἐπὶ τὸν Θεὸν καταφεύγοντα, οὐ παρρησίᾳ βίου θαρροῦντα; «Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου». Ἄλλος φησίν, «Ἐν τῇ ἐλεημοσύνῃ σου». Ὁρᾷς πῶς ἀληθές, ὅπερ ἔμπροσθεν ἔλεγον, ὅτι πολλαχοῦ τὴν δικαιοσύνην αὐτοῦ φιλανθρωπίαν καλεῖ; «Ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου». «Εὔχεσθε» γάρ, φησί, «μὴ εἰσελθεῖν εἰς πειρασμόν».

«Καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου». Οὐκ ἐπειδή, φησίν, ἐγὼ ἄξιος, ἀλλὰ διὰ τὴν σὴν φιλανθρωπίαν ἀπάλλαξόν με τῶν πολεμούντων με, ἐλευθέρωσον τῶν ἐπιβουλευόντων, δὸς ἀναπνεῦσαι μικρὸν ἀπὸ τῆς θλίψεως. «Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι». Ὅρα πάλιν τὴν αἰτίαν κειμένην. Οὐ γάρ ἐστιν ἁπλῶς ἐπιτυγχάνειν τῶν αἰτήσεων, ἀλλὰ πανταχοῦ παρασκευάζειν ἑαυτοὺς ἀξίους χρὴ τοῦ λαμβάνειν ἅπερ αἰτοῦμεν, καὶ τὰ παρ' ἑαυτῶν συνεισφέρειν, καὶ οὕτω προσιέναι. Οὐ γὰρ ἀρκεῖ μόνον τῆς εὐχῆς ἡ φύσις· ἐπεὶ καὶ Ἰουδαῖοι ηὔχοντο, καὶ ἤκουον· «Κἂν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν». Καὶ τί θαυμάζεις, εἰ οἱ Ἰουδαῖοι οὐκ ἠκούοντο, ὅπου γε καὶ Ἱερεμίας ὑπὲρ αὐτῶν παρακαλῶν ἐπετιμᾶτο, καὶ ἅπαξ καὶ δὶς ἀκούει, «Μὴ προσεύχου ὑπὲρ τοῦ λαοῦ τούτου, ὅτι οὐκ εἰσακούσομαί σου»; Καὶ τί θαυμάζεις εἰ Ἱερεμίας οὐκ εἰσακούσηται; «Κἂν Νῶε», φη-

---

69. Μαρκ. 14, 38.
70. Ἡσ. 1, 15.
71. Ἱερ. 7, 16.

δὸ ποὺ ὁδηγεῖ στὴν ἀρετή. Ἄλλος δὲ ἑρμηνευτὴς λέγει, «διὰ ὁμαλῆς γῆς». Πράγματι τίποτε δὲν ὑπάρχει πιὸ λεῖο ἀπὸ τὴν ἀρετή, ποὺ εἶναι ἀπαλλαγμένη ἀπὸ τοὺς θορύβους καὶ τὴν ταραχή. «Ἐξ αἰτίας τοῦ ὀνόματός σου, Κύριε, θὰ μπορέσω νὰ ζήσω». Βλέπεις πάλι ποὺ καταφεύγει στὸ Θεό, καὶ δὲν στηρίζει τὶς ἐλπίδες του στὶς προσωπικές του δυνάμεις; «Σύμφωνα μὲ τὴ δικαιοσύνη σου θὰ βγάλεις τὴν ψυχή μου ἔξω ἀπὸ τὴ θλίψη». Ἄλλος λέγει, «Σύμφωνα μὲ τὴν ἐλεημοσύνη σου». Βλέπεις πῶς εἶναι ἀλήθεια, ἐκεῖνο ποὺ ἔλεγα προηγουμένως, ὅτι δηλαδὴ σὲ πολλὲς περιπτώσεις ὀνομάζει τὴ δικαιοσύνη αὐτοῦ φιλανθρωπία; «Θὰ βγάλεις τὴν ψυχή μου μέσα ἀπὸ τὴ θλίψη». Διότι λέγει, «Νὰ προσεύχεσθε νὰ μὴ περιπέσετε σὲ δοκιμασία»[69].

Καὶ σύμφωνα μὲ τὴν εὐσπλαχνία σου θὰ ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου». Ὄχι, λέγει, ἐπειδὴ ἐγὼ εἶμαι ἄξιος, ἀλλ' ἐξ αἰτίας τῆς φιλανθρωπίας σου ἀπάλλαξέ με ἀπὸ αὐτοὺς ποὺ μὲ πολεμοῦν, ἐλευθέρωσέ με ἀπὸ αὐτοὺς ποὺ μὲ ἐπιβουλεύονται, δός μου τὴ δυνατότητα ν' ἀναπνεύσω λίγο ἀπὸ τὴ θλίψη. «Καὶ θὰ ἐξαφανίσεις ὅλους ἐκείνους ποὺ θλίβουν τὴν ψυχή μου, διότι ἐγὼ εἶμαι δοῦλος σου». Πρόσεχε πάλι ποὺ ἀναφέρει τὴν αἰτία ἐξ αἰτίας τῆς ὁποίας ζητεῖ τὴ βοήθειά του. Διότι δὲν εἶναι δυνατὸ νὰ ἐκπληρώνονται ἔτσι ἁπλῶς τὰ αἰτήματά μας, ἀλλὰ παντοῦ πρέπει νὰ καθιστοῦμε τοὺς ἑαυτούς μας ἄξιους γιὰ νὰ λαμβάνομε αὐτὰ ποὺ ζητοῦμε, καὶ νὰ κάμνομε ὅ,τι ἐξαρτᾶται ἀπὸ ἐμᾶς, καὶ τότε νὰ προσερχόμαστε πρὸς αὐτόν. Καθόσον δὲν ἀρκεῖ μόνο ἡ προσευχή· διότι καὶ οἱ Ἰουδαῖοι προσεύχονταν καὶ ἄκουαν· «καὶ ἂν ἀκόμα αὐξήσετε τὶς παρακλήσεις σας, δὲν θὰ σᾶς ἀκούσω»[70]. Καὶ γιατί θαυμάζεις, ἂν οἱ Ἰουδαῖοι δὲν εἰσακούονταν, τὴ στιγμὴ βέβαια ποὺ καὶ ὁ Ἰερεμίας δεχόταν ἐπιτίμηση, ἀπ' αὐτὸν παρακαλῶντας τον γι' αὐτούς, καὶ ἀκούει ἀπ' αὐτὸν μία καὶ δύο φορές, «Μὴ προσεύχεσαι γιὰ τὸ λαὸ αὐτό, διότι δὲν θὰ εἰσακούσω τὴν προσευχή σου»[71]; Καὶ γιατί θαυμάζεις ἐὰν ὁ Ἰερεμίας δὲν εἰσακούεται; «Καὶ ἂν ἀκόμα», λέγει, «προσευχηθεῖ ὁ Νῶε, καὶ ἂν ἀκόμα ὁ Ἰώβ, καὶ ἂν ἀκόμα

σί, «κἂν Ἰώβ, κἂν Δανιὴλ στῶσιν, υἱοὺς αὐτῶν καὶ θυγατέρας οὐ μὴ ἐξέλωνται».

Ταῦτα τοίνυν εἰδότες, μὴ μόνον εὐχώμεθα, ἀλλὰ μετὰ τῶν εὐχῶν ἀξίους ἑαυτοὺς παρασκευάζωμεν τοῦ λαβεῖν, ἵνα καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

72. Ἰεζ. 14, 20.

ὁ Δανιήλ, δὲν θὰ σώσουν τοὺς υἱούς τους καὶ τὶς θυγατέρες τους»[72].

Γνωρίζοντας λοιπὸν αὐτά, ἂς μὴ προσευχόμαστε μόνο, ἀλλὰ μαζὶ μὲ τὶς προσευχὲς ἂς καθιστοῦμε καὶ τοὺς ἑαυτούς μας ἄξιους γιὰ νὰ λάβουν αὐτὸ ποὺ ζητοῦν, γιὰ νὰ ἐπιτύχουμε καὶ τὰ παρόντα καὶ μελλοντικὰ ἀγαθά, τὰ ὁποῖα εὔχομαι ὅλοι μας νὰ ἐπιτύχουμε μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη, στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟΝ ΡΜΓ' ΨΑΛΜΟΝ.

«Εὐλογητὸς ὁ Κύριος ὁ Θεός μου, ὁ διδάσκων τὰς χεῖράς μου εἰς παράταξιν, τοὺς δακτύλους μου εἰς πόλεμον».

1. Τί λέγεις; πολέμων διδάσκαλος ὁ Θεός, καὶ μάχης, καὶ παρατάξεως; Μάλιστα μέν· οὐκ ἂν τις ἁμάρτοι καὶ τὴν ἐν τούτοις νίκην αὐτῷ λογιζόμενος. Τοῦτο γάρ ἐστιν, «Ὁ διδάσκων τὰς χεῖράς μου». Τουτέστιν, ὁ ποιῶν περιγενέσθαι τῶν πολεμίων, κρατεῖν, τρόπαιον ἐγείρειν. Καὶ γὰρ ἡνίκα τὸν Γολιὰθ κατέβαλεν, ἐκεῖνος ὁ τῆς νίκης αἴτιος, καὶ ἡνίκα πολλοὺς πολέμους κατώρθωσε, καὶ τρόπαια ἔστησε, καὶ αὐτάνδρους εἷλε πολεμίας τινὰς πόλεις, οὗτος αὐτὸν κρατῆσαι ἐποίησεν. Διὸ καὶ ᾄδων ἔλεγε· «Κύριος κραταιὸς καὶ δυνατός, Κύριος δυνατὸς ἐν πολέμῳ». Καὶ ἐπὶ τοῦ Μωϋσέως δὲ πολλὰ τοιαῦτα εἰργάσατο. Πλὴν ἀλλ' ἔστι καὶ ἕτερος πόλεμος τούτου χαλεπώτερος, ἔνθα ἡμῖν μάλιστα τῆς ἄνωθεν ῥοπῆς δεῖ, ὅταν πρὸς τὰς ἀντικειμένας παρατάττώμεθα δυνάμεις. Ὅτι δὲ πρὸς ταύτας ἡμῖν ἐστι πόλεμος, ἄκουε Παύλου λέγοντος· «Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου»· διὰ τοῦ-

---

* Ψαλμὸς τοῦ Δαυίδ, ὁ ὁποῖος βρίσκεται μπροστὰ σὲ νέους ἐχθρούς, καὶ ἐνθυμούμενος τὴ νίκη του κατὰ τοῦ Γολιάθ, καταφεύγει στὸ Θεὸ καὶ ζητᾶ τὴ βοήθειά του γιὰ νὰ συντρίψει αὐτούς, ὁπότε νέο ὕμνο εὐχαριστίας καὶ δοξολογίας θὰ ἀναπέμψει πρὸς αὐτόν. Πολλοὶ μακαρίζουν τὴ μάταια εὐτυχία τῶν ἐχθρῶν, ὅμως πραγματικὰ μακάριος εἶναι ἐκεῖνος ποὺ Θεός του εἶναι ὁ Κύριος.

Ο Μ Ι Λ Ι Α

ΣΤΟ ΡΜΓ' ΨΑΛΜΟ*

«Ἂς εἶναι εὐλογημένος ὁ Κύριος ὁ Θεός μου, ποὺ διδάσκει τὰ χέρια μου κατὰ τὴν ἀντιμετώπιση τῶν ἐχθρῶν μου καὶ τὰ δάχτυλά μου στὸν πόλεμό μου πρὸς αὐτούς.

1. Τί λέγεις; Ὁ Θεὸς εἶναι διδάσκαλος πολέμων, μάχης καὶ πολεμικῶν παρατάξεων; Ἀσφαλῶς ναί· καὶ δὲν θὰ ἤθελε σφάλλει κανεὶς ἂν ἀπέδιδε σ' αὐτὸν καὶ τὴ νίκη κατὰ τὴ διεξαγωγὴ ὅλων αὐτῶν. Διότι αὐτὸ σημαίνει, «Ὁ ὁποῖος διδάσκει τὰ χέρια μου». Δηλαδή, αὐτὸς ποὺ συντελεῖ νὰ καταβάλουμε τοὺς ἐχθρούς, νὰ ὑπερισχύουμε αὐτῶν, νὰ στήνουμε τρόπαιο νίκης. Διότι καὶ ὅταν ὁ Δαυὶδ κατέβαλε τὸν Γολιάθ, ἐκεῖνος ἦταν ὁ αἴτιος τῆς νίκης, καὶ ὅταν κατόρθωσε νὰ κερδίσει πολλοὺς πολέμους καὶ τρόπαια νίκης ἔστησε καὶ κυρίευσε ὁρισμένες ἐχθρικὲς πόλεις μὲ ὅλους τοὺς κατοίκους τους, αὐτὸς τὸν ἔκαμε νὰ ὑπερισχύσει σ' ὅλα αὐτά. Γι' αὐτὸ καὶ ψάλλοντας ἔλεγε· «Ὁ Κύριος εἶναι ἰσχυρὸς καὶ δυνατός, ὁ Κύριος εἶναι δυνατὸς στὸν πόλεμο»[1]. Καὶ στὴν περίπτωση δὲ τοῦ Μωυσῆ πολλὰ τέτοια ἐπιτέλεσε. Πλὴν ὅμως ὑπάρχει καὶ ἄλλος πόλεμος φοβερότερος ἀπὸ αὐτόν, ὅπου κατ' ἐξοχὴ χρειαζόμαστε τὴν οὐράνια βοήθεια, ὅταν παρατασσόμαστε ἐναντίον τῶν δυνάμεων ποὺ ἀντιτίθενται στὸ θέλημα τοῦ Θεοῦ. Τὸ ὅτι δὲ ὁ πόλεμός μας γίνεται ἐναντίον τῶν δυνάμεων αὐτῶν, ἄκουε τὸν Παῦλο ποὺ λέγει· «Ἡ πάλη μας δὲν γίνεται πρὸς ἀνθρώπους μὲ αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὶς ἀρχές, πρὸς τὶς ἐξουσίες, πρὸς τοὺς κοσμοκράτορες τοῦ σκότους τοῦ αἰώνα αὐτοῦ»[2]· γι' αὐτὸ καὶ εἶναι φοβε-

---

1. Ψαλμ. 82, 3.

2. Ἐφ. 6, 12.

το καὶ χαλεπώτερος, ὅτι ἐξ ἑτέρας φύσεως αἱ φάλαγγες, καὶ ταύτης ἀοράτου, καὶ ὅτι οὐ περὶ μικρῶν ὁ ἀγών, ἀλλὰ περὶ σωτηρίας καὶ ἀπωλείας.

Ἐνταῦθα οὐκ ἔστι τοὺς σφαττομένους ἰδεῖν, οὐ τὸν καιρὸν προμαθεῖν, οὐ δυσκολίαν, οὐ τόπον, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. Καὶ γὰρ καὶ ἐν ἀγορᾷ, καὶ ἐν οἰκίᾳ καὶ παιζόντων καὶ ῥαθυμούντων ἐπιτίθενται αὗται αἱ φάλαγγες· ὥστε πεφραγμένους καὶ διαπαντὸς δεῖ εἶναι. Οὐ γὰρ οἶδεν ἀνακωχὴν ὁ πόλεμος, οὐδὲ ἔχει κήρυκας, οὐδὲ πρέσβεις, οὐδὲ ἄλλο τῶν τοιούτων οὐδέν, ἀλλ' ἀκήρυκτός ἐστιν ἡ μάχη· διὸ δὴ μάλιστα πάντοθεν φράττεσθαι καὶ τρέφεσθαι εὐτόνως χρή. Τροφὴ δὲ τοῦ πολέμου τούτου καὶ ὅπλα τῶν τοιούτων στρατιωτῶν, τῶν θείων Γραφῶν ἡ ἀκρόασις. Ταύτης ὁ μὴ ἀπολαύων, λιμῷ τήκεται. Δώσω γὰρ αὐτοῖς, φησίν, «οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου». Καὶ ἐνταῦθα τοίνυν, ὥσπερ καὶ ἐν τοῖς αἰσθητοῖς πολέμοις, τῆς ἄνωθεν χρεία ῥοπῆς. «Οὐ σώζεται» γάρ, φησί, «βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ. Ψευδὴς ἵππος εἰς σωτηρίαν, ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ οὐ σωθήσεται». Οὕτω γοῦν οἱ πολλοὶ τοὺς πολεμίους ἐτροποῦντο, τὸ πρότερον εὐχῶν προηγουμένων, καὶ τὰς πολεμίας φάλαγγας καταβαλουσῶν.

«Ἔλεός μου καὶ καταφυγή μου, ἀντιλήπτωρ μου καὶ ῥύστης μου». Ὁρᾷς πάλιν ἀπὸ φιλανθρωπίας ἀξιοῦντα σώζεσθαι; Μᾶλλον δὲ καὶ ἕτερόν τι ἐνταῦθα αἰνίττεται. Δείκνυσι γὰρ διὰ τούτου καὶ λέγει, ὅτι οὐδὲ αὐτοῦ τοῦ ἐλέους ἄξιος ἤμην, εἰ μὴ αὐτὸς ἐπένευσεν. Αὐτὸς οὖν ἐστιν «Ὁ ἔλεός μου», φησίν· οὐκ ἐγὼ ἔσχον

---

3. Ἀμὼς 8, 11.
4. Ψαλμ. 32, 16-17.

ρότερος, διότι εἶναι διαφορετικῆς φύσεως οἱ φάλαγγες, καὶ μάλιστα ἡ φάλαγγα αὐτὴ εἶναι ἀόρατη καὶ ὅτι ὁ ἀγώνας δὲν γίνεται γιὰ ἀσήμαντα πράγματα, ἀλλ' εἶναι ἀγώνας σωτηρίας ἢ καταστροφῆς.

Στὸν πόλεμο αὐτὸ δὲν μπορεῖ κανεὶς νὰ δεῖ τοὺς σφαγμένους, οὔτε νὰ γνωρίσει ἀπὸ πρὶν τὴν ὥρα τῆς μάχης, οὔτε τὴ δυσκολία, οὔτε τὸν τόπο, οὔτε τίποτε ἄλλο ἀπὸ τὰ ὅσα συμβαίνουν στοὺς πολέμους. Καθόσον αὐτὲς οἱ φάλαγγες ἐπιτίθενται καὶ στὴν ἀγορά, καὶ στὴ οἰκία, καὶ ὅταν παίζουμε, καὶ ὅταν εἴμαστε ἀδιάφοροι· ὥστε γι' αὐτὸ χρειάζεται νὰ εἴμαστε διαρκῶς ὀχυρωμένοι. Διότι ὁ πόλεμος αὐτὸς δὲν γνωρίζει ἀνακωχή, οὔτε ἔχει κήρυκες, οὔτε πρέσβεις, οὔτε τίποτε ἄλλο παρόμοιο, ἀλλ' εἶναι ἀπροειδοποίητη ἡ μάχη· γι' αὐτὸ λοιπὸν πρὸ πάντων πρέπει νὰ περιφρουρούμαστε ἀπὸ παντοῦ καὶ νὰ τρεφόμαστε μὲ δυνατὲς τροφές. Τροφὴ δὲ τοῦ πολέμου αὐτοῦ καὶ ὅπλα τῶν στρατιωτῶν αὐτοῦ τοῦ εἴδους εἶναι ἡ ἀκρόαση τῶν θείων Γραφῶν. Ἐκεῖνος ποὺ δὲν ἀπολαμβάνει αὐτὴ τὴν τροφή, πεθαίνει ἀπὸ τὴν πείνα. Διότι λέγει θὰ δώσω σ' αὐτοὺς «Ὄχι πείνα ἄρτου, οὔτε δίψα νεροῦ, ἀλλὰ τέτοια, ὥστε νὰ πεινάσουν ν' ἀκούσουν τὸ λόγο τοῦ Κυρίου»[3]. Καὶ ἐδῶ λοιπόν, ὅπως ἀκριβῶς καὶ στοὺς αἰσθητοὺς πολέμους, χρειάζεται ἡ οὐράνια βοήθεια. Διότι λέγει, «Δὲν σώζεται ὁ βασιλιὰς ἐξ αἰτίας τῆς μεγάλης δυνάμεώς του, καὶ ὁ γίγας δὲν θὰ σωθεῖ λόγω τοῦ πλήθους τῆς δυνάμεώς του. Ἀπατᾶται ἐκεῖνος ποὺ στηρίζει τὴ σωτηρία του στὸ ἱππικὸ καὶ δὲν θὰ σωθεῖ ἐκεῖνος ποὺ στηρίζεται στὸ πλῆθος τῶν δυνάμεών του»[4]. Ἔτσι λοιπὸν πολλοὶ κατατρόπωναν τοὺς ἐχθρούς τους· προηγοῦνταν προσευχὲς ποὺ κατέβαλλαν τὶς ἐχθρικὲς φάλαγγες.

«Αὐτὸς εἶναι τὸ ἔλεός μου καὶ τὸ καταφύγιό μου, ὁ βοηθός μου καὶ ὁ λυτρωτής μου». Βλέπεις πάλι ποὺ ζητεῖ τὴ σωτηρία του ἀπὸ τὴ φιλανθρωπία τοῦ Θεοῦ; Μᾶλλον δὲ καὶ κάτι ἄλλο ὑπαινίσσεται ἐδῶ. Δείχνει δηλαδὴ μ' αὐτὸ καὶ λέγει, ὅτι οὔτε αὐτοῦ τοῦ ἐλέους του θὰ ἤμουν ἄξιος, ἐὰν αὐτὸς δὲν μὲ εὐσπλαχνιζόταν. Αὐτὸς λοιπόν, λέγει, εἶναι «Τὸ ἔλεός μου»· δὲν ἐπέ-

αὐτὸν ἐν τοῖς ἔργοις. Εἰ γὰρ καὶ ἔλεός ἐστιν, ἀλλ' οὐκ ἀκρίτως ἅπασιν ἔπεισιν· «Ἐλεήσω» γάρ, φησίν, «ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω». Δεῖ τοίνυν, εἰ καὶ ἐλεεῖσθαι μέλλομεν, παρέχεσθαι τὰς ἀφορμὰς οἴκοθεν τῆς τοιαύτης φιλανθρωπίας. Οὗτος δὲ καὶ αὐτὸ τὸ ἐλεηθῆναι παρ' αὐτοῦ ἔχειν λέγει. Εἶδες συντετριμμένην ψυχήν; εἶδες γνώμην εὐγνώμονα, καὶ πῶς τὸ πᾶν ἀνατίθησι τῷ φιλανθρώπῳ Θεῷ;

«Ἀντιλήπτωρ μου καὶ ρύστης μου, ὑπερασπιστής μου, καὶ ἐπ' αὐτῷ ἤλπισα». Συνεχῶς περιστρέφει τὴν ἐλπίδα τὴν εἰς αὐτόν, παιδεύων ἅπαντας μὴ βαπτίζεσθαι τοῖς δεινοῖς, ἀλλὰ καὶ ἐν μέσαις ταῖς συμφοραῖς ἐκεῖ κεχηνέναι, μηδὲ ἀπαγορεύειν καὶ ἀναπεπτωκέναι. «Αὐτὸς γάρ ἐστιν ὁ ἀντιλήπτωρ μου καὶ ρύστης μου». Ὥστε κἂν μὴ παρ' αὐτὰ τῶν δεινῶν τὰ προοίμια ἀντιλάβηται, μηδὲ ρύσηται, δεῖ θαρρεῖν. Εἰ τοίνυν αὐτός ἐστιν ἀντιλήπτωρ, πάντας ἀπαλλάξει τῶν δεινῶν. Ἐλπὶς γὰρ μάλιστα τότε ἐστίν, ὅταν τῶν ὁρωμένων εἰς ἀπόγνωσιν ἐμβαλλόντων, αὕτη θαρρεῖν ὑπὲρ τοῦ μέλλοντος παρασκευάζῃ. «Ὁ ὑποτάσσων λαόν μου ὑπ' ἐμέ». Καλῶς οὕτως εἶπε. Καὶ γὰρ καὶ ἐνταῦθα τῆς ἄνωθεν χρεία βοηθείας, ὥστε εἴκειν τοὺς ὑπηκόους, καὶ μὴ στασιάζειν, μηδὲ κατεξανίστασθαι. Οὐκ ἄρα ἐν τῇ τῶν ἐχθρῶν καὶ τῶν πολεμίων ὑποταγῇ, ἀλλὰ καὶ ἐν τῇ τῶν οἰκείων πολλῆς ἡμῖν τῆς ἄνωθεν δεῖ ροπῆς. Καὶ γὰρ καὶ τοῦτο μέγα ἐστί, τὸ τοὺς οἰκείους εὖ διαθεῖναι, καὶ οὐκ ἔλαττον τοῦ τῶν ἐχθρῶν περιγενέσθαι. Πολλοὶ γοῦν πολλάκις ἐν πολέμοις μὲν τρόπαια ἔστησαν, ἐν εἰρήνῃ δὲ κατεκόπησαν, τῶν ἀρχομένων οὐκ εἰδότες φέρειν τὰς ἡνίας. Οὐκ ἄρα ἐν τῇ δυνάμει τῆς βασιλείας ἐστὶ τὸ ὑποτετά-

5. Ρωμ. 9, 15.

τυχα τὴ βοήθειά του μὲ τὰ ἔργα μου. Ἀλλὰ βέβαια ἂν καὶ εἶναι εὐσπλαχνικός, ὅμως δὲν ἔρχεται νὰ βοηθήσει ὅλους ἀδιάκριτα. Διότι λέγει, «θὰ ἐλεήσω ἐκεῖνον ποὺ εἶναι ἄξιος τῆς εὐσπλαχνίας μου καὶ θὰ εὐσπλαχνισθῶ ἐκεῖνον ποὺ γνωρίζω ὅτι εἶναι ἄξιος τῶν οἰκτιρμῶν μου»[5]. Πρέπει λοιπόν, ἐὰν θέλουμε νὰ ἐπιτύχουμε τὸ ἔλεος τοῦ Θεοῦ, νὰ δημιουργοῦμε ἀπὸ μόνοι μας τὶς ἀφορμὲς γιὰ τὴ φιλανθρωπία αὐτὴ τοῦ Θεοῦ. Αὐτὸς δὲ λέγει ὅτι καὶ αὐτὸ τὸ ἔλεος τὸ ἔχει ἀπὸ τὸ Θεό. Εἶδες ψυχὴ γεμάτη ἀπὸ συντριβή; εἶδες γνώμη γεμάτη ἀπὸ εὐγνωμοσύνη, καὶ πῶς τὸ πᾶν ἀποδίδει στὸ φιλάνθρωπο Θεό;

«Αὐτὸς εἶναι βοηθός μου, καὶ λυτρωτής μου, καὶ ὑπερασπιστής μου, καὶ σ' αὐτὸν στήριξα τὶς ἐλπίδες μου». Συνέχεια ἐπαναλαμβάνει τὴν ἐλπίδα του πρὸς αὐτόν, γιὰ νὰ μᾶς διδάξει ὅλους νὰ μὴ πνιγόμαστε μέσα στὶς δοκιμασίες, ἀλλά, καὶ βρισκόμενοι μέσα στὶς συμφορές, πρὸς ἐκεῖνον νὰ στρέφομε τὸ βλέμμα μας, καὶ νὰ μὴ ἀπογοητευόμαστε καὶ νὰ χάνομε τὶς ἐλπίδες μας. Διότι «Αὐτὸς εἶναι ὁ βοηθός μου καὶ λυτρωτής μου». Ὥστε καὶ ἂν ἀκόμα δὲν μᾶς βοηθήσει ἀπὸ τὴν ἀρχὴ τῶν συμφορῶν, οὔτε μᾶς ἐλευθερώσει ἀπ' αὐτές, πρέπει νὰ ἐλπίζομε σ' αὐτόν. Διότι, ἐὰν αὐτὸς εἶναι βοηθός μας, ὅλους θὰ μᾶς ἀπαλλάξει ἀπὸ τὶς συμφορές. Διότι ἡ ἐλπίδα τότε πρὸ πάντων ὑπάρχει, ὅταν, ἐνῶ τὰ φαινόμενα μᾶς ὁδηγοῦν σὲ ἀπόγνωση, αὐτὴ μᾶς ἐνισχύει νὰ ἔχομε θάρρος γιὰ τὸ μέλλον. «Ὁ ὁποῖος ὑποτάσσει τὸ λαό μου σὲ ἐμένα». Σωστὰ τὸ εἶπε αὐτό. Καθόσον καὶ ἐδῶ χρειάζεται ἡ θεία βοήθεια, ὥστε νὰ ὑπακούουν οἱ ὑπήκοοι καὶ νὰ μὴ ἐπαναστατοῦν, οὔτε καὶ νὰ ἐξεγείρονται. Ἑπομένως χρειαζόμαστε μεγάλη οὐράνια βοήθεια ὄχι μόνο γιὰ τὴν ὑποταγὴ τῶν ἐχθρῶν καὶ ἀντιπάλων, ἀλλὰ καὶ τῶν δικῶν μας. Καθόσον καὶ αὐτὸ εἶναι πολὺ σπουδαῖο, τὸ νὰ εἶναι εὐνοϊκὲς οἱ διαθέσεις ἀπέναντί μας τῶν δικῶν μας, καὶ δὲν εἶναι μικρότερο πράγμα αὐτὸ ἀπὸ τὸ νὰ ὑπερισχύουμε τῶν ἐχθρῶν μας. Διότι πολλοὶ πολλὲς φορὲς ἔστησαν μὲν τρόπαια στοὺς πολέμους, κατασφάχθηκαν ὅμως σὲ καιρὸ εἰρήνης, ἐπειδὴ δὲν γνώριζαν νὰ ὁδηγοῦν τὰ ἡνία τῶν ἀρχομένων. Ἑπομένως ἡ ὑ-

χθαι τὰ στρατόπεδα, ἀλλ' ἐν τῇ τοῦ Θεοῦ ῥοπῇ. Ὥσπερ δὲ ἀπὸ ταύτης αἱ τῶν πολεμίων νῖκαι, οὕτω καὶ αἱ τῶν οἰκείων ὑποταγαί.

«Κύριε, τί ἐστιν ἄνθρωπος, ὅτι ἐγνώσθης αὐτῷ; ἢ υἱὸς ἀνθρώπου, ὅτι λογίζῃ αὐτόν;». Ἕτερος, «Τί ἄνθρωπος, καὶ γνώσῃ αὐτόν;». Ἕτερος, «Ὅτι γνωρίζεις αὐτόν;». Ἆρα μέγαν τινὰ εἶναι χρὴ τὸν μέλλοντα τὸν Θεὸν γνωρίζειν, μᾶλλον δὲ τὸν μέλλοντα γνωρίζεσθαι παρ' αὐτοῦ· οὐ τοῦτον δὲ μόνον, ἀλλὰ καὶ ἐκεῖνον, ᾧ μέλλει γνωρίζειν ἑαυτὸν ὁ Θεός. Διὸ καὶ ἄριστα εἰρήκασιν οἱ ἑβδομήκοντα τό, «Ἐγνώσθης αὐτῷ», δεικνύοντες ὅτι οὐχ ἡμεῖς αὐτὸν εὕρομεν, ἀλλὰ αὐτὸς ἡμῖν εὑρέθη. Οὐ γὰρ εἶπε, 'τί ἐστιν ἄνθρωπος ὁ γνωρίσας σε', ἀλλά, «Τί ἐστιν ἄνθρωπος, ὅτι ἐγνώσθης αὐτῷ;».

2. Διὸ καὶ Παῦλος ἄνω καὶ κάτω συνεχῶς τοῦτο περιστρέφει λέγων· «Τότε δὲ ἐπιγνώσομαι καθὼς καὶ ἐπεγνώσθην». Καὶ αὐτὸς δὲ ὁ Χριστός· «Οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς». Καὶ ἑτέρωθι δὲ πάλιν ὁ Παῦλος· «Εἰ δέ τις ἀγαπᾷ τὸν Θεόν, οὗτος ἔγνωσται ὑπ' αὐτοῦ». Διὰ δὴ τοῦτο καὶ συνεχῶς ἑαυτὸν ἄνω καὶ κάτω κλητὸν λέγει, δεικνὺς ὅτι οὐκ αὐτὸς ἐπέδραμεν, ἀλλὰ πρότερον ἐκλήθη. Οὕτω καὶ ἀλλαχοῦ φησι· «Διώκω δέ, εἰ καὶ καταλάβω, ἐφ' ᾧ καὶ κατελήφθην». Οὐκ εἶπε, 'κατέβαλον', ἀλλά, «Καὶ κατελήφθην». Πῶς δὲ λέγει οὗτος, «Τί ἐστιν ἄνθρωπος;». Καί τοι ἄλλος φησί, «Μέγα ἄνθρωπος, καὶ τίμιον ἀνὴρ ἐλεήμων». Καὶ ἄλλος· «Κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν». Καὶ γὰρ τῆς κτίσεως ἁπάσης τὴν ἐπιστασίαν ἔλαχεν. Εἰ-

---

6. Α' Κορ. 13, 12.
7. Ἰω. 15, 16.
8. Α' Κορ. 8, ε.
9. Φιλιπ. 3, 12.
10. Παροιμ. 20, 6.
11. Γέν. 1, 27.
12. Πρβλ. Σοφ. Σειρὰχ 17, 2.

ποταγὴ τῶν στρατοπέδων δὲν εἶναι ἀποτέλεσμα τῆς δυνάμεως τοῦ βασιλέως, ἀλλὰ τῆς βοήθειας τοῦ Θεοῦ. Ὅπως ἀκριβῶς δὲ ἀπὸ αὐτὴν ἐξαρτῶνται οἱ νίκες κατὰ τῶν ἐχθρῶν, ἔτσι καὶ οἱ ὑποταγὲς τῶν ὑπηκόων μας.

«Κύριε, τί εἶναι ὁ ἄνθρωπος, ὥστε νὰ φανερώσεις σ' αὐτὸν τὸν ἑαυτό σου; ἢ τί εἶναι ὁ υἱὸς τοῦ ἀνθρώπου, ὥστε νὰ σκέπτεσαι αὐτόν;». Ἄλλος λέγει, «Τί εἶναι ὁ ἄνθρωπος καὶ θὰ γνωρίσεις αὐτόν;». Ἄλλος, «Ὥστε νὰ γνωρίζεις αὐτόν;». Ἑπομένως πρέπει νὰ εἶναι κάποιος σπουδαῖος ἐκεῖνος ποὺ πρόκειται νὰ γνωρίσει τὸ Θεό, μᾶλλον δὲ ἐκεῖνος ποὺ πρόκειται νὰ γνωρισθεῖ ἀπ' αὐτόν· ὄχι δὲ μόνο αὐτός, ἀλλὰ καὶ ἐκεῖνος στὸν ὁποῖο πρόκειται νὰ γνωρίσει ὁ Θεὸς τὸν ἑαυτό του. Γι' αὐτὸ καὶ πολὺ ὀρθὰ οἱ ἑβδομήκοντα εἶπαν, «γνώρισες τὸν ἑαυτό σου σ' αὐτόν», γιὰ νὰ δείξουν ὅτι δὲν βρήκαμε ἐμεῖς αὐτόν, ἀλλ' αὐτὸς φανερώθηκε σ' ἐμᾶς. Διότι δὲν εἶπε, 'τί εἶναι ὁ ἄνθρωπος ὁ ὁποῖος σὲ γνώρισε', ἀλλά, «Τί εἶναι ὁ ἄνθρωπος, ὥστε νὰ φανερώσεις σ' αὐτὸν τὸν ἑαυτό σου;».

2. Γι' αὐτὸ καὶ ὁ Παῦλος παντοῦ αὐτὸ συνέχεια ἐπαναλαμβάνει, λέγοντας· «Τότε δὲ θὰ γνωρίσω αὐτὸν τέλεια, ὅπως αὐτὸς γνώρισε ἐμένα»[6]. Καὶ ὁ ἴδιος δὲ ὁ Χριστὸς λέγει· «Δὲν μὲ ἐκλέξατε ἐσεῖς, ἀλλ' ἐγὼ ἐξέλεξα ἐσᾶς»[7]. Καὶ ἀλλοῦ δὲ πάλι ὁ Παῦλος λέγει· «Ἐὰν δὲ κάποιος ἀγαπᾶ τὸ Θεό, αὐτὸς ἔχει γνωρισθεῖ ἀπὸ αὐτόν»[8]. Γι' αὐτὸ λοιπὸν καὶ συνέχεια ὀνομάζει παντοῦ τὸν ἑαυτό του κλητό, γιὰ νὰ δείξει ὅτι δὲν προσέτρεξε αὐτὸς πρὸς τὸ Χριστό, ἀλλὰ προηγουμένως κλήθηκε. Ἔτσι καὶ σ' ἄλλο μέρος λέγει· «Τρέχω δὲ καὶ καταβάλλω μεγάλη προσπάθεια μήπως καὶ μπορέσω νὰ συλλάβω καὶ νὰ κρατήσω γερὰ ἐκεῖνο γιὰ τὸ ὁποῖο καὶ συνελήφθηκα»[9]. Δὲν εἶπε, 'συνέλαβα', ἀλλά, «καὶ συνελήφθηκα». Πῶς δὲ αὐτὸς λέγει, «Τί εἶναι ὁ ἄνθρωπος;». Ἂν καὶ βέβαια ἄλλος λέγει· «Πολὺ σπουδαῖο πράγμα εἶναι ὁ ἄνθρωπος καὶ πολύτιμος εἶναι ὁ ἄνθρωπος ποὺ κάμνει ἐλεημοσύνες»[10]. Καὶ ἄλλος λέγει· «Ὁ Θεὸς δημιούργησε τὸν ἄνθρωπο σύμφωνα μὲ τὴν εἰκόνα του»[11]. Καθόσον ἀνατέθηκε σ' αὐτὸν ἡ ἐπιστασία ὁλόκληρης τῆς κτίσεως[12]. Ὑπάρ-

σὶ δέ τινες, ὧν οὐδὲ ὁ κόσμος ἀντάξιος. Ἀλλ' ἐκεῖνα μὲν περὶ ἀρετῆς, καὶ ὅταν τινὲς αὐτὴν ἐπιδείξωνται, τὸ δέ, «Τί ἐστιν ἄνθρωπος;», περὶ τῆς φύσεως εἴρηται. Καὶ μὴν καὶ ἡ φύσις μεγάλη· μεγάλη μέν, ἀλλὰ ἐὰν τὴν γνῶσιν ἴδῃς, ἧς κατηξιώθη, πολὺ καταδεεστέρα ταύτης. Ἀκουέτωσαν αἱρετικῶν παῖδες, ὅτι τοσαύτην μανίαν μαίνονται, τὰ μέτρα ὑπερβαίνοντες ἑαυτῶν, καὶ ἄγνοιαν ἐσχάτην νοσοῦσι, τὰ ὑπὲρ αὐτοὺς εἰδέναι φάσκοντες. Ἔστι γὰρ καὶ ἐν ἀγνοίᾳ γνῶσιν, καὶ ἐν γνώσει ἄγνοιαν εἶναι· καὶ εἰ βούλεσθε, ἐπὶ τῶν αἰσθητῶν αὐτὸ γυμνάσωμεν.

Εἰπὲ γάρ μοι, ἄν τις λέγῃ τὴν θάλασσαν δύνασθαι ἐκμετρεῖν, καὶ εἰδέναι πόσους ἔχει κυάθους, ἆρα οὐχ οὗτός ἐστι μάλιστα ὁ ἀγνοῶν, τί ποτέ ἐστι θάλασσα; Ὁ δὲ λέγων μὴ εἰδέναι, ἀλλ' ἄπειρον αὐτῆς τὸν ἀριθμὸν διατεινόμενος, οὗτος μάλιστά ἐστιν ὁ εἰδὼς τί ποτέ ἐστι θάλασσα. Τί δὲ ἐπὶ τοῦ Θεοῦ; Ἄν εἴπῃ τις, εἶδον τὸν Θεόν, καὶ κατέλαβον τῇ ὄψει τῇ ἐμῇ, ἆρ' οὐχ οὗτός ἐστι μάλιστα ὁ ἀγνοῶν τὸν Θεόν, ὁ τὸ ἀόρατον ὁρατὸν εἶναι λέγων, καὶ ἐν προσθήκῃ γνώσεως καὶ τὴν δυνατὴν ἀφαιρούμενος; Ἄν δέ τις ἀόρατον αὐτὸν εἴπῃ, καὶ μηδένα δύνασθαι ὁρᾶν, οὐχ οὗτος μάλιστά ἐστιν ὁ εἰδώς; Τί δὲ πάλιν ἄν τις ἀκατάληπτον αὐτὸν εἴπῃ, ἕτερος δὲ καταληπτόν· ἆρ' οὐχ οὗτος μέν ἐστιν ὁ ἀγνοῶν, ἐκεῖνος δὲ ὁ εἰδώς; Οὐχ ὁρᾷς καὶ Παῦλον ταύτην ἐρχόμενον τὴν ὁδόν, καὶ λέγοντα, «Ἐκ μέρους γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν»; Λόγισαι πόσα γέγονεν, ἵνα μάθωμεν τὸν Θεόν, οὐ τίς ἐστι τὴν οὐσίαν, ἀλλ' ὅτι ἐστί. Τοῦτο γοῦν καὶ ὁ Παῦλος

13. Πρβλ. Ἑβρ. 11, 38.
14. Α' Κορ. 13, 9.

χουν δὲ μερικοὶ μὲ τοὺς ὁποίους δὲν μπορεῖ νὰ συγκριθεῖ οὔτε ὅλος ὁ κόσμος[13]. Ἀλλ' αὐτὰ μὲν λέγονται σχετικὰ μὲ τὴν ἀρετὴ τοῦ ἀνθρώπου, καὶ ὅταν μερικοὶ κατορθώσουν νὰ ἐπιδείξουν αὐτήν, ἐνῶ τό, «Τί εἶναι ὁ ἄνθρωπος;», λέγεται σχετικὰ μὲ τὴ φύση του. Καὶ βέβαια καὶ ἡ φύση του εἶναι μεγάλο πράγμα· μεγάλο μέν, ἀλλ' ἐὰν σκεφθεῖς τὴ γνώση, τὴν ὁποία καταξιώθηκε, εἶναι πολὺ πιὸ κατώτερη ἡ φύση ἀπὸ τὴ γνώση. Ἂς τὸ ἀκούουν οἱ ὀπαδοὶ τῶν αἱρετικῶν, διότι κυριευμένοι ἀπὸ πάρα πολὺ μεγάλη μανία, προχωροῦν πέρα ἀπὸ τὰ μέτρα ποὺ πρέπει, καί, πάσχοντας ἀπὸ τὴν πιὸ χειρότερη μορφὴ ἄγνοιας, ἰσχυρίζονται ὅτι γνωρίζουν αὐτὰ ποὺ βρίσκονται πέρα ἀπὸ τὶς δυνατότητές τους. Διότι γνώση ὑπάρχει καὶ στὴν ἄγνοια, καθὼς ἐπίσης καὶ ἄγνοια στὴ γνώση· καὶ ἂν θέλετε ἂς τὸ ἐξετάσουμε αὐτὸ στὰ αἰσθητὰ πράγματα.

Πές μου λοιπόν, ἂν κάποιος λέγει, ὅτι μπορεῖ νὰ μετρήσει τὴ θάλασσα καὶ ὅτι γνωρίζει πόσα κύπελλα νερὸ ἔχει, ἄραγε δὲν εἶναι αὐτὸς πρὸ πάντων ἐκεῖνος ποὺ ἀγνοεῖ, τί τέλος πάντων εἶναι θάλασσα; Ἐνῶ ἐκεῖνος ποὺ λέγει ὅτι δὲν γνωρίζει αὐτήν, ἀλλ' ὑποστηρίζει ὅτι εἶναι ἄπειρο τὸ μέγεθος αὐτῆς, αὐτὸς πρὸ πάντων εἶναι ἐκεῖνος ποὺ γνωρίζει τί τέλος πάντων εἶναι ἡ θάλασσα. Τί δὲ θὰ μποροῦσε νὰ συμβεῖ στὴν περίπτωση τοῦ Θεοῦ; Ἂν πεῖ κάποιος, εἶδα τὸ Θεό, καὶ γνώρισα αὐτὸν μὲ τὰ μάτια μου, ἄραγε δὲν εἶναι αὐτὸς πρὸ πάντων ἐκεῖνος ποὺ ἀγνοεῖ τὸ Θεό, ποὺ λέγει τὸ ἀόρατο ὁρατό, καὶ μὲ τὴν προσθήκη γνώσεως ἀφαιρεῖ καὶ τὴ γνώση ἐκείνη ποὺ εἶναι δυνατή, Ἂν δὲ κάποιος ὀνομάσει αὐτὸν ἀόρατο καὶ ὅτι δὲν μπορεῖ κανένας νὰ τὸν βλέπει, δὲν εἶναι αὐτὸς πρὸ πάντων ἐκεῖνος ποὺ γνωρίζει αὐτόν; Τί δὲ πάλι ἂν κάποιος ὀνομάσει αὐτὸν ἀκατάληπτο; ἄλλος δὲ καταληπτό; ἄραγε δὲν εἶναι αὐτὸς μὲν ἐκεῖνος ποὺ τὸν ἀγνοεῖ, ἐνῶ ἐκεῖνος ποὺ τὸν γνωρίζει; Δὲν βλέπεις καὶ τὸν Παῦλο ποὺ ἀκολουθεῖ αὐτὸν τὸν τρόπο καὶ λέγει, «Ἐν μέρει γνωρίζομε αὐτὸν καὶ ὁρισμένα μόνο προφητεύομε»;[14] Σκέψου πόσα ἔχουν γίνει γιὰ νὰ γνωρίσομε τὸ Θεό, ὄχι ποιὰ εἶναι ἡ οὐσία του, ἀλλ' ὅτι ὑπάρχει. Αὐτὸ λοιπὸν λέγει καὶ ὁ Παῦλος· «Διότι πρέ-

λέγει· «Πιστεῦσαι γὰρ δεῖ τὸν προσερχόμενον τῷ Θεῷ, ὅτι ἐστίν». Ἡ κτίσις ἅπασα αὐτὸν ἀνακηρύττει («Ἐκ γὰρ μεγέθους», φησί, «καὶ καλλονῆς κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς θεωρεῖται»), τοῦ ἀνθρώπου αὐτὴ ἡ κατασκευή, αἱ τιμαὶ αἱ παρ' αὐτοῦ δεδομέναι, αἱ κολάσεις, αἱ εὐεργεσίαι, αἱ οἰκονομίαι, τὰ διὰ τῶν προφητῶν προαναπεφωνημένα, τὰ θαύματα τὰ διάφορα.

Μετὰ ταῦτα ἦλθεν αὐτὸς ὁ Μονογενής, καὶ τὴν οἰκονομίαν τὴν θαυμαστὴν ἐκείνην καὶ φρικτὴν ἐπλήρωσε. Καὶ ὅμως εἰσί τινες, οἱ μηδέπω τὸ σαφὲς μαθόντες· καὶ σὺ λέγεις ἐξ οἰκείων λογισμῶν δύνασθαι καταλαμβάνειν τὸ τί τὴν οὐσίαν ἐστίν; Οὐκοῦν ἀγνοεῖς τὸν Θεόν; φησίν. Ἄπαγε· ἀλλ' οἶδα μέν, ὅτι ἔστι, καὶ ὅτι φιλάνθρωπος, καὶ ὅτι ἀγαθός, καὶ ὅτι προνοῶν, καὶ τὰ ἄλλα ἅπαντα ὅσα εἶπον αἱ Γραφαί· τὸ δὲ τί τὴν οὐσίαν, οὐκ οἶδα. Ἐνόμισε καὶ ὁ Ἀδὰμ πλέον εὑρίσκειν, τῷ διαβόλῳ πεισθείς, καὶ διὰ τῆς πλεονεξίας ταύτης καὶ ὃ εἶχεν ἀπώλεσεν. Ὅπερ καὶ οὗτοι πάσχουσιν ἀπὸ τῶν ἀνθρωπίνων λογισμῶν ἐναγόμενοι, καὶ οὐκ ἀκούοντες ὅτι Κύριος δίδωσι σοφίαν, καὶ ἀπὸ προσώπου αὐτοῦ γνῶσις καὶ σύνεσις. Οὐκ ἀκούουσι Παύλου λέγοντος, «Διὰ τοῦ Πνεύματος ἀπεκάλυψεν ἡμῖν», καὶ τοὺς λογισμοὺς ἐκβάλλοντος; «Λογισμούς», φησί, «καθαιροῦντες, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ». Καὶ ἄλλος σοφός· «Λογισμοὶ ἀνθρώπων δειλοί, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν».

«Τί ἐστιν ἄνθρωπος, ὅτι ἐγνώσθης αὐτῷ». Ἐννόησον τὸ ἄπειρον ἐκεῖνο μέγεθος· μᾶλλον δὲ οὐδὲ τοῦτο λέγων, ἀξίως Θεοῦ λέγω· ἀλλ' οὐκ οἶδα πῶς λαλήσω· οὐδὲ γὰρ μέγεθος ἐπὶ Θεοῦ λέγοντες, κυρίως λέγομεν, ἀλλ' ἐπειδὴ οὐκ ἔστιν ἑτέρως φθέγγεσθαι, τοῖς ἐγχωροῦσι κέχρημαι ῥήμασιν. Ἐπεὶ καὶ 'Ὕψιστον' αὐτὸν καλῶν, οὐ τόπῳ αὐτὸν περιορίζω, ἀλλὰ καὶ τὸ ὑψη-

15. Ἑβρ. 11, 6.
16. Σοφ. Σολ. 13, 5.
17. Α' Κορ. 2, 10.
18. Β' Κορ. 10, 5.
19. Σοφ. Σολ. 9, 5.

πει ἐκεῖνος ποὺ προσέρχεται στὸ Θεὸ νὰ πιστέψει ὅτι ὑπάρχει Θεός»[15]. Ὅλη ἡ κτίση ἀνακηρύσσει αὐτὸν (Διότι, λέγει, «Ἀπὸ τὸ μέγεθος καὶ τὴν ὡραιότητα τῶν κτισμάτων καὶ ἀναλογία κατανοεῖται καὶ ὁ δημιουργὸς αὐτῶν»[16]), ἡ ἴδια ἡ πλάση τοῦ ἀνθρώπου, οἱ τιμὲς ποὺ δόθηκαν σ' αὐτὸν ἀπὸ τὸ Θεό, οἱ τιμωρίες, οἱ εὐεργεσίες, τὰ σχέδια τοῦ Θεοῦ γιὰ τὴ σωτηρία τοῦ ἀνθρώπου, τὰ ὅσα προεῖπαν οἱ προφῆτες, καθὼς καὶ τὰ διάφορα θαύματα.

Στὴ συνέχεια ἦλθε ὁ ἴδιος ὁ Μονογενής του καὶ ὁλοκλήρωσε τὴ θαυμαστὴ ἐκείνη καὶ φρικτὴ οἰκονομία. Καὶ ὅμως ὑπάρχουν μερικοὶ ποὺ δὲν γνώρισαν ἀκόμα ποιὰ εἶναι ἡ ἀλήθεια, καὶ σὺ λέγεις ὅτι μπορεῖς μὲ τὶς σκέψεις σου νὰ κατανοήσεις ποιὰ εἶναι ἡ οὐσία του; Λοιπὸν δὲν γνωρίζεις τὸ Θεό; λέγει. Μακριὰ μιὰ τέτοια σκέψη, ἀλλὰ γνωρίζω μὲν ὅτι ὑπάρχει καὶ ὅτι εἶναι φιλάνθρωπος, καὶ ὅτι εἶναι ἀγαθός, καὶ ὅτι προνοεῖ γιὰ τὸν κόσμο, καὶ ὅλα τὰ ἄλλα ὅσα εἶπαν οἱ Γραφές, ποιὰ ὅμως εἶναι ἡ οὐσία του, δὲν τὸ γνωρίζω. Νόμισε καὶ ὁ Ἀδὰμ ὅτι θὰ βρεῖ κάτι περισσότερο, μὲ τὸ νὰ πιστέψει στὸ διάβολο, καὶ μὲ τὴν πλεονεξία του αὐτὴ ἔχασε καὶ αὐτὸ ποὺ εἶχε. Αὐτὸ ἀκριβῶς παθαίνουν καὶ αὐτοὶ ὁδηγούμενοι ἀπὸ τοὺς ἀνθρώπινους συλλογισμοὺς καὶ μὴ ἀκούοντας ὅτι ὁ Κύριος χαρίζει σοφία καὶ ὅτι ἀπὸ αὐτὸν πηγάζει ἡ γνώση καὶ σύνεση. Δὲν ἀκοῦν τὸν Παῦλο ποὺ λέγει, «Μὲ τὸ Πνεῦμα του μᾶς τὰ φανέρωσε ὁ Θεός»[17], ἀπορρίπτοντας ἔτσι τοὺς ἀνθρώπινους συλλογισμοὺς καὶ κάθε ὑψηλοφροσύνη ποὺ ἀποτελεῖ ἐμπόδιο γιὰ τὴ γνώση τοῦ Θεοῦ»[18]. Καὶ ἄλλος σοφὸς λέγει· «Οἱ ἀνθρώπινοι συλλογισμοὶ εἶναι δειλοὶ καὶ ἐπισφαλεῖς οἱ ἀνθρώπινες σκέψεις»[19].

«Τί εἶναι ὁ ἄνθρωπος, στὸν ὁποῖο φανέρωσες τὸν ἑαυτό σου;». Σκέψου τὸ ἄπειρο ἐκεῖνο μέγεθος· μᾶλλον δὲ οὔτε λέγοντας αὐτό, λέγω κάτι ποὺ εἶναι ἄξιο τοῦ Θεοῦ, ἀλλὰ δὲν γνωρίζω πῶς νὰ μιλήσω· διότι οὔτε, λέγοντας γιὰ τὸ Θεὸ μέγεθος, κυριολεκτοῦμε, ἀλλ' ἐπειδὴ δὲν εἶναι δυνατὸ νὰ μιλήσουμε κατ' ἄλλο τρόπο, χρησιμοποιῶ τὶς ἐπιτρεπτὲς ἐκφράσεις. Διότι καὶ ὀνομάζοντας αὐτὸν '"Υψιστο', δὲν τὸν περιορίζω σὲ τό-

λὸν καὶ μεγαλεῖον αὐτοῦ τῆς φύσεως δηλῶ, καὶ διεστηκός, καὶ πάντων ἀνακεχωρηκός. Διὰ δὴ τοῦτο ἔλεγε· «Τί ἐστιν ἄνθρωπος, ὅτι ἐγνώσθης αὐτῷ;» Διὰ γὰρ τοῦτο καὶ ταπεινὸν ἐποίησε, καὶ μεγάλα ἐχαρίσατο, ἵνα μὴ ἐπαρθῇ, ἔχων μεγίστην ἀνάγκην τοῦ μετριάζειν τὴν ἀπὸ τῆς φύσεως εὐτέλειαν. «Ἢ υἱὸς ἀνθρώπου, ὅτι λογίζῃ αὐτόν;». Εἶδες πόσον τὸ μεγαλεῖον τῆς φύσεως τοῦ Θεοῦ;

«Ἄνθρωπος ματαιότητι ὡμοιώθη». Ἕτερος δὲ ἑρμηνευτὴς τό, «Ματαιότητι», «Ἀτμῷ» εἶπεν. Οὐκ ἄλλο δὲ τὸ Ματαιότητι δηλοῖ, ἢ ὅτι ἐπίκηρος, πρόσκαιρος, βραχύς. Ἐνταῦθα τὸν περὶ τοῦ σώματος γυμνάζει λόγον. Δι' ὃ καὶ Ἀβραὰμ ἔλεγεν· «Ἐγὼ δέ εἰμι γῆ καὶ σποδός»· ὁ δὲ Ἡσαΐας· «Πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου». Τί δέ ἐστι, «Ματαιότητι ὡμοιώθη»; Τῷ μηδενί, φησίν· ἐπειδὴ τῶν ἀνθρωπίνων οὐδὲν βέβαιον, οὐδὲ στάσιμον, ἀλλὰ πάντα παράγει καὶ παρέρχεται. «Αἱ ἡμέραι αὐτοῦ ὡσεὶ σκιὰ παράγουσι»· τουτέστιν, οὐδὲ ἡνίκα πάρεισιν, ἰσχύν τινα ἔχουσιν, ἀλλὰ καὶ ταχέως ἀφίπτανται. Καὶ σκόπει τοῦτο ἐπὶ τῶν πραγμάτων αὐτῶν, τοὺς ἐν ἀξιώμασι λογιζόμενος, τοὺς ἐπὶ τῶν ὀχημάτων, τοὺς ἐν ταῖς δυναστείαις, τοὺς εἰς τὸ δεσμωτήριον ἐμβάλλοντας καὶ μαστιγοῦντας. Τί γὰρ σκιᾶς διαφέρουσιν οὗτοι, οὐκ ἐν τῷ τῆς τελευτῆς, ἀλλὰ καὶ πρὸ τῆς τελευτῆς; Ὅταν γὰρ ἀρχῆς παραλυθῶσι, πάντα ἐκεῖνα οἴχεται καὶ ἐκποδὼν γίνεται, τὰ δὲ ἀληθῆ πράγματα μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν· τότε καὶ εὐθῦναι καὶ κολάσεις ἀληθεῖς, καὶ τὰ ἀγαθὰ ὁμοίως, καὶ ὁ δικαστὴς ἀνεξαπάτητος. Τὰ δὲ ἐνταῦθα παισὶν ἔοικε παίζουσιν. Ὁ σήμερον γὰρ δικάζων, ἕστηκεν αὔριον

---

20. Γέν. 18, 27.
21. Ἡσ. 40, 6.

πο, ἀλλὰ δηλώνω τὸ ὑψηλὸ μεγαλεῖο τῆς φύσεώς του ποὺ ἐπεκτείνεται παντοῦ καὶ διέρχεται μέσα ἀπὸ ὅλα. Γι' αὐτὸ λοιπὸν καὶ ἔλεγε· «Τί εἶναι ὁ ἄνθρωπος, ὥστε νὰ φανερώσεις τὸν ἑαυτό σου σ' αὐτόν;». Διότι γι' αὐτὸ τὸν ἔκαμε ταπεινὸ καὶ τοῦ χάρισε μεγάλα πράγματα, γιὰ νὰ μὴ κυριευθεῖ ἀπὸ ἀλαζονεία, ἐξαναγκαζόμενος πάρα πολὺ στὸ νὰ εἶναι μετριόφρονας ἀπὸ τὴν εὐτέλεια τῆς φύσεώς του. «Ἢ τί εἶναι ὁ υἱὸς τοῦ ἀνθρώπου, ὥστε νὰ σκέπτεσαι αὐτόν;». Εἶδες πόσο εἶναι τὸ μεγαλεῖο τῆς φύσεως τοῦ Θεοῦ;

«Ὁ ἄνθρωπος εἶναι ὅμοιος πρὸς τὴ ματαιότητα». Ἄλλος δὲ ἑρμηνευτὴς ἀντὶ γιὰ «ματαιότητα», εἶπε «ἀτμό». Τίποτε ἄλλο δὲ δὲν δηλώνει μὲ τὴ λέξη «ματαιότητα», παρὰ ὅτι εἶναι φθαρτός, πρόσκαιρος καὶ σύντομη ἡ ζωή του. Ἐδῶ ὁμιλεῖ γιὰ τὸ σῶμα τοῦ ἀνθρώπου. Γι' αὐτὸ καὶ ὁ Ἀβραὰμ ἔλεγε· «Ἐγὼ δὲ εἶμαι χῶμα καὶ στάχτη»[20], ὁ δὲ Ἠσαΐας λέγει· «Κάθε ἀνθρώπινη σάρκα εἶναι σὰν τὸ χόρτο, καὶ κάθε ἀνθρώπινη δόξα μοιάζει μὲ τὸ ἄνθος τοῦ χόρτου»[21]. Τί σημαίνει δέ, «Εἶναι ὅμοιος μὲ τὴ ματαιότητα»; Εἶναι ὅμοιος, λέγει, μὲ τὸ μηδέν· ἐπειδὴ ἀπὸ τὰ ἀνθρώπινα τίποτε δὲν εἶναι σταθερό, οὔτε μόνιμο, ἀλλὰ τὰ πάντα ἔρχονται καὶ χάνονται. «Οἱ ἡμέρες του σὰν σκιὰ περνοῦν»· δηλαδή, οὔτε ὅταν διαρκοῦν αὐτές, ἔχουν κάποια ἰσχύ, ἀλλὰ γρήγορα χάνονται. Καὶ πρόσεχε αὐτὸ στὰ ἴδια τὰ πράγματα, σκεπτόμενος αὐτοὺς ποὺ ἔχουν ἀξιώματα, αὐτοὺς ποὺ φέρονται ἐπάνω σὲ ὀχήματα, αὐτοὺς ποὺ ἀσκοῦν τὴν ἐξουσία, αὐτοὺς ποὺ ὁδηγοῦν τοὺς ἀνθρώπους στὶς φυλακὲς καὶ τοὺς μαστιγώνουν. Τί λοιπὸν διαφέρουν αὐτοὶ ἀπὸ τὴ σκιά, ὄχι κατὰ τὴν ὥρα τοῦ θανάτου, ἀλλὰ καὶ πρὶν ἀπὸ τὸ θάνατο; Διότι ὅταν τοὺς ἀφαιρεθεῖ ἡ ἐξουσία, ὅλα ἐκεῖνα φεύγουν καὶ ἐξαφανίζονται, ἐνῶ τὰ ἀληθινὰ πράγματα συμβαίνουν μετὰ τὴν ἀναχώρηση ἀπὸ ἐδῶ· τότε ἐπιβάλλονται καὶ εὐθύνες καὶ πραγματικὲς τιμωρίες, ὅμοια δὲ καὶ τὰ ἀγαθὰ δίνονται καὶ ὁ δικαστὴς δὲν εἶναι δυνατὸ νὰ ἐξαπατηθεῖ. Ὅμως τὰ πράγματα τῆς ἐδῶ ζωῆς μοιάζουν μὲ παιδιὰ ποὺ παίζουν. Διότι ἐκεῖνος ποὺ σήμερα δικάζει, αὔριο βρίσκεται νὰ δικάζεται, καὶ εἶναι συχνὲς

δικαζόμενος, καὶ πυκναὶ αἱ μεταβολαί, καὶ ἀνώμαλοι αἱ μεταβάσεις.

3. «Κύριε, κλῖνον οὐρανούς σου, καὶ κατάβηθι. Ἅψαι τῶν ὀρέων, καὶ καπνισθήσονται». Ἕτερος, «Κλίναντός σου οὐρανούς, καὶ καταβάντος, καὶ ἁψαμένου τῶν ὀρέων ἐκαπνίσθησαν». Καὶ ποία αὕτη ῥημάτων ἀκολουθία; Πολλὰ μὲν οὖν, καὶ σφόδρα ἐχομένη τῶν προτέρων. Ἐπειδὴ γὰρ περὶ τῆς εὐτελείας τῆς ἀνθρωπίνης διελέχθη, καὶ τὸ οὐδαμινὸν τῆς φύσεως παρέστησε, καὶ ἐνταῦθα πάλιν καταστέλλει τῶν φλεγμαινόντων τὴν ἀπόνοιαν, μονονουχὶ τοῦτο δι᾽ ὧν ἐπήγαγε λέγων· ἔδει μὲν αὐτοὺς οἴκοθεν συνιδεῖν τῆς φύσεως τὸ εὐτελές, καὶ μὴ μέγα φρονεῖν, ἐπειδὴ δὲ οὐ βούλονται, δεῖξον ἀπὸ τῶν σῶν ἔργων ποῦ ταπεινότητός εἰσιν ἀπῳκισμένοι. «Κύριε, κλῖνον οὐρανούς, καὶ κατάβηθι». Τοῦτο λέγει, οὐκ ἐπειδὴ ὁ Θεὸς καταβαίνει (πῶς γὰρ ὁ πανταχοῦ παρών;), ἀλλ᾽ ἵνα διὰ τῶν ἀνθρωπίνων τούτων λέξεων τοὺς παχυτέρους ἐκπλήξῃ τῶν ἀκροατῶν, ἀνθρωπινώτερον περὶ αὐτοῦ διαλέγεται. Ἐπεὶ καὶ τὸ τῆς ἁφῆς, εἰ καὶ δοκεῖ μέγα εἶναι, ἀλλὰ πολὺ τῆς τοῦ Θεοῦ ἀξίας καταδεέστερον. Οὐδὲ γὰρ ἁφῆς ὁ Θεὸς χρείαν ἔχει, ἵνα καπνίσῃ τὰ ὄρη, μᾶλλον δὲ οὐδὲ νεύματος, ἀλλὰ βουλῆς καὶ θελήσεως. Εἰπὼν τοίνυν περὶ τῆς εὐτελείας τοῦ ἀνθρώπου, λέγει καὶ περὶ τῆς δυνάμεως τοῦ Θεοῦ, ὡς ἀνθρώπῳ δυνατὸν εἰπεῖν· ἐπεὶ καὶ ταῦτα πολὺ ἀποδέοντα τῆς μεγαλωσύνης ἐκείνης.

«Ἄστραψον ἀστραπήν, καὶ σκορπιεῖς αὐτούς· ἐξαπόστειλον τὰ βέλη σου, καὶ συνταράξεις αὐτούς». Ἀστραπὴν ἐνταῦθα καὶ βέλη οὐ τὴν ἀστραπὴν ταύτην φησίν, οὐδὲ ταῦτα τὰ βέλη, ἀλλὰ τὰς τιμωρίας οὕτω καλεῖ, ἀπὸ τῶν ἤδη γνωρίμων τὸν καταφρονητὴν πείθων καὶ τὸν ἀναπεπτωκότα τρέμειν καὶ δεδοικέναι

οἱ μεταβολὲς καὶ ἀνώμαλες οἱ μεταβάσεις ἀπὸ τὸ ἕνα πράγμα στὸ ἄλλο.

3. «Κύριε, χαμήλωσε τοὺς οὐρανούς σου καὶ κατέβα. Ἄγγισε τὰ βουνὰ καὶ θὰ καπνίσουν». Ἄλλος, «Ἀφοῦ χαμηλώσεις τοὺς οὐρανοὺς καὶ κατεβεῖς καὶ ἀγγίσεις τὰ βουνὰ θὰ καπνίσουν». Καὶ ποιὰ σχέση ἔχουν αὐτὰ τὰ λόγια μὲ τὰ προηγούμενα; Εἶναι μεγάλη ἡ σχέση τους καὶ συνδέονται πάρα πολὺ μὲ τὰ προηγούμενα. Ἐπειδὴ δηλαδὴ μίλησε γιὰ τὴν ἀνθρώπινη εὐτέλεια καὶ παρουσίασε τὴ μηδαμινότητα τῆς φύσεως τοῦ ἀνθρώπου, καὶ ἐδῶ πάλι συγκρατεῖ τὴν ἀλαζονεία ἐκείνων ποὺ κατακαίονται ἀπὸ αὐτήν, καὶ εἶναι σὰν νὰ λέγει μὲ ὅλα αὐτὰ ποὺ πρόσθεσε τὸ ἑξῆς· ἔπρεπε μὲν αὐτοὶ ἀπὸ μόνοι τους ν' ἀντιληφθοῦν τὴν εὐτέλεια τῆς ἀνθρώπινης φύσεως καὶ νὰ μὴ μεγαλοφρονοῦν, ἐπειδὴ ὅμως δὲν θέλουν, δεῖξε μὲ τὰ δικά σου ἔργα πόσο ἀπομακρυσμένοι εἶναι ἀπὸ τὴν ταπεινότητα. «Κύριε, χαμήλωσε τοὺς οὐρανοὺς καὶ κατέβα». Αὐτὸ τὸ λέγει ὄχι ἐπειδὴ ὁ Θεὸς κατεβαίνει (διότι πῶς θὰ ἦταν δυνατὸ νὰ κατεβεῖ αὐτὸς ποὺ εἶναι παντοῦ παρών;), ἀλλὰ γιὰ νὰ προκαλέσει ἔκπληξη μὲ τὶς ἀνθρώπινες αὐτὲς λέξεις στοὺς πνευματικὰ κατώτερους, ὁμιλεῖ ἀνθρωπινότερα γι' αὐτόν. Διότι καὶ τὸ ἄγγιγμα τῶν βουνῶν, ἂν καὶ φαίνεται σπουδαῖο, ἀλλ' ὅμως εἶναι κατὰ πολὺ κατώτερο τῆς ἀξίας αὐτοῦ. Καθόσον ὁ Θεὸς δὲν χρειάζεται νὰ ἀγγίσει τὰ βουνὰ γιὰ νὰ καπνίσουν, μᾶλλον δὲ οὔτε νεῦμα χρειάζεται νὰ κάνει πρὸς αὐτά, ἀλλ' ἁπλῶς νὰ τὸ σκεφθεῖ καὶ νὰ τὸ θελήσει. Ἀφοῦ μίλησε λοιπὸν γιὰ τὴν εὐτέλεια τοῦ ἀνθρώπου, ὁμιλεῖ καὶ γιὰ τὴ δύναμη τοῦ Θεοῦ, ὅσο αὐτὸ εἶναι δυνατὸ νὰ λεχθεῖ ἀπὸ ἄνθρωπο· διότι καὶ αὐτὰ εἶναι κατὰ πολὺ κατώτερα ἀπὸ τὴ μεγαλωσύνη ἐκείνη.

«Ρίψε μιὰ ἀστραπὴ μόνο καὶ θὰ σκορπίσεις αὐτούς· ἐξαπόστειλε ἐναντίον τους τὰ βέλη σου καὶ θὰ συνταράξεις αὐτούς». Ἀστραπὴ ἐδῶ καὶ βέλη ἐννοεῖ ὄχι αὐτὴ τὴν ἀστραπή, οὔτε αὐτὰ τὰ βέλη, ἀλλὰ τὶς τιμωρίες ἔτσι ὀνομάζει, πείθοντας μὲ αὐτὰ τὰ ἤδη γνωστὰ αὐτὸν ποὺ περιφρονεῖ αὐτὸν καὶ κάμνοντας τὸν ἀνόητο καὶ ἀδιάφορο νὰ τρέμει, νὰ φοβᾶται καὶ

καὶ ὑποκύπτειν. Εἰ γὰρ ἀστραπήν τις οὐκ ἂν ἐνέγκοι, καίτοι οὐκ ἐπὶ κολάσει πεμπομένην, εἰ βουληθείη κινῆσαι τὴν τιμωρητικὴν αὐτοῦ δύναμιν, τίς ὑποστήσεται; Βέλη δὲ Θεοῦ λιμοί, καὶ λοιμοί, καὶ σκηπτοί, καὶ πολυειδεῖς τιμωρίαι.

«Ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους· ἐξελοῦ με, καὶ ρῦσαί με ἐξ ὑδάτων πολλῶν, ἐκ χειρὸς υἱῶν ἀλλοτρίων». Οὐ γὰρ πρὸς τὸ κολάζειν μόνον, ἀλλὰ καὶ πρὸς τὸ σώζειν ἀπηρτισμένη ἡ δύναμις τοῦ Θεοῦ. Χεῖρα δὲ ἐνταῦθα τὴν βοήθειαν, τὴν συμμαχίαν λέγει· διὸ οὐδὲ 'ἔκτεινον' εἶπεν, ἀλλ' «Ἐξαπόστειλον», τοῦτο δηλῶν· εἰ δέ που καὶ ἔκτεινον λέγοι, τὸ αὐτὸ πάλιν αἰνίττεται. Καὶ «ὕδατα» δὲ τὴν ἄτακτον τῶν πολεμίων ἔφοδον καλεῖ, καὶ συγκεχυμένην, καὶ πολλῇ τῇ ρύμῃ φερομένην. Ὅτι γὰρ οὐ περὶ ὑδάτων ὁ λόγος, δῆλον διὰ τῆς ἐπαγωγῆς· «Ἐκ χειρὸς» γάρ, φησίν, «υἱῶν ἀλλοτρίων». Υἱοὺς δὲ ἀλλοτρίους ἐνταῦθά μοι δοκεῖ λέγειν τοὺς τῆς ἀληθείας ἀπεξενωμένους. Ὥσπερ γὰρ τοὺς πιστοὺς οἰκείους ἡγούμεθα καὶ ἀδελφούς, οὕτω τοὺς ἀπίστους ἀλλοτρίους· καὶ τούτῳ μάλιστα τὸν οἰκεῖον καὶ τὸν ἀλλότριον ἐπιγινώσκομεν. Οἰκεῖος γὰρ οὗτος ὁ τὸν αὐτόν μοι πατέρα ἐπιγραφόμενος, καὶ τῆς αὐτῆς κοινωνῶν τραπέζης, μᾶλλον ἢ ὁ γένει προσήκων· καὶ γὰρ ἀκριβέστερος οὗτος τῆς συγγενείας ὁ νόμος, ὥσπερ οὖν καὶ ἀλλοτριότης ἡ ἀπὸ τῶν ἐναντίων τρανοτέρα τῆς κατὰ γένος.

Μὴ τοίνυν τοῦτο ἴδῃς· ὅτι ὑπὸ τὸν αὐτόν ἐσμεν οὐρανόν, καὶ τὴν αὐτὴν οἰκουμένην· ἄλλην γὰρ ἐγὼ κοινωνίαν ἐπιζητῶ, καὶ ὑπὲρ τὸν οὐρανόν. Ἐκεῖ ἡμῶν τὸ πολίτευμα καὶ ἡ ζωή· «Ζωὴ γὰρ ἡμῶν», φησί, «κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ». Οὐδὲ γὰρ γῆν οἰκοῦμεν, ἀλλὰ μετέστημεν πρὸς τὴν ἄνω μητρόπολιν. Ἕτερον φῶς ἀληθινὸν ἔχομεν, ἑτέραν πατρίδα, καὶ πολίτας ἄλλους

---

22. Κολ. 3, 3.

νὰ ὑποκύπτει. Διότι, ἐὰν τὴν ἀστραπὴ δὲν θὰ μποροῦσε κάποιος νὰ τὴν ὑποφέρει, ἂν καὶ βέβαια στέλλεται ὄχι γιὰ τιμωρία, ἂν ἔθετε σὲ ἐνέργεια τὴν τιμωρητικὴ δύναμή του, ποιὸς θὰ τὴν ὑποφέρει; Βέλη δὲ τοῦ Θεοῦ εἶναι οἱ πεῖνες, οἱ ἀσθένειες, οἱ καταιγίδες καὶ οἱ διάφορες τιμωρίες.

«Ἐξαπόστειλε ἀπὸ ψηλὰ τὸ προστατευτικὸ χέρι σου ελευθερωσέ με καὶ σῶσε με ἀπὸ τὴν ὁρμὴ τῶν πολλῶν ὑδάτων, ἀπὸ τὰ χέρια τῶν υἱῶν τῶν ξένων». Ἡ δύναμη δηλαδὴ τοῦ Θεοῦ δὲν εἶναι μόνο γιὰ νὰ τιμωρεῖ, ἀλλὰ καὶ γιὰ νὰ σώζει. Χέρι δὲ ἐδῶ ὀνομάζει τὴ βοήθεια, τὴ συμμαχία· γι' αὐτὸ δὲν εἶπε, 'ἅπλωσε', ἀλλὰ «ἐξαπόστειλε», γιὰ νὰ δηλώσει αὐτό· ἐὰν ὅμως καὶ κάπου συμβαίνει νὰ λέγει 'ἅπλωσε', τὸ ἴδιο πάλι ὑπαινίσσεται. Καὶ «ὕδατα» δὲ ὀνομάζει τὴν ἄτακτη ἔφοδο τῶν ἐχθρῶν, τὴ γεμάτη ἀπὸ σύγχυση καὶ ποὺ γίνεται μὲ πολὺ μεγάλη ὁρμή. Τό ὅτι βέβαια δὲν γίνεται λόγος γιὰ ὕδατα, γίνεται φανερὸ ἀπὸ αὐτὸ ποὺ προσθέτει· διότι λέγει «Ἀπὸ τὰ χέρια τῶν υἱῶν τῶν ξένων». Υἱοὺς δὲ ξένους ἐδῶ μοῦ φαίνεται ὀνομάζει ἐκείνους ποὺ ζοῦν μακριὰ ἀπὸ τὴν ἀλήθεια. Διότι, ὅπως ἀκριβῶς θεωροῦμε τοὺς πιστοὺς δικούς μας καὶ ἀδελφούς, ἔτσι τοὺς ἀπίστους ξένους· καὶ μὲ αὐτὸ τὸ γνώρισμα πρὸ πάντων διακρίνομε τὸν δικό μας καὶ τὸν ξένο. Διότι οἰκεῖος εἶναι πολὺ περισσότερο αὐτὸς ποὺ ἀποδέχεται τὸν ἴδιο μὲ ἐμένα πατέρα καὶ συμμετέχει στὴν ἴδια τράπεζα, παρὰ αὐτὸς ποὺ ἀνήκει στὸ ἴδιο γένος· καθόσον ἀκριβέστερος εἶναι αὐτὸς ὁ νόμος τῆς συγγένειας, ὅπως ἀκριβῶς βέβαια καὶ ἡ ἀποξένωση ποὺ προέρχεται ἀπὸ ἐκείνους ποὺ πρόσκεινται ἀντίθετα πρὸς ἐμᾶς εἶναι μεγαλύτερη ἀπὸ τὴν ἀποξένωση ἀπὸ τοὺς κατὰ φύση συγγενεῖς.

Μὴ λοιπὸν δεῖς αὐτό, τὸ ὅτι βρισκόμαστε κάτω ἀπὸ τὸν ἴδιο οὐρανὸ καὶ ζοῦμε μέσα στὴν ἴδια τὴν οἰκουμένη· διότι ἐγὼ ἐπιζητῶ ἄλλη κοινωνία, ποὺ βρίσκεται ἐπάνω ἀπὸ τὸν οὐρανό. Ἐκεῖ βρίσκεται τὸ πολίτευμά μας καὶ ἡ ζωή μας· διότι λέγει, «Ἡ ζωή μας εἶναι κρυμμένη μαζὶ μὲ τὸ Χριστὸ στὸ Θεό»[22]. Οὔτε βέβαια κατοικοῦμε στὴ γῆ, ἀλλὰ μεταφερθήκαμε στὴν οὐράνια μητρόπολη. Ἄλλο φῶς ἀληθινὸ ἔχομε, ἄλλη πατρίδα καὶ

καὶ συγγενεῖς. Διὸ καὶ Παῦλος ἔλεγεν· «Ἄρα οὐκ ἐστὲ ξένοι καὶ πάροικοι, ἀλλὰ συμπολῖται τῶν ἁγίων». Πῶς οὖν, φησί, τὸν Σαμαρείτην πλησίον ἔφησεν εἶναι ὁ Χριστός, καίτοι πολὺ τὸ μέσον ὄν; Ἀλλ' οὐ κατὰ τὸν τῆς φύσεως λόγον. Ὅταν οὖν εὐποιεῖν δέῃ, πᾶς ἄνθρωπός σοι ἐγγὺς ἔστω· ὅταν δὲ ὁ τῆς ἀληθείας γυμνάζηται λόγος, ἐπιγίνωσκε τὸν οἰκεῖον καὶ τὸν ἀλλότριον. Κἂν ἀδελφὸν ἔχῃς ὁμοπάτριον καὶ ὁμομήτριον, καὶ μὴ κοινωνήσῃ σοι κατὰ τὸν τῆς ἀληθείας νόμον, ἔστω σοι τοῦ Σκύθου βαρβαρικώτερος· κἂν Σκύθης, κἂν Σαυρομάτης ᾖ, τῶν δογμάτων δὲ εἰδῇ τὴν ἀκρίβειαν, καὶ πιστεύῃ τοῦτο ὃ καὶ αὐτὸς σύ, αὐτοῦ τοῦ τὰς αὐτὰς ὠδῖνάς σοι λύσαντος οἰκειότερος ἔστω καὶ ἐγγύτερος· καὶ τὸν βάρβαρον καὶ τὸν οὐ τοιοῦτον ἐντεῦθεν διακρίνωμεν, μὴ ἀπὸ τῆς γλώττης, μηδὲ ἀπὸ τοῦ γένους, ἀλλ' ἀπὸ τῆς γνώμης, καὶ τῆς ψυχῆς. Τοῦτο γὰρ μάλιστα ἄνθρωπος, ὅταν δογμάτων ἀκρίβειαν ἔχῃ καὶ πολιτείαν φιλόσοφον.

4. Ἀλλ' ἴδωμεν λοιπὸν τοὺς ἀλλοτρίους, πῶς αὐτοὺς ὑπέγραψε καὶ ὁ προφήτης, εἰπών· «Ἐξελοῦ με ἐκ χειρὸς υἱῶν ἀλλοτρίων, ὧν τὸ στόμα ἐλάλησε ματαιότητα, καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας». Εἶδες τίνας φησὶν ἀλλοτρίους; Τοὺς ἐν πονηρίᾳ ζῶντας, τοὺς ἀδικίας ἐρῶντας, τοὺς τὰ ἀνόητα φθεγγομένους, τοὺς οὐδὲν χρήσιμον λέγοντας. Ἐπιγίνωσκε τοίνυν τοὺς ἀλλοτρίους ἀπὸ τοῦ στόματος, ἀπὸ τῶν ἔργων· ὥσπερ καὶ ὁ Χριστός φησιν· «Ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς». Καθάπερ γὰρ ἐν τοῖς στρατοπέδοις πολλά τινα δίδονται συνθήματα καὶ σημεῖα, ἵν' εἴποτε ἡ νυκτομαχία γένοιτο, ἢ κόνις ἀρθεῖσα τὰ τῆς νυκτὸς ἐπιδείξαιτο, ἢ καὶ ἑτέρα τις γένοιτο σύγχυσις καὶ ταραχή, μὴ τὸν οἰκεῖον ὡς τὸν πολέμιόν τις ἴδῃ, μηδὲ τὸν ἐναντίον

23. Ἐφ. 2, 19.
24. Λουκᾶ 10, 36-37.
25. Ματθ. 7, 16.

ἄλλους πολίτες καὶ συγγενεῖς. Γι' αὐτὸ καὶ ὁ Παῦλος ἔλεγε· «Ἐπομένως δὲν εἶστε ξένοι καὶ προσωρινοὶ κάτοικοι, ἀλλὰ συμπολίτες τῶν ἁγίων»[23]. Πῶς λοιπόν, λέγει, ὁ Χριστὸς ὀνόμασε τὸν Σαμαρείτη πλησίον, τὴ στιγμὴ βέβαια ποὺ ὑπάρχει μεγάλη ἀπόσταση μεταξύ τους[24]; Ἀλλ' ὅμως δὲν τὸ εἶπε σὲ σχέση μὲ τὴ φυσικὴ συγγένεια. Ὅταν δηλαδὴ χρειάζεται νὰ εὐεργετήσεις ὁ κάθε ἄνθρωπος εἶναι πλησίον σου· ὅταν ὅμως προκύπτει θέμα σχετικὸ μὲ τὴν ἀλήθεια, ξεχώριζε τὸν δικό σου ἀπὸ τὸν ξένο. Καὶ ἂν ἀκόμα ἔχεις ἀδελφὸ ἀπὸ τὸν ἴδιο πατέρα καὶ τὴν ἴδια μητέρα, καὶ δὲν συμφωνεῖ μαζί σου στὸ θέμα τῆς ἀλήθειας, θεώρα αὐτὸν πιὸ βάρβαρο καὶ ἀπὸ τὸν Σκύθη, ἂν ὅμως εἶναι Σκύθης ἢ Σαυρομάτης, ἀλλὰ γνωρίζει τὴν ἀκρίβεια τῶν δογμάτων καὶ πιστεύει αὐτὸ ποὺ καὶ σὺ ὁ ἴδιος πιστεύεις, αὐτὸς ἂς εἶναι πιὸ δικός σου καὶ πιὸ πλησιέστερος ἀπὸ ἐκεῖνον· καὶ τὸν βάρβαρο καὶ τὸν μὴ βάρβαρο ἀπὸ ἐδῶ νὰ τὸν δικρίνομε, ὄχι ἀπὸ τὴ γλώσσα, οὔτε ἀπὸ τὸ γένος, ἀλλ' ἀπὸ τὴ γνώμη καὶ τὴν ψυχή του. Διότι αὐτὸ πρὸ πάντων εἶναι ἄνθρωπος, ὅταν φυλάσσει τὴν ἀκρίβεια τῶν δογμάτων καὶ κάμνει εὐσεβὴ ζωή.

4. Ἀλλ' ἂς δοῦμε πλέον τοὺς ξένους, πῶς περιέγραψε αὐτοὺς καὶ ὁ προφήτης, λέγοντας· «Ἐλευθέρωσέ με ἀπὸ τὰ χέρια τῶν υἱῶν τῶν ξένων, τῶν ὁποίων τὸ στόμα εἶπε ἀσύστατα ψεύδη καὶ ἡ δεξιά τους εἶναι δεξιὰ ποὺ διαπράττει ἀδικίες». Εἶδες ποιοὺς ὀνομάζει ξένους; ἐκείνους ποὺ ζοῦν μέσα στὴ κακία, ποὺ ἀγαποῦν τὴν ἀδικία, ποὺ λέγουν ἀνοησίες, καὶ δὲν λέγουν τίποτε τὸ ὠφέλιμο. Ξεχώριζε λοιπὸν τοὺς ξένους ἀπὸ τὰ λόγια τους καὶ ἀπὸ τὰ ἔργα τους, ὅπως ἀκριβῶς καὶ ὁ Χριστὸς λέγει· «Ἀπὸ τοὺς καρπούς τους θὰ τοὺς διακρίνετε»[25]. Διότι, ὅπως ἀκριβῶς στὰ στρατόπεδα δίνονται πολλὰ συνθήματα καὶ σημάδια, ὥστε, ἂν κάποτε συμβεῖ νὰ γίνει μάχη κατὰ τὴ διάρκεια τῆς νύχτας, ἢ νὰ σηκωθεῖ σκόνη καὶ νὰ ἀποκαλύψει τὰ πράγματα τῆς νύχτας, ἢ νὰ γίνει κάποια ἄλλη σύγχυση καὶ ταραχή, νὰ μὴ δεῖ κανένας τὸν δικό του σὰν τὸν ἐχθρό, οὔτε τὸν ἀντίπαλο σὰν τὸ δικό του, ἔτσι καὶ ἐδῶ σοῦ δίνει ὁ προφήτης συν-

ὡς οἰκεῖον, οὕτω καὶ ἐνταῦθα δίδωσί σοι συνθήματα ὁ προφήτης, δι' ὧν δυνήσῃ τὸν οἰκεῖον καὶ τὸν ἀλλότριον γνωρίζειν, οἷον ἀφ' ὧν φθέγγεται, ἀφ' ὧν ποιεῖ, λέγων· «Ὧν τὸ στόμα ἐλάλησε ματαιότητα, καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας».

Καὶ γὰρ καὶ νῦν πόλεμός ἐστι καὶ μάχη, καὶ νυκτομαχία χαλεπωτάτη, δαιμόνων βαλλόντων, ἐπιθυμιῶν ἐπιβουλευουσῶν, λογισμῶν ἐπανισταμένων. Ἔστι καὶ ἐν τοῖς μεμυημένοις συνθήματα καὶ σύμβολα· κἂν βουληθῶμέν τινα, ἀμφιβάλλοντες εἴτε ἀμύητός ἐστιν, εἴτε μεμυημένος, ἐπιγνῶναι, τοῦτα ἐρωτῶντες μανθάνωμεν. «Ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας». Τί τοίνυν τούτου χαλεπώτερον γένοιτ' ἄν, ὅταν τὴν εἰς βοήθειαν δεδομένην, εἰς ἐπιβουλὴν τρέπωμεν; Διὰ γὰρ τοῦτο ἔχομεν δεξιάς, ἵνα καὶ ἑαυτοῖς καὶ ἑτέροις ἀδικουμένοις ἀμύνωμεν, ἵνα ἀναιρῶμεν παρανομίας, ἵνα λιμὴν γενώμεθα καὶ καταφυγὴ τοῖς ἐπηρεαζομένοις. Τίνα οὖν ἂν ἔχοιεν συγγνώμην οἱ μὴ πρὸς σωτηρίαν ἑτέρων χρώμενοι τῷ ὅπλῳ τούτῳ, ἀλλὰ πρὸς ἀπώλειαν τὴν ἑαυτῶν;

«Ὁ Θεός, ᾠδὴν καινὴν ᾄσομαί σοι». Ποία αὕτη πάλιν ἡ ἀκολουθία; Πολλὴ μὲν οὖν καὶ ἐνταῦθα. Ἐπειδὴ γὰρ εἶπεν, «Ἐξαπόστειλον τὴν χεῖρά σου», καί, «Ἐξελοῦ με», καὶ σκόρπισον ἐκείνους, ἐπαγγέλλεται καὶ ἀμείβεσθαι τῆς συμμαχίας αὐτὸν ἀμοιβήν, ἐκείνῳ μὲν οὐδὲν πλέον ποιοῦσαν, τῷ δὲ εἰσφέροντι τὴν ἀμοιβὴν τὸ κέρδος φέρουσαν. Τί δὲ αὕτη ἐστίν; «Ὁ Θεός, ᾠδὴν καινὴν ᾄσομαί σοι». Εἰ δὲ μικρὸν τοῦτο πρὸς τὸ μέγεθος τῆς εὐεργεσίας, ἀλλ' ὅπερ ἔσχεν. Ἐπεὶ καὶ ἡμεῖς παρὰ τῶν πενήτων καὶ οὐδὲν κεκτημένων οὐδὲν ἕτερον ἐπιζητοῦμεν, ἀλλ' ἢ εὐφημίαν καὶ εὐγνωμοσύνην. Ἀλλ' ἡμεῖς μέν, ἵνα λαμπρότεροι γενώμεθα, ὁ δὲ Θεός, οὐκ ἐπειδὴ δεῖται, ἀλλ' ἵνα αὐτοὺς τοὺς ᾄδον-

θήματα, μὲ τὰ ὁποῖα θὰ μπορέσεις νὰ διακρίνεις τὸ δικό σου καὶ τὸν ξένο, δηλαδὴ ἀπὸ αὐτὰ ποὺ λέγει καὶ ἀπὸ αὐτὰ ποὺ κάμνει, λέγοντας· «Τῶν ὁποίων τὸ στόμα εἶπε ἀσύστατα ψεύδη καὶ ἡ δεξιά τους εἶναι δεξιὰ ποὺ πράττει ἀδικίες».

Πράγματι καὶ τώρα γίνεται πόλεμος καὶ μάχη καὶ ἡ πιὸ φοβερότερη νυκτομαχία, ὅπου οἱ δαίμονες ἐπιτίθενται μὲ ὁρμή, οἱ ἐπιθυμίες μᾶς ἐπιβουλεύονται καὶ οἱ λογισμοὶ ἐπαναστατοῦν. Ὑπάρχουν καὶ στοὺς μυημένους συνθήματα καὶ σύμβολα, καὶ ἂν ἀμφιβάλλομε γιὰ κάποιον γιὰ τὸ ἂν εἶναι ἀμύητος ἢ μυημένος, καὶ θελήσουμε νὰ τὸ διαπιστώσουμε, ρωτώντας αὐτὰ μποροῦμε νὰ τὸ μάθουμε. «Ἡ δεξιὰ αὐτῶν εἶναι δεξιὰ ἀδικίας». Τί θὰ μποροῦσε νὰ ὑπάρξει χειρότερο ἀπ' αὐτό, ὅταν τὸ χέρι, ποὺ μᾶς δόθηκε γιὰ βοήθεια, τὸ μετατρέπομε στὸ νὰ διαπράττει κακά; Διότι γι' αὐτὸ ἔχομε χέρια, γιὰ νὰ προστατεύουμε καὶ τοὺς ἑαυτούς μας καὶ ἄλλους ὅταν ἀδικοῦνται, γιὰ νὰ ἐμποδίζομε τὶς παρανομίες, γιὰ νὰ γινόμαστε λιμάνι καὶ καταφύγιο γιὰ ἐκείνους ποὺ δοκιμάζονται. Ποιὰ λοιπὸν συγγνώμη θὰ μποροῦσαν νὰ ἔχουν ἐκεῖνοι ποὺ δὲν χρησιμοποιοῦν τὸ ὅπλο αὐτὸ γιὰ τὴ σωτηρία ἄλλων, ἀλλὰ γιὰ τὴ δική τους καταστροφή;

«Θεέ μου, νέα ᾠδὴ θὰ ψάλω πρὸς ἐσένα». Ποιὰ σχέση ἔχουν πάλι αὐτὰ μὲ τὰ προαναφερθέντα; Πράγματι ὑπάρχει καὶ ἐδῶ μεγάλη σχέση. Ἐπειδὴ δηλαδὴ εἶπε, «Ἅπλωσε τὸ ἀκατανίκητο χέρι σου», καί, «Καὶ σῶσε με», καὶ σκόρπισε ἐκείνους, ὑπόσχεται νὰ ἀμείψει αὐτὸν γιὰ τὴ συμμαχία του αὐτὴ μὲ ἀμοιβὴ ποὺ στὸν μὲν Θεὸ τίποτε ἐπὶ πλέον δὲν παρέχει, προσφέρει ὅμως κέρδος σ' ἐκεῖνον ποὺ προσφέρει τὴν ἀμοιβή. Ποιὰ δὲ εἶναι αὐτὴ ἡ ἀμοιβή; «Θεέ μου, θὰ σοῦ ψάλω νέα ᾠδή». Μολονότι αὐτὴ ἡ ἀμοιβὴ εἶναι μικρὴ ἀνάλογα μὲ τὸ μέγεθος τῆς εὐεργεσίας, ἀλλ' ὅμως πρόσφερε αὐτὸ ποὺ εἶχε. Καθόσον καὶ ἐμεῖς ἀπὸ τοὺς φτωχοὺς καὶ ἀπὸ ἐκείνους ποὺ δὲν ἔχουν τίποτε, τίποτε ἄλλο δὲν ἐπιζητοῦμε, παρὰ ἐπαινετικὰ λόγια καὶ εὐγνωμοσύνη. Ἀλλ' ἐμεῖς μὲν γιὰ νὰ γίνουμε λαμπρότεροι, ἐνῶ ὁ Θεός, ὄχι ἐπειδὴ ἔχει ἀνάγκη ἀπὸ αὐτά, ἀλλὰ γιὰ νὰ καταστήσει λαμ-

τας λαμπροτέρους ἐργάσηται, καὶ ταύτῃ πάλιν αὐτοὺς εὐεργετήσῃ.

«Ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψαλῶ σοι»· τουτέστιν, εὐχαριστήσω σοι. Ἀλλὰ τότε μὲν ὄργανα ἦν, δι᾽ ὧν τὰς ᾠδὰς ἀνέφερον, νυνὶ δὲ ἀντὶ ὀργάνων κεχρῆσθαί ἐστι τῷ σώματι. Ἔστι γὰρ καὶ δι᾽ ὀφθαλμῶν ᾄδειν, οὐ διὰ γλώττης μόνον, καὶ διὰ χειρῶν, καὶ διὰ ποδῶν, καὶ διὰ ἀκοῆς. Ὅταν γὰρ ἕκαστον τούτων ταῦτα πράττῃ, ἃ τῷ Θεῷ φέρει δόξαν καὶ αἶνον, οἷον ὅταν μὴ ἀκόλαστα ὀφθαλμὸς βλέπῃ, ὅταν μὴ πρὸς ἁρπαγὰς αἱ χεῖρες, ἀλλὰ πρὸς ἐλεημοσύνην ὦσι τεταμέναι, ὅταν πρὸς ψαλμῶν καὶ πνευματικῶν ἀκουσμάτων ὑποδοχὴν ὦσιν αἱ ἀκοαὶ παρεσκευασμέναι, ὅταν πρὸς ἐκκλησίαν οἱ πόδες τρέχωσιν, ὅταν ἡ καρδία δόλους μὴ ῥάπτῃ, ἀλλὰ ἀγάπην βρύῃ, γίνεται ψαλτήριον καὶ κιθάρα τοῦ σώματος τὰ μέλη, καὶ ᾄδει καινὴν ᾠδὴν, οὐ τὴν διὰ ῥημάτων, ἀλλὰ τὴν διὰ πραγμάτων.

5. «Τῷ διδόντι τὴν σωτηρίαν τοῖς βασιλεῦσιν». Οὐ γὰρ στρατόπεδα καὶ πλήθη στρατιωτῶν, οὐδὲ σωματοφύλακες, ἀλλ᾽ ἡ τοῦ Θεοῦ ῥοπὴ σώζειν εἴωθε. «Τῷ λυτρουμένῳ Δαυὶδ τὸν δοῦλον αὐτοῦ». Εἰπὼν τὸ κοινόν, λέγει καὶ τὸ καθ᾽ ἑαυτόν, καὶ οὐκ εἶπε, ‘τῷ λυτρωσαμένῳ’, ἀλλά, «Τῷ λυτρουμένῳ», διηνεκῆ δεικνὺς αὐτοῦ τὴν πρόνοιαν. Εἶτα πάλιν αἰτεῖ ἅπερ ἔμπροσθεν ᾔτησε, συνεχῶς προσπίπτων καὶ παρακαλῶν, ὥστε ἀπαλλαγῆναι πονηρῶν ἀνθρώπων, οὕτω λέγων· «Ἐκ ῥομφαίας πονηρᾶς ῥῦσαί με, καὶ ἐξελοῦ με ἐκ χειρὸς υἱῶν ἀλλοτρίων, ὧν τὸ στόμα ἐλάλησε ματαιότητα, καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας. Ὧν οἱ υἱοὶ αὐτῶν ὡς νεόφυτα ἱδρυμένα ἐν τῇ νεότητι αὐτῶν». Τὰς εὐπραγίας ἐνταῦθα διαγράφει τὰς κοσμικὰς καὶ τὸν πλοῦτον, καὶ τίθησιν ὅπερ ἐστὶ πρῶτον, τὸ παῖδας ἔχειν σφριγῶντας καὶ ἀκμάζοντας, καὶ ἐξ ἑκατέρας τῆς φύσεως. Ἐπήγαγε γοῦν· «Αἱ θυγατέρες

πρότερους αὐτοὺς τοὺ ἴδιους ποὺ τὸν ὑμνοῦν, καὶ μὲ τὸν τρόπο αὐτὸ καὶ πάλι νὰ τοὺς εὐεργετήσει.

«Μὲ δεκάχορδο ψαλτήρι θὰ σοῦ ψάλω»· δηλαδὴ θὰ σὲ εὐχαριστήσω. Ἀλλὰ τότε μὲν ὑπῆρχαν ὄργανα μὲ τὰ ὁποῖα ἔψαλλαν τοὺς ὕμνους, τώρα ὅμως ἀντὶ τῶν ὀργάνων μποροῦμε νὰ χρησιμοποιήσουμε τὸ σῶμα. Διότι εἶναι δυνατὸ καὶ μὲ τὰ μάτια νὰ ψάλλει κανείς, καὶ ὄχι μόνο μὲ τὴ γλώσσα, καὶ μὲ τὰ χέρια, καὶ μὲ τὰ πόδια, καὶ μὲ τὰ αὐτιά. Ὅταν λοιπὸν τὸ καθένα ἀπὸ αὐτὰ πράττει αὐτὰ ποὺ φέρουν στὸ Θεὸ δόξα καὶ ὕμνο, ὅπως ὅταν ὁ ὀφθαλμὸς δὲν βλέπει ἀκόλαστα, ὅταν τὰ χέρια δὲν ἁρπάζουν, ἀλλ' ἁπλώνουν γιὰ νὰ δώσουν ἐλεημοσύνη, ὅταν τὰ αὐτιὰ εἶναι προετοιμασμένα γιὰ νὰ ἀκούσουν ψαλμοὺς καὶ πνευματικὰ ἄσματα, ὅταν τὰ πόδια τρέχουν πρὸς τὴν ἐκκλησία, ὅταν ἡ καρδιὰ δὲν ὑφαίνει δολιότητες, ἀλλὰ ἀναβλύζει ἀγάπη, τότε γίνονται τὰ μέλη τοῦ σώματος ψαλτήριο καὶ κιθάρα καὶ ψάλλουν νέα ᾠδή, ὄχι ἐκείνη ποὺ ψάλλεται μὲ λόγια, ἀλλᾶ ἐκείνη ποὺ ψάλλεται μὲ τὰ ἔργα.

5. «Σὲ σένα ποὺ δίνεις τὴ σωτηρία στοὺς βασιλεῖς». Διότι συνήθως δὲν σώζουν τὰ στρατόπεδα καὶ τὰ πλήθη τῶν στρατιωτῶν, οὔτε οἱ σωματοφύλακες, ἀλλ' ἡ βοήθεια τοῦ Θεοῦ. «Σὲ σένα ποὺ λυτρώνεις τὸ δοῦλο σου Δαυίδ». Ἀφοῦ μίλησε γιὰ τὴν κοινὴ σωτηρία, ὁμιλεῖ καὶ γιὰ τὴ δική του, καὶ δὲν εἶπε, 'σὲ σένα ποὺ λύτρωσες', ἀλλά, «Σὲ σένα ποὺ λυτρώνεις», γιὰ νὰ δείξει ὅτι εἶναι συνεχὴς ἡ πρόνοια αὐτοῦ γι' αὐτόν. Ἔπειτα πάλι ζητᾶ ἐκεῖνα ποὺ ζήτησε προηγουμένως, ἱκετεύοντας καὶ παρακαλώντας συνέχεια, ὥστε ν' ἀπαλλαγεῖ ἀπὸ τοὺς κακοὺς ἀνθρώπους, λέγοντας τὰ ἑξῆς· «Σῶσε με ἀπὸ τὴν πονηρὴ ρομφαία καὶ γλύτωσέ με ἀπὸ τὰ χέρια τῶν ἀλλοφύλων, τῶν ὁποίων τὸ στόμα εἶπε ἀσύστατα ψεύδη καὶ ἡ δεξιά τους εἶναι δεξιὰ ἀδικίας. Αὐτῶν τὰ τέκνα μοιάζουν μὲ νεόφυτα δένδρα ποὺ εἶναι καλὰ ριζωμένα καὶ στὴν ἀκμή τους». Ἐδῶ περιγράφει τὶς κοσμικὲς εὐημερίες καὶ τὸν πλοῦτο καὶ ἀναφέρει αὐτὸ ποὺ θεωρεῖται πρῶτο, τὸ νὰ ἔχει κανεὶς παιδιὰ σφριγιλὰ καὶ ἀκμαῖα καὶ ἀπὸ τὰ δύο φύλα. Πρόσθεσε λοιπόν· «Οἱ θυγατέρες τους εἶ-

αὐτῶν κεκαλλωπισμέναι, περικεκοσμημέναι ὡς ὁμοίωμα ναοῦ». Μετὰ τῆς νεότητος τὴν πολλὴν χλιδὴν ἐνδείκνυται, καὶ τὰ κρήδεμνα αὐτῶν καὶ τὸν γυναικεῖον ὑπογράφει κόσμον, ἅπερ ἐκ πολλῆς εὐημερίας γίνεται.

Ἔπειτα ὃ δεύτερον εἶναι δοκεῖ, τάχα δὲ νῦν ἐστι πρῶτον, πάλιν τὸν πλοῦτον ὑπογράφει λέγων· «Τὰ ταμιεῖα αὐτῶν πλήρη, ἐξερευγόμενα ἐκ τούτου εἰς τοῦτο». Τί ἐστιν, «Ἐξερευγόμενα»; Στενοχωρούμενα. Ἀχώρητός ἐστι τοῖς ταμιείοις ὁ πλοῦτος, φησί. «Τὰ πρόβατα αὐτῶν πολύτοκα, πληθύνοντα ἐν ταῖς ἐξόδοις αὐτῶν. Οἱ βόες αὐτῶν παχεῖς». Καὶ αὕτη δὲ οὐ μικρὰ εὐπραγία ἐδόκει εἶναι. Παρὰ γὰρ τοῖς παλαιοῖς ἐν τούτοις ὁ πλοῦτος ἦν, ἐν βουκολίοις καὶ ποιμνίοις καὶ σπέρμασι, πρὶν ἢ τὴν βλακείαν εὑρεθῆναι τὴν νῦν. «Οὐκ ἔστι κατάπτωμα φραγμοῦ, οὐδὲ διέξοδος». Τουτέστι, πολλῆς ἀπολαύει καὶ τὰ γεώργια φυλακῆς, πολλῆς τῆς ἐπιμελείας, πολλῆς τῆς σπουδῆς, κομώντων τῶν καρπῶν, τῶν φραγμῶν ἑστώτων, τῆς ἀμπέλου φυτευομένης πάντοθεν καὶ περιτειχιζομένης. «Οὐδὲ κραυγὴ ἐν ταῖς πλατείαις αὐτῶν». Ἄλλος, «Ἐν ταῖς ἐπαύλεσιν αὐτῶν». Ἄλλο εὐημερίας εἶδος, ὅπερ οὐ παντὶ συγκεκλήρωται πλούτῳ· τουτέστιν, εἰρήνη καὶ ἄδεια καὶ ἀσφάλεια· οὐδεὶς ὁ ἐπιβουλεύων, οὐδεὶς ὁ πολεμῶν, ἀλλ' οὐδὲ θόρυβος, οὐδὲ ταραχή.

«Ἐμακάρισαν τὸν λαὸν ᾧ ταῦτά ἐστι. Μακάριος ὁ λαὸς οὗ Κύριος ὁ Θεὸς αὐτοῦ». Εἶδες ἀρετὴν ἀνδρός; Θεὶς γὰρ ἅπαντα τὸν πλοῦτον, καὶ ἐπελθὼν αὐτὸν τῷ λόγῳ, εἶτα τὴν ψῆφον τῶν πολλῶν προσθεὶς τὴν περὶ αὐτόν, αὐτὸς οὐδὲν ἐκ τούτων ἀνθρώπινον πάσχει, οὐδὲ ζηλωτοὺς εἶναι νομίζει τοὺς ταῦτα κεκτημένους, ἀλλὰ ταῦτα πάντα παραδραμὼν ἐπὶ τὸν ἀληθῆ θη-

ναι καλλωπισμένες καὶ στολισμένες μὲ κοσμήματα σὰν τὰ ἀγάλματα τοῦ ναοῦ». Μαζὶ μὲ τὴ νεότητα παρουσιάζει καὶ τὴ μεγάλη χλιδή, καὶ περιγράφει τοὺς γυναικείους κεφαλόδεσμους καὶ τὰ γυναικεῖα κοσμήματα, ποὺ εἶναι ἀποτέλεσμα τῆς μεγάλης εὐημερίας.

Ἔπειτα αὐτὸ ποὺ θεωρεῖται σὰν δεύτερο, ἴσως δὲ σήμερα εἶναι πρῶτο, ἀναφέρει πάλι τὸν πλοῦτο, λέγοντας· «Οἱ ἀποθῆκες τους εἶναι γεμάτες καὶ ξεχειλίζουν ἀπὸ τὰ πολλὰ ἀγαθά». Τί σημαίνει, «Ἐξερευγόμενα»; Γεμάτα μὲ τὸ παραπάνω. Δὲν χωρεῖ, λέγει ὁ πλοῦτος τους στὶς ἀποθῆκες. «Τὰ πρόβατά τους εἶναι πολύτοκα καὶ πληθαίνουν γεννώντας στοὺς τόπους ποὺ βόσκουν. Τὰ βόδια τους εἶναι παχιά». Καὶ αὐτὴ δὲ θεωροῦνταν ὄχι μικρὴ εὐημερία. Διότι στοὺς παλιοὺς ἀπὸ αὐτὰ ἀποτελοῦνταν τὰ πλούτη, ἀπὸ τὰ κοπάδια βοδιῶν, ἀπὸ τὰ ποίμνια καὶ τοὺς καρπούς, προτοῦ νὰ ἐπινοηθεῖ ἡ σημερινὴ βλακεία. «Δὲν ὑπάρχει κανένα ρῆγμα στοὺς φράχτες τους, οὔτε καμιὰ διέξοδος». Δηλαδὴ ἀπολαμβάνουν τὰ κτήματά τους μεγάλη ἀσφάλεια, μεγάλη φροντίδα, μεγάλη προσοχή, καὶ ἔτσι αὐξάνονται οἱ καρποί, οἱ φράχτες παραμένουν στὴ θέση τους, καὶ τὰ κτήματα τῆς ἀμπέλου εἶναι φυτευμένα σ' ὅλο τὸ ἀμπέλι καὶ εἶναι καλὰ ἀπὸ παντοῦ περιφραγμένα. «Οὔτε κραυγὴ ἀκούεται στὶς πλατεῖες τους». Ἄλλος, «Μέσα στὶς ἐπαύλεις τους». Ἄλλο εἶδος εὐημερίας, ποὺ δὲν περιλαμβάνεται μέσα στὸν ὅλο πλοῦτο· δηλαδὴ ὑπάρχει εἰρήνη, ἀφοβία καὶ ἀσφάλεια· κανένας δὲν τοὺς ἐπιβουλεύεται, κανένας δὲν τοὺς πολεμεῖ, καὶ δὲν ὑπάρχει κανένας θόρυβος οὔτε ταραχή.

«Μακάρισαν οἱ ἄνθρωποι τὸ λαό, στὸν ὁποῖο ὑπάρχουν αὐτά. Ἀλλὰ πράγματι μακάριος εἶναι ὁ λαὸς ἐκεῖνος, τοῦ ὁποίου Κύριος εἶναι ὁ Θεός του». Εἶδες ἀρετὴ ἀνδρός; Διότι, ἀφοῦ ἀνέφερε ὅλο τὸν πλοῦτο καὶ ἐξέτασε αὐτὸν προσεκτικὰ μὲ τὸ λόγο του, καὶ ἀφοῦ στὴ συνέχεια ἀνέφερε τὴ γνώμη τῶν πολλῶν ἀνθρώπων γι' αὐτόν, ὁ ἴδιος τίποτε τὸ ἀνθρώπινο δὲν πάσχει ἀπὸ ὅλα αὐτά, οὔτε θεωρεῖ ἀξιοζήλευτους αὐτοὺς ποὺ ἔχουν αὐτά, ἀλλ', ἀφοῦ προσπέρασε ὅλα αὐτά, ἐπεκτείνει τὸ

σαυρὸν τὸν μακαρισμὸν ἐκτείνει. Οἱ μὲν γὰρ ἄλλοι, φησίν, ἐμακάρισαν τοὺς ταῦτα ἔχοντας, ἐγὼ δὲ μακαρίζω τὸν λαόν, «Οὗ Κύριος ὁ Θεὸς αὐτοῦ»· ἑνὶ τούτῳ πᾶσαν αὐτῶν τὴν εὐπορίαν ἐνδειξάμενος, τὴν εὐθηνίαν τῶν ἀγαθῶν, τὸν πλοῦτον. Ἐκεῖνα μὲν γὰρ παραρρεῖ καὶ παρέρχεται, οὗτος δὲ ὁ μακαρισμὸς μένει διηνεκῶς, ἀντὶ προβάτων καὶ παίδων καὶ βοῶν καὶ φραγμοῦ καὶ ἀμπελῶνος, ὁ τοῦ Θεοῦ μακαρισμὸς μέλλων εἶναι καὶ πλοῦτος καὶ ἀσφάλεια καὶ τεῖχος ἀκαταγώνιστον.

Ταῦτα τοίνυν ἀκούοντες, μηδενὶ τούτων θορυβεῖσθε, ἀλλὰ τὰς σκιὰς παρατρέχοντες, τῆς ἀληθείας ἀντέχεσθε. Καὶ γὰρ προλαβὼν εἶπεν, ὅτι «Ἄνθρωπος ματαιότητι ὡμοιώθη», καί, «Αἱ ἡμέραι αὐτοῦ ὡσεὶ σκιὰ παράγουσιν». Ἂν τοίνυν ἅπασι τούτοις ἴδῃς τινὰς περιρρεομένους καὶ πονηρίᾳ συζῶντας, κἂν ἡ οἰκουμένη αὐτοὺς μακαρίζῃ, ταλάνιζε, καὶ ἀθλίους εἶναι νόμιζε σύ, τοὺς δὲ ἀνακειμένους τῷ Θεῷ ζηλωτοὺς ἡγοῦ καὶ μακαρίους. Καὶ τοῦτον ἀεὶ πάντες ζητήσωμεν τὸν πλοῦτον, καὶ τοῦτον τὸν μακαρισμόν· ἵνα καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

μακαρισμό πρὸς τὸν ἀληθινὸ θησαυρό. Διότι, λέγει, οἱ μὲν ἄλλοι μακάρισαν ἐκεῖνους ποὺ ἔχουν αὐτὰ τὰ ἀγαθά, ἐγὼ ὅμως μακαρίζω τὸ λαὸ ἐκεῖνο, «Τοῦ ὁποίου Κύριος εἶναι ὁ Θεός του»· μέσα σ' αὐτὸ τὸ ἕνα παρουσίασε ὅλη τὴν εὐημερία αὐτῶν, τὴν ἀφθονία τῶν ἀγαθῶν, τὸν πλοῦτο. Διότι ἐκεῖνα μὲν μᾶς φεύγουν καὶ χάνονται, ἐνῶ αὐτὸς ὁ μακαρισμὸς μένει συνεχής· ἀντὶ τῶν προβάτων καὶ τῶν δούλων καὶ τῶν βοδιῶν καὶ τῶν φραχτῶν καὶ τοῦ ἀμπελῶνα, ὁ μακαρισμὸς τοῦ Θεοῦ πρόκειται νὰ εἶναι καὶ πλοῦτος καὶ ἀσφάλεια καὶ τεῖχος ἀκατανίκητο.

Ἀκούοντας λοιπὸν αὐτά, νὰ μὴ κυριεύεσθε ἀπὸ καμιὰ ἀνησυχία γι' αὐτά, ἀλλά, παραβλέποντας τὶς σκιές, νὰ προσηλώνεσθε στὴν ἀλήθεια. Καθόσον προηγουμένως εἶπε, ὅτι «Ὁ ἄνθρωπος μοιάζει μὲ τὴ ματαιότητα», καὶ «Οἱ μέρες του περνοῦν καὶ χάνονται σὰν σκιά». Ἂν λοιπὸν δεῖς μερικοὺς νὰ περιβάλλονται ἀπὸ ὅλα αὐτὰ καὶ νὰ ζοῦν μέσα στὴν κακία, καὶ ἂν ἀκόμα ἡ οἰκουμένη τοὺς μακαρίζει, ταλάνιζέ τους καὶ θεώρα τους ἄθλιους, ἐνῶ ἐκείνους ποὺ εἶναι ἀφοσιωμένοι στὸ Θεὸ νὰ τοὺς θεωρεῖς ἀξιοζήλευτους καὶ μακάριους. Καὶ αὐτὸν τὸν πλοῦτο ἐμεῖς ὅλοι πάντοτε ἂς ἐπιδιώξουμε καὶ αὐτὸν τὸν μακαρισμό, γιὰ νὰ ἐπιτύχουμε καὶ τὰ παρόντα ἀγαθὰ καὶ τὰ μέλλοντα, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη, στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

Ο Μ Ι Λ Ι Α

ΕΙΣ ΤΟΝ ΡΜΔ' ΨΑΛΜΟΝ.

«Ὑψώσω σε, ὁ Θεός μου, ὁ βασιλεύς μου, καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος».

1. Μετὰ ἀκριβείας τούτῳ μάλιστα προσέχειν ἄξιον τῷ ψαλμῷ. Οὗτος γάρ ἐστιν ὁ τὰ ῥήματα ἔχων ταῦτα, ἅπερ οἱ μεμυημένοι συνεχῶς ὑποψάλλουσι, λέγοντες· «Οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ». Ὁ γὰρ γενόμενος υἱὸς καὶ τραπέζης ἀπολαύων πνευματικῆς, δοξάζειν δίκαιος ἂν εἴη τὸν πατέρα. «Υἱὸς» γάρ, φησί, «δοξάζει τὸν πατέρα, καὶ δοῦλος τὸν κύριον αὐτοῦ φοβηθήσεται». Γέγονας υἱὸς καὶ τραπέζης ἀπολαύων πνευματικῆς, σιτούμενος τὰς σάρκας καὶ τὸ αἷμα τὸ ἀναγεννῆσάν σε· ἀποδίδου τοίνυν τῆς τοσαύτης εὐεργεσίας τὴν ἀμοιβήν, καὶ δόξαζε τὸν τοιαῦτα παρεσχηκότα, καὶ ἀναγινώσκων τὰ ῥήματα ῥύθμιζέ σου τὴν γνώμην πρὸς τὰ λεγόμενα· καὶ λέγων, «Ὑψώσω σε, ὁ Θεός μου, ὁ βασιλεύς μου», πολλὴν ἐπιδείκνυσο τὴν οἰκείωσιν, ἵνα καὶ περὶ σοῦ λέγῃ ὁ Θεός, ὥσπερ καὶ περὶ τοῦ Ἀβραάμ, καὶ τοῦ Ἰσαάκ, καὶ τοῦ Ἰακώβ· «Ἐγὼ ὁ Θεὸς Ἀβραάμ, καὶ ὁ Θεὸς Ἰσαάκ, καὶ ὁ Θεὸς Ἰακώβ». Ἂν γὰρ σὺ λέγῃς, «Ὁ Θεός μου, ὁ βασιλεύς μου», καὶ μὴ λέγῃς μόνον, ἀλλὰ καὶ τὴν ἀγάπην ἐπιδεικνύῃς τοιαύτην, καὶ αὐτὸς τὰ αὐτὰ ἐρεῖ περὶ σοῦ, ὁ δοῦλός μου, καὶ ὁ θεράπων μου· ὃ καὶ περὶ τοῦ Μωϋσέως εἴρηται.

---

* Ψαλμὸς τοῦ Δαυίδ, χαρακτηριζόμενος σὰν «αἴνεση». Διατυπώνεται ἡ ἐπιθυμία τοῦ ψαλμωδοῦ νὰ ἐξυμνήσει τὸν Κύριο γιὰ τὸ μεγαλεῖο καὶ τὴ δόξα του, καὶ προτρέπει ὅλα τὰ ἔργα αὐτοῦ νὰ ὑμνολογοῦν αὐτὸν ἀσταμάτητα γιὰ νὰ καταστεῖ γνωστὴ ἡ ἀνυπέρβλητη δόξα του.

Ο Μ Ι Λ Ι Α

ΣΤΟ ΡΜΔ' ΨΑΛΜΟ*

«Θὰ διακηρύξω τὸ μεγαλεῖο σου, Θεέ μου, σὺ ποὺ εἶσαι ὁ βασιλιάς μου, καὶ θὰ ἐξυμνῶ τὸ ὄνομά σου πάντοτε καὶ μέχρι τέλους τῶν αἰώνων».

1. Αὐτὸν τὸν ψαλμὸ ἀξίζει κανεὶς νὰ τὸν προσέξει μὲ ἐντελῶς ξεχωριστὸ ἐνδιαφέρον. Διότι αὐτὸς ὁ ψαλμὸς εἶναι ἐκεῖνος ποὺ ἔχει τὰ λόγια αὐτὰ ποὺ οἱ μυημένοι ὑποψάλλουν συνέχεια, λέγοντας· «Τὰ μάτια ὅλων εἶναι στραμμένα μὲ ἐλπίδα πρὸς ἐσένα, καὶ σὺ δίνεις τὴν τροφή τους σὲ κατάλληλη εὐκαιρία»[1]. Πράγματι ἐκεῖνος ποὺ ἔγινε υἱὸς καὶ ἀπολαμβάνει τὴν πνευματικὴ τράπεζα, θὰ ἦταν δίκιο νὰ εὐχαριστεῖ τὸν πατέρα. Διότι, λέγει, «Ὁ υἱός εὐχαριστεῖ τὸν πατέρα καὶ ὁ δοῦλος σέβεται τὸν κύριό του»[2]. Ἔγινες υἱὸς καὶ ἀπολαμβάνεις τὴν πνευματικὴ τράπεζα, τρώγοντας τὶς σάρκες καὶ πίνοντας τὸ αἷμα ποὺ σὲ ἀναγέννησε· δίνει λοιπὸν ἀμοιβὴ γιὰ τὴν τόσο μεγάλη εὐεργεσία, καὶ εὐχαρίστα ἐκεῖνον ποὺ σοῦ χάρισε ὅλα αὐτά, καί, διαβάζοντας τὰ λόγια, ρύθμιζε τὴ σκέψη σου ἀνάλογα μὲ τὰ λόγια αὐτά· καὶ λέγοντας, «Θὰ διακηρύξω τὸ μεγαλεῖο σου, Θεέ μου, σὺ ποὺ εἶσαι ὁ βασιλιάς μου», νὰ δείχνεις μεγάλη οἰκειότητα πρὸς αὐτόν, γιὰ νὰ λέγει καὶ γιὰ σένα ὁ Θεός, ὅπως ἀκριβῶς ἔλεγε γιὰ τὸν Ἀβραὰμ καὶ τὸν Ἰσαὰκ καὶ τὸν Ἰακώβ· «Ἐγὼ εἶμαι ὁ Θεὸς τοῦ Ἀβραὰμ καὶ ὁ Θεὸς τοῦ Ἰσαὰκ καὶ ὁ Θεὸς τοῦ Ἰακώβ»[3]. Διότι, ἐὰν σὺ λέγεις, «Θεέ μου, σὺ ποὺ εἶσαι ὁ βασιλιάς μου», καὶ δὲν τὸ λέγεις μόνο, ἀλλὰ καὶ δείχνεις τὴν ἀγάπη σου τὴν ἀνάλογη, καὶ αὐτὸς θὰ πεῖ τὰ ἴδια γιὰ σένα, 'ὁ δοῦλος μου καὶ ὁ ὑπηρέτης μου', πράγμα ποὺ ἔχει λεχθεῖ καὶ γιὰ τὸν Μωυσῆ.

1. Ψαλμ. 143, 15.
2. Μαλαχ. 1, 6.
3. Ἐξ. 3, 6.

«Καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος». Εἶδες καὶ τῆς μελλούσης ζωῆς τὰ προοίμια πῶς ἐνδείκνυται; Εὐλογίαν δὲ ἐνταῦθα λέγει, οὐ τὴν διὰ τῶν ρημάτων, ἀλλὰ καὶ τὴν διὰ τῶν πραγμάτων. Οὕτω γοῦν καὶ ὑψοῦται Θεός, οὕτω καὶ εὐλογεῖται. Τοῦτο καὶ ἐν τῇ εὐχῇ κελευόμεθα λέγειν, «Ἁγιασθήτω τὸ ὄνομά σου», τουτέστι, δοξασθήτω. «Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος». Ἕτερος, «Εἰς αἰῶνα διηνεκῶς». Τοῦτο μάλιστα ψυχῆς εὐλαβοῦς, τὸ τῶν βιωτικῶν ἀπαλλαγεῖσαν πραγμάτων τοῖς ὕμνοις ἀνακεῖσθαι. Καὶ γὰρ αἰσχρὸν ἂν εἴη τὸν λογικὸν ἄνθρωπον, καὶ τῶν ὁρωμένων ἁπάντων τιμιώτερον, ἔλαττον τῆς κτίσεως φέρειν κατὰ τὸν τῆς εὐφημίας λόγον· οὐκ αἰσχρὸν δὲ μόνον, ἀλλὰ καὶ ἄτοπον. Πῶς δὲ οὐκ ἄτοπον, εἴ γε αὐτὴ μὲν καθ' ἑκάστην ἡμέραν καὶ ὥραν ἀναπέμπει τῷ Δεσπότῃ δοξολογίαν; «Οἱ γὰρ οὐρανοί», φησί, «διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλει τὸ στερέωμα. Ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ρῆμα, καὶ νὺξ νυκτὶ ἀναγγέλει γνῶσιν». Ἥλιός τε καὶ σελήνη, καὶ ὁ ποικίλος τῶν ἄστρων χορός, καὶ τῶν ἄλλων ἁπάντων ἡ εὐταξία τὸν οἰκεῖον κηρύττει δημιουργόν. Ὁ τοίνυν ἁπάντων τούτων τιμιώτερος, μὴ ποιῶν τοῦτο, ἀλλὰ καὶ βίον παρέχων δι' ὃν βλασφημία προστρίβεται τῷ ποιήσαντι αὐτὸν Θεῷ, ποίας ἄρα ἔσται συγγνώμης ἄξιος ὁ τοιοῦτος; τίνος δὲ ἀπολογίας, ὅταν διὰ τοῦτο γενόμενος, ἵνα ἀρέσῃ τῷ φιλανθρώπῳ Θεῷ, καὶ τῆς βασιλείας ἀπολαύσῃ τῶν μελλόντων, τούτου μὲν μὴ πολὺν ποιῆται τὸν λόγον, πραγματείαις δὲ βιωτικαῖς καὶ μερίμναις ἑαυτὸν κοσμικαῖς περιβάλλῃ;

Ἀλλ' οὐχ οὗτος τοιοῦτος, ἀλλὰ διὰ παντὸς τοῦ βίου αἶνον ἀνέφερε τῷ Θεῷ, τὸν διὰ τῶν ρημάτων, τὸν διὰ τῶν πραγμάτων.

---

4. Ματθ. 6, 9.
5. Ψαλμ. 18, 2-3.

«Καὶ θὰ ἐξυμνῶ τὸ ὄνομά σου πάντοτε καὶ μέχρι τέλους τῶν αἰώνων». Εἶδες πῶς παρουσιάζει καὶ τὰ προοίμια τῆς μέλλουσας ζωῆς; Εὐλογία δὲ ἐδῶ ὀνομάζει, ὄχι ἐκείνη ποὺ γίνεται μὲ λόγια, ἀλλ' ἐκείνη ποὺ γίνεται μὲ τὰ ἔργα. Διότι ἔτσι καὶ μεγαλύνεται ὁ Θεὸς καὶ ἐξυμνεῖται. Αὐτὸ δὲ προτρεπόμαστε νὰ λέμε καὶ στὴν προσευχή, «Ἂς ἁγιασθεῖ τὸ ὄνομά σου»[4], δηλαδή, ἂς δοξασθεῖ. «Καθημερινὰ θὰ δοξολογῶ καὶ θὰ ὑμνῶ τὸ ὄνομά σου πάντοτε καὶ μέχρι τέλους τῶν αἰώνων». Ἄλλος, «Στὸν αἰώνα διαρκῶς». Αὐτὸ πρὸ πάντων εἶναι γνώρισμα ψυχῆς γεμάτης ἀπὸ εὐλάβεια, ἀφοῦ ἀπαλλαγεῖ ἀπὸ τὶς κοσμικὲς φροντίδες, νὰ εἶναι ἀφοσιωμένη στοὺς ὕμνους πρὸς τὸ Θεό. Καθόσον θὰ ἦταν αἰσχρὸ ὁ λογικὸς ἄνθρωπος, καὶ ποὺ εἶναι τιμιότερος ἀπὸ ὅλα τὰ ὁρατὰ κτίσματα, νὰ ὑπολείπεται τῆς κτίσεως ὡς πρὸς τὴν ἐξύμνηση τοῦ Θεοῦ· ὄχι δὲ μόνο αἰσχρὸ θὰ ἦταν, ἀλλὰ καὶ παράλογο. Πῶς δὲ δὲν θὰ ἦταν παράλογο, ἐφόσον αὐτὴ μὲν κάθε ἡμέρα καὶ κάθε ὥρα ἀναπέμπει δοξολογία στὸν Κύριο; διότι λέγει, «Οἱ οὐρανοὶ ἐξυμνοῦν τὴ δόξα τοῦ Θεοῦ, τὸ δὲ στερέωμα τοῦ οὐρανοῦ ἐξαγγέλει τὴ δημιουργία τῆς κτίσεως ἀπὸ τὰ χέρια αὐτοῦ. Κάθε ἡμέρα διακηρύσσει στὴν ἄλλη ἡμέρα πολυσήμαντο λόγο, καὶ κάθε νύχτα μεταδίδει στὴν ἄλλη νύχτα τὴ γνώση γιὰ τὸν δημιουργὸ Θεό»[5]. Καὶ ὁ ἥλιος καὶ ἡ σελήνη καὶ ὁ ποικίλος χορὸς τῶν ἄστρων, καὶ ἡ εὐταξία ὅλων τῶν ἄλλων δημιουργημάτων δικηρύσσουν τὸν δημιουργό τους. Αὐτὸς λοιπὸν ποὺ εἶναι τιμιότερος ἀπὸ ὅλα αὐτὰ καὶ ὄχι μόνο δὲν κάμνει αὐτό, ἀλλὰ ζεῖ μὲ τέτοιο τρόπο μὲ τὸν ὁποῖο βλασφημεῖται αὐτὸς ποὺ τὸν δημιούργησε, ποιᾶς συγγνώμης ἄραγε θὰ εἶναι ἄξιος ὁ παρόμοιος ἄνθρωπος; Ποιᾶς δὲ ἀπολογίας, ὅταν, ἐνῶ ἔγινε γι' αὐτό, γιὰ νὰ ἀρέσει στὸν φιλάνθρωπο Θεὸ καὶ ν' ἀπολαύσει τὴ μέλλουσα βασιλεία, γι' αὐτὸ μὲν δὲν καταβάλλει καὶ πολὺ φροντίδα, περιβάλλει δὲ τὸν ἑαυτό του μὲ βιωτικὲς φροντίδες καὶ κοσμικὲς μέριμνες;

Αὐτὸς ὅμως δὲν ἦταν τέτοιος, ἀλλὰ σ' ὅλη τὴ ζωή του ἀνέπεμπε ὕμνο δοξολογίας στὸν Θεό, καὶ μὲ τὰ λόγια του καὶ μὲ

Καὶ γὰρ πολλῶν ἐσμεν ὀφειλέται αὐτῷ, ὅτι τε οὐκ ὄντας ἐποίησεν, καὶ ὅτι τοιούτους εἰργάσατο, ὅτι γενομένους διακρατεῖ, καὶ ὅτι καθ' ἑκάστην προνοεῖ τὴν ἡμέραν καὶ κοινῇ καὶ ἰδίᾳ καὶ λάθρᾳ καὶ φανερῶς, καὶ εἰδότων καὶ οὐκ εἰδότων. Τί γὰρ ἄν τις εἴποι τὰ δρώμενα, ἃ δι' ἡμᾶς ἐποίησε; τὴν διακονίαν αὐτῶν, ἣν παρέχεται, τοῦ σώματος τὴν διάπλασιν, τῆς ψυχῆς τὴν εὐγένειαν, τὴν καθ' ἑκάστην ἡμέραν οἰκονομίαν, τὴν διὰ τῶν θαυμάτων, τὴν διὰ τῶν νόμων, τὴν διὰ τῶν τιμωριῶν, τὴν ποικίλην αὐτοῦ πρόνοιαν καὶ ἀκατάληπτον, τὸ κεφάλαιον τῶν ἀγαθῶν, ὅτι οὐδὲ τοῦ Μονογενοῦς ἐφείσατο δι' ἡμᾶς, τὰ δοθέντα ἤδη διὰ τοῦ βαπτίσματος, διὰ τῶν μυστηρίων, τὰ μέλλοντα δοθήσεσθαι, τὰ ἀπόρρητα ἀγαθὰ ἐκεῖνα, τὴν βασιλείαν, τὴν ἀνάστασιν, τὴν λῆξιν τὴν πάσης μακαριότητος γέμουσαν; Ἂν γὰρ ἕκαστόν τις τούτων καταλέγῃ, εἰς πέλαγος ἄφατον ἐμπεσεῖται εὐεργεσιῶν, καὶ ὄψεται πόσων ἐστὶν ὑπεύθυνος τῷ φιλανθρώπῳ Θεῷ· οὐ διὰ ταῦτα δὲ μόνον, ἀλλὰ καὶ διὰ τὸ μεγαλεῖον τῆς δόξης αὐτοῦ, διὰ τὴν ἀκήρατον οὐσίαν. Καὶ γὰρ καὶ διὰ ταύτην ὀφείλεται αὐτῷ παρ' ἡμῶν αἶνος, καὶ εὐλογία, καὶ διηνεκὴς εὐχαριστία, καὶ λατρεία, καὶ διακονία συνεχής.

Τοῦτο γοῦν αὐτὸ δηλῶν καὶ ὁ προφήτης, «Μέγας Κύριος», φησί, «καὶ αἰνετὸς σφόδρα, καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας». Ἐπειδὴ γὰρ εἶπεν, «Εὐλογήσω καὶ αἰνέσω», δείκνυσιν ὅτι οὐ χρείαν ἔχει τῶν παρ' ἡμῶν, οὐδὲ τῶν εὐλογιῶν, οὐδὲ προστίθεται αὐτοῦ τι τῇ δόξῃ παρὰ τῆς τῶν διακονουμένων εὐφημίας. Ἀκήρατος γὰρ αὐτοῦ ἡ οὐσία καὶ ἀνενδεὴς οὖσα οὐδενὸς ἑτέρου προσδεῖται. Οἱ δὲ αἰνοῦντες αὐτόν, αὐτοὶ λαμπρότεροι γίνονται. Οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ διὰ τὸ ὑπερέχον αὐτοῦ τῆς δόξης ὀφείλεται αὐτῷ εὐφημία παρ' ἡμῶν. Διὸ καὶ τοῦτο δηλῶν εἶπε, «Μέγας Κύριος, καὶ αἰνετὸς σφόδρα»· τουτέ-

τὰ ἔργα του. Καθόσον εἴμαστε ὀφειλέτες στὸ Θεὸ πολλῶν πραγμάτων, καὶ διότι μᾶς δημιούργησε ἀπὸ τὸ μηδέν, καὶ διότι μᾶς ἔκαμε κάτι τὸ πολὺ ξεχωριστὸ ἀπὸ ὅλα τὰ δημιουργήματα, καὶ διότι, ἀφοῦ μᾶς ἔπλασε, μᾶς συγκρατεῖ στὴ ζωή, καὶ διότι καθημερινὰ φροντίζει καὶ γιὰ ὅλους μας καὶ γιὰ τὸν καθένα ξεχωριστά, καὶ κρυφὰ καὶ φανερά, καὶ γνωρίζοντας αὐτὸ καὶ μὴ γνωρίζοντας. Διότι τί θὰ μποροῦσε κανεὶς νὰ πεῖ γιὰ τὰ ὁρατὰ δημιουργήματα ποὺ τὰ δημιούργησε γιὰ μᾶς; γιὰ τὴν ὑπηρεσία τους ποὺ τὴν προσφέρουν σὲ μᾶς, γιὰ τὴ διάπλαση τοῦ σώματος, γιὰ τὴν εὐγένεια τῆς ψυχῆς, γιὰ τὴν καθημερινὴ μέριμνά του, ποὺ ἐκδηλώνεται μὲ τὰ θαύματα, μὲ τοὺς νόμους, μὲ τὶς τιμωρίες, γιὰ τὴν ποικίλη καὶ ἀκατανόητη πρόνοιά του, γιὰ τὸ ἀποκορύφωμα τῶν ἀγαθῶν, τὸ ὅτι δηλαδὴ δὲν λυπήθηκε γιὰ χάρη μας οὔτε τὸν Μονογενὴ Υἱό του, γι' αὐτὰ ποὺ πρόκειται νὰ μᾶς δοθοῦν στὸ μέλλον, γιὰ τὰ ἀκατονόμαστα ἐκεῖνα ἀγαθά, τὴ βασιλεία, τὴν ἀνάσταση καὶ τὴν κληρονομία τὴ γεμάτη ἀπὸ ὅλη ἐκείνη τὴ μακαριότητα; Διότι, ἂν τὸ καθένα ἀπὸ αὐτὰ κατονομάσει κάποιος, θὰ περιπέσει μέσα σὲ ἀπερίγραπτο πέλαγος εὐεργεσιῶν, καὶ θὰ ἀντιληφθεῖ γιὰ πόσα εἶναι ὀφειλέτης στὸν φιλάνθρωπο Θεό· ὄχι δὲ μόνο γι' αὐτά, ἀλλὰ καὶ γιὰ τὸ μεγαλεῖο τῆς δόξας αὐτοῦ, καὶ γιὰ τὴν ἄφθαρτη οὐσία του. Καθόσον καὶ γι' αὐτὴν ὀφείλομε σ' αὐτὸν ὕμνο, εὐλογία, συνεχὴ εὐχαριστία, λατρεία καὶ συνεχὴ ὑπηρεσία.

Αὐτὸ λοιπὸν ἀκριβῶς γιὰ νὰ δηλώσει καὶ ὁ προφήτης, λέγει, «Μέγας εἶναι ὁ Κύριος καὶ ὑπερβολικὰ ἄξιος νὰ ὑμνεῖται, καὶ ἡ μεγαλωσύνη του δὲν ἔχει τέλος». Ἐπειδὴ δηλαδὴ εἶπε, «Θὰ σὲ εὐλογῶ καὶ θὰ σὲ ἐξυμνῶ», δείχνει ὅτι δὲν ἔχει ἀνάγκη ἀπὸ τοὺς δικούς μας ὕμνους, οὔτε τὶς εὐλογίες, οὔτε προστίθεται κάτι στὴ δόξα του ἀπὸ τὴν ἐξύμνηση αὐτῶν ποὺ τὸν λατρεύουν. Διότι εἶναι ἄφθαρτη ἡ οὐσία του καὶ ἀνενδεὴς καὶ δὲν ἔχει ἀνάγκη ἀπὸ τίποτε ἄλλο. Αὐτοὶ ὅμως ποὺ τὸν ἐξυμνοῦν γίνονται οἱ ἴδιοι λαμπρότεροι. Ὄχι δὲ μόνο γι' αὐτό, ἀλλ' ὀφείλουμε νὰ ἐξυμνοῦμε αὐτὸν καὶ ἐξ αἰτίας τῆς ὑπεροχῆς τῆς δόξας του. Γι' αὐτὸ γιὰ νὰ δηλώσει καὶ αὐτὸ εἶπε, «Μέγας εἶναι ὁ

στιν, οὐδενὸς δεόμενος. Τί ἐστιν, «Αἰνετός»; Εὐφημιῶν ἄξιος, ἐγκωμίων καὶ ὕμνων· οὐχ ἁπλῶς, «Αἰνετός», ἀλλὰ καί, «Σφόδρα»· διὸ καὶ τοῦτο προσέθηκε· πόσον δὲ αἰνετὸς οὐ δυνάμενος παραστῆσαι τῷ λόγῳ, ἐπήγαγε· «Καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας»· ὅπερ ἕτερος ἑρμηνευτής, «Ἐξεύρεσις», εἶπεν. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἐπεὶ μέγαν ἔχεις Δεσπότην, γενοῦ καὶ σὺ ὑψηλός, καὶ τῶν βιωτικῶν ἀπαλλάγηθι πραγμάτων. Λάβε φρόνημα ἀνώτερον τῆς ταπεινότητος τῶν παρόντων, οὐχ ἵνα ἀπονενοημένος γένῃ καὶ ἀλαζών, ἀλλ' ἵνα μεγαλόφρων καὶ μεγαλόνους. Ἕτερον γὰρ ἀλαζονεία, καὶ ἕτερον μεγαλοψυχία. Ἀλαζὼν μὲν γάρ ἐστιν ὁ ἐπὶ τοῖς μικροῖς κομπάζων, καὶ τῶν ὁμοδούλων ὑπερορῶν, ὑψηλὸς δὲ ὁ ταπεινὸς τὴν διάνοιαν, καὶ τὰς φαντασίας τοῦ παρόντος βίου οὐδὲν εἶναι νομίζων. Ποῦ νῦν εἰσιν οἱ λέγοντες οὕτως εἰδέναι τὸν Θεόν, ὡς αὐτὸς ἑαυτὸν οἶδεν; Ἀκουέτωσαν τοῦ προφήτου λέγοντος, «Τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας», καὶ αἰσχυνέσθωσαν ἐπὶ τῇ οἰκείᾳ μανίᾳ.

2. «Γενεὰ καὶ γενεὰ ἐπαινέσει τὰ ἔργα σου». Ὅπερ ἔθος αὐτῷ ποιεῖν, τοῦτο καὶ ἐνταῦθα ἐργάζεται. Ὅταν γὰρ αὐτοῦ θαυμάσῃ τὴν μεγαλωσύνην, τὴν δόξαν, ἔρχεται καὶ ἐπὶ τὴν τῶν ἔργων ἀπόδειξιν. Τὸ αὐτὸ δὴ καὶ ἐνταῦθα ποιεῖ, καὶ λέγει· «Γενεὰ καὶ γενεὰ ἐπαινέσει τὰ ἔργα σου», δεικνὺς ἀπὸ τῶν ἔργων αὐτοῦ τὴν μεγαλωσύνην. Τουτέστιν, οὐκ ἐν ἑνὶ χρόνῳ γέγονε μόνον καὶ παρῆλθεν, οὐδὲ ἐν δύο καὶ τρισὶν ἔτεσιν, ἀλλὰ παντὶ παρεκτείνεται τῷ παρόντι αἰῶνι, ὥστε ἑκάστην γενεὰν θεωρεῖν αὐτοῦ τὰ δημιουργήματα. Τοῦτο γάρ ἐστι, «Γενεὰ καὶ γενεά»· ἥ τε οὖσα, φησίν, ἥ τε ἐπιοῦσα, ἥ τε μετ' ἐκείνην, καὶ ἡ μετὰ ταύτην πάλιν, καὶ ἑκάστη τῶν ἐπιουσῶν· ἥ τε κτίσις πάλιν παντὶ ὁμοίως τῷ

Κύριος καὶ ὑπερβολικὰ ἄξιος νὰ ὑμνεῖται»· δηλαδὴ δὲν χρειάζεται τίποτε. Τί σημαίνει, «Αἰνετός»; Εἶναι ἄξιος εὐφημιῶν, ἐγκωμίων καὶ ὕμνων· ὄχι ἁπλῶς, «Ἄξιος ἐξυμνήσεων», ἀλλὰ καὶ «Σὲ ὑπερβολικὸ βαθμό»· γι' αὐτὸ καὶ πρόσθεσε αὐτό· ἐπειδὴ δὲν μπορεῖ νὰ παραστήσει μὲ τὰ λόγια πόσο ἄξιος εἶναι γιὰ ἐξύμνηση, πρόσθεσε· «Καὶ ἡ μεγαλωσύνη του δὲν ἔχει τέλος», πράγμα ποὺ ἄλλος ἑρμηνευτὴς εἶπε «Δὲν ὑπάρχει ἐξεύρεση». Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Ἐπειδὴ ἔχεις μέγα Κύριο, γίνε καὶ σὺ ὑψηλόφρων, καὶ ἀπαλλάξου ἀπὸ τὰ κοσμικὰ πράγματα. Λάβε φρόνημα ἀνώτερο ἀπὸ τὴν ταπεινότητα τῶν παρόντων πραγμάτων, ὄχι γιὰ νὰ γίνεις ἀπερίσκεπτος καὶ ἀλαζών, ἀλλὰ μεγαλόφρων καὶ μεγαλόψυχος. Διότι ἄλλο πράγμα εἶναι ἡ ἀλαζονεία καὶ ἄλλο ἡ μεγαλοψυχία. Καθόσον ἀλαζὼν εἶναι ἐκεῖνος ποὺ καυχιέται γιὰ τὰ μικρὰ πράγματα, καὶ περιφρονεῖ τοὺς συνδούλους του, ἐνῶ ὑψηλόφρων εἶναι ἐκεῖνος ποὺ ἔχει ταπεινὴ σκέψη καὶ δὲν θεωρεῖ τίποτε τὰ φανταστικὰ πράγματα τῆς παρούσας ζωῆς. Ποῦ λοιπὸν εἶναι ἐκεῖνοι ποὺ λέγουν ὅτι γνωρίζουν τόσο πολὺ τὸ Θεό, ὅσο γνωριζει ὁ ἴδιος τὸν ἑαυτό του; Ἂς ἀκούσουν τὸν προφήτη ποὺ λέγει, «Τῆς μεγαλωσύνης του δὲν ὑπάρχει τέλος», καὶ ἂς νιώσουν ντροπὴ γιὰ τὴ μανία τους.

2. Ὅλες οἱ γενεὲς ἡ μία μετὰ τὴν ἄλλη θὰ ἐξυμνοῦν τὰ ἔργα σου». Ἐκεῖνο ποὺ συνηθίζει νὰ κάνει, αὐτὸ κάνει καὶ ἐδῶ. Ἀφοῦ δηλαδὴ θαυμάσει τὴ μεγαλωσύνη καὶ τὴ δόξα τοῦ Θεοῦ, ἔρχεται καὶ στὴν ἀπόδειξη τῶν ἔργων. Τὸ ἴδιο λοιπὸν κάνει καὶ ἐδῶ καὶ λέγει· «Ὅλες οἱ γενεές, ἡ μία μετὰ τὴν ἄλλη, θὰ ἐξυμνοῦν τὰ ἔργα σου», γιὰ νὰ δείξει ἀπὸ τὰ ἔργα του τὴ μεγαλωσύνη του. Δηλαδή, αὐτὴ δὲν κράτησε γιὰ ἕνα μόνο χρόνο καὶ μετὰ ἐξέλειψε, οὔτε γιὰ δύο καὶ τρία ἔτη, ἀλλ' ἐπεκτείνεται σ' ὅλο τὸν παρόντα αἰώνα, ὥστε ἡ κάθε γενεὰ νὰ βλέπει τὰ δημιουργήματα αὐτοῦ. Διότι αὐτὸ σημαίνει, «Γενεὰ καὶ γενεά»· καὶ ἡ σημερινή, λέγει, καὶ αὐτὴ ποὺ ἔρχεται, καὶ ἡ μετὰ ἀπὸ ἐκείνη, καὶ ἡ μετὰ ἀπὸ αὐτὴν πάλι, καὶ κάθε μιὰ ἀπὸ τὶς μεθεπόμενες γενεές· καὶ ἡ κτίση πάλι καθ' ὅμοιο τρόπο ἐπεκτείνεται

χρόνῳ παρεκτείνεται τούτῳ, οἷον οὐρανός, γῆ, θάλασσα, ἀήρ, λίμναι, πηγαί, ποταμοί, σπέρματα, φυτά, βοτάναι, καὶ ἡ ἐκ τούτων εὐεργεσία, φύσεως δρόμος μηδέποτε διακοπτόμενος, ὑετοί, τροπαὶ διηνεκῶς χορεύουσαι, νύξ, ἡμέρα, ἥλιος, σελήνη, τὰ ἄστρα, τὰ ἄλλα πάντα, ἔτι τε τὰ τούτων χωρίς, ἃ καὶ καθ' ἑκάστην γίνεται γενεάν, καὶ ἰδίᾳ καὶ κοινῇ, πρὸς διόρθωσιν, πρὸς εὐεργεσίαν τοῦ κοινοῦ τῶν ἁπάντων ἀνθρώπων γένους, οἷα ἐπὶ τῶν Ἰουδαίων γέγονε συνεχῶς θαύματα, σημεῖα, πρόνοια ἡ ἐν εὐετηρίᾳ, ἡ ἐν ταῖς νίκαις τῶν πολέμων, ἡ ἐν τοῖς ἄλλοις ἅπασιν, οἷα ἐπὶ τῆς παρουσίας τοῦ Χριστοῦ, ἐπὶ τῶν ἀποστόλων, ἐπὶ τοῦ καιροῦ τῶν διωγμῶν, πλείονα καὶ πολὺ τῶν παλαιῶν διαφέροντα κατὰ μέγεθος, οἷα καὶ ἐπὶ τῆς γενεᾶς τῆς ἡμετέρας. Καὶ γὰρ οὐκ ἔστι χρόνος οὐδείς, καὶ τούτων ἐκτὸς τῶν κοινῶν, ὁ μὴ φέρων τῆς αὐτοῦ προνοίας σημεῖον.

«Καὶ τὴν δύναμίν σου ἀπαγγελοῦσι». Καὶ διὰ τῶν εὐεργεσιῶν, φησί, καὶ διὰ τῶν κολάσεων. Οὐ γὰρ διαλιμπάνει παντὶ τρόπῳ τὰ ὑπὲρ τῆς φύσεως τῆς ἡμετέρας οἰκονομῶν ὁ Θεὸς διὰ παντὸς τοῦ χρόνου. «Τὴν μεγαλοπρέπειαν τῆς δόξης τῆς ἁγιωσύνης σου λαλήσουσι, καὶ τὰ θαυμάσιά σου διηγήσονται». Ἕτερος, «Ὡραιότητα τοῦ ἐπαίνου σου, καὶ τοὺς λόγους τῶν παραδόξων σου διηγήσονται». Ἐπειδὴ εἶπε δύναμιν, δείκνυσι καὶ αὐτὴν μεθ' ὑπερβολῆς οὖσαν δύναμιν. Οὐδὲ γὰρ ἁπλῶς, οὐδὲ τὰ τυχόντα εἰργάζετο, ἀλλ' οὕτω πάντα θαυματουργοῦσα, καὶ παραδοξοποιοῦσα διετέλει, ὑπὲρ τὴν φύσιν ἐργαζομένη τὴν ἀνθρωπίνην, ὡς καὶ θαύματος καὶ δόξης πλήρη τὰ γινόμενα εἶναι. Ἐννόησον γοῦν τὰ ἐν Αἰγύπτῳ, τὰ ἐπὶ τοῦ Μωϋσέως, τὰ ἐν τῇ ἐρή-

σ' ὅλο αὐτὸ τὸ χρόνο, ὅπως δηλαδὴ ὁ οὐρανός, ἡ γῆ, ἡ θάλασσα, ὁ ἀέρας, οἱ λίμνες, οἱ ποταμοί, τὰ σπέρματα, τὰ φυτά, τὰ χόρτα, καὶ ἡ εὐεργεσία ποὺ προέρχεται ἀπὸ αὐτά, καὶ ποτὲ δὲν διακόπτεται ὁ δρόμος τῆς φύσεως, οἱ βροχὲς δηλαδή, οἱ συνεχεῖς μεταβολὲς ποὺ διαδέχονται ἡ μία τὴν ἄλλη, ἡ νύχτα, ἡ ἡμέρα, ὁ ἥλιος, ἡ σελήνη, τὰ ἄστρα, ὅλα τὰ ἄλλα, καὶ ἀκόμα καὶ χωρὶς αὐτὰ ποὺ συμβαίνουν στὴν κάθε μιὰ γενεὰ καὶ κατ' ἰδία καὶ πρὸς ὅλους μαζί, μὲ σκοπὸ τὴ διόρθωση καὶ εὐεργεσία τοῦ κοινοῦ γένους ὅλων τῶν ἀνθρώπων, ὅπως δηλαδὴ ἐκεῖνα τὰ θαύματα ποὺ ἔγιναν συνέχεια στοὺς Ἰουδαίους, ἡ πρόνοιά του γιὰ νὰ ἔχουν εὐημερία, γιὰ νὰ νικοῦν στοὺς πολέμους, καθῶς καὶ γιὰ ὅλα τὰ ἄλλα, ὅπως γιὰ ἐκεῖνα ποὺ συνέβηκαν κατὰ τὴν παρουσία τοῦ Χριστοῦ, κατὰ τοὺς χρόνους τῶν ἀποστόλων, κατὰ πολὺ διαφέροντα ὡς πρὸς τὸ μέγεθος ἀπὸ τὰ παλιά, ὅπως καὶ αὐτὰ ποὺ συνέβηκαν στὴ δική μας γενεά. Καθόσον δὲν ὑπάρχει κανένας χρόνος, πού, ἐκτὸς ἀπὸ αὐτὰ τὰ κοινὰ δείγματα τῆς πρόνοιας τοῦ Θεοῦ, νὰ μὴ φέρει σημάδια τῆς πρόνοιάς του.

«Καὶ θὰ διακηρύττουν τὰ ἔργα τῆς δυνάμεώς σου». Καὶ μὲ τὶς εὐεργεσίες, λέγει, καὶ μὲ τὶς τιμωρίες. Διότι ὁ Θεὸς δὲν παύει καθ' ὅλο τὸ χρόνο νὰ φροντίζει μὲ κάθε τρόπο γιὰ τὴ φύση μας. «Τὴ μεγαλοπρεπὴ δόξα τῆς ἁγιωσύνης σου θὰ διακηρύττουν καὶ θὰ ἐξυμνοῦν τὰ θαυμαστὰ ἔργα σου». Ἄλλος λέγει, «Τὴν ὡραιότητα τοῦ ἐπαίνου καὶ τοὺς λόγους τῶν παράδοξων ἔργων σου θὰ διακηρύττουν». Ἐπειδὴ μίλησε γιὰ τὴ δύναμή του, δείχνει καὶ αὐτὴν ὅτι εἶναι ὑπερβολικὴ δύναμη. Διότι δὲ ἐνεργοῦσε αὐτὴ ἔτσι ἁπλὰ καὶ τυχαῖα, ἀλλὰ μὲ τέτοιο θαυματουργικὸ τρόπο ἔκαμνε τὰ πάντα καὶ ἐπιτελοῦσε παράδοξα ἔργα γιὰ χάρη τῆς ἀνθρώπινης φύσεως, ὥστε νὰ εἶναι τὰ ὅσα συνέβαιναν γεμάτα ἀπὸ θαυμασμὸ καὶ δόξα. Σκέψου λοιπὸν τὰ ὅσα συνέβηκαν στὴν Αἴγυπτο, στὴν Παλαιστίνη, τὰ ὅσα συνέβηκαν κατὰ τὴν ἐποχὴ τοῦ Ἀβραάμ, κατὰ τὴν ἐποχὴν τοῦ Ἰσαὰκ καὶ κατὰ τὶς ἡμέρες τοῦ Ἰωσήφ· πάλι ἀναλογίσου τὰ ὅσα συνέβηκαν στὴν Αἴγυπτο κατὰ τὴν ἐποχὴ τοῦ Μωυσῆ, τὰ ὅ-

μῳ, τὰ μετὰ τὴν εἴσοδον· πάλιν τὰ ἐν τῇ αἰχμαλωσίᾳ, τὰ ἐπὶ τοῦ Ναβουχοδονόσορ, τὰ ἐπὶ τῆς καμίνου, τὰ ἐπὶ τῶν λεόντων, τὰ ἐπὶ τῆς ἐπανόδου, τὰ ἐπὶ τῶν προφητῶν. Ταῦτα γὰρ πάντα ἀνεκήρυττε τοῦ ποιοῦντος τὴν ἰσχύν, τὴν δόξαν, τὴν μεγαλωσύνην, πολλήν τε τὴν ἔκπληξιν, καὶ πολὺ τὸ θαῦμα παρεχόμενα.

«Καὶ τὴν δύναμιν τῶν φοβερῶν σου ἐροῦσι, καὶ τὴν μεγαλωσύνην σου διηγήσονται». Δείκνυσι διὰ τούτου, ὅτι πρὸς ἑκάτερα ἀπηρτισμένη ἡ ἰσχὺς αὐτοῦ, καὶ πρὸς εὐεργεσίαν, καὶ πρὸς τιμωρίαν, καὶ ὅτι τὰ ἀπαριθμηθέντα ἅπαντα ἑκάτερα τούτων εἶχε. Πλὴν τοῦτο οὐκ ἐπὶ τῶν τότε συμβάντων, ἀλλὰ καὶ ἐπὶ τῆς κτίσεώς ἐστιν ἰδεῖν, καὶ ἑκατέρας τῆς εὐεργεσίας πολλὰ ὄντα τὰ ὄργανα, οἷον τῶν μὲν φοβερῶν, ἀστραπάς, βροντάς, σκηπτούς, πρηστῆρας, λοιμούς, χιόνας, χάλαζαν, ἐρυσίβην, πάγον, πυρώσεις, ἐπικλύσεις, ἐν τοῖς ἑρπετοῖς δὲ δράκοντας, σκορπίους, ὄφεις, καὶ ἐν τοῖς πετεινοῖς ἀκρίδα, καὶ ἐν τοῖς εὐτελέσι κυνόμυιαν, κάμπην· ἅπερ δὲ μάλιστα καὶ αὐτὰ προνοίας ἐστίν, ἐπιστρέφοντα τοὺς ἀνθρώπους, ἀπαλλάττοντα ῥαθυμίας, ἀφυπνίζοντα τοῦ βαθέος ὕπνου, ἀπὸ τοῦ κάρου πρὸς νῆψιν ἄγοντα. Οὐκ ἐν τούτοις δὲ μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἐναντίοις ἡ δύναμις αὐτοῦ ἀπηρτισμένη. Διὸ καὶ περὶ τούτων ἡμᾶς διδάξαι βουλόμενος, εἰπών, «Τὴν δύναμιν τῶν φοβερῶν σου ἐροῦσι, καὶ τὴν μεγαλωσύνην σου διηγήσονται», ἐπήγαγε· «Μνήμην τοῦ πλήθους τῆς χρηστότητός σου ἐξερεύξονται», ἄλλος, «Ἀγαθωσύνης σου», «καὶ τῇ δικαιοσύνῃ σου ἀγαλλιάσονται». Ὅπερ ἕτερος ἑρμηνευτὴς εἶπε, «Καὶ τὰς ἐλεημοσύνας σου εὐφημήσουσιν».

Ἡμεῖς δὲ ὥσπερ ἀπηριθμησάμεθα ἐκεῖνα τὰ φοβερά, οὕτω

σα συνέβηκαν στὴν ἔρημο, καὶ τὰ ὅσα συνέβηκαν μετὰ τὴν εἴσοδο στὴ γῆ τῆς ἐπαγγελίας· σκέψου πάλι ὅσα συνέβηκαν στὴν αἰχμαλωσία, κατὰ τὴν ἐποχὴ τοῦ Ναβουχοδονόσορ, τὰ ὅσα συνέβηκαν στὴν κάμινο, τὰ ὅσα συνέβηκαν μὲ τὰ λεοντάρια, τὰ ὅσα συνέβηκαν μετὰ τὴν ἐπιστροφὴ ἀπὸ τὴν αἰχμαλωσία καὶ κατὰ τὴν ἐποχὴ τῶν προφητῶν. Διότι ὅλα αὐτὰ διακήρυτταν τὴ δύναμη, τὴ δόξα καὶ τὴ μεγαλωσύνη ἐκείνου ποὺ τὰ ἔκαμνε, καὶ περιεῖχαν μεγάλη ἔκπληξη καὶ πολὺ θαυμασμό.

«Καὶ τὴ δύναμη τῶν φοβερῶν ἔργων σου θὰ διακηρύττουν καὶ θὰ διηγοῦνται τὴ μεγαλωσύνη σου». Δείχνει μὲ αὐτό, ὅτι ἡ δύναμή του εἶναι ἕτοιμη καὶ γιὰ τὰ δύο, καὶ γιὰ τὴν εὐεργεσία καὶ γιὰ τὴν τιμωρία, καὶ ὅτι ὅλα ὅσα ἀπαριθμήθηκαν εἶχαν καὶ τὰ δύο αὐτά. Πλὴν ὅμως αὐτὸ μποροῦμε νὰ τὸ δοῦμε ὄχι μόνο στὰ ὅσα συνέβηκαν τότε, ἀλλὰ καὶ στὴν ἴδια τὴν κτίση, καὶ πολλὰ εἶναι τὰ μέσα τῆς κάθε μιᾶς εὐεργεσίας, ὅπως ἀπὸ τὰ φοβερὰ μέσα εἶναι οἱ ἀστραπές, οἱ βροντές, οἱ κεραυνοί, οἱ θύελλες οἱ συνοδευόμενες ἀπὸ κεραυνούς, οἱ ἀσθένειες, τὰ χιόνια, τὸ χαλάζι, ἡ πάχνη, ἡ παγωνιά, οἱ πυρκαϊὲς καὶ οἱ καταποντισμοί, ἀπὸ δὲ τὰ ἑρπετὰ εἶναι οἱ δράκοντες, οἱ σκορπιοί, τὰ φίδια, ἐπίσης ἀπὸ τὰ πτηνὰ ἡ ἀκρίδα, ἀπὸ δὲ τὰ ἀσήμαντα εἶναι ἡ σκυλόμυγα καὶ ἡ κάμπια, τὰ ὁποῖα πρὸ πάντων εἶναι δείγματα τῆς πρόνοιάς του, διότι ἐπιστρέφουν τοὺς ἀνθρώπους κοντὰ στὸ Θεό, ἀπαλλάσσουν ἀπὸ τὴν ἀδιαφορία, ἀφυπνίζουν ἀπὸ τὸ βαθὺ ὕπνο, καὶ ὁδηγοῦν ἀπὸ τὸ λήθαργο, στὴν ἐπαγρύπνηση. Καὶ ὄχι μόνο σ' αὐτά, ἀλλὰ καὶ στ' ἀντίθετα ἀπὸ αὐτὰ ἐκδηλώνεται ἡ δύναμη αὐτοῦ. Γι' αὐτὸ καὶ θέλοντας νὰ μᾶς διδάξει καὶ γι' αὐτά, ἀφοῦ εἶπε, «τὴ δύναμη τῶν φοβερῶν ἔργων σου θὰ διακηρύττουν καὶ θὰ διηγοῦνται τὴ μεγαλωσύνη σου», πρόσθεσε· «Θὰ ἐνθυμοῦνται καὶ θὰ διακηρύττουν τὸ πλῆθος τῆς ἀγαθότητάς σου», ἄλλος λέγει, «Τῆς ἀγαθοσύνης σου», «καὶ θὰ νιώθουν χαρὰ καὶ ἀγαλλίαση γιὰ τὴ δικαιοσύνη σου». Αὐτὸ ἀκριβῶς ἄλλος ἑρμηνευτὴς ἑρμήνευσε, «Καὶ θὰ ἐξυμνοῦν τὶς εὐεργεσίες σου».

Ἐμεῖς λοιπὸν ὅπως ἀκριβῶς ἀπαριθμήσαμε ἐκεῖνα τὰ φο-

καὶ τὰ ἐναντία τούτων ἀναγκαῖον εἰπεῖν· οἷον ἐπὶ τῶν δρωμένων, καὶ περὶ ἡμᾶς, τροπὰς ἐτησίους, ἡμέρας, παραδείσους, λειμῶνας, ἄνθη ποικίλα, ὕδωρ πότιμον καὶ γλυκύ, καὶ τὸ ἐκ τῶν ὑετῶν χρήσιμον, τῆς γῆς τὰς ὠδῖνας, τοὺς ποικίλους καρπούς, τὰ δένδρα τὰ διάφορα, τοὺς ἀνέμους τοὺς προσηνεῖς, τὴν ἡλιακὴν ἀκτῖνα, τὴν σεληναίαν λαμπάδα, τὸν ποικίλον τῶν ἄστρων χορόν, τὸ προσηνὲς τῆς νυκτός· καὶ ἐπὶ τῶν ἀλόγων, πρόβατα, καὶ βοῦς, καὶ αἶγας· καὶ ἐπὶ τῶν ἀγρίων, δορκάδας, καὶ ἐλάφους, λαγωούς, καὶ ἕτερα πλείονα· καὶ ἐπὶ τῶν πετεινῶν, τοὺς ὄρνιθας τοὺς Ἰνδικούς· καὶ ἐν τοῖς ἔργοις αὐτοῖς ἴδοι τις ἂν οὐ κολάζοντα μόνον, ἀλλὰ καὶ εὐεργετοῦντα πολλῷ πλεῖον ἢ κολάζοντα. Τὰ μὲν οὖν φόβου ἕνεκεν ποιεῖ· εἰ δὲ καί ποτε πεῖραν ἐπαγάγοι, διὰ τὴν πολλὴν ἀναισθησίαν τῶν οὐ διορθουμένων τῷ φόβῳ. Τούτοις δὲ ἐμφιλοτιμεῖται, καὶ μέχρι τῆς πείρας αὐτὰ προάγει οὐκ εἰς ἀξίους μόνον, ἀλλὰ καὶ εἰς ἀναξίους. Ποικίλλων τοίνυν ἡμῶν τὴν σωτηρίαν, ποτὲ μὲν ταῦτα, ποτὲ δὲ ἐκεῖνα ἐργάζεται, πλεονάκις δὲ ἐκεῖνα, ἐπειδὴ καὶ ἐκεῖνα βούλεται μόνα. Διὰ γὰρ τοῦτο καὶ γέενναν ἠπείλησεν, οὐχ ἵνα ἐπαγάγῃ, ἀλλ' ἵνα μὴ ἐπαγάγῃ· καὶ τὴν μὲν τῷ διαβόλῳ παρεσκεύασε, «Πορεύεσθε» γάρ, φησίν, «εἰς τὸ πῦρ τὸ ἡτοιμασμένον τῷ διαβόλῳ», τὴν δὲ βασιλείαν ἀνθρώποις, δεικνὺς ὅτι οὐ βούλεται ἄνθρωπον εἰς γέενναν ἐμβαλεῖν.

3. «Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος. Χρηστὸς Κύριος τοῖς σύμπασι, καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ». Ὁρᾷς καὶ τὸν προφήτην τούτοις ἐνδιατρίβοντα τοῖς χρηστοτέροις, καὶ ἐπιδαψιλευόμενον τῷ λόγῳ. Καὶ γὰρ οἶδε σαφῶς ἐν τούτοις ὄντα μάλιστα τοῦ Θεοῦ τὸν πλοῦτον. Οὐδὲ γὰρ ἦν σωθῆναι, μὴ πολλῆς οὔσης αὐτοῦ τῆς

---

6. Ματθ. 25, 41.

βερά, ἔτσι εἶναι ἀνάγκη νὰ ποῦμε καὶ τὰ ἀντίθετα αὐτῶν, ὅπως δηλαδὴ αὐτὰ ποὺ βλέπομε καὶ μᾶς περιβάλλουν, τὶς ἐτήσιες καιρικὲς μεταβολές, τὶς ἡμέρες, τὰ περιβόλια, τοὺς κήπους, τὰ διάφορα ἄνθη, τὸ πόσιμο καὶ γλυκὸ νερό, τὸ γεμάτο χρησιμότητα νερὸ τῶν βροχῶν, τὰ προϊόντα τῆς γῆς, τοὺς ποικίλους καρπούς, τὰ διάφορα δένδρα, τοὺς εὐνοϊκοὺς ἀνέμους, τὸ ἡλιακὸ φῶς, τὸ φῶς τῆς σελήνης, τὸν ποικίλο χορὸ τῶν ἄστρων, τὴ χρησιμότητα τῆς νύχτας· ἐπίσης ἀπὸ τὰ ἄλογα ζῶα, τὰ πρόβατα, τὰ βόδια, τὰ γίδια· ἀπὸ τὰ ἄγρια ζῶα, τὰ ζαρκάδια, τὰ ἐλάφια, τοὺς λαγοὺς καὶ ἄλλα πολλά· ἀπὸ τὰ πτηνά, τὶς ἰνδικὲς ὄρνιθες· καὶ στὰ ἔργα του τὰ ἴδια θὰ μποροῦσε κανένας νὰ δεῖ ὄχι μόνο νὰ τιμωρεῖ, ἀλλὰ πολὺ περισσότερο νὰ εὐεργετεῖ, παρὰ νὰ τιμωρεῖ. Τὰ μὲν λοιπὸν ἀπὸ αὐτὰ τὰ κάμνει μόνο καὶ μόνο γιὰ φόβο· ἂν δὲ κάποτε συμβαίνει καὶ νὰ τιμωρεῖ μὲ αὐτά, τὸ κάμνει ἐξ αἰτίας τῆς μεγάλης ἀναισθησίας ἐκείνων ποὺ δὲν διορθώνονται μὲ τὸ φόβο. Τὰ ἄλλα δὲ παρακινεῖται στὸ νὰ τὰ πράξει ἀπὸ τὴν μεγάλη γενναιοδωρία του, καὶ κάμνει αὐτὰ νὰ τὰ ἀπολαύσουν ὄχι μόνο οἱ ἄξιοι, ἀλλὰ καὶ οἱ ἀνάξιοι. Ἐφαρμόζοντας λοιπὸν διάφορα μέσα γιὰ τὴ σωτηρία μας, ἄλλοτε μὲν ἐφαρμόζει αὐτά, ἄλλοτε δὲ ἐκεῖνα, τὶς περισσότερες δὲ φορὲς ἐκεῖνα, τὰ ὠφέλιμα, ἐπειδὴ καὶ μόνο ἐκεῖνα ἐπιθυμεῖ. Γι' αὐτὸ λοιπὸν ἔθεσε τὴν ἀπειλὴ τῆς γέεννας, ὄχι γιὰ νὰ μᾶς τὴν ἐπιβάλει, ἀλλὰ γιὰ νὰ μὴ τὴν ἐπιβάλει· καὶ τὴν μὲν γέεννα τὴν ἑτοίμασε γιὰ τὸν διάβολο, διότι λέγει, «Πηγαίνετε στὸ πῦρ ποὺ ἔχει ἑτοιμασθεῖ γιὰ τὸν διάβολο»[6], ἐνῶ τὴ βασιλεία τὴν ἑτοίμασε γιὰ τοὺς ἀνθρώπους, γιὰ νὰ δείξει ὅτι δὲν θέλει νὰ ρίξει τὸ ἀνθρώπινο γένος στὴ γέεννα.

3. «Εὐσπλαχνικὸς καὶ ἐλεήμων εἶναι ὁ Κύριος, μακρόθυμος καὶ πολυεύσπλαχνος. Ὁ Κύριος εἶναι γεμάτος ἀγαθότητα πρὸς τὰ σύμπαντα καὶ οἱ εὐσπλαχνίες του ἁπλώνονται σ' ὅλα τὰ δημιουργήματά του». Βλέπεις καὶ τὸν προφήτη ὅτι ἀσχολεῖται μὲ αὐτὰ ποὺ εἶναι ἀνώτερα ἀγαθὰ καὶ παρουσιάζει μὲ ἀφθονία αὐτὰ στὸ λόγο του; Καθόσον γνωρίζει πολὺ καλὰ ὅτι σ' αὐτὰ πρὸ πάντων βρίσκεται ὁ πλοῦτος τοῦ Θεοῦ. Διότι δὲν ἦταν

φιλανθρωπίας· οὐκ ἦν μεῖναι μὴ πολλῆς ἀπολαύοντας τῆς ἀγαθότητος. Διὸ καὶ αὐτὸς ἔλεγεν· «Ἐγώ εἰμι ὁ ἐξαλείφων τὰς ἀνομίας σου, καὶ ἐν ταῖς ἁμαρτίαις σου προέστην σου».

«Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος». Ὅρα πῶς δείκνυσιν αὐτοῦ ἄφατον τὴν φιλανθρωπίαν. Οὐ γὰρ ἐλεεῖ μόνον ἁμαρτάνοντας, ἀλλὰ καὶ ἕτερον εἶδος τῆς φιλανθρωπίας οὐ μικρὸν ἐπιδείκνυται, τὸ μακρόθυμον, ὥστε αὐτοὺς εἰς μετάνοιαν ἐλθεῖν, καὶ μετὰ τῆς αὐτοῦ φιλανθρωπίας καὶ ἀπὸ τῆς οἰκείας σωθῆναι σπουδῆς, καὶ τὴν ἀπὸ τῶν κατορθωμάτων παρρησίαν ἔχειν. Οὐχ ἁπλῶς δὲ «Ἐλεήμων», ἀλλὰ καὶ «Πολυέλεος» εἶπε, δεικνὺς ὅτι τὸ πολὺ τοῦτο μετρηθῆναι οὐκ ἔνι, ἀλλὰ πάντα ὑπερβαίνει λόγον. Διὰ γοῦν τῶν ἑξῆς κατὰ τὸ ἐγχωροῦν αὐτῷ ἐνεδείξατο ἐπαγαγὼν καὶ εἶπε· «Χρηστὸς Κύριος τοῖς σύμπασι, καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ». Τί ἐστι, «Τοῖς σύμπασι»; Καὶ τοῖς ἁμαρτωλοῖς, φησί, καὶ τοῖς ἐν παρανομίαις ζῶσιν. Οὐ γὰρ δὴ μόνον οἱ δίκαιοι, οὐδὲ οἱ κατορθοῦντες, οὐδὲ οἱ μετανοοῦντες, ἀλλὰ καὶ πάντες, δι' ὧν πάσχουσιν, ἀνακηρύττουσιν αὐτοῦ τὸν ἔλεον καὶ τὴν χρηστότητα. Κἂν μέ τις ἔρηται, τίνι χρηστὸς ἐγένετο; ἐρῶ· οὐχὶ τῷ Ἄβελ μόνον, ἀλλὰ καὶ τῷ Κάϊν· οὐχὶ τῷ Νῶε μόνον καὶ τοῖς ἐκείνου παισίν, ἀλλὰ καὶ τοῖς ὑπὸ τοῦ καταποντισμοῦ κατακλυσθεῖσι. Πάντα γὰρ ἀπὸ φιλανθρωπίας ἐργάζεται.

Καὶ ἵνα μάθῃς, πῶς πᾶσίν ἐστι χρηστός, σκόπει ἐντεῦθεν. Πόσης χρηστότητος ἦν, εἰπέ μοι, τὸ τὸν ἀδελφοκτόνον ἐκεῖνον, καὶ τοιαύτην τολμήσαντα σφαγήν, καὶ τὴν δεξιὰν μολύναντα, καὶ τοῦ Θεοῦ καταπατήσαντα τοὺς νόμους, παραδοῦναι τιμωρίᾳ,

---

7. Ἡσ. 25, 24.

δυνατὸ νὰ σωθοῦν οἱ ἄνθρωποι, ἂν δὲν ἀπολάμβαναν τὴ μεγάλη φιλανθρωπία αὐτοῦ· δὲν ἦταν δυνατὸ νὰ διατηρηθοῦν στὴ ζωή, ἂν δὲ ἀπολάμβαναν τὴ μεγάλη ἀγαθότητά του. Γι' αὐτὸ καὶ αὐτὸς ἔλεγε· «Ἐγὼ εἶμαι ἐκεῖνος ποὺ ἐξαλείφω τὶς ἀνομίες σου καὶ σὲ προστάτευσα ἐνῶ ἐξακολουθοῦσες νὰ ζεῖς μέσα στὶς ἁμαρτίες σου»[7].

«Ὁ Κύριος εἶναι εὐσπλαχνικὸς καὶ ἐλεήμων». Πρόσεχε πῶς δείχνει ἀπερίγραπτη τὴ φιλανθρωπία αὐτοῦ. Διότι δὲν δείχνει εὐσπλαχνία μόνο πρὸς τοὺς ἁμαρτωλούς, ἀλλὰ καὶ παρουσιάζει καὶ ἄλλο εἶδος, καὶ μάλιστα ὄχι πιὸ μικρό, τῆς φιλανθρωπίας του, δηλαδὴ τὴ μακροθυμία, ὥστε νὰ μετανοήσουν, καὶ μαζὶ μὲ τὴ φιλανθρωπία του καὶ μὲ τὴ δική τους προσπάθεια νὰ σωθοῦν, καὶ ν' ἀποκτήσουν παρρησία ἀπὸ τὰ κατορθώματά τους. Δὲν εἶναι δὲ ἁπλῶς, «Εὐσπλαχνικός», ἀλλὰ καὶ «Πολυεύσπλαχνος» εἶπε, γιὰ νὰ δείξει ὅτι τὸ ὑπερβολικὸ αὐτὸ μέγεθος τῆς εὐσπλαχνίας του δὲν μπορεῖ νὰ μετρηθεῖ, ἀλλὰ ὑπερβαίνει κάθε ἀνθρώπινο λόγο. Μὲ αὐτὰ ὅμως ποὺ πρόσθεσε στὴ συνέχεια παρουσίασε αὐτὴν κατὰ τὸ δυνατό, λέγοντας· «Γεμάτος ἀγαθότητα καὶ καλοκαγαθία εἶναι ὁ Κύριος πρὸς ὅλους γενικὰ καὶ ἡ εὐσπλαχνία του ἐπεκτείνεται πρὸς ὅλα τὰ δημιουργήματά του». Τί σημαίνει, «Τοῖς σύμπασι»; Καὶ πρὸς τοὺς ἁμαρτωλούς, λέγει, καὶ πρὸς ἐκείνους ποὺ ζοῦν μέσα στὶς παρανομίες. Διότι, ὄχι μονο δηλαδὴ οἱ δίκαιοι, οὔτε οἱ ἐνάρετοι, οὔτε αὐτοὶ ποὺ μετανοοῦν, ἀλλὰ καὶ ὅλοι, μ' αὐτὰ ποὺ πάσχουν, διακηρύσσουν τὴν εὐσπλαχνία αὐτοῦ καὶ τὴν ἀγαθότητα. Καὶ ἂν μ' ἐρωτήσει κάποιος, σὲ ποιὸν ἔδειξε τὴν ἀγαθότητά του; θὰ τοῦ πῶ· ὄχι μόνο πρὸς τὸν Ἄβελ, ἀλλὰ καὶ πρὸς τὸν Κάϊν· ὄχι μόνο πρὸς τὸν Νῶε καὶ πρὸς τὰ παιδιά του, ἀλλὰ καὶ πρὸς ἐκείνους ποὺ καταποντίσθηκαν ἀπὸ τὸν κατακλυσμό. Διότι ὅλα τὰ κάμνει ἀπὸ φιλανθρωπία.

Γιὰ νὰ μάθεις λοιπόν, πῶς εἶναι πρὸς ὅλους ἀγαθός, σκέψου τὰ ἑξῆς. Πόσης ἀγαθότητας δεῖγμα ἦταν, πές μου, τὸ νὰ τιμωρήσει τὸν ἀδελφοκτόνο ἐκεῖνο, ποὺ τόλμησε τέτοιου εἴδους σφαγή, ποὺ μόλυνε τὴ δεξιά του καὶ κατεπάτησε τοὺς νό-

νουθεσίᾳ μᾶλλον ἢ κολάσει οὔσῃ, ὥστε καὶ αὐτὸν ἐκεῖνον καθᾶραι διὰ τοῦ μήκους τοῦ κατὰ τὸν χρόνον τῆς ἁμαρτίας τῆς ἐγγενομένης, καὶ τοὺς ἄλλους παιδεῦσαι δι' ὧν ἔπασχεν ἐκεῖνος; πόσης δὲ ἦν χρηστότητος, εἰπέ μοι, τὸ τοὺς ἀνίατα νοσοῦντας ἐπὶ τοῦ κατακλυσμοῦ, καὶ μήτε ἀπειλαῖς, μήτε λόγοις, μήτε ἄλλῳ μηδενὶ διορθωθέντας στῆσαι τῆς κακίας, καὶ τῷ κοινῷ χρέει τῆς φύσεως ἀντὶ φαρμάκου χρήσασθαι, καὶ τὸν κουφότατον αὐτοῖς ἐπαγαγεῖν θάνατον τὸν διὰ τῶν ὑδάτων; Τὸ δέ, «Σύμπασιν», οὐκ ἐπὶ τούτου μόνον ἐστὶν ἰδεῖν, ἀλλὰ καὶ ἐπὶ τῶν ὁρωμένων ἁπάντων, ἐπὶ τῶν ζώων, ἐπὶ τῶν ἀλόγων· κἂν εἰς αὐτοὺς δὲ ἄν τις ἀναβῇ τοὺς ἀγγέλους, τοὺς ἀρχαγγέλους, πολλὴν ὄψεται τὴν χρηστότητα, πολλοὺς τοὺς οἰκτιρμούς· ἕκαστον γὰρ ἔργον πολλῆς ἀπολαύει φιλανθρωπίας.

Ὅπερ δὴ καὶ αὐτὸς συνιδών, ἐπήγαγεν· «Ἐξομολογησάσθωσάν σοι, Κύριε, πάντα τὰ ἔργα σου, καὶ οἱ ὅσιοί σου εὐλογησάτωσάν σε», τουτέστιν, εὐχαριστείτωσάν σοι, ἀναπεμπέτωσάν σοι ὕμνους, οἵ τε λόγῳ τετιμημένοι, τά τε φωνὴν οὐκ ἔχοντα. Καὶ γὰρ καὶ τῶν ἀφώνων ἕκαστον οὕτω γέγονεν, ὥστε εὐλογίαν ἀναπέμπειν διὰ τῆς οἰκείας φύσεως, κἂν ἄφωνα ᾖ, διὰ τῶν ὁρώντων καὶ ἀπολαυόντων ἀνθρώπων. Καὶ ἐκεῖνα μὲν διὰ τῆς οὐσίας τῆς αὐτῶν, ἄνθρωποι δὲ καὶ διὰ τῆς διαγωγῆς, καὶ διὰ τῆς πράξεως. Διὸ καὶ τοῦτο δῆλον ποιεῖ διὰ τῆς ἐπαγωγῆς τοῦ, «Οἱ ὅσιοί σου εὐλογησάτωσάν σε». Ὁσίους δὲ ἐνταῦθα τοὺς ἁγίους καλεῖ τοὺς τὰ τοῦ Θεοῦ προστάγματα πληροῦντας, τοὺς ἀβάτους ἁμαρτήμασι καὶ πονηρίᾳ.

«Δόξαν τῆς βασιλείας σου ἐροῦσι». Τί ἐστι, «Δόξαν ἐροῦσι»; Τὸ ἀνενδεές, τὸ φιλάνθρωπον, φησίν, τὸ κηδεμονικόν, τὸ

μους τοῦ Θεοῦ, μὲ τέτοια τιμωρία ποὺ ἦταν μᾶλλον νουθεσία, παρὰ τιμωρία, ὥστε καὶ ἐκεῖνον τὸν ἴδιο νὰ καθαρίσει μὲ τὸ μῆκος τοῦ χρόνου ποὺ μεσολάβησε ἀπὸ τὴ στιγμὴ ποὺ ἔγινε ἡ ἁμαρτία μέχρι τὴν τιμωρία, καὶ τοὺς ἄλλους νὰ διδάξει μὲ ἐκεῖνα ποὺ ἔπασχε ἐκεῖνος; πόσης δὲ ἀγαθότητας δεῖγμα ἦταν, πές μου, τὸ νὰ σταματήσει τὴν κακία ἐκείνων ποὺ ἔζησαν κατὰ τὴν ἐποχὴ τοῦ κατακλυσμοῦ, ποὺ νοσοῦσαν ἀθεράπευτα, καὶ ποὺ δὲν διορθώθηκαν οὔτε μὲ ἀπειλές, οὔτε μὲ λόγια, οὔτε μὲ τίποτε ἄλλο, χρησιμοποιώντας ἀντὶ γιὰ φάρμακο τὸ κοινὸ χρέος τῆς φύσεως καὶ ἐπιβάλλοντας σ' αὐτοὺς τὸν ἐλαφρότατο θάνατο μέσω τῶν ὑδάτων; Τὸ δὲ «σύμπασιν» εἶναι δυνατὸ νὰ τὸ ἐκλάβει κανεὶς ὄχι μόνο ὡς πρὸς αὐτό, ἀλλὰ καὶ γιὰ ὅλα τὰ ὁρατὰ δημιουργήματα, καὶ γιὰ τὰ ζῶα καὶ γιὰ τὰ ἄλογα ὄντα· καὶ ἂν ἀκόμα κανεὶς ἀνεβεῖ καὶ σ' αὐτοὺς τοὺς ἀγγέλους καὶ τοὺς ἀρχαγγέλους, θὰ διαπιστώσει τὴ μεγάλη ἀγαθότητα, τὴ μεγάλη εὐσπλαχνία· διότι τὸ κάθε ἔργο ἀπολαμβάνει μεγάλης φιλανθρωπίας.

Αὐτὸ ἀκριβῶς λοιπὸν ἔχοντας ὑπ' ὄψη καὶ αὐτός, πρόσθεσε· «Ἂς σὲ ἐξυμνοῦν, Κύριε, ὅλα τὰ ἔργα σου καὶ ἂς σὲ δοξολογοῦν οἱ ἀφοσιωμένοι δοῦλοι σου», δηλαδή, ἂς σὲ εὐχαριστοῦν, ἂς ἀναπέμπουν σ' ἐσένα ὕμνους, καὶ τὰ ὄντα τὰ τιμημένα μὲ φωνή, καὶ ἐκεῖνα ποὺ δὲν ἔχουν φωνή. Καθόσον καὶ τὸ καθένα ἀπὸ τὰ ἄφωνα ὄντα ἔτσι δημιουργήθηκε, ὥστε νὰ ἀναπέμπει εὐχαριστία στὸ Θεὸ μὲ τὴν ἴδια τὴ φύση του, καὶ ἂν ἀκόμα αὐτὰ εἶναι ἄφωνα, μέσω τῶν ἀνθρώπων ποὺ τὰ βλέπουν καὶ τὰ ἀπολαμβάνουν. Καὶ ἐκεῖνα μὲν ἂς τὸν εὐχαριστοῦν μὲ τὴν οὐσία τους, οἱ δὲ ἄνθρωποι καὶ μὲ τὴ διαγωγή τους καὶ μὲ τὶς πράξεις τους. Γι' αὐτὸ καὶ αὐτὸ τὸ καθιστᾶ φανερὸ μὲ αὐτὸ ποὺ προσθέτει, «Οἱ ἀφοσιωμένοι δοῦλοι σου ἂς σὲ δοξολογοῦν». Ὁσίους δὲ ἐδῶ ὀνομάζει τοὺς ἁγίους, ποὺ ἐκτελοῦν τὰ προστάγματα τοῦ Θεοῦ, ποὺ εἶναι καθαροὶ ἀπὸ τὰ ἁμαρτήματα καὶ τὴν κακία.

«Καὶ θὰ διακηρύττουν τὴ δόξα τῆς βασιλείας σου». Τί σημαίνει, «Δόξαν ἐροῦσι»; Θὰ διακηρύττουν τὴν τελειότητά σου,

μὴ δεόμενον τῶν ἀρχομένων, τὸ τοσαύτην περὶ αὐτοὺς ἐπιδείκνυσθαι πρόνοιαν, τὸ ἀπρόσιτον τοῦ φωτός, τὸ ἄρρητον τῆς οὐσίας, τὸ ἀκατάληπτον. «Καὶ τὴν δυναστείαν σου λαλήσουσι»· τουτέστιν, τὴν δύναμιν τὴν ἄμαχον, τὴν ἀχείρωτον ᾄσονται· οὐκ ἐπειδή σοι χρεία τούτων τῶν ὕμνων καὶ τῶν εὐφημιῶν, καὶ ἑτέρους διδάξαι, καὶ ποιῆσαι τῆς εὐφημίας κοινωνούς. Διὸ ἐπήγαγε· «Τοῦ γνωρίσαι τοῖς υἱοῖς τῶν ἀνθρώπων τὴν δυναστείαν σου, καὶ τὴν δόξαν τῆς μεγαλοπρεπείας τῆς βασιλείας σου». Δείκνυσι διὰ τούτων, ὅτι διὰ τὸ μαθεῖν ἑτέρους τὴν δυναστείαν αὐτοῦ τὰς εὐφημίας προσίεται. Πολλὴ τοίνυν ἡ δύναμις, πολλὴ ἡ δόξα, πολλὴ ἡ εὐπρέπεια, πολλὴ καὶ ἄφατος, οὐ μόνον πάντα ὑπερβαίνουσα λόγον, ἀλλὰ καὶ πάντα νικῶσα νοῦν. Ἀλλ' ἡ πολλὴ καὶ ἄφατος αὕτη χρείαν ἔχει τῶν διδασκόντων αὐτὴν διὰ τὴν ἄνοιαν τῶν πολλῶν. Ἐπεὶ καὶ ἥλιος φανότατόν ἐστι ἄστρον, καὶ ὅμως οἱ τὰ ὄμματα νοσοῦντες οὐχ ὁρῶσιν τὸ φῶς· οὕτω δὴ καὶ ἡ τοῦ Θεοῦ πρόνοια ἡλίου μὲν παντός ἐστι φαιδροτέρα, ἀλλ' οἱ τοῖς λογισμοῖς διεστραμμένοι, καὶ βεβυσμένοι τὰς ἀκοάς, πολλῆς δέονται τῆς ἐπιμελείας, ὥστε ἀνοιγῆναι αὐτῶν τὴν διάνοιαν. Δεῖ τοίνυν συνεχῶς αὐτοῖς ἐνηχεῖν καὶ ἐνιέναι τὴν περὶ τούτων διδασκαλίαν.

4. Εἶτα ἐπειδὴ εἶπε δόξαν βασιλείας καὶ μεγαλοπρέπειαν, καὶ μὴ διασαφήσας παρέδραμε, πάλιν ἀναλαμβάνει, καὶ λέγει κατὰ τὸ ἐγχωροῦν αὐτῷ, τί ἐστιν ἡ δόξα, ἐπαγαγών· «Ἡ βασιλεία σου, βασιλεία πάντων τῶν αἰώνων». Οὐ τῶν παρόντων μόνον, φησίν, ἀλλὰ καὶ τῶν ἐρχομένων· ἀτελεύτητος γὰρ καὶ ἄπειρος, καὶ μόνη τὸ ἀΐδιον ἔχουσα. «Καὶ ἡ δεσποτεία σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ». Ὅρα αὐτῆς καὶ ἐντεῦθεν τὸ ἀτελεύτητον. Πανταχοῦ τῆς οἰκουμένης, πανταχοῦ τῶν αἰώνων, πανταχοῦ τῶν

τὴ φιλανθρωπία σου, τὴ φροντίδα σου, τὸ ὅτι δὲν ἔχεις ἀνάγκη ἀπὸ αὐτοὺς ποὺ ἐξουσιάζεις, τὸ ὅτι δείχνεις τόση μεγάλη πρόνοια γι' αὐτούς, τὸ ἀπρόσιτο τοῦ φωτός σου, τὸ ἀπερίγραπτο τῆς οὐσίας σου καὶ τὸ ἀκατάληπτο. «Καὶ θὰ διαλαλοῦν τὴ μεγάλη κυριαρχικὴ ἐξουσία σου»· δηλαδὴ θὰ ἐξυμνήσουν τὴν ἀκαταμάχητη καὶ ἀκατάβλητη δύναμή σου· ὄχι ἐπειδὴ ἔχεις ἀνάγκη ἀπὸ τοὺς ὕμνους καὶ τοὺς ἐπαίνους αὐτῶν, ἀλλὰ γιὰ χάρη αὐτῶν ποὺ ἀναπέμπουν αὐτούς, καὶ γιὰ νὰ διδάξουν καὶ ἄλλους καὶ νὰ τοὺς κάνουν κοινωνοὺς αὐτῶν τῶν ἐγκωμίων. Γι' αὐτὸ πρόσθεσε· «Γιὰ νὰ καταστήσουν γνωστὴ στοὺς υἱοὺς τῶν ἀνθρώπων τὴν κυριαρχία σου». Δείχνει μὲ αὐτά, ὅτι δέχεται τὰ ἐγκώμια γιὰ νὰ γνωρίσουν καὶ ἄλλοι τὴ μεγάλη ἐξουσία αὐτοῦ. Μεγάλη λοιπὸν εἶναι ἡ δύναμή του, μεγάλη ἡ δόξα του, μεγάλη ἡ μεγαλοπρέπειά του, μεγάλη καὶ ἀπερίγραπτη, ποὺ δὲν ὑπερβαίνει μόνο κάθε λόγο ἀνθρώπινο, ἀλλὰ καὶ νικᾶ κάθε νοῦ ἀνθρώπινο. Ἀλλ' ἡ μεγάλη καὶ ἀπερίγραπτη αὐτὴ δύναμή του χρειάζεται ἐκείνους ποὺ διδάσκουν αὐτὴν ἐξ αἰτίας τῆς μωρίας τῶν περισσοτέρων. Διότι καὶ ὁ ἥλιος εἶναι φωτεινότατο ἄστρο, καὶ ὅμως ἐκεῖνοι ποὺ ἔχουν ἀσθενὴ μάτια δὲν βλέπουν τὸ φῶς του· ἔτσι λοιπὸν καὶ ἡ πρόνοια τοῦ Θεοῦ εἶναι μὲν φωτεινότερη ἀπὸ κάθε ἥλιο, ἀλλ' ὅμως ἐκεῖνοι ποὺ ἔχουν διεστραμμένες σκέψεις καὶ βουλωμένα τὰ αὐτιά τους ἔχουν ἀνάγκη ἀπὸ μεγάλη φροντίδα, γιὰ νὰ λειτουργήσει σωστὰ ἡ σκέψη τους. Πρέπει λοιπὸν συνέχεια νὰ διδάσκουμε σ' αὐτοὺς γι' αὐτὰ καὶ νὰ ἐνσταλάζουμε μέσα τους τὴ διδασκαλία αὐτή.

4. Ἔπειτα, ἐπειδὴ μίλησε γιὰ δόξα βασιλείας καὶ μεγαλοπρέπεια καὶ τὰ προσπέρασε χωρὶς νὰ τὰ διευκρινίσει, πάλι ἐπανέρχεται καὶ ἐξηγεῖ ὅσο τοῦ εἶναι δυνατό, τί εἶναι δόξα, προσθέτοντας· «Ἡ βασιλεία σου εἶναι βασιλεία γιὰ ὅλους τοὺς αἰῶνες». Ὄχι μόνο, λέγει, τῶν παρόντων αἰώνων, ἀλλὰ καὶ ἐκείνων ποὺ ἔρχονται· διότι εἶναι ἀτελείωτη καὶ ἄπειρη καὶ μόνη ποὺ εἶναι αἰώνια. «Καὶ ἡ κυριαρχικὴ ἐξουσία σου ἁπλώνεται σ' ὅλες τὶς γενεές». Πρόσεχε καὶ ἀπὸ ἐδῶ τὸ αἰώνιο αὐτῆς. Ἐπεκτείνεται σ' ὅλα τὰ μέρη τῆς οἰκουμένης, σ' ὅλους τοὺς αἰῶ-

χρόνων ἐκτέταται. «Πιστὸς Κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ». Εἰπὼν τῆς βασιλείας τὸ ἀτελεύτητον, τὸ βεβηκός, τὸ πάγιον, τὸ ἀκίνητον, λέγει καὶ τῶν λόγων αὐτοῦ τὸ στερρόν. Τὸ γάρ, «Πιστός», τοῦτό ἐστιν, βέβαιος, ἀληθής. Εἰ δὲ πιστός, πάντως ἔσται τὰ εἰρημένα παρ' αὐτοῦ. Ὥσπερ δὲ ἡ βασιλεία αὐτοῦ ἀδιάπτωτος, καὶ πέρας οὐκ ἔχουσα, οὕτω καὶ οἱ λόγοι αὐτοῦ στερροί, βεβηκότες. Οὔτε οὖν ἐκείνη ποτὲ διακόπτεται, οὔτε οὗτοι διαπίπτουσιν. Εἰ δὲ οὐ διαπίπτουσι, δεῖ πάντως ἀκολουθῆσαι τὰ ἔργα. Εἰ δέ πού τι καὶ εἶπε, καὶ οὐ γέγονε, καὶ τοῦτο τῆς ἀληθείας αὐτοῦ ἀπόδειξις· «Πέρας γὰρ λαλήσω ἐπὶ ἔθνη καὶ βασιλείαν, τοῦ κατασκάπειν καὶ ἐκριζοῦν· καὶ ἐὰν μετανοήσωσιν ἐπὶ τῇ κακίᾳ, μετανοήσω κἀγὼ ἐφ' οἷς ἐλάλησα ποιῆσαι αὐτοῖς». Καὶ ἐπὶ τῶν ἀγαθῶν ὁμοίως· «Χρηστὰ διαλέξομαι», φησί, «κἂν μεταβάλωνται, κἀγὼ μεταβαλῶ τὰ περὶ αὐτῶν εἰρημένα». «Καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ». Τί ἐστιν, «Ὅσιος»; Ἄληπτος, ὀρθός, καθαρός, ἄμωμος, οὐδεμίαν οὐδενὶ παρέχων λαβήν.

«Ὑποστηρίζει Κύριος πάντας τοὺς καταπίπτοντας, καὶ ἀνορθοῖ πάντας τοὺς κατερραγμένους». Εἰπὼν περὶ τῆς βασιλείας, ὅτι ἀπέραντος, περὶ τῶν λόγων, ὅτι ἀληθεῖς, περὶ τῶν πράξεων, ὅτι ἄληπτοι, περὶ τῆς δόξης, περὶ τῆς μεγαλοπρεπείας, λέγει πάλιν περὶ τῆς φιλανθρωπίας, ὃ καὶ αὐτὸ μεγίστη δόξα τῆς βασιλείας αὐτοῦ, τὸ μὴ μόνον διακρατεῖν τοὺς ἑστῶτας, ἀλλὰ καὶ μέλλοντας καταπίπτειν μὴ ἐᾶν τοῦτο παθεῖν, καὶ κειμένους ἀνιστᾶν, καὶ τὸ δὴ θαυμαστόν, ὅτι πάντας, οὐ τὸν δεῖνα μόνον, ἀλλὰ πάντας, κἂν δοῦλοι, κἂν πένητες ὦσι, κἂν ἄση-

---

8. Ἱερ. 18, 7-8.
9. Πρβλ. Ἱερ. 18, 9-10

νες, σ' δλους τοὺς χρόνους. «Ὁ Κύριος εἶναι ἀξιόπιστος σ' δλα τὰ λόγια του καὶ καθαρὸς σ' δλα τὰ ἔργα του». Ἀφοῦ μίλησε γιὰ τὴν αἰωνιότητα τῆς βασιλείας του, γιὰ τὴ μονιμότητα, τὴ σταθερότητα καὶ τὸ ἀμετακίνητο αὐτῆς, δμιλεῖ καὶ γιὰ τὴ σταθερότητα τῶν λόγων του. Διότι τό, «Πιστός», αὐτὸ σημαίνει, σταθερός, ἀληθής. Ἂν δὲ εἶναι ἀληθής, δπωσδήποτε θὰ συμβοῦν τὰ δσα ἔχουν λεχθεῖ ἀπ' αὐτόν. Ὅπως ἀκριβῶς δὲ ἡ βασιλεία του εἶναι διαρκὴς καὶ δὲν ἔχει τέλος, ἔτσι καὶ οἱ λόγοι του εἶναι σταθεροὶ καὶ ἀληθινοί. Οὔτε ἐκείνη λοιπὸν διακόπτεται ποτέ, οὔτε αὐτοὶ χάνουν τὴν ἰσχύ τους. Ἂν δὲ δὲν χάνουν τὴν ἰσχύ τους, πρέπει δπωσδήποτε ν' ἀκολουθήσουν τὰ ἔργα. Ἂν δμως κάπου εἶπε κάτι καὶ δὲν συνέβηκε, καὶ αὐτὸ εἶναι ἀπόδειξη τῆς ἀληθείας αὐτοῦ· διότι, λέγει, «Ἂν συμβεῖ ν' ἀποφασίσω τὸ τέλος ἐθνῶν ἢ βασιλείας καὶ νὰ καταστρέψω καὶ ἐκριζώσω αὐτά, ἀλλὰ μετανοήσουν αὐτὰ γιὰ τὴν κακία τους, θὰ μετανοήσω καὶ ἐγὼ γιὰ ἐκεῖνα ποὺ εἶπα νὰ κάνω σ' αὐτούς»[8]. Καὶ γιὰ τοὺς ἀγαθοὺς δμοια λέγει· «Θὰ πῶ γι' αὐτοὺς καλὰ πράγματα, καὶ ἂν ἀλλάξουν συμπεριφορά, καὶ ἐγὼ θ' ἀλλάξω τὰ δσα εἶπα γι' αὐτούς»[9]. «Καὶ δσιος σ' δλα τὰ ἔργα του». Τί σημαίνει, «Ὅσιος»; Δὲν ἐπιδέχεται κατηγορία, εἶναι δρθός, καθαρός, ἄμωμος, δὲν παρέχει σὲ κανένα τὸ δικαίωμα νὰ τὸν κατηγορήσει.

«Ὁ Κύριος στηρίζει δλους ἐκείνους ποὺ κινδυνεύουν νὰ πέσουν καὶ ἀνορθώνει δλους ἐκείνους ποὺ κατακριμνήσθηκαν καὶ συντρίφθηκαν». Ἀφοῦ εἶπε γιὰ τὴ βασιλεία του δτι εἶναι ἀπέραντη, γιὰ τοὺς λόγους του, δτι εἶναι ἀληθεῖς, γιὰ τὰ ἔργα του, δτι εἶναι ἀκατανόητα, γιὰ τὴ δόξα του καὶ γιὰ τὴ μεγαλοπρέπειά του, δμιλεῖ πάλι γιὰ τὴ φιλανθρωπία του, πράγμα ποὺ καὶ αὐτὸ ἀποτελεῖ μέγιστη δόξα τῆς βασιλείας του, τὸ νὰ μὴ συγκρατεῖ δηλαδὴ τοὺς δρθιους, ἀλλὰ καὶ νὰ μὴ ἀφήνει νὰ πάθουν αὐτὸ ἐκεῖνοι ποὺ κινδυνεύουν νὰ πέσουν, καὶ νὰ ἀνορθώνει τοὺς πεσμένους, καὶ τὸ ἀξιοθαύμαστο βέβαια εἶναι δτι δλους τοὺς ἀνορθώνει, δχι μόνο τὸν τάδε, ἀλλὰ δλους, εἴτε εἶναι δοῦλοι, εἴτε εἶναι φτωχοί, εἴτε εἶναι ἀσήμαντοι, εἴτε κατάγονται

μοι, κἂν ἐξ ἀσήμων. Πάντων γάρ ἐστι Δεσπότης, καὶ οὐδὲ κειμένους παρατρέχει, οὐδὲ σαλευομένους ὑπερορᾷ. Τοῦτο καὶ ἐπὶ τῆς κοινῆς φύσεως ἐποίησε, τοῦτο καὶ ἐφ' ἑκάστου ἐργάζεται. Εἰ δέ τινες τῶν κειμένων οὐκ ἀνίστανται, οὐ παρ' αὐτὸν τὸν βουλόμενον ἀνορθῶσαι, ἀλλὰ παρ' ἐκείνους τοὺς μὴ θέλοντας ἀναστῆναι. Ἐπεὶ καὶ τὸν Ἰούδαν πεσόντα ἠβουλήθη ἀναστῆσαι, καὶ πρὸς τοῦτο πάντα εἰργάσατο, ἀλλ' ἐκεῖνος οὐκ ἠθέλησε. Τὸν γοῦν Δαυὶδ πεσόντα ἀνώρθωσε, καὶ ἰσχυρὸν ἐποίησε. Τὸν Πέτρον μέλλοντα καταπίπτειν ἀνέστησε. Καὶ ἄκουε πῶς· «Σίμων, Σίμων», φησίν, «ἰδοὺ ὁ σατανᾶς ἐξῄτησε σινιάσαι ὑμᾶς, ὡς τὸν σῖτον· κἀγὼ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου».

Εἶτα λέγει καὶ ἕτερον εὐεργεσίας εἶδος· ποικίλη γὰρ αὐτοῦ καὶ παντοδαπὴ ἡ κηδεμονία. «Οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ». Εἶδες πῶς ἔδειξεν, ὅτι χρηστὸς τοῖς σύμπασι, καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ; Ὅπερ ἐν τοῖς εὐαγγελίοις εἴρηται, «Ὅτι ἀνατέλλει τὸν ἥλιον αὐτοῦ ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους», τοῦτο καὶ ἐνταῦθα οὗτος ᾐνίξατο τῷ εἰπεῖν, «Καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ». Οὐ γὰρ ὑετοὶ καὶ γῆ καὶ ἀήρ, ἀλλὰ τὸ ἐπίταγμα αὐτοῦ τοὺς καρποὺς τελεσφορεῖν εἴωθεν. Τὸ δέ, «Ἐν εὐκαιρίᾳ», τοῦτο δηλοῖ, ὅτι καιροῖς πάντα διώρισται, καὶ τροπαῖς διαφόροις ἐξάγεται. Καὶ τοῦτο γὰρ μάλιστα αὐτοῦ δείκνυσι τὴν σοφίαν, τὸ μὴ ὁμοῦ πάντα, μηδὲ ὑφ' ἕν, ἀλλὰ παρὰ πάντα τὸν ἐνιαυτὸν διελεῖν τὰ τῆς τροφῆς, ὥστε καὶ τὸν γηπόνον ἀναπαύεσθαι, καὶ τὰ γινόμενα μὴ διαφθείρεσθαι.

Τὸ τοίνυν, «Ἐν εὐκαιρίᾳ», ἢ ὅπερ ἔμπροσθεν εἴπομεν τοῦτό ἐστιν, ὅτι καιροῖς μεμέρισται ἕκαστα, ἢ ὅτι δεομένοις καὶ χρῄζουσι τὴν τροφὴν δίδως. Καὶ πῶς, φησίν, «Οἱ ὀφθαλμοὶ πάντων

---

10. Λουκᾶ 22, 31-32.
11. Ματθ. 5, 45.

ἀπὸ ἀσήμαντους γονεῖς. Διότι εἶναι Κύριος ὅλων καὶ δὲν παραβλέπει τοὺς πεσμένους, οὔτε δείχνει ἀδιαφορία γιὰ ἐκείνους ποὺ σαλεύονται. Αὐτὸ ἔκαμε καὶ γιὰ ὅλα τὰ δημιουργήματα, αὐτὸ δὲ κάμνει καὶ γιὰ τὸ καθένα ξεχωριστά. Ἂν ὅμως μερικοὶ ἀπὸ τοὺς πεσμένους δὲν σηκώνονται, αὐτὸ δὲν ὀφείλεται σ' αὐτὸν ποὺ ἐπιθυμεῖ νὰ τοὺς σηκώσει, ἀλλὰ σ' ἐκείνους ποὺ δὲν θέλουν νὰ σηκωθοῦν. Διότι καὶ τὸν Ἰούδα ποὺ ἔπεσε θέλησε νὰ τὸν σηκώσει, καὶ ὅλα τὰ ἔκαμε γιὰ τὸ σκοπὸ αὐτό, ἀλλ' ἐκεῖνος δὲν θέλησε. Τὸν μὲν λοιπὸν Δαυὶδ ποὺ ἔστεκε τὸν σήκωσε καὶ τὸν ἔκαμε ἰσχυρό. Τὸν Πέτρο, ποὺ κινδύνευε νὰ πέσει, τὸν σήκωσε. Καὶ ἄκουε πῶς· «Σίμων, Σίμων», λέγει, «νὰ ὁ σατανᾶς θέλησε νὰ σᾶς κοσκινίσει σὰν τὸ σιτάρι, καὶ προσευχήθηκα ἐγὼ γιὰ σένα, γιὰ νὰ μὴ ἐκλείψει ἡ πίστη σου»[10].

Στὴ συνέχεια ἀνέφερε καὶ ἄλλο εἶδος εὐεργεσίας· διότι εἶναι ποικίλη καὶ πολύμορφη ἡ φροντίδα του. «Οἱ ὀφθαλμοὶ ὅλων ἔχουν στηριγμένη σ' ἐσένα τὴν ἐλπίδα τους καὶ σὺ δίνεις τὴν τροφή τους τὴν κατάλληλη στιγμή». Εἶδες πῶς ἔδειξε, ὅτι εἶναι ἀγαθὸς πρὸς ὅλους, καὶ ὅτι ἡ εὐσπλαχνία του ἁπλώνεται πρὸς ὅλα τὰ ἔργα του; Αὐτὸ ἀκριβῶς ποὺ ἔχει λεχθεῖ καὶ στὰ εὐαγγέλια, «Ὅτι ἀνατέλλει τὸν ἥλιο του καὶ γιὰ τοὺς κακοὺς καὶ γιὰ τοὺς καλούς, καὶ βρέχει καὶ γιὰ τοὺς δίκαιους καὶ γιὰ τοὺς ἄδικους»[11], αὐτὸ ὑπαινίχθηκε καὶ αὐτὸς ἐδῶ μὲ τὸ νὰ πεῖ, «Καὶ σὺ δίνεις τὴν τροφή τους στὴν κατάλληλη στιγμή». Διότι συνήθως δὲν παράγουν τοὺς καρποὺς οἱ βροχές, ἡ γῆ καὶ ὁ ἀέρας, ἀλλὰ τὸ πρόσταγμα αὐτοῦ. Τὸ δέ, «Ἐν εὐκαιρίᾳ» αὐτὸ φανερώνει, ὅτι τὰ πάντα ἔχουν ἀνατεθεῖ στοὺς καιροὺς καὶ παράγονται κατὰ τὶς διάφορες ἐποχές. Καὶ αὐτὸ πρὸ πάντων βέβαια δείχνει τὴ σοφία του, τὸ ὅτι διεμοίρασε τὰ εἴδη τῆς τροφῆς, ὄχι ὅλα μαζί, οὔτε ἕνα χωριστά, ἀλλὰ σ' ὅλη τὴ διάρκεια τοῦ χρόνου, ὥστε καὶ ὁ γεωργὸς νὰ ξεκουράζεται καὶ οἱ καρποὶ νὰ μὴ καταστρέφονται.

Τὸ «Ἐν εὐκαιρίᾳ» λοιπόν, ἤ, ὅπως προαναφέραμε, σημαίνει αὐτό, ὅτι δηλαδὴ διεμοίρασε τὸ καθένα στὴν κατάλληλη ἐποχή του, ἢ ὅτι δίνει τὴν τροφὴ σ' ὅσους τὴν ἔχουν ἀνάγκη καὶ

εἰς σὲ ἐλπίζουσιν», εἶπε; Καίτοι πολλοί εἰσιν αὐτόματα τὰ ὄντα λέγοντες, οἱ ἐν ἀσεβείᾳ ζῶντες. Τοῦ πράγματος αὐτοῦ λέγει τὴν φύσιν ἐνταῦθα, ὥσπερ καὶ ἀλλαχοῦ ὅταν λέγῃ, «Τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν», καίπερ ἀλόγιστα τὰ ζῶά ἐστι. Καὶ πάλιν· «Σκύμνοι ὠρυόμενοι, τοῦ ἁρπάσαι καὶ ζητῆσαι παρὰ τοῦ Θεοῦ βρῶσιν αὐτοῖς». Καίτοι καὶ οὗτοι ἀλόγιστοι, καὶ οὐκ αὐτοὶ ζητοῦσιν· ἀλλὰ καὶ ἐνταῦθα πάλιν τοῦ πράγματος λέγει τὴν φύσιν· οὐ γὰρ ἀπὸ τῆς ἐκείνων προαιρέσεως, ἀλλ' ἀπὸ τῆς τῶν γινομένων φύσεως τοῦτο ῥητέον ἐστίν.

«Ἀνοίγεις σὺ τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς πᾶν ζῶον εὐδοκίας». «Χεῖρα» τὴν ἐνέργειαν λέγει, καὶ τὴν χορηγητικὴν δύναμιν, διὰ πάντων σε παιδεύων εἰδέναι, ὡς οὐκ ἐν τοῖς στοιχείοις, ἀλλ' ἐν τῇ τοῦ Θεοῦ προνοίᾳ τῶν καρπῶν αἱ γοναί. Ἢ καὶ τὸ εὔκολον δεικνύς, εἶπε τό, «Ἀνοίγεις σὺ τὴν χεῖρά σου». Ἐπειδὴ γὰρ οἱ τότε μάλιστα τῶν πάντων αἴτιον ἀφέντες προσεκύνουν καὶ ἀέρα καὶ ἥλιον, καὶ ταῦτα ἐνόμιζον εἶναι τὰ παρέχοντα τοὺς καρπούς, ἀνάγων αὐτοὺς ἐπὶ τὴν ἀρχὴν τὴν ἄνω καὶ τὸν τούτων αἴτιον καὶ Δεσπότην, συνεχῶς ταῦτα ἐπιλέγει, δεικνὺς ὅτι ἐκ τῆς ἐκείνου χειρὸς πάντα, ἐκ τῆς ἐκείνου κηδεμονίας ἐπιρρεῖ τὰ ἀγαθά. Εὐδοκίας δὲ ἐνταῦθα ἐμπιπλᾶν λέγει, τουτέστιν εὐαρεστήσεως, διότι ἕκαστον ζῶον πληροῖ τοῦ θελήματος αὐτοῦ, τοῦ ἀρέσκοντος αὐτῷ. Οὐ γὰρ ἁπλῶς δίδωσι τροφήν, ἀλλὰ κατὰ τὸ χρήσιμον ἑκάστῳ, κατὰ τὴν ἐπιθυμίαν ἑκάστου, κατὰ τὸ πλῆρες. Ὃ δὲ λέγει, τοῦτό ἐστι· καὶ ἀλόγοις δίδως, καὶ ἀνθρώποις,

12. Ψαλμ. 146, 9.
13. Ψαλμ. 103, 21.

τὴ χρειάζονται. Καὶ πῶς, λέγει, εἶπε «Οἱ ὀφθαλμοὶ ὅλων ἐλπίζουν σὲ σένα»; Καὶ βέβαια ὑπάρχουν πολλοί, καὶ αὐτοὶ εἶναι ἐκεῖνοι ποὺ ζοῦν μέσα στὴν ἀσέβεια, ποὺ ὑποστηρίζουν, ὅτι τὰ ὄντα λειτουργοῦν χωρὶς καμιὰ ἐπέμβαση ἐξωτερική. Αὐτὸ τὸ πράγμα λοιπὸν λέγει μὲ αὐτὰ ποὺ λέγει ἐδῶ, ὅμως ἀκριβῶς καὶ ἀλλοῦ ὅταν λέγει, «Δίνοντας τροφὴ στὰ μικρὰ πουλιὰ τῶν κοράκων ποὺ τὸν ἐπικαλοῦνται»[12], ἂν καὶ βέβαια στεροῦνται λογικοῦ τὰ ζῶα. Καὶ πάλι· «Τὰ μικρὰ τῶν λεονταριῶν οὐρλιάζουν γιὰ νὰ ζητήσουν ἀπὸ τὸ Θεό, καὶ νὰ ἁρπάξουν τὴν τροφὴ ποὺ θὰ τὰ δώσει γιὰ νὰ φάγουν»[13]. Ἂν καὶ βέβαια καὶ αὐτὰ δὲν ἔχουν λογικὸ καὶ δὲν ζητοῦν τὴν τροφή τους ἀπὸ τὸ Θεό· ὅμως καὶ ἐδῶ πάλι ὁμιλεῖ γιὰ τὴν φύση τοῦ πράγματος· διότι αὐτὸ πρέπει νὰ θεωρηθεῖ ὅτι ἀναφέρεται ὄχι στὴν προαίρεση ἐκείνων, ἀλλὰ στὴ φύση τῶν ὅσων συμβαίνουν.

«Ἀνοίγεις τὸ χέρι σοὺ καὶ γεμίζεις κάθε ζωντανὴ ὕπαρξη μὲ ὅ,τι αὐτὴ ἐπιθυμεῖ». «Χέρι» ὀνομάζει τὴν ἐνέργεια καὶ τὴ χορηγητικὴ δύναμή του, γιὰ νὰ σὲ διδάξει μὲ ὅλα αὐτὰ νὰ γνωρίζεις, ὅτι ἡ παραγωγὴ τῶν καρπῶν ὀφείλεται ὄχι στὰ φυσικὰ στοιχεῖα, ἀλλὰ στὴν πρόνοια τοῦ Θεοῦ». Ἢ εἶπε τό, «Ἀνοίγεις σὺ τὸ χέρι σου», γιὰ νὰ δείξει τὸν εὔκολο τρόπο χορηγίας τῶν ἀγαθῶν. Διότι, ἐπειδὴ οἱ τότε ἄνθρωποι πρὸ πάντων, ἀφοῦ ἄφησαν τὸν αἴτιο τῶν πάντων, προσκυνοῦσαν καὶ τὸν ἀέρα καὶ τὸν ἥλιο καὶ νόμιζαν ὅτι αὐτὰ εἶναι ἐκεῖνα ποὺ παρέχουν τοὺς καρπούς, ὁδηγώντας αὐτοὺς πρὸς τὴν οὐράνια ἀρχὴ καὶ πρὸς τὸν αἴτιο καὶ Κύριο αὐτῶν, συνέχεια αὐτὰ ἐπαναλαμβάνει, γιὰ νὰ δείξει ὅτι ὅλα τὰ ἀγαθὰ προέρχονται ἀπὸ τὸ χέρι ἐκείνου καὶ ἀπὸ τὴ φροντίδα ἐκείνου. Ἐδῶ δὲ λέγει ὅτι γεμίζει τὰ πάντα μὲ εὐδοκία, δηλαδὴ μὲ εὐχαρίστηση, διότι τὸ κάθε ζῶο ἐκπληρώνει τὸ θέλημά του, ποὺ ἀρέσει σ' αὐτό. Διότι δὲν δίνει σ' αὐτὰ ἁπλῶς τροφή, ἀλλὰ καὶ στὸ καθένα αὐτὸ ποὺ τοῦ εἶναι χρήσιμο, σύμφωνα μὲ τὴν ἐπιθυμία τοῦ καθενός, καὶ αὐτὸ ποὺ τὸ ἱκανοποιεῖ. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· καὶ στὰ ἄλογα ζῶα καὶ στοὺς ἀνθρώπους καὶ σ' ὅλα γενικὰ τὰ ζῶντα ὄντα δίνεις αὐτὸ ποὺ εἶναι εὐχάριστο στὸ καθένα, αὐτὸ ποὺ ἀρέ-

καὶ πᾶσιν, ὡς ἑκάστῳ ἡδύ, ὡς ἑκάστῳ ἀρεστόν· καὶ οὐ δίδως μόνον, ἀλλὰ καὶ πληροῖς, ὡς μηδὲν εἶναι ἐνδέον. Διό φησιν, «Ἐμπιπλᾷς πᾶν ζῶον εὐδοκίας».

5. «Δίκαιος Κύριος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ». Ὁδοὺς ἐνταῦθα τὰς οἰκονομίας λέγει, τὴν πρόνοιαν, τὴν κηδεμονίαν, δι' ἧς ἅπαντα διετύπωσε. Πάντα γάρ, φησί, τὰ ἔργα αὐτοῦ ἐγκώμια, θαυμάτων γέμει, οὐδεμίαν οὐδενὶ παρέχοντα λαβήν, κἂν τινες μαίνωνται καὶ λυσσῶσι. Τὰ τοίνυν ἔργα φύσει τοιαῦτα, ὡς ἀπολάμπειν, ὡς ἀποστίλβειν, ὡς ἀνακηρύττειν τοῦ πεποιηκότος τὴν πρόνοιαν, τὴν κηδεμονίαν, τὴν φιλανθρωπίαν, τὴν δικαιοσύνην, τὴν ὁσιότητα.

«Ἐγγὺς Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτόν, πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ». Ἰδοὺ καὶ ἕτερον προνοίας μέρος, τὸ κεφάλαιον τῶν ἀγαθῶν. Εἰπὼν γὰρ τὰ κοινῇ καὶ τοῖς ἀπίστοις δεδομένα, τὴν τροφήν, τοὺς ὑετούς, λέγει καὶ τὰ ἰδιαζόντως τοῖς πιστοῖς παρεχόμενα. Τίνα δὲ ταῦτά ἐστι; Τὸ ἐγγὺς αὐτῶν εἶναι, τουτέστιν, ἀντέχεσθαι, κήδεσθαι, προνοεῖν πολὺ μειζόνως ἐκείνων, εὔνουν αὐτοῖς εἶναι καὶ ἵλεων καὶ εὐμενῆ, μᾶλλον αὐτοῖς ἀποκαλύπτειν τὰ ἀγαθά. «Θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει, καὶ τῆς δεήσεως αὐτῶν εἰσακούσεται, καὶ σώσει αὐτούς». Καὶ μήν, φησίν, ὁ Παῦλος ἐβούλετο τὸν ἄγγελον τοῦ σατᾶν ἀποστῆναι ἀπ' αὐτοῦ, τουτέστι, τοὺς πειρασμούς, τὰς θλίψεις, τὰς ἐπιβουλάς, καὶ οὐκ ἐποίησε. Καὶ μὴν ἐποίησεν· ἐπειδὴ γὰρ ἔγνω ὅτι τὰ μὴ συμφέροντα ᾔτει, πάλιν θελῆσαι καὶ σφόδρα θελῆσαι Θεοῦ ἔργον ἦν. Διὸ καὶ ἔλεγεν· «Εὐδοκῶ ἐν ἀ-

---

14. Β' Κορ. 12, 8.

σει στὸ καθένα· καὶ ὄχι μόνο τοῦ δίνεις, ἀλλὰ καὶ ἱκανοποιεῖς τὴν ἐπιθυμία του, ὥστε ἀπὸ τίποτε ἄλλο νὰ μὴ ἔχει ἀνάγκη. Γι' αὐτὸ λέγει, «Γεμίζεις τὸ κάθε ζῶο μὲ εὐδοκία».

5. «Ὁ Κύριος εἶναι δίκαιος σ' ὅλες τὶς ἐνέργειές του καὶ ἅγιος σ' ὅλα τὰ ἔργα του». Ὁδοὺς ἐδῶ ὀνομάζει τὶς φροντίδες του, τὴν πρόνοιά του, τὴν κηδεμονία του, μὲ τὴν ὁποία διαρρυθμίζει τὰ πάντα. Διότι, λέγει, ὅλα τὰ ἔργα του ἀποτελοῦν ἐγκώμιο γι' αὐτόν, εἶναι γεμάτα ἀπὸ θαύματα, δὲν παρέχουν ἀφορμὴ σὲ κανένα γιὰ νὰ τὸν κατηγορήσει, ἔστω καὶ ἂν μερικοὶ εἶναι κυριευμένοι ἀπὸ μανία καὶ λύσσα. Τὰ ἔργα του λοιπὸν εἶναι τέτοια ἀπὸ τὴ φύση τους, ὥστε νὰ διαλάμπουν, νὰ ἀκτινοβολοῦν καὶ νὰ διακηρύττουν τὴν πρόνοια τοῦ δημιουργοῦ τους, τὴ φροντίδα, τὴ φιλανθρωπία, τὴ δικαιοσύνη καὶ τὴν ἁγιότητα αὐτοῦ.

«Ὁ κύριος βρίσκεται κοντὰ σ' ὅλους ἐκείνους ποὺ ζητοῦν βοήθεια ἀπ' αὐτόν, σ' ὅλους ἐκείνους ποὺ τὸν ἐπικαλοῦνται μὲ εἰλικρίνεια». Νὰ καὶ ἄλλο εἶδος πρόνοιάς του, ποὺ εἶναι τὸ ἀποκορύφωμα τῶν ἀγαθῶν. Διότι, ἀφοῦ μίλησε καὶ τὰ κοινὰ ἀγαθὰ ποὺ δίνονται καὶ στοὺς ἄπιστους, τὴν τροφὴ δηλαδὴ καὶ τὶς βροχές, ἀναφέρει καὶ τὰ ἀγαθὰ ποὺ δίνονται ἰδιαίτερα στοὺς πιστούς. Ποιὰ δὲ εἶναι αὐτά; Τὸ ὅτι βρίσκεται κοντά τους, δηλαδὴ τὸ ὅτι τοὺς βοηθεῖ, τὸ ὅτι τοὺς φροντίζει, τὸ ὅτι δείχνει πολὺ πιὸ μεγαλύτερη πρόνοια σ' αὐτοὺς ἀπὸ ὅ,τι σ' ἐκείνους, τὸ ὅτι δείχνει τὴν εὔνοιά του πρὸς αὐτούς, τὴν εὐσπλαχνία του καὶ τὴν εὐμένειά του, καὶ φανερώνει πολὺ περισσότερο σ' αὐτοὺς τὰ ἀγαθά. «Αὐτὸς θὰ ἐκτελέσει τὸ θέλημα αὐτῶν ποὺ τὸν φοβοῦνται καὶ θὰ εἰσακούσει τὴν προσευχή τους καὶ θὰ τοὺς σώσει». Καὶ ὅμως, λέγει, ὁ Παῦλος ἤθελε νὰ φύγει ἀπ' αὐτὸν ὁ ἄγγελος τοῦ σατανᾶ[14], δηλαδὴ οἱ πειρασμοί, οἱ θλίψεις καὶ οἱ ἐπιβουλές, καὶ δὲν τὸ ἔκανε ὁ Θεός. Καὶ βέβαια τὸ ἔκανε· διότι, ἐπειδὴ ἀντιλήφθηκε ὅτι ζητοῦσε πράγματα ποὺ δὲν τοῦ συνέφεραν, ἦταν ἔργο τοῦ Θεοῦ τὸ νὰ θελήσει καὶ πάλι καὶ μάλιστα νὰ θελήσει ὑπερβολικά. Γι' αὐτὸ καὶ ἔλεγε· «Νιώθω εὐχαρίστηση ὅταν ὑπομένω ἀσθένειες, θλίψεις καὶ διωγ-

σθενείαις, ἐν θλίψεσιν, ἐν διωγμοῖς». Εἰ δὲ τὰ ἐναντία πρότερον ἐβούλετο, δι' ἄγνοιαν ἐβούλετο· ἐπειδὴ δὲ ἔμαθεν, ὅτι τοῦτο ὁ Θεὸς βούλεται, καὶ αὐτὸς λοιπὸν εὐδοκεῖ. Οὐ γάρ ἐστιν ἄλλο τὸ θέλημα Θεοῦ, καὶ ἄλλο τῶν φοβουμένων αὐτόν· εἰ δέ τινα καὶ αὐτοὶ ὡς ἄνθρωποι βούλονται, ἀλλ' ὕστερον διορθοῦνται.

«Φυλάσσει Κύριος πάντας τοὺς ἀγαπῶντας αὐτόν, καὶ πάντας τοὺς ἁμαρτωλοὺς ἐξολοθρεύσει». Καὶ τοῦτο μέρος προνοίας οὐ μικρόν, τὸ τηρεῖν, τὸ ἀσφαλίζεσθαι, τὸ τὴν παρ' αὐτοῦ πρόνοιαν παρέχειν. Ἁμαρτωλοὺς δέ φησι τοὺς τὰ ἀνίατα νοσοῦντας, τοὺς οὐ βουλομένους διορθωθῆναι. Εἰ δέ τινας καὶ τῶν ἀγαπώντων αὐτὸν ἀφίησιν εἰς θανάτους ἐμπεσεῖν, καὶ τοῦτο φυλάσσοντός ἐστιν· ὅπερ καὶ ἐπὶ τοῦ Ἄβελ γέγονε. Εἰ γὰρ καὶ τὰ σώματα αὐτῶν διεφθάρη, ἀλλ' ὅμως τῇ ψυχῇ λαμπρότεροι γεγόνασιν· ἀπολήψονται δὲ καὶ τὰ σώματα ἄφθαρτα.

Ἐπεὶ οὖν εἶπε τῆς προνοίας αὐτοῦ τὰ εἴδη, ὅσα δυνατὸν ἦν εἰπεῖν αὐτῷ, τὰ κοινά, τὰ ἰδιάζοντα, τὰ ἐξαίρετα τῶν ἁγίων, τὴν περὶ τοὺς σαλευομένους κηδεμονίαν, τὴν περὶ τοὺς κειμένους πρόνοιαν, τὴν μακροθυμίαν, τὴν τῶν ἁμαρτωλῶν διόρθωσιν, τὴν τῶν ἁγίων φυλακήν, πάλιν εἰς αἶνον κατακλείει τὸν λόγον, καὶ τὴν οἰκουμένην ἅπασαν εἰς κοινωνίαν τῆς εὐφημίας καλεῖ λέγων· «Αἴνεσιν Κυρίου λαλήσει τὸ στόμα μου, καὶ εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος». Ὁρᾷς πῶς ἀπὸ τῆς χρηστῆς διαθέσεως οὐ τοὺς εὐεργετουμένους μόνον, ἀλλὰ καὶ τοὺς κολαζομένους καλεῖ (καὶ γὰρ τοῦτο κηδεμονίας), οὐκ ἀνθρώπους μόνον, ἀλλὰ καὶ τὰ ἄλογα, καὶ τὰ στοιχεῖα, καὶ τὰ ἀναίσθητα ἅπαντα· πάντα γὰρ ἐμπέπλησται αὐτοῦ τῆς ἀγαθότητος.

---

15. Β' Κορ. 12, 10.

μούς»[15]. Ἐὰν δὲ στὴν ἀρχὴ ζητοῦσε τὰ ἀντίθετα, τὰ ζητοῦσε ἀπὸ ἄγνοια, ὅταν ὅμως ἔμαθε, ὅτι αὐτὸ θέλει ὁ Θεός, καὶ αὐτὸς πλέον εὐχαριστεῖται μὲ αὐτά. Διότι δὲν εἶναι ἄλλο τὸ θέλημα τοῦ Θεοῦ καὶ ἄλλο ἐκείνων ποὺ σέβονται αὐτόν· ἂν ὅμως καὶ αὐτοὶ σὰν ἄνθρωποι θέλουν καὶ ὁρισμένα ποὺ δὲν εἶναι σύμφωνα μὲ τὸ θέλημα αὐτοῦ, ἀλλ' ὅμως ἀργότερα διορθώνονται.

«Ὁ Κύριος προφυλάσσει ὅλους ἐκείνους ποὺ ἀγαποῦν αὐτὸν καὶ θὰ ἐξολοθρεύσει ὅλους τοὺς ἁμαρτωλούς». Καὶ αὐτὸ εἶναι ὄχι μικρὸ εἶδος πρόνοιας, τὸ νὰ φροντίζει αὐτοὺς ποὺ τὸν ἀγαποῦν, τὸ νὰ τοὺς ἀσφαλίζει καὶ νὰ τοὺς παρέχει τὴν πρόνοιά του. Ἁμαρτωλοὺς δὲ ὀνομάζει ἐκείνους ποὺ εἶναι ἀθεράπευτα ἀσθενεῖς, ποὺ δὲν θέλουν νὰ διορθωθοῦν. Ἂν δὲ μερικοὺς ἀπὸ αὐτοὺς ποὺ τὸν ἀγαποῦν τοὺς ἀφήνει καὶ νὰ πεθαίνουν, καὶ αὐτὸ εἶναι γνώρισμα ἐκείνου ποὺ φυλάσσει, πράγμα ποὺ συνέβηκε καὶ στὴν περίπτωση τοῦ Ἄβελ. Διότι, ἂν καὶ τὰ σώματά τους καταστράφηκαν, ἀλλ' ὅμως ἔχουν γίνει στὴν ψυχὴ λαμπρότεροι, θ' ἀποκτήσουν δὲ καὶ τὰ σώματά τους ἄφθαρτα.

Ἀφοῦ λοιπὸν ἀνέφερε τὰ εἴδη τῆς πρόνοιας αὐτοῦ, ὅσο τοῦ ἦταν δυνατὸ νὰ τὰ ἀναφέρει, τὰ γενικά, τὰ ἰδιαίτερα, τὰ ἐντελῶς ξεχωριστὰ γιὰ τοὺς ἁγίους, τὴ φροντίδα του γι' αὐτοὺς ποὺ κλονίζονται στὸ θέμα τῆς πίστεως, τὴν πρόνοιά του γιὰ τοὺς πνευματικὰ πεσμένους, τὴ μακροθυμία του, τὴ διόρθωση τῶν ἁμαρτωλῶν, τὴν περιφρούρηση τῶν ἁγίων, πάλι τελειώνει τὸ λόγο του μὲ δοξολογία καὶ καλεῖ ὅλη τὴν οἰκουμένη νὰ λάβει μέρος στὴ δοξολογία, λέγοντας· «Ὕμνο δοξολογίας θὰ ἀναπέμπει τὸ στόμα μου καὶ ἂς δοξολογεῖ κάθε σάρκα τὸ ἅγιο ὄνομά του στὸν αἰώνα καὶ στὸν αἰώνα τοῦ αἰώνα». Βλέπεις πῶς ἀπὸ καλὴ διάθεση προσκαλεῖ ὄχι μόνο ἐκείνους ποὺ εὐεργετοῦνται ἀπ' αὐτόν, ἀλλὰ καὶ ἐκείνους ποὺ τιμωροῦνται (καθόσον αὐτὸ εἶναι γνώρισμα τῆς κηδεμονίας του), ὄχι μόνο τοὺς ἀνθρώπους, ἀλλὰ καὶ τὰ ἄλογα ζῶα, καὶ τὰ φυσικὰ στοιχεῖα καὶ ὅλα τὰ ἀναίσθητα· διότι ὅλα εἶναι γεμάτα ἀπὸ τὴν ἀγαθότητα αὐτοῦ.

Μὴ τοίνυν μηδὲ ἡμεῖς διαλείπωμεν τὸν οὕτω χρηστόν, τὸν οὕτω φιλάνθρωπον, τὸν πανταχοῦ ἐκτείνοντα αὐτοῦ τὴν εὐεργεσίαν συνεχῶς ἀνυμνοῦντες, καὶ διὰ ρημάτων, καὶ διὰ πραγμάτων· ἵνα καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

῞Ας μὴ παραλείπουμε λοιπὸν καὶ ἐμεῖς νὰ δοξολογοῦμε συνέχεια καὶ μὲ τὰ λόγια καὶ μὲ τὰ ἔργα μας τὸν τόσο ἀγαθό, τὸν τόσο φιλάνθρωπο, ποὺ σκορπίζει παντοῦ τὴν εὐεργεσία του, γιὰ νὰ ἐπιτύχουμε καὶ τὰ παρόντα ἀγαθὰ καὶ τὰ μέλλοντα, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟΝ ΡΜΕ' ΨΑΛΜΟΝ.

«Αἴνει, ἡ ψυχή μου, τὸν Κύριον. Αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου. Ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω».

1. Ἔνθα κατέλυσεν, ἐντεῦθεν ἄρχεται πάλιν, ἀπὸ αἴνου καὶ εὐφημίας. Οὐ γὰρ μικρῶς ἐκκαθαίρει ψυχὴν τὸ τοιοῦτον. Αἶνον δὲ λέγει, ὃ συνεχῶς λέγω, διὰ τῶν ἔργων· ὅπερ καὶ ὁ Χριστός φησι· «Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς». Καὶ πάλιν ὁ Παῦλος· «Δοξάσατε δὴ τὸν Θεὸν ἐν τῷ σώματι ὑμῶν, καὶ ἐν τῷ πνεύματι ὑμῶν». Καὶ ὥσπερ ἐν τῷ πρὸ τούτου ἔλεγε, «Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε»·, οὕτω καὶ ἐνταῦθα, «Ψαλῶ τῷ Θεῷ μου», φησίν, «ἕως ὑπάρχω». Εἶτα βουλόμενος πάλιν λαβεῖν κοινωνοὺς τῆς εὐφημίας ἀνθρώπους, εἰς τὰ διηγήματα αὐτοῦ τῆς φιλανθρωπίας ἐμπίπτει, καιόμενος, θερμαινόμενος τῷ πόθῳ, περιτρέχων τὴν οἰκουμένην ἅπασαν, ἅπαντας συνάγων εἰς τὸν οἰκεῖον χορόν. Καὶ γὰρ καὶ τοῦτο μάλιστα αἶνος, τοῦτο μάλιστα δόξα εἰς Θεόν, ὅταν πολλοὺς ἐπιζητῇ τοὺς μέλλοντας τῆς αὐτοῦ ἀπολαύειν σωτηρίας.

«Μὴ πεποίθατε ἐπ' ἄρχοντας, ἐπὶ υἱοὺς ἀνθρώπων, οἷς οὐκ ἔστι σωτηρία». Ἕτερος, «Τῷ οὐκ ἔχοντι σῶσαι». Ἀκουέτωσαν τῆς παραινέσεως ταύτης καὶ συμβουλῆς οἱ πρὸς τὰς ἀνθωπίνας

---

* Εἶναι ψαλμὸς λειτουργικός, ἀρχίζοντας μὲ τὸ «ἀλληλούϊα». Ἀποτελεῖ ἕνα ἀπὸ τὰ ἀντίφωνα τῆς θείας λειτουργίας. Στοὺς στίχ. 1-4 ὁ ψαλμωδὸς προσκαλεῖ τὴν ψυχή του νὰ ὑμνήσει τὸν Κύριο, τονίζοντας ὅτι εἶναι μάταιο καὶ ἄκαρπο νὰ στηρίζει κανεὶς τὶς ἐλπίδες του στοὺς ἄρχοντες καὶ ἰσχυροὺς τοῦ κόσμου. Στοὺς στίχ. 5-10 μακαρίζει ἐκείνους ποὺ στηρίζουν τὶς ἐλπίδες τους στὸν Κύριο. Γράφτηκε στοὺς χρόνους μετὰ τὴν αἰχμαλωσία.

ΟΜΙΛΙΑ

ΣΤΟ ΡΜΕ' ΨΑΛΜΟ*

«Ψάλε, ψυχή μου, ὕμνους δοξολογίας πρὸς τὸν Κύριο. Θὰ ὑμνῶ τὸν Κύριο σ' ὅλη τὴ ζωή μου. Θὰ ψάλλω ὕμνους στὸ Θεό μου ὅσο θὰ ὑπάρχω».

1. Ὅπως τελείωσε τὸν προηγούμενο ψαλμό, ἔτσι ἀρχίζει πάλι αὐτόν, μὲ ὕμνο καὶ δοξολογία. Διότι δὲν καθαρίζει καὶ λίγο τὴν ψυχὴ αὐτὸ τὸ πράγμα. Αἶνο δὲ ἐννοεῖ αὐτὸ ποὺ συνέχεια σᾶς λέγω, δηλαδὴ τὴ δοξολογία μὲ τὰ ἔργα, πράγμα ποὺ λέγει καὶ ὁ Χριστός· «Ἂς λάμψει τὸ φῶς σας μπροστὰ στοὺς ἀνθρώπους, γιὰ νὰ δοῦν τὰ καλὰ ἔργα σας καὶ νὰ δοξάσουν τὸν Πατέρας σας στοὺς οὐρανούς»[1]. Καὶ πάλι ὁ Παῦλος ἔλεγε· «Δοξάσατε λοιπὸν τὸν Θεὸ μὲ τὸ σῶμα σας καὶ μὲ τὸ πνεῦμα σας»[2]. Καὶ ὅπως ἀκριβῶς στὸν προηγούμενο ψαλμὸ ἔλεγε, «Καθημερινὰ θὰ σὲ δοξολογῶ»[3], ἔτσι καὶ ἐδῶ, «Θὰ ψάλλω ὕμνους στὸν Θεό μου ὅσο θὰ ὑπάρχω». Ἔπειτα θέλοντας πάλι οἱ ἄνθρωποι νὰ λάβουν μέρος στὴ δοξολογία, προχωρεῖ στὴ διήγηση τῆς φιλανθρωπίας τοῦ Θεοῦ, κατακαιόμενος καὶ καταθερμαινόμενος ἀπὸ τὸν πόθο γι' αὐτόν, περιτρέχοντας ὅλη τὴν οἰκουμένη καὶ συγκεντρώνοντας ὅλους στὸ δικό του χορό. Καθόσον αὐτὸ πρὸ πάντων ἀποτελεῖ ὕμνο γιὰ τὸ Θεό, αὐτὸ πρὸ πάντων ἀποτελεῖ δόξα γι' αὐτόν, ὅταν κανεὶς ἐπιδιώκει νὰ βρεῖ πολλοὺς ποὺ πρόκειται ν' ἀπολαμβάνουν τὴ σωτηρία αὐτοῦ.

«Μὴ στηρίζετε τὴν ἐμπιστοσύνη σας στοὺς ἄρχοντες καὶ στοὺς υἱοὺς τῶν ἀνθρώπων, οἱ ὁποῖοι δὲν ἔχουν τὴ δύναμη νὰ σᾶς σώσουν». Ἄλλος λέγει, «Σ' ἐκεῖνον ποὺ δὲν μπορεῖ νὰ σᾶς σώσει». Ἂς ἀκοῦν τὴ παραίνεση αὐτὴ καὶ συμβουλὴ ἐκεῖνοι

---

1. Ματθ. 16, 5.
2. Α' Κορ. 6, 20.
3. Ψαλμ. 144, 2.

κεχηνότες προστασίας τὰς ἐπικήρους καὶ διεφθαρμένας. Τί δέ ἐστιν, «Οἷς οὐκ ἔστι σωτηρία»; Οὐδὲ τῆς ἰδίας, φησί, σωτηρίας εἰσὶ κύριοι, οὐδὲ ἑαυτῶν προστῆναι δύνανται. Εἰ γὰρ ἐπέλθοι ἡ τελευτή, κείσονται λίθων ἀφωνότεροι. Τοῦτο γάρ ἐστιν ὃ ἐπιφέρει λέγων· «Ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ, καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐτοῦ. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτοῦ». Ἕτερος, «Αἱ προθέσεις αὐτοῦ». Ὃ δὲ λέγει, τοῦτό ἐστιν· ὁ ἑαυτοῦ προστῆναι μὴ δυνάμενος, πῶς ἑτέρους ἐξαρπάσεται; Οὐδὲν γὰρ οὕτως ἐπισφαλὲς καὶ σαθρόν, ὡς ἡ τοιαύτη ἐλπίς. Καὶ δείκνυσι τῶν πραγμάτων ἡ φύσις. Διὸ καὶ Παῦλος περὶ τῆς εἰς Θεὸν ἐλπίδος διαλεγόμενος ἔλεγεν· «Ἡ δὲ ἐλπὶς οὐ καταισχύνει».

Ἀλλ' οὐ τὰ ἀνθρώπινα τοιαῦτα, ἀλλὰ σκιᾶς ἀσθενέστερα. Μὴ γάρ μοι εἴπῃς, ὅτι ἄρχων ἐστί. Καὶ γὰρ καὶ ὁ ἄρχων οὐδὲν ἔχει πλέον τοῦ τυχόντος ἀνθρώπου· τῇ αὐτῇ ἀδηλίᾳ ὑπόκειται. Εἰ δέ τι χρὴ καὶ θαυμαστὸν εἰπεῖν, ἐπειδὴ ἄρχων ἐστί, καὶ διὰ τοῦτο μάλιστα οὐ χρὴ θαρρεῖν. Ἀκροσφαλεῖς γὰρ αἱ τοιαῦται δυναστεῖαι. Κἂν μὴ μεταπέσῃ, πρὸς ὀργήν ἐστιν ὀξυρρεπής, καὶ τῇ ἐξουσίᾳ πρὸς ἀγνωμοσύνην ἀποκέχρηται, ὡς οὐ μέλλων ὑπεύθυνος εἶναι τῷ τὴν ὑπόσχεσιν δεξαμένῳ· κἂν εὐγνώμων φανῇ, εὐκολωτέρας ἕξει τὰς μεταπτώσεις τῶν ἰδιωτευόντων, ὅσῳ καὶ μείζονι καὶ πλείοσιν ἐπιβουλαῖς ὑπόκειται· καὶ μᾶλλόν ἐστιν εὐχείρωτος οὗτος, ὅσῳ καὶ πλείους ἔχει τοὺς ἐπιβουλεύοντας. Τί γὰρ βούλονται οἱ σωματοφύλακες; τί δὲ αἱ πολλαὶ προφυλακαί; Πῶς οὖν ὁ ἐν πόλει εὐνομουμένῃ μηδὲ περὶ τοῦ σώματος αὐτοῦ

4. Ρωμ. 5, 5.

ποὺ συγκεντρώνουν τὴν προσήλωσή τους στὶς ἀνθρώπινες προστασίες, τὶς πρόσκαιρες καὶ διεφθαρμένες. Τί σημαίνει δέ, «Οἷς οὐκ ἔστι σωτηρία»; Οὔτε τοὺς ἑαυτούς τους, λέγει, μποροῦν νὰ σώσουν, οὔτε τοὺς ἑαυτούς τους μποροῦν νὰ βοηθήσουν. Διότι ἂν συμβεῖ καὶ ἔλθει ὁ θάνατος, θὰ πέσουν κάτω πιὸ ἄφωνοι καὶ ἀπὸ τοὺς λίθους. Καθόσον αὐτὸ σημαίνει αὐτὸ ποὺ προσθέτει καὶ λέγει· «Τοῦ καθένα ἀπ' αὐτοὺς θὰ ἐξέλθει τὸ πνεῦμα του καὶ θὰ ἐπιστρέψει αὐτὸς στὴ γῆ ἀπὸ τὴν ὁποία προέρχεται· κατὰ τὴν ἡμέρα ἐκείνη θὰ ἐξαφανισθοῦν ὅλες οἱ σκέψεις καὶ τὰ σχέδιά του». Ἄλλος λέγει, «Οἱ προθέσεις αὐτοῦ». Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· ἐκεῖνός ποὺ δὲν μπορεῖ νὰ βοηθήσει τὸν ἑαυτό του, πῶς θὰ μπορέσει ἄλλους νὰ σώσει; Διότι τίποτε δὲν ὑπάρχει τόσο πολὺ ἐπισφαλὲς καὶ σάπιο, ὅσο ἡ παρόμοια ἐλπίδα. Καὶ τὸ φανερώνει αὐτὸ ἡ φύση τῶν πραγμάτων. Γι' αὐτὸ καὶ ὁ Παῦλος, μιλώντας γιὰ τὴν ἐλπίδα πρὸς τὸ Θεό, ἔλεγε· «Ἡ δὲ ἐλπίδα πρὸς τὸ Θεὸ δὲν καταντροπιάζει τὸν ἄνθρωπο».

Ὅμως δὲν εἶναι τέτοια τὰ ἀνθρώπινα, ἀλλ' εἶναι ἀσθενέστερα καὶ ἀπὸ τὴ σκιά. Μὴ μοῦ πεῖς βέβαια, ὅτι εἶναι ἄρχοντας. Καθόσον ὁ ἄρχοντας τίποτε δὲν ἔχει περισσότερο ἀπὸ τὸν τυχόντα ἄνθρωπο· βρίσκεται καὶ αὐτὸς κάτω ἀπὸ τὴν ἴδια ἀβεβαιότητα. Ἂν δὲ πρέπει νὰ πῶ καὶ κάτι τὸ ἄξιο θαυμασμοῦ, ἀκριβῶς ἐπειδὴ εἶναι ἄρχοντας γι' αὐτὸ πρὸ πάντων δὲν πρέπει νὰ στηρίζει κανεὶς σ' αὐτὸν τὶς ἐλπίδες του. Διότι γεμάτες ἀπὸ ἀνασφάλεια εἶναι οἱ παρόμοιες ἐξουσίες. Καὶ ἂν ἀκόμα δὲν πέσει ἀπὸ τὴν ἐξουσία, εὔκολα ἐξοργίζεται καὶ χρησιμοποιεῖ τὴν ἐξουσία μὲ ἀχαριστία, διότι δὲν πρόκειται νὰ λογοδοτήσει σ' ἐκεῖνον ποὺ τοῦ ἔδωσε τὴν ὑπόσχεση. Ἂν πάλι φανεῖ εὐγνώμων, τόσο πιὸ εὔκολα ἀπὸ τοὺς ἁπλοϊκοὺς ἀνθρώπους θὰ ἔχει τὶς μεταπτώσεις, ὅσο μεγαλύτερες καὶ περισσότερες εἶναι οἱ ἐπιβουλὲς κάτω ἀπὸ τὶς ὁποῖες βρίσκεται· καὶ τόσο περισσότερο εὐκολοκατανίκητος εἶναι αὐτός, ὅσο περισσότερους ἔχει αὐτοὺς ποὺ τὸν ἐπιβουλεύονται. Διότι τί χρειάζονται οἱ σωματοφύλακες; τί δὲ οἱ πολλὲς φρουρές; Πῶς λοιπὸν ἐκεῖνος μὲν ποὺ

θαρρῶν, ἀλλ' ὡς ἐν μέσοις ἀναστρεφόμενος πολεμίοις, οὕτως ὢν ἐναγώνιος, ἑτέρους σῶσαι δυνήσεται; Ὁ εἰρήνης οὔσης τῶν ἐν πολέμοις χαλεπώτερον δεδοικώς, πῶς ἑτέρους ἐν ἀσφαλείᾳ καταστήσει καὶ ἐξαρπάσεται τῶν κινδύνων; Πολλοῖς δὲ δυναμένοις καθ' ἑαυτοὺς ζῆν μετὰ ἀδείας τοῦτο αὐτὸ γέγονεν ἐπιβουλή, τὸ τοιούτοις θαρρῆσαι· καὶ καταπεσόντων ἐκείνων καὶ οὗτοι συγκατηνέχθησαν· ἑτέροις δὲ οἱ φύλακες προδόται γεγόνασιν.

Ἀλλ' ὅμως ὁ προφήτης ταῦτα ἅπαντα παραδραμών, ἐπειδὴ πολλοὶ διέφυγον, τὸ ἀναμφισβήτητον τίθησι, τὸ τῆς τελευτῆς. Κἂν γὰρ ἅπαντά σοι κατὰ ροῦν φέρηται, κἂν εὔνους ᾖ, κἂν χάριν εἰδώς, φησί, κἂν μέλλῃ ἀποδιδόναι, ἐν μέσαις ταῖς ὑποσχέσεσι καταλύσας τὸν βίον, ἀφῆκέ σε ἐν ἐλπίσι κεναῖς, διὰ τὸ τὴν ζωὴν μὴ ἀρκέσαι πρὸς τὸ τῆς ὑποσχέσεως τέλος. Ὅταν δὲ μηδὲ ζωὴν ἀρκοῦσαν ἔχῃ πρὸς τὴν ὑπόσχεσιν, ἀλλὰ προκαταλύηται τοῦ τέλους ὁ βίος, ἐπὶ σαθρὰν καταφεύγεις συμμαχίαν. Ἢ οὐκ ἴστε πολλοὺς τοῦτο πεπονθότας, καὶ τοῦ συμμάχου πεσόντος, τοῦ προστάτου γυμνωθέντας ἐντεῦθεν μᾶλλον κατενεχθέντας; Καὶ τί λέγω περὶ τῆς ἐπαγγελίας, ὅτι διαχεῖται καὶ ἀπόλλυται, ὅταν καὶ ὁ ταύτης κύριος ὢν μηδὲ αὐτὸς μένῃ; «Ἐπιστρέφει» γάρ, φησίν, «εἰς τὴν γῆν αὐτοῦ». Εἰ δὲ ἐκεῖνος ἀπόλωλε, πολλῷ μᾶλλον καὶ ταῦτα. Διὸ καὶ ἐπήγαγε τό, «Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτοῦ», δεικνὺς ὅτι οὐ μόνον εἰς τέλος οὐχ ἥξει τὰ τῆς ἐπαγγελίας, ἀλλὰ καὶ αὐτὸς οἰχήσεται ὁ ἐπαγγελλόμενος. Τί οὖν ἐντεῦθεν ποιεῖ; Ἐπεὶ τῶν ἀνθρωπίνων ἀπή-

ζεῖ μέσα σὲ πόλη ποὺ κυβερνᾶται ἀπὸ δίκαιους νόμους, δὲν μπορεῖ οὔτε τὸ σῶμα του νὰ σώσει, αὐτὸς δὲ ποὺ συναναστρέφεται ἀνάμεσα σὲ τόσους ἐχθροὺς καὶ νιώθει τόση ἀγωνία θὰ μπορέσει νὰ σώσει ἄλλους; Πῶς αὐτὸς πού, ἐνῶ ἐπικρατεῖ εἰρήνη, νιώθει μεγαλύτερο καὶ χειρότερο φόβο ἀπὸ ἐκείνους ποὺ βρίσκονται στοὺς πολέμους, θὰ καταστήσει ἀσφαλεῖς ἄλλους καὶ θὰ τοὺς σώσει ἀπὸ τοὺς κινδύνους; πολλοὶ δὲ ἐνῶ μποροῦν μόνοι τους νὰ ζοῦν χωρὶς κανένα φόβο, αὐτὸ ἀκριβῶς τὸ πράγμα ἔγινε αἰτία νὰ ὑποστοῦν κακά, τὸ ὅτι στήριξαν τὴν ἐλπίδα τους σὲ τέτοιους ἄρχοντες, καὶ μόλις ἐκεῖνοι ἔπεσαν ἀπὸ τὴν ἐξουσία καὶ αὐτοὶ παρασύρθηκαν στὴν πτώση μαζὶ μ' ἐκείνους· σ' ἄλλους πάλι οἱ φύλακες ἔγιναν προδότες.

'Αλλ' ὅμως ὁ προφήτης, ἀφοῦ παρέβλεψε ὅλα αὐτά, ἐπειδὴ πολλοὶ τὰ διέφυγαν, ἀναφέρει τὸ θάνατο ποὺ δὲν εἶναι δυνατὸ ν' ἀμφισβητηθεῖ. Διότι καὶ ἂν ἀκόμα ὅλα σοῦ ἔρχονται ὅπως τὰ θέλεις, καὶ ἂν ἀκόμα ἔχεις τὴν εὔνοιά του, καὶ ἂν ἀκομα, λέγει, ἀναγνωρίζει χάρι καὶ πρόκειται νὰ τὴν ἀνταποδώσει, τερματίζοντας τὴ ζωή του πρὶν ἀκόμα ἐκπληρώσει τὶς ὑποσχέσεις του, σὲ ἄφησε μὲ χαμένες ἐλπίδες, ἐπειδὴ ἡ ζωή του δὲν ὑπῆρξε ἀρκετὴ γιὰ τὴν ἐκπλήρωση τῶν ὑποσχέσεων. Ὅταν δὲ δὲν ἐπαρκεῖ ἡ ζωή του γιὰ νὰ ἐκπληρώσει τὴν ὑπόσχεσή του, ἀλλὰ τερματίζεται ἡ ζωή του πρὶν ἀπὸ τὴν ἐκπλήρωση αὐτῆς, ὁπωσδήποτε καταφεύγεις σὲ ἀνίσχυρη συμμαχία. Ἢ δὲν γνωρίζετε πολλοὺς ποὺ ἔχουν πάθει αὐτό, οἱ ὁποῖοι, ἐπειδὴ ἔπεσε ὁ σύμμαχός τους καὶ ἀπογυμνώθηκαν ἀπὸ τὸν προστάτη τους, καταστράφηκαν πολὺ περισσότερο ἐξ αἰτίας αὐτοῦ τοῦ πράγματος; Καὶ γιατί ὁμιλῶ γιὰ τὴν ὑπόσχεση, ὅτι ἐξαφανίζεται καὶ χάνεται, ὅταν δὲν μένει οὔτε καὶ αὐτὸς ποὺ δίνει αὐτήν; Διότι, λέγει, «'Επιστρέφει στὴ γῆ ἀπὸ τὴν ὁποία προῆλθε». 'Εὰν δὲ ἐκεῖνος χάθηκε, πολὺ περισσότερο θὰ χαθοῦν καὶ αὐτά. Γι' αὐτὸ καὶ πρόσθεσε τό, «Κατὰ τὴν ἡμέρα ἐκείνη θὰ χαθοῦν ὅλες οἱ σκέψεις αὐτοῦ», γιὰ νὰ δείξει, ὅτι ὄχι μόνο δὲν θὰ πραγματοποιηθεῖ ἡ ὑπόσχεση, ἀλλὰ θὰ ἐξαφανισθεῖ καὶ αὐτὸς ποὺ ἔδωσε τὴν ὑπόσχεση. Τί λοιπὸν κάμνει στὴ συνέχεια; 'Αφοῦ ἀ-

γαγεν ἐλπίδων, δείκνυσι λοιπὸν τὸν ἀσφαλῆ λιμένα καὶ τὸν ἀχείρωτον πύργον, καὶ συμβουλεύει. Οὗτος γὰρ μάλιστα παραινέσεως ἄριστος τρόπος, ἀπάγειν τῶν σαθρῶν, καὶ ἐνάγειν πρὸς τὰ ἰσχυρά· καθαιρεῖν τὰ μάταια, καὶ ἱστᾷν τὰ ἀληθινά· διελέγχειν τὰ ἀπατῶντα, καὶ δεικνύναι τὰ ὠφελοῦντα.

2. «Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ». Εἶδες περιουσίαν συμβουλῆς καὶ παραινέσεως; Ὅταν δὲ μακαρισμὸν εἴπῃ, πάντα λέγει τὰ ἀγαθά, καὶ δείκνυσι τὴν ἀσφάλειαν τῆς ἐλπίδος. Μακαρίσας τοίνυν τὸν ἐλπίζοντα ἐπ᾽ αὐτόν, λέγει λοιπὸν τοῦ βοηθοῦ τὴν δύναμιν, δεικνὺς ὅτι ὁ μὲν ἄνθρωπος, ὁ δὲ Θεός· ὁ μὲν ἀπολλύμενος, ὁ δὲ μένων· οὐκ αὐτὸς δὲ μένων μόνος, ἀλλὰ καὶ τὰ ἔργα αὐτοῦ. Διὸ καὶ οὕτως ἐπήγαγε· «Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς». Εἰ δὲ τὰ ἔργα αὐτοῦ διαρκῆ, πολλῷ μᾶλλον αὐτὸς καὶ διαρκὴς καὶ δυνατός· καὶ ὅτι τοιοῦτος, δείκνυσιν αὐτοῦ τὰ γενόμενα τὴν ἰσχύν. Τί οὖν, εἰ καὶ διαρκής ἐστι καὶ δυνατός, οὐ βούλεται δέ; Πολλοὶ γὰρ τῶν ἀνοήτων ταῦτα λέγουσιν.

Ἀλλ᾽ ὅρα πῶς καὶ ταύτην ἀναιρεῖ τὴν ὑπόνοιαν. Εἰπὼν γάρ, «Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς», ἐπήγαγε· «Τὸν φυλάσσοντα ἀλήθειαν εἰς τὸν αἰῶνα, ποιοῦντα κρίμα τοῖς ἀδικουμένοις». Ὃ δὲ λέγει, τοῦτό ἐστι· τοῦτο αὐτοῦ ἐστιν ἔργον, τοῦτο σύνηθες, τοῦτο μάλιστα Θεοῦ ἴδιον, τὸ μὴ περιορᾷν ἀδικουμένους, τὸ μὴ παρατρέχειν ἐπηρεαζομένους, τὸ χεῖρα ὀρέγειν τοῖς ἐπιβουλευομένοις· καὶ τοῦτο εἰς τὸ διηνεκές. Διὸ καὶ ἔφησεν, «Εἰς τὸν αἰῶνα», τοῦτο

πομάκρυνε ἀπὸ τὶς ἀνθρώπινες ἐλπίδες, δείχνει πλέον τὸν ἀσφαλὴ λιμένα καὶ τὸν ἀκατάλυτο πύργο, καὶ συμβουλεύει. Διότι αὐτὸς πρὸ πάντων εἶναι ὁ ἄριστος τρόπος συμβουλῆς, τὸ ν' ἀπομακρύνει κανεὶς ἀπὸ τὰ ἀνίσχυρα πράγματα, καὶ νὰ ὁδηγεῖ πρὸς τὰ ἰσχυρά· τὸ νὰ ἐξαφανίζει τὰ μάταια, καὶ νὰ στήνει τὰ ἀληθινά· τὸ ν' ἀποδεικνύει σὰν μὴ ὀρθὰ τὰ ψεύτικα πράγματα, καὶ νὰ δείχνει αὐτὰ ποὺ ὠφελοῦν.

2. «Μακάριος εἶναι ἐκεῖνος τοῦ ὁποίου Θεὸς εἶναι ὁ Θεὸς τοῦ Ἰακώβ, καὶ ποὺ ἔχει στηριγμένη τὴν ἐλπίδα του στὸν Κύριο τὸν Θεό του». Εἶδες σὲ ὑπερβολικὸ βαθμὸ συμβουλὴ καὶ παραίνεση; Ὅταν δὲ ὁμιλεῖ γιὰ μακαρισμό, ἐννοεῖ ὅλα τὰ ἀγαθὰ καὶ δείχνει τὴν ἀσφάλεια τῆς ἐλπίδας. Ἀφοῦ μακάρισε λοιπὸν ἐκεῖνον ποὺ ἔχει στηριγμένη τὴν ἐλπίδα του σ' αὐτόν, ἀναφέρει στὴ συνέχεια τὴ δύναμη τοῦ βοηθοῦ, γιὰ νὰ δείξει, ὅτι ἐκεῖνος μὲν εἶναι ἄνθρωπος, ἐνῶ αὐτὸς Θεός· ἐκεῖνος μὲν χάνεται, ἐνῶ αὐτὸς μένει· καὶ δὲν μένει μόνο αὐτός, ἀλλὰ καὶ τὰ ἔργα αὐτοῦ. Γι' αὐτὸ καὶ πρόσθεσε τὰ ἑξῆς· «Ὁ ὁποῖος δημιούργησε τὸν οὐρανὸ καὶ τὴ γῆ, τὴ θάλασσα καὶ ὅλα ὅσα ὑπάρχουν μέσα σ' αὐτά». Ἂν δὲ τὰ ἔργα του εἶναι αἰώνια, πολὺ περισσότερο αὐτὸς ὁ ἴδιος εἶναι καὶ αἰώνιος καὶ δυνατός· καὶ τὸ ὅτι εἶναι τέτοιος, δείχνουν τὴ δύναμή του τὰ ἔργα. Τί λοιπὸν ἐὰν εἶναι μὲν αἰώνιος καὶ δυνατός, δὲν θέλει δέ; Διότι πολλοὶ ἀπὸ τοὺς ἀνόητους τὰ λέγουν αὐτά.

Ἀλλὰ πρόσεχε πῶς ἐξαλείφει καὶ αὐτὴ τὴν ὑπόνοια. Διότι, ἀφοῦ εἶπε, «Ὁ ὁποῖος δημιούργησε τὸν οὐρανὸ καὶ τὴ γῆ, τὴ θάλασσα καὶ ὅλα ὅσα ὑπάρχουν μέσα σ' αὐτά», πρόσθεσε· «Καὶ ὁ ὁποῖος φυλάσσει αἰώνια τὴν ἀλήθεια καὶ ἀποδίδει δικαιοσύνη στοὺς ἀδικουμένους». Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· αὐτὸ εἶναι τὸ ἔργο αὐτοῦ, αὐτὸ συνηθίζει νὰ κάμνει, αὐτὸ πρὸ πάντων εἶναι τὸ γνώρισμα τοῦ Θεοῦ, τὸ νὰ μὴ παραβλέπει τοὺς ἀδικουμένους, τὸ νὰ μὴ παρατρέχει αὐτοὺς ποὺ δοκιμάζονται, τὸ ν' ἁπλώνει χέρι βοήθειας σ' αὐτοὺς ποὺ ἐπιβουλεύονται καὶ αὐτὸ τὸ κάμνει αἰώνια. Γι' αὐτὸ καὶ εἶπε, «Στὸν αἰῶνα», γιὰ νὰ δείξει αὐτό· καὶ δὲν εἶπε μόνο αὐτό, ἀλλὰ καὶ αὐ-

δηλῶν· οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ τὸ ἑξῆς ἐχόμενον· «Διδόντα τροφὴν τοῖς πεινῶσι. Κύριος λύει πεπεδημένους, Κύριος σοφοῖ τυφλούς». Ἄλλος, «Φωτίζει». Κύριος ἀνορθοῖ κατερραγμένους. Κύριος ἀγαπᾷ δικαίους. Κύριος φυλάσσει τοὺς προσηλύτους· ὀρφανὸν καὶ χήραν ἀναλήψεται, καὶ ὁδὸν ἁμαρτωλῶν ἀφανιεῖ». Εἶδες πῶς διὰ πάντων δείκνυσιν αὐτοῦ τὴν πρόνοιαν τεταμένην, καὶ ὅτι τοῦτο ἔργον αὐτῷ, λύειν συμφοράς, λιμὸν διορθοῦσθαι, δεσμῶν ἐλευθεροῦν. Ἀλλὰ ταῦτα μὲν ἐκ μέρους καὶ ἄνθρωποι δύνανται, τὰ δὲ ἑξῆς οὐκέτι. Καὶ γὰρ τῆς φύσεως αὐτῆς τὴν πήρωσιν διορθοῦται, τοὺς πεπτωκότας ἀνιστᾷ, φησί, τοὺς ἐν ἀρετῇ λάμποντας ἐπαινεῖ, τοὺς ἀπροστατεύτους σώζει, τοὺς δι' ὀρφανίαν ἢ χηρείαν δυσχεραίνοντας καὶ ὀδυνωμένους παραμυθεῖται καὶ ἀνακτᾶται.

Εἶτα, ἐπειδὴ εἶπεν, «Ἀγαπᾷ δικαίους», δείκνυσιν ὅτι πολλοῖς καὶ ἀπὸ συμφορᾶς μόνης ἐπήρκεσε. Καὶ γὰρ οὓς διατρέφει, διὰ τὸ πεινῆν τρέφει, ὅπερ οὐκ ἔστιν ἀρετῆς· καὶ τοὺς πεπεδημένους, διὰ τὰ δεσμὰ λύει· οὐδὲ αὐτὸ δὲ ἀρετῆς, ἀλλὰ συμφορᾶς· καὶ τοὺς τυφλοὺς δὲ διὰ τὴν πήρωσιν φωτίζει· οὐδὲ τοῦτο δὲ κατορθώματος, ἀλλὰ καὶ αὐτὸ συμφορᾶς. Ὁμοίως καὶ τὸ κατερράχθαι, καὶ τὸ προσήλυτον εἶναι, καὶ ὀρφανόν, καὶ χήραν. Εἰ δὲ τοὺς ἐν συμφοραῖς, πολλῷ μᾶλλον τοὺς ἀρετῆς ἐπιμελουμένους. Ὅταν οὖν καὶ δύνηται καὶ βούληται, καὶ διαρκῆ τυγχάνῃ τὰ παρ' αὐτῷ πάντα, καὶ ἀρετὴν ἀποδέχηται, καὶ διὰ συμφορὰς ἐλεῇ, τίνος ἕνεκεν οὐκ ἀφίῃς τὸν ἀπολλύμενον, τὸν ἀσθενῆ, τὸν ἐπίκη-

τὸ ποὺ ἀκολουθεῖ στὴ συνέχεια· «Ὁ ὁποῖος δίνει τροφὴ στοὺς πεινασμένους. Ὁ Κύριος ἐλευθερώνει τοὺς ὑποδουλωμένους, ὁ Κύριος δίνει σοφία στοὺς τυφλούς». Ἄλλος λέγει, «Φωτίζει». «Ὁ Κύριος ἀνορθώνει τοὺς κατασυντριμμένους. Ὁ Κύριος ἀγαπᾶ τοὺς δίκαιους. Ὁ Κύριος φυλάσσει τοὺς προσήλυτους· ὀρφανὸ καὶ χήρα θὰ θέσει κάτω ἀπὸ τὴν προστασία του καὶ θὰ ἐξαφανίσει τὴν ὁδὸ τῶν ἁμαρτωλῶν». Εἶδες πῶς μὲ ὅλα δείχνει τὴν ὑπερβολικὴ πρόνοια αὐτοῦ, καὶ αὐτὸ εἶναι τὸ ἔργο αὐτοῦ, τὸ ν' ἀπαλάσσει ἀπὸ τὶς συμφορές, τὸ νὰ παρέχει χορτασμὸ στὴν πείνα, τὸ νὰ ἐλευθερώνει ἀπὸ τὰ δεσμά. Ἀλλ' αὐτὰ μὲν ἐν μέρει μποροῦν καὶ οἱ ἄνθρωποι νὰ τὰ κάνουν, τὰ ἀναφερόμενα στὴ συνέχεια ὅμως ὄχι. Καθόσον διορθώνει καὶ τὴν τύφλωση ἀκόμα τῆς ἀνθρώπινης φύσεως, ἀνορθώνει, λέγει, τοὺς πεσμένους πνευματικά, ἐπαινεῖ ἐκείνους ποὺ διαπρέπουν στὴν ἀρετή, σώζει τοὺς ἀπροστάτευτους, καὶ παρηγορεῖ καὶ παρέχει τὴν ἐνίσχυση καὶ συμπάθειά του πρὸς ἐκείνους ποὺ καταπιέζονται καὶ ὑποφέρουν ἐξ αἰτίας τῆς ὀρφάνιας ἢ τῆς χηρείας.

Ἔπειτα, ἐπειδὴ εἶπε, ὅτι·«Ἀγαπᾶ τοὺς δίκαιους», δείχνει ὅτι σὲ πολλοὺς ὑπῆρξε ἀρκετὴ καὶ μόνο ἡ συμφορά τους γιὰ νὰ τοὺς βοηθήσει. Καθόσον ἐκείνους ποὺ διατρέφει, τοὺς διατρέφει ἐπειδὴ πεινοῦν, πράγμα ποὺ δὲν γίνεται ἐξ αἰτίας τῆς ἀρετῆς τους· καὶ τοὺς ὑποδουλωμένους τοὺς ἐλευθερώνει ἐξ αἰτίας τῆς δουλείας τους· οὔτε καὶ αὐτὸ γίνεται ἐξ αἰτίας τῆς ἀρετῆς τους, ἀλλὰ λόγω τῆς συμφορᾶς τους· καὶ τοὺς τυφλοὺς δὲ τοὺς δίνει τὸ φῶς τους ἐξ αἰτίας τῆς τυφλώσεώς τους· οὔτε καὶ αὐτὸ τὸ κάμνει γιὰ κάποιο κατόρθωμά τους, ἀλλὰ καὶ αὐτὸ τὸ κάμνει ἐξ αἰτίας τῆς συμφορᾶς τους. Γιὰ τὸν ἴδιο λόγο βοηθεῖ καὶ τὸν συντριμμένο, καὶ τὸν προσήλυτο, καὶ τὸν ὀρφανό, καὶ τὴ χήρα. Ἂν δὲ βοηθεῖ αὐτοὺς ποὺ ζοῦν μέσα στὶς συμφορές, πολὺ περισσότερο βοηθεῖ αὐτοὺς ποὺ ἀσκοῦν τὴν ἀρετή. Ὅταν λοιπὸν καὶ μπορεῖ καὶ θέλει, καὶ εἶναι ὅλα ὅσα ἔχουν σχέση μ' αὐτὸν αἰώνια, καὶ ἀποδέχεται τὴν ἀρετὴ καὶ δείχνει τὴν εὐσπλαχνία του πρὸς ἐκείνους ποὺ ἀντιμετωπίζουν συμφορές, γιὰ ποιὸ λόγο δὲν ἀφήνεις ἐκεῖνον ποὺ χάνεται, τὸν ἀνίσχυρο,

ρον, καὶ ἐπὶ τὸν ἰσχυρὸν καὶ ἄμαχον καταφεύγεις, τὸν οὐκ ὀνειδίζοντα τὰς συμφοράς, ἀλλὰ διορθούμενον, τὸν πάντα ὅσα βούλεται δυνάμενον; Σκόπει δὲ καὶ τὸ ἔσχατον πῶς μετὰ ἀκριβείας εἴρηκεν. Οὐ γὰρ εἶπε, 'ἁμαρτωλοὺς ἀφανιεῖ', ἀλλά, «τὴν ὁδὸν αὐτῶν», τουτέστι, τὴν πρᾶξιν αὐτῶν. Οὐ γὰρ τὴν φύσιν ἀποστρέφεται, ἀλλὰ τὴν κακίαν μισεῖ.

«Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν». Εἰ τοίνυν βασιλεύει διὰ παντὸς καὶ μένει διὰ παντός, οὐκ ἔστιν ὑποπτεῦσαι, ἀλλὰ κἂν μὴ ἐνταῦθα δῷ τὴν ἀντίδοσιν, ἐπὶ μείζοσιν αὐτὴν φυλάττει. Μὴ τοίνυν μήτε ἐν πειρασμοῖς θορυβώμεθα καὶ ταραττώμεθα, ἂν μὴ παρὰ πόδας ἡ λύσις γένηται, ἀλλ' αὐτῷ παραχωρῶμεν τὸν καιρὸν τῷ Κυρίῳ τῆς λύσεως· μήτε ἂν ἀγαθόν τι κατορθώσωμεν, εὐθέως ἀπαιτῶμεν τὰς ἀμοιβάς, ἀλλὰ καὶ οὕτω πάλιν ἀναμένωμεν τὸ αὐτοῦ βούλημα· μετὰ γὰρ πλείονος δίδωσι τῆς ἀμοιβῆς, ὅταν ἀναβάλληται· καὶ διὰ πάντων εὐχαριστῶμεν, καὶ μένωμεν αἰνοῦντες. Οὕτω γὰρ καὶ τὸν παρόντα βίον μετὰ πολλῆς βιώσομεν τῆς ἀδείας, καὶ τῶν ἀπορρήτων ἐπιτευξόμεθα ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

τὸν πρόσκαιρο, καὶ δὲν καταφεύγεις στὸν ἰσχυρὸ καὶ ἀκαταμάχητο, ὁ ὁποῖος δὲν χλευάζει τὶς συμφορές, ἀλλὰ τὶς διορθώνει, σ' αὐτὸν ποὺ ὅσα θέλει μπορεῖ νὰ τὰ κάνει; Πρόσεχε δὲ καὶ τὰ τελευταῖα λόγια μὲ πόση ἀκρίβεια τὰ εἶπε. Διότι δὲν εἶπε 'θὰ ἐξαφανίσει τοὺς ἁμαρτωλούς', ἀλλά, «Τὴν ὁδὸ αὐτῶν», δηλαδή, τὰ ἔργα αὐτῶν. Διότι δὲν ἀποστρέφεται τὴ φύση, ἀλλὰ μισεῖ τὴν κακία.

«Θὰ βασιλεύει ὁ Κύριος αἰώνια, ὁ Θεός σου, Σιών, σ' ὅλες τὶς γενεές». Ἂν λοιπὸν βασιλεύει αἰώνια καὶ παραμένει αἰώνια, δὲν πρέπει νὰ ἔχουμε ἀμφιβολίες, ἀλλὰ καὶ ἂν ἀκόμα δὲν μᾶς δώσει ἐδῶ τὴν ἀνταπόδοση, ὅμως μᾶς τὴ φυλάσσει γιὰ μεγαλύτερα ἀγαθά. Ἂς μὴ λοιπὸν θορυβούμαστε οὔτε νὰ ταρασσόμαστε, ἂν ἡ ἀπαλλαγὴ ἀπὸ τὶς συμφορὲς δὲν ἀκολουθεῖ ἀμέσως, ἀλλ' ἂς παραχωροῦμε στὸν Κύριο τὸν καιρὸ τῆς ἀπαλλαγῆς· οὔτε, ἂν κατορθώσουμε κάποιο ἀγαθό, νὰ ζητοῦμε ἀμέσως τὶς ἀμοιβές, ἀλλὰ καὶ ἔτσι πάλι νὰ περιμένουμε νὰ γίνει ὅπως αὐτὸς θέλει· διότι, ὅταν ἀναβάλλει, δίνει μεγαλύτερη ἀμοιβή· καὶ μὲ ὅλα νὰ εὐχαριστοῦμε αὐτὸν καὶ νὰ ἐξακολουθοῦμε νὰ τὸν δοξάζομε. Διότι ἔτσι καὶ τὴ ζωὴ αὐτὴ θὰ τὴ ζήσουμε μὲ μεγάλη ἀφοβία, καὶ θὰ ἐπιτύχουμε τὰ ἀπερίγραπτα ἀγαθά, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη, μαζὶ καὶ στὸν ἄναρχο αὐτοῦ Πατέρα καὶ στὸ ζωοποιό Πνεῦμα, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

Ο Μ Ι Λ Ι Α

ΕΙΣ ΤΟΝ ΡΜS' ΨΑΛΜΟΝ.

«Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθὸν ψαλμός».

1. Ἀνωτέρω ἐν μὲν τῷ τεσσαρακοστῷ τετάρτῳ καὶ ἑκατοστῷ ψαλμῷ ἔλεγε, «Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα», καὶ πολλὰ περὶ τῆς δόξης αὐτοῦ διαλέγεται, ἐνταῦθα δὲ δείκνυσι καὶ αὐτὸ τὸ αἰνεῖν ὅτι καλόν, καὶ μυρίων ἀγαθῶν αἴτιον ὁ ψαλμός. Ἀφίστησι γὰρ τὴν διάνοιαν τῆς γῆς, καὶ πτεροῖ τὴν ψυχήν, κουφίζει καὶ μεταρσίους ποιεῖ. Διὸ καὶ Παῦλος λέγει, «Ἄδοντες καὶ ψάλλοντες ἐν ταῖς καρδίαις ὑμῶν τῷ Κυρίῳ». «Τῷ Θεῷ ἡμῶν ἡδυνθείη αἴνεσις». Ἕτερος, «Ἀλληλούϊα, ὅτι καλὸν ᾠδὴ τῷ Θεῷ». Τί ἐστιν, «Τῷ Θεῷ ἡμῶν ἡδυνθείη αἴνεσις»; Εὐπρόσδεκτος γένοιτο, φησίν. Οὐ γὰρ ἀρκεῖ τὸ ψάλλειν ἁπλῶς πρὸς τὸ ἡδυνθῆναι τῷ Θεῷ τὴν αἴνεσιν, ἀλλὰ δεῖ καὶ τοῦ βίου καὶ τῆς προσευχῆς καὶ τῆς ἀκρίβειας τοῦ ᾄδοντος. Δοκεῖ δέ μοι οὗτος ὁ ψαλμὸς εἶναι τῆς ἐπανόδου. Καὶ δείκνυσι διὰ τῆς ἐπαγωγῆς. Ἐπάγει γὰρ λέγων· «Οἰκοδομῶν Ἰερουσαλὴμ ὁ Κύριος· τὰς διασπορὰς τοῦ Ἰσραὴλ ἐπισυνάξει». Εἰ γὰρ καὶ Κῦρος αὐτοὺς ἀφῆκεν, ἀλλ' οὐ τῆς ἐκείνου γνώμης, ἀλλὰ τῆς τοῦ Θεοῦ ῥοπῆς τὸ πᾶν ἐγίνετο. Ἕτερος δὲ ἑρμηνευτής, ἀντὶ τοῦ, «Οἰκοδομῶν», «Οἰκοδομήσει», «Τὰς δὲ διασποράς», «Τοὺς ἐξωσμένους» εἶπε.

---

* Ὁ ψαλμὸς ἀρχίζει μὲ τὸ «ἀλληλούϊα» καὶ εἶναι ἄγνωστος ὁ συγγραφέας του, ἀποτελεῖ δὲ μὲ τὸν ἑπόμενο ἕνα ἑνιαῖο σύνολο. Ὁ ψαλμωδὸς προσκαλεῖ τοὺς Ἰουδαίους νὰ ἀνυμνήσουν τὴ δύναμη καὶ ἀγαθότητα τοῦ μεγάλου Θεοῦ ποὺ ἀνοικοδομεῖ τὴν Ἰερουσαλὴμ καὶ συγκεντρώνει καὶ πάλι σ' αὐτὴν τὰ τέκνα της. Ὁ Κύριος προνοεῖ γιὰ τὰ πάντα καὶ παρέχει τὴν εὔνοιά του σ' ἐκείνους ποὺ φοβοῦνται αὐτόν. Γράφτηκε στοὺς χρόνους τοῦ Νεαμία, ὅταν ἀνοικοδομοῦνταν ἡ Ἰερουσαλήμ.

ΟΜΙΛΙΑ

ΣΤΟ ΡΜS' ΨΑΛΜΟ*

«Ψάλλετε ὕμνους δοξολογίας στὸν Κύριο, γιατὶ εἶναι ὠφέλιμη ἡ ψαλμωδία».

1. Προηγουμένως στὸν μὲν ἑκατοστὸ τεσσαρακοστὸ τέταρτο ψαλμὸ ἔλεγε, «Μέγας εἶναι ὁ Κύριος καὶ ὑπερβολικὰ ἄξιος νὰ ἐξυμνεῖτε»[1], καὶ πολλὰ λέγει γιὰ τὴ δόξα αὐτοῦ, ἐνῶ ἐδῶ δείχνει ὅτι καὶ αὐτὴ ἡ ἴδια ἡ ἐξύμνηση αὐτοῦ εἶναι καλὸ πράγμα καὶ ὅτι ἡ ψαλμωδία εἶναι αἰτία ἀμέτρητων ἀγαθῶν. Διότι ἀπομακρύνει τὴ σκέψη μας ἀπὸ τὰ γήινα, ἀναπτερώνει τὴν ψυχή μας, καὶ μᾶς ἀνακουφίζει καὶ μᾶς μεταρσιώνει. Γι' αὐτὸ καὶ ὁ Παῦλος λέγει, «Νὰ ἐκπέμπετε πρὸς τὸν Κύριο μὲ τὴν καρδιά σας ὕμνους καὶ ψαλμούς»[2]. «Μακάρι ὁ ὕμνος δοξολογίας μας νὰ γίνει εὐπρόσδεκτος ἀπὸ τὸ Θεό». Ἄλλος λέγει, «Ἀλληλούϊα, διότι εἶναι ὠφέλιμη γιὰ μᾶς ἡ ἐξύμνηση τοῦ Θεοῦ». Τί σημαίνει, «Τῷ Θεῷ ἡμῶν ἡδυνθείη αἴνεσις»; Ἂς γίνει, λέγει, εὐπρόσδεκτη. Διότι δὲν ἀρκεῖ ἁπλῶς τὸ νὰ ψάλλουμε, γιὰ νὰ γίνει ὁ ὕμνος δοξολογίας μας εὐπρόσδεκτος ἀπὸ τὸ Θεό, ἀλλὰ χρειάζεται καὶ ὁ ὀρθὸς τρόπος ζωῆς καὶ ἡ προσευχὴ καὶ ἡ προσοχὴ ἐκείνου ποὺ ψάλλει. Μοῦ φαίνεται δὲ ὅτι αὐτὸς ὁ ψαλμὸς γράφτηκε μετὰ τὴν ἐπιστροφὴ ἀπὸ τὴν αἰχμαλωσία. Καὶ γίνεται φανερὸ ἀπὸ αὐτὸ ποὺ προσθέτει. Διότι λέγει στὴ συνέχεια· «Ὁ Κύριος ἀνοικοδομεῖ τὴν Ἰερουσαλὴμ καὶ θὰ συγκεντρώσει καὶ πάλι σ' αὐτὴν τὰ διασκορπισμένα τέκνα αὐτῆς». Διότι, ἂν καὶ ὁ Κῦρος τοὺς ἄφησε νὰ ἐπιστρέψουν σ' αὐτήν, ὅμως δὲν ἔγινε αὐτὸ ἀπὸ δική του γνώμη, ἀλλ' ὅλα ἔγιναν μὲ τὴ βοήθεια τοῦ Θεοῦ. Ἄλλος δὲ ἑρμηνευτὴς ἀντὶ τοῦ «Οἰκοδομεῖ», λέγει «Θὰ οἰκοδομήσει», καὶ ἀντὶ «τοὺς διασκορπισμένους», λέγει, «τοὺς ἐκτοπισμένους». Γιατί τέλος

---

1. Ψαλμ. 144, 3.
2. Ἐφ. 5, 19.

Τί δή ποτε; Ὅτι οὐκ ἀθρόον ἀνήχθησαν πάντες, ἀλλὰ μετὰ τὴν ἐπάνοδον κατὰ μικρὸν συνήγοντο.

«Ὁ ἰώμενος τοὺς συντετριμμένους τῇ καρδίᾳ καὶ δεσμεύων τὰ συντρίμματα αὐτῶν». Ἄλλος, «Τὰ κατεαγμένα αὐτῶν». Ἐπειδὴ τὴν ἀπὸ τοῦ βίου παρρησίαν οὐκ εἶχεν εἰπεῖν, προβάλλεται πάλιν τὴν συμφοράν, καὶ τὸ τῷ Θεῷ σύνηθες. Ἔργον γὰρ αὐτῷ, τὸ τοὺς τεταπεινωμένους παρακαλεῖν, καὶ ἴδιον αὐτοῦ τοῦτο· ὥσπερ ὅταν λέγῃ καὶ Παῦλος, «Ὁ ζωοποιῶν τοὺς νεκρούς», καὶ πάλιν, «Ὁ καλῶν τὰ μὴ ὄντα, ὡς ὄντα», τὸ ἴδιον αὐτοῦ λέγων ἔργον, οὕτω δὴ καὶ ἐνταῦθα οὗτος, «Ὁ ἰώμενος τοὺς συντετριμμένους, λέγει, δεικνὺς ὅτι κἂν ἀνάξιοι ὦμεν, ἐπειδὴ ἔργον αὐτοῦ ἐσμεν, τὴν πρᾶξιν αὐτοῦ οὐκ ἐγκαταλείψει, τὸ εἰωθὸς αὐτῷ οὐκ ἀφήσει. Οὕτω καὶ Παῦλος, «Ἀλλ' ὁ παρακαλῶν τοὺς ταπεινούς, παρεκάλεσεν ἡμᾶς». Καὶ πάλιν, «Ὁ διδοὺς τοῖς ὀλιγοψύχοις μακροθυμίαν». Καὶ ὁ αὐτὸς οὗτος προφήτης ἀλλαχοῦ, «Καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει». Ὅταν τοίνυν βουληθῇς παρακλήσεως ἀπολαῦσαι, ταπεινοῦ σαυτόν, σύντριψόν σου τὴν διάνοιαν. Τοῦτο μὲν οὖν περὶ τῆς βουλήσεως αὐτοῦ, περὶ τῆς χρηστότητος καὶ τῆς φιλανθρωπίας, ὅτι ἔργον αὐτοῦ τοῦτο, τὸ τοὺς ἐν συμφοραῖς παραμυθεῖσθαι, τὸ δὲ ἑξῆς περὶ τῆς δυνάμεως.

«Ὁ ἀριθμῶν πλήθη ἄστρων»· τουτέστιν, ὁ εἰδώς. Ἐπειδὴ γὰρ περὶ πλήθους ἦν διασπαρέντος ὁ λόγος καὶ οὐδαμοῦ φαινομένου τέως, εἰκότως τοῦτο τὸ ὑπόδειγμα εἰς μέσον ἤγαγε, δεικνὺς διὰ τούτου, ὅτι καὶ τοὺς διεσπαρμένους δυνήσεται συναγαγεῖν. Τούς τε γὰρ συντετριμμένους ἔθος αὐτῷ διορθοῦν καὶ παραμυθεῖσθαι, τά τε ἄπειρα πλήθη τῶν ἀστέρων μετὰ ἀκριβείας ἐπίσταται. Οὐκοῦν καὶ ἡμᾶς, οἷς ἐπηγγείλατο κατὰ τὸ πλῆθος ἐ-

3. Ρωμ. 4, 17.
4. Ρωμ. 4, 17.
5. Β' Κορ. 7, 6.
6. Ἡσ. 57, 15.
7. Ψαλμ. 50, 19.

πάντων; Διότι δὲν ἐπέστρεψαν ὅλοι μαζί, ἀλλὰ συγκεντρώνονταν λίγοι-λίγοι μετὰ τὴν πρώτη ἐπιστροφή.

«Αὐτὸς εἶναι ποὺ ἰατρεύει ἐκείνους ποὺ ἔχουν συντριμμένη καρδιὰ καὶ ἐπανασυνδέει τὰ συντρίμματα αὐτῶν». Ἄλλος λέγει, «Τὰ σπασμένα μέλη τους». Ἐπειδὴ δὲν μποροῦσε νὰ ἀναφέρει τὴν παρρησία ἀπὸ τὸν τρόπο ζωῆς τους, προβάλλει πάλι τὴ συμφορὰ καὶ αὐτὸ ποὺ συνηθίζει νὰ κάμνει ὁ Θεός. Διότι ἔργο αὐτοῦ εἶναι τὸ νὰ παρηγορεῖ τοὺς ταπεινωμένους καὶ αὐτὸ εἶναι χαρακτηριστικὸ γνώρισμα αὐτοῦ· ὅπως ἀκριβῶς καὶ ὁ Παῦλος ὅταν λέγει, «Αὐτὸς εἶναι ἐκεῖνος ποὺ δίνει ζωὴ στοὺς νεκρούς»[3], καὶ πάλι, «Καὶ καλεῖ στὴν ὕπαρξη τὰ ὄντα ποὺ δὲν ὑπάρχουν σὰν νὰ ὑπάρχουν»[4], ἐννοεῖ αὐτὸ τὸ χαρακτηριστικὸ ἔργο αὐτοῦ, ἔτσι λοιπὸν καὶ αὐτὸς ἐδῶ λέγει, «Αὐτὸς εἶναι ποὺ ἰατρεύει τοὺς συντριμμένους», γιὰ νὰ δείξει ὅτι, καὶ ἂν ἀκόμα εἴμαστε ἀνάξιοι ἐπειδὴ εἴμαστε δημιούργημά του, δὲν θὰ ἐγκαταλείψει τὸ ἔργο του, δὲν θὰ ἀφήσει αὐτὸ ποὺ συνηθίζει νὰ κάμνει. Ἔτσι καὶ ὁ Παῦλος λέγει, «Ἀλλ' αὐτὸς ποὺ παρηγορεῖ τοὺς ταπεινούς, μᾶς παρηγόρησε»[5]. Καὶ πάλι, «Αὐτὸς ποὺ ἐνθαρρύνει τοὺς ὀλιγόψυχους»[6]. Καὶ ὁ ἴδιος αὐτὸς ὁ προφήτης σ' ἄλλο μέρος λέγει, «Καρδιὰ γεμάτη ἀπὸ συντριβὴ καὶ ταπείνωση ὁ Θεὸς δὲν θὰ περιφρονήσει»[7]. Ὅταν λοιπὸν θελήσεις ν' ἀπολαύσεις παρηγοριά, ταπείνωσε τὸν ἑαυτό σου, σύντριψε τὴ διάνοιά σου. Αὐτὸ λοιπὸν τὸ εἶπε γιὰ τὴ θέλησή του, γιὰ τὴν ἀγαθότητα καὶ τὴ φιλανθρωπία του, ὅτι δηλαδὴ αὐτὸ εἶναι ἔργο αὐτοῦ, τὸ νὰ παρηγορεῖ αὐτοὺς ποὺ βρίσκονται μέσα στὶς συμφορές, αὐτὸ δὲ ποὺ ἀκολουθεῖ τὸ λέγει γιὰ τὴ δύναμή του.

«Αὐτὸς ποὺ μετρᾶ τὰ πλήθη τῶν ἄστρων»· δηλαδὴ ποὺ τὰ γνωρίζει. Ἐπειδὴ δηλαδὴ ὁ λόγος ἦταν γιὰ πλῆθος ποὺ εἶχε διασκορπισθεῖ καὶ πουθενὰ δὲν φαινόταν προηγουμένως, πολὺ ὀρθὰ ἀνέφερε αὐτὸ τὸ παράδειγμα, γιὰ νὰ δείξει μὲ αὐτό, ὅτι καὶ τοὺς διασκορπισμένους θὰ μπορέσει νὰ τοὺς συγκεντρώσει. Διότι καὶ τοὺς συντριμμένους συνηθίζει νὰ τοὺς βοηθεῖ καὶ νὰ τοὺς παρηγορεῖ, καὶ τὰ ἀμέτρητα πλήθη τῶν ἄστρων γνωρίζει μὲ ἀκρίβεια. Λοιπὸν καὶ ἐμᾶς, στοὺς ὁποίους ὑποσχέθηκε

κείνων ἔσεσθαι, μετὰ ἀκριβείας συνάξει. «Καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν». Ἄλλος, «Τοῖς πᾶσιν ὀνόματα καλῶν». Ἕτερος, «Πάντας αὐτοὺς ὀνομαστὶ καλέσει». Ἡγοῦμαι τοῦτο περὶ τῶν Ἰσραηλιτῶν εἰρῆσθαι, καὶ ταὐτὸ λέγειν τὸν προφήτην, ὅπερ καὶ Ἠσαΐας μετὰ ταῦτα· «Μὴ φοβοῦ, Ἰσραήλ· ἐκ τῶν σκοπιῶν τῆς γῆς ἐκάλεσά σε, καὶ εἶπά σοι, παῖς μοι εἶ». Τί ἐστιν, «Πάντας αὐτοὺς ὀνομαστὶ καλέσει»; Οὐδεὶς αὐτῶν, φησίν, ἀπολεῖται, ἀλλ' ὥσπερ οἱ κατ' ὄνομα καλοῦντες, οὕτω καὶ αὐτὸς μετὰ ἀκριβείας πάντας συνάξει.

«Μέγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ». Ἐπειδὴ πρᾶγμα εἶπε μέγιστον, ὅτι τοσαύτας μυριάδας πανταχοῦ τῆς οἰκουμένης διασπαρείσας ἐπισυνάξει, περὶ τῆς δυνάμεως αὐτοῦ λοιπὸν διαλέγεται, καὶ τοὺς σφόδρα θορυβουμένους τῶν Ἰουδαίων εἰς πίστιν ἄγων». Μὴ ζήτει τοίνυν πῶς καὶ τίνι τρόπῳ· καὶ γὰρ ἡ μεγαλωσύνη αὐτοῦ ἄπειρος. Διὰ τοῦτο ἔλεγε, «Τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας». Ἀλλ' ὥσπερ ἡ μεγαλωσύνη ἄπειρος, οὕτω καὶ ἡ σύνεσις. Διὰ τοῦτο καὶ εἰπών, «Μέγας ὁ Κύριος ἡμῶν», ἐπήγαγε· «Καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός». Καὶ ἡ γνῶσις δὲ αὐτοῦ θαυμαστή· διὸ καὶ ἔλεγεν· «Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ· ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν». Καὶ τὰ κρίματα δὲ αὐτοῦ πάλιν ἀνεξερεύνητα· διὸ καὶ ἔλεγε· «Τὰ κρίματά σου ἄβυσσος πολλή». Ὅταν τοίνυν καὶ μέγας καὶ δυνατὸς ᾖ καὶ συνετός, μὴ περιεργάζου, πῶς ταῦτα ἔσται.

2. «Ἀναλαμβάνων πραεῖς ὁ Κύριος, ταπεινῶν δὲ ἁμαρτωλοὺς ἕως γῆς». Ἵνα γὰρ μὴ λέγωσί τινες τῶν ἀνοήτων, τί πρὸς ἡμᾶς, ὅτι τὰ ἄστρα οἶδε μετὰ ἀκριβείας; λέγει καὶ τὴν ἐπ' ἀνθρώ-

---

8. Ἡσ. 41, 9.
9. Ψαλμ. 144, 3.
10. Ψαλμ. 138, 6.
11. Ψαλμ. 35, 7.

ὅτι θὰ γίνομε ὅσο εἶναι τὸ πλῆθος ἐκείνων, θὰ μᾶς συγκεντρώσει μὲ κάθε φροντίδα. «Καὶ καλεῖ τὸ καθένα ἀπ' αὐτὰ μὲ τὸ ὄνομά του». Ἄλλος λέγει, «Καὶ σ' ὅλα δίνει ὀνόματα». Ἄλλος, «Ὅλους αὐτοὺς θὰ τοὺς καλέσει ὀνομαστικά». Νομίζω ὅτι αὐτὸ ἔχει λεχθεῖ γιὰ τοὺς Ἰσραηλῖτες, καὶ τὸ ἴδιο λέγει ὁ προφήτης, τὸ ὁποῖο ἀργότερα λέγει καὶ ὁ Ἡσαΐας· «Μὴ φοβᾶσαι, Ἰσραήλ· ἀπὸ ὅλα τὰ μέρη τῆς γῆς σὲ κάλεσα καὶ σοῦ εἶπα, υἱός μου εἶσαι»[8]. Τί σημαίνει, «Ὅλους αὐτοὺς θὰ τοὺς καλέσει μὲ τὸ ὄνομά τους»; Κανένας ἀπὸ αὐτούς, λέγει, δὲν θὰ χαθεῖ, ἀλλ', ὅπως ἀκριβῶς ἐκεῖνοι ποὺ καλοῦν τοὺς ἀνθρώπους μὲ τὰ ὀνόματά τους, ἔτσι καὶ αὐτὸς ὅλους θὰ τοὺς συγκεντρώσει μὲ κάθε λεπτομέρεια.

«Μέγας εἶναι ὁ Κύριός μας καὶ μεγάλη ἡ δύναμη αὐτοῦ». Ἐπειδὴ μίλησε γιὰ πάρα πολὺ μεγάλο πράγμα, ὅτι δηλαδὴ τόσες χιλιάδες ἀνθρώπων ποὺ ἔχουν διασκορπισθεῖ σ' ὅλα τὰ μέρη τῆς οἰκουμένης θὰ τοὺς συγκεντρώσει, στὴ συνέχεια πλέον ὁμιλεῖ γιὰ τὴ δύναμή του, καὶ ὁδηγώντας στὴν πίστη ἐκείνους ἀπὸ τοὺς Ἰουδαίους ποὺ ἀνησυχοῦσαν πάρα πολύ. «Καὶ κανένας δὲν μπορεῖ νὰ ὑπολογίσει τὴ σοφία του». Μὴ ζητᾶς λοιπὸν πῶς καὶ μὲ ποιὸ τρόπο· καθόσον ἡ μεγαλωσύνη του εἶναι ἄπειρη. Γι' αὐτὸ ἔλεγε, «Τῆς μεγαλωσύνης αὐτοῦ δὲν ὑπάρχει τέλος»[9]. Ἀλλ' ὅπως ἀκριβῶς εἶναι ἀπέραντη ἡ μεγαλωσύνη του, ἔτσι καὶ ἡ σοφία του. Γι' αὐτὸ καί, ἀφοῦ εἶπε, «Μέγας εἶναι ὁ Κύριός μας», πρόσθεσε· «Καὶ κανένας δὲν μπορεῖ νὰ ὑπολογίσει τὴ σοφία του». Καὶ ἡ γνώση του δὲ εἶναι θαυμαστή· γι' αὐτὸ καὶ ἔλεγε· «Μοῦ προκαλεῖ τὸν θαυμασμὸ ἡ γνώση σου· εἶναι κραταιά, δὲν μπορῶ νὰ τὴν κατανοήσω»[10]. Καὶ οἱ κρίσεις του πάλι εἶναι ἀνεξερεύνητες· γι' αὐτὸ καὶ ἔλεγε· «Οἱ κρίσεις σου εἶναι ἀπέραντη ἄβυσσος»[11]. Ὅταν λοιπὸν αὐτὸς καὶ μέγας εἶναι καὶ δυνατὸς καὶ σοφός, μὴ ἐξετάζεις μὲ περιέργεια, πῶς μποροῦν αὐτὰ νὰ συμβοῦν.

2. «Θέτει κάτω ἀπὸ τὴν προστασία του τοὺς πράους ὁ Κύριος καὶ ταπεινώνει τοὺς ἁμαρτωλοὺς μέχρι τὸ ἔδαφος». Γιὰ νὰ μὴ λέγουν δηλαδὴ μερικοὶ ἀπὸ τοὺς ἀνόητους, τί μᾶς ἐνδια-

πων κηδεμονίαν οὕτω γενομένην· Καὶ οὐκ εἶπε, 'βοηθῶν πραέσιν ὁ Κύριος', ἀλλ' ὃ πολλῷ μεῖζον, «Ἀναλαμβάνων», ὡς περὶ πατρὸς φιλοστόργου διαλεγόμενος. Τί δέ ἐστιν «Ἀναλαμβάνων»; Ἀνακτώμενος, φέρων, διαβαστάζων. Εἶδες πάλιν ἐφ' ἑκάτερα τὴν δύναμιν αὐτοῦ ἀπηρτισμένην, ἐπί τε τὸ αἴρειν τοὺς ταπεινούς, καὶ ταπεινοῦν τοὺς ἀπονενοημένους; Οὐχ ἁπλῶς δὲ ταπεινοῖ, ἀλλὰ καὶ μετὰ πολλῆς τῆς ὑπερβολῆς· τοῦτο γάρ ἐστι τό, «Ἕως γῆς».

«Ἐξάρξατε τῷ Κυρίῳ ἐν ἐξομολογήσει». Ἄλλος, «Καταλέξατε». Εἰπὼν αὐτοῦ τὰ κατορθώματα, πάλιν ἐπὶ τὸν ὕμνον αὐτοὺς καλεῖ, λέγων· «Ἐξάρξατε τῷ Κυρίῳ ἐν ἐξομολογήσει· τουτέστιν, ἐν εὐχαριστίᾳ, μετὰ πολλῆς τῆς σπουδῆς. «Ψάλατε τῷ Θεῷ ἡμῶν ἐν κιθάρᾳ». Ἄλλος, «Διὰ λύρας». «Τῷ περιβάλλοντι τὸν οὐρανὸν ἐν νεφέλαις, τῷ ἑτοιμάζοντι τῇ γῇ ὑετόν». Ἵνα μή τις τῶν ἀναισθήτων λέγῃ, καὶ τί πρὸς ἐμὲ τὰ οὐράνια; ἐπήγαγεν εὐθέως τὴν χρείαν τὴν ἀνθρωπίνην, δεικνὺς διὰ τῆς ἐπαγωγῆς, καὶ τίνος ἕνεκεν περιβάλλει τὸν οὐρανὸν ἐν νεφέλαις. Διὰ σέ, φησίν, ἵνα σοι παρασκευάζῃ ὑετόν. Καὶ ὑετὸς διὰ σέ, ἵνα ἐκβάλλῃ χόρτον. Καὶ ὅρα σοφίαν· λέγει τὰ καθολικὰ ἀγαθὰ ἃ πᾶσιν ἔδωκεν, ἐπιστομίζων αὐτοὺς ἐκ περιουσίας. Εἰ γὰρ ἐπὶ τῶν ἀπίστων τοσαύτῃ κέχρηται τῇ δαψιλείᾳ, ὥστε καὶ νέφη συνάγειν, καὶ ὑετὸν κινεῖν, καὶ γῆν διεγείρειν, πολλῷ μᾶλλον ὑμῖν, οἳ αὐτῷ λαὸς περιούσιος ἐχρηματίσατε.

«Τῷ ἐξανατέλλοντι ἐν ὄρεσι χόρτον». Ὅρα περιουσίαν τῆς προνοίας, ὅταν μὴ μόνον ἐν ἀροσίμῃ γῇ, ἀλλὰ καὶ ἐν τοῖς ὄρεσι δαψιλῆ αὐτοῦ παρέχῃ τὴν τράπεζαν, τὴν διατροφὴν τῶν κτηνῶν τῶν πρὸς ὑπηρεσίαν τῶν ἀνθρώπων γεγενημένων. Διὸ καὶ

φέρει ἐμᾶς, τὸ ὅτι γνωρίζει τὰ ἄστρα μὲ λεπτομέρεια; ἀναφέρει καὶ τὴ φροντίδα του πρὸς τοὺς ἀνθρώπους ποὺ γίνεται μ' αὐτὸν τὸν τρόπο. Καὶ δὲν εἶπε, 'ὅτι βοηθεῖ ὁ Κύριος τοὺς πράους', ἀλλ' αὐτὸ ποὺ εἶναι σπουδαιότερο, «Θέτει κάτω ἀπὸ τὴν προστασία του», μιλώντας σὰν γιὰ φιλόστοργο πατέρα. Τί σημαίνει δὲ «'Αναλαμβάνων»; 'Ενδυναμώνει, καθοδηγεῖ, ὑποστηρίζει. Εἶδες πάλι τὴ δύναμή του ποὺ συμπεριλαμβάνει καὶ τὰ δύο, καὶ τὴν ἀνύψωση τῶν ταπεινῶν καὶ τὴν ταπείνωση τῶν ὑπερήφανων; Ὄχι ἁπλῶς δὲ τοὺς ταπεινώνει, ἀλλὰ καὶ μὲ ὑπερβολικὸ τρόπο· διότι αὐτὸ σημαίνει τό, «Ἕως γῆς».

«'Αρχίσατε νὰ ἐξυμνεῖτε τὸν Κύριο». Ἄλλος λέγει, «'Απαγγείλατε». 'Αφοῦ ἀνέφερε τὰ κατορθώματα αὐτοῦ, πάλι προσκαλεῖ αὐτοὺς στὴν ἐξύμνηση αὐτοῦ, λέγοντας· «'Αρχίσατε νὰ ἐξυμνεῖτε τὸν Κύριο», δηλαδή, μὲ εὐχαριστία, μὲ μεγάλη προθυμία. «Ψάλατε ὕμνους πρὸς τὸ Θεό μας μὲ τὴ συνοδία κιθάρας». Ἄλλος λέγει, «Μὲ τὴ συνοδεία λύρας». «Πρὸς αὐτὸν ποὺ περιβάλλει τὸν οὐρανὸ μὲ σύννεφα καὶ προετοιμάζει τὴ βροχὴ γιὰ τὸ πότισμα τῆς γῆς». Γιὰ νὰ μὴ λέγει κάποιος ἀπὸ τοὺς ἀναίσθητους, καὶ τί μ' ἐνδιαφέρουν ἐμένα τὰ οὐράνια; πρόσθεσε ἀμέσως τὴν ἀνθρώπινη ἀνάγκη, γιὰ νὰ δείξει μὲ αὐτὸ ποὺ προσθέτει καὶ γιὰ ποιὸ λόγο περιβάλλει τὸν οὐρανὸ μὲ σύννεφα. Γιὰ σένα, λέγει, γιὰ νὰ σοῦ προετοιμάζει τὴ βροχή. Καὶ ἡ βροχὴ γιὰ σένα πέφτει, γιὰ νὰ βγάζει χόρτο ἡ γῆ. Καὶ πρόσεχε σοφία· ἀναφέρει τὰ γενικὰ ἀγαθὰ ποὺ ἔδωσε πρὸς ὅλους, ἀποστομώνοντας αὐτοὺς ὑπερβολικά. Διότι, ἐὰν παρέχει μὲ τόση ἀφθονία τὰ ἀγαθά του πρὸς τοὺς ἄπιστους, ὥστε καὶ σύννεφα νὰ συγκεντρώνει, καὶ βροχὴ νὰ ρίχνει, καὶ τὴ γῆ νὰ τὴν κάνει νὰ βλαστάνει, πολὺ περισσότερο ἐσᾶς, ποὺ ὑπήρξατε λαὸς ἐκλετὸς αὐτοῦ.

«Σ' αὐτὸν ποὺ κάμνει τὰ ὄρη νὰ βλαστάνουν χόρτο». Πρόσεχε τὸ ὑπερβολικὸ μέγεθος τῆς πρόνοιάς του, ὅταν παρέχει τὴν πλούσια τράπεζά του ὄχι μόνο στὴν καλλιεργήσιμη γῆ, ἀλλὰ καὶ στὰ ὄρη, ποὺ παρέχουν τὴ διατροφὴ στὰ ζῶα ποὺ ἔχουν γίνει γιὰ νὰ ὑπηρετοῦν τοὺς ἀνθρώπους. Γι' αὐτὸ καὶ προσθέτει·

ἐπάγει· «Διδόντι τοῖς κτήνεσι τροφὴν αὐτῶν, καὶ τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν». Ἑτέραν πάλιν λέγει φιλοτιμίαν, ὅταν μὴ μόνον τοῖς ὑπηρετουμένοις ἀνθρώποις κτήνεσι τροφὴν παρέχῃ, ἀλλὰ καὶ ἑτέροις ἀλόγοις· «Καὶ τοῖς νεοσσοῖς» γάρ, φησί, «τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν». Εἰ δὲ ἐν τοῖς ἀλόγοις, καὶ ἀλόγοις ἀγρίοις καὶ οὐ παρέχουσιν ἀνθρώποις διακονίαν, τοσαύτη ἡ πρόνοια, πολλῷ μᾶλλον ἐν ἀνθρώποις, καὶ ἀνθρώποις ὑμνοῦσιν, οὓς καὶ λαὸν περιούσιον καὶ μερίδα αὐτοῦ ἐκάλεσεν.

Εἶτα ἐπειδὴ ἀσθενεῖς ἦσαν καὶ ὅπλων ἔρημοι, καὶ πάντων γεγυμνωμένοι, ἵνα μηδὲ ἐντεῦθεν θορυβῶνται, ὅρα πῶς καὶ ταύτην αὐτῶν διορθοῦται τὴν ἀσθένειαν, λέγων· «Οὐκ ἐν τῇ δυναστείᾳ τοῦ ἵππου θελήσει, οὐδὲ ἐν ταῖς κνήμαις τοῦ ἀνδρὸς εὐδοκεῖ. Εὐδοκεῖ Κύριος ἐν τοῖς φοβουμένοις αὐτόν, καὶ ἐν τοῖς ἐλπίζουσιν ἐπὶ τὸ ἔλεος αὐτοῦ». Ἕτερος, «Τοῖς ἀναμένουσι τὸ ἔλεος αὐτοῦ». Ἂν ταῦτα ἔχητε, φησί, τὸν φόβον καὶ τὴν ἐλπίδα τὴν εἰς αὐτὸν μετὰ ἀκριβείας, ἐπισπάσεσθε αὐτοῦ τὴν εὔνοιαν· ἐπισπασάμενοι δέ, πάντων τῶν ἵππους καὶ ὅπλα ἐχόντων ἔσεσθε δυνατώτεροι.

Ἓν τοίνυν ἐστὶ τὸ ζητούμενον, ὥστε μὴ ἀσχάλλειν, μηδὲ θορυβεῖσθαι, ἀλλ' ἀναμένειν τὸ ἔλεος αὐτοῦ· τοῦτο γὰρ μάλιστα ἐλπίς, τὸ καὶ παραυτίκα μὴ λαβόντας μὴ ἀπογινώσκειν, μηδὲ ἀπαγορεύειν. Καὶ καλῶς εἶπε, «Τὸ ἔλεος αὐτοῦ». Οὐδὲ γὰρ εἶχον τὴν ἀπὸ τῶν ἔργων παρρησίαν. Ἀλλ' ὅμως, φησί, κἂν ἀπὸ τῶν ἔργων ἦτε προδεδομένοι, ἐλπίζητε δὲ ἐπὶ τὸν ἔλεον αὐτοῦ, τεύξεσθε τῆς προνοίας καὶ τῆς βοηθείας αὐτοῦ, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

«Σ' αὐτὸν ποὺ δίνει τὴν τροφὴ στὰ κτήνη καὶ στοὺς νεοσσοὺς τῶν κοράκων ποὺ ζητοῦν τὴ βοήθειά του». Ἄλλη πάλι γενναιοδωρία αὐτοῦ ἀναφέρει, τὴ στιγμὴ ποὺ παρέχει τροφὴ ὄχι μόνο στὰ κτήνη ποὺ ὑπηρετοῦν τοὺς ἀνθρώπους, ἀλλὰ καὶ σ' ἄλλα ἄλογα· διότι λέγει, «Καὶ στοὺς νεοσσοὺς τῶν κοράκων, ποὺ ζητοῦν τὴ βοήθειά του». Ἂν δὲ εἶναι τόσο μεγάλη ἡ πρόνοιά του πρὸς τὰ ἄλογα ζῶα καὶ μάλιστα πρὸς τὰ ἄλογα ἄγρια ζῶα καὶ ποὺ δὲν παρέχουν ὑπηρεσία στοὺς ἀνθρώπους, πολὺ περισσότερο θὰ παράσχει αὐτὴν πρὸς τοὺς ἀνθρώπους, καὶ μάλιστα πρὸς τοὺς ἀνθρώπους ποὺ τὸν ἐξυμνοῦν, τοὺς ὁποίους καὶ κάλεσε λαό του περιούσιο καὶ μερίδα του.

Ἔπειτα, ἐπειδὴ ἦταν ἀνίσχυροι καὶ χωρὶς ὅπλα καὶ ἀπογυμνωμένοι ἀπὸ ὅλα, γιὰ νὰ μὴ νιώθουν ἐξ αἰτίας αὐτοῦ καμιὰ ἀνησυχία, πρόσεχε πῶς διορθώνει καὶ αὐτὴ τὴν ἀδυναμία τους, λέγοντας· «Δὲν θὰ νιώσει εὐχαρίστηση μὲ τὸ ἰσχυρὸ ἱππικό, οὔτε θὰ εὐαρεστηθεῖ μὲ τὰ εὐκίνητα πόδια τοῦ πολεμιστῆ ἄνδρα. Νιώθει εὐχαρίστηση ὁ Κύριος ἀπὸ ἐκείνους ποὺ τὸν σέβονται καὶ ἀπὸ ἐκείνους ποὺ στηρίζουν τὴν ἐλπίδα τους στὴν εὐσπλαχνία αὐτοῦ». Ἄλλος λέγει, «Ἀπὸ ἐκείνους ποὺ προσμένουν τὴν εὐσπλαχνία του». Ἄν, λέγει, ἔχετε αὐτά, τὸ φόβο δηλαδὴ καὶ τὴν πρέπουσα ἐλπίδα πρὸς αὐτόν, θ' ἀποσπάσετε τὴν εὔνοιά του, ἀφοῦ δὲ τὴν ἀποσπάσετε, θὰ γίνετε ἰσχυρότεροι ἀπὸ ὅλους ἐκείνους ποὺ ἔχουν ἵππους καὶ ὅπλα.

Ἕνα λοιπὸν εἶναι ἐκεῖνο ποὺ ζητεῖται, τὸ νὰ μὴ στενοχωρεῖσθε, τὸ νὰ μὴ ἀνησυχεῖτε, ἀλλὰ νὰ περιμένετε τὴν εὐσπλαχνία αὐτοῦ· διότι αὐτὸ πρὸ πάντων εἶναι ἐλπίδα, τὸ νὰ μὴ ἀπογοητεύεται κανένας ἂν δὲν λαμβάνει ἀμέσως αὐτὸ ποὺ ζητᾶ, οὔτε ν' ἀπελπίζεται. Καὶ ὀρθὰ εἶπε, «Τὸ ἔλεος αὐτοῦ». Διότι δὲν εἶχαν τὴν παρρησία ποὺ πηγάζει ἀπὸ τὰ ἔργα. Ὅμως, λέγει, καὶ ἂν ἀκόμα εἶστε προδομένοι ἀπὸ τὰ ἔργα σας, ἀλλ' ἐλπίζετε στὸ ἔλεος αὐτοῦ, θὰ ἐπιτύχετε τὴν πρόνοια καὶ τὴ βοήθεια αὐτοῦ, τὰ ὁποῖα εὔχομαι ὅλοι μας νὰ ἐπιτύχουμε, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη αἰώνια. Ἀμήν.

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟΝ ΡΜΖ'. ΨΑΛΜΟΝ.

«Ἐπαίνει, Ἰερουσαλήμ, τὸν Κύριον, αἴνει τὸν Θεόν σου, Σιών».

1. Οὐ πρὸς τὴν πόλιν, ἀλλὰ πρὸς τοὺς ἐνοικοῦντας ἀποτείνει τὸν λόγον, ὃ διὰ παντὸς τοῦ βιβλίου ποιεῖ, τοῦτο καὶ ἐνταῦθα ποιῶν. Παραινεῖ δὲ συνεχῶς καὶ συμβουλεύει, ὥστε τὰς ὑπὲρ τῶν εὐεργεσιῶν εὐχαριστίας ἀναφέρειν τῷ Θεῷ, καὶ μήτε οἰκοδομήμασι, μήτε ἀσφαλείᾳ περιβόλων, ἀλλὰ τῇ αὐτοῦ προνοίᾳ θαρρεῖν. Τοῦτο δὴ προκατασκευάσας, ἐπάγει, καὶ λέγει· «Ὅτι ἐνίσχυσε τοὺς μοχλοὺς τῶν πυλῶν σου, εὐλόγησε τοὺς υἱούς σου ἐν σοί». Τί ἐστι, «Τοὺς μοχλοὺς ἐνίσχυσεν»; Ἐν ἀσφαλείᾳ σε, φησί, κατέστησεν, ἀχείρωτον ἐποίησεν. «Εὐλόγησε τοὺς υἱούς σου», τουτέστιν, εἰς πλῆθος ἐπιδοῦναι ἐποίησεν. Ἓν μὲν τοῦτο εἶδος εὐεργεσίας· ἕτερον δὲ τὸ καὶ «Ἐν σοί». Ὃ τοίνυν λέγει, τοῦτό ἐστιν· οὐ διεσπαρμένους, οὐδὲ διεσκορπισμένους, ἀλλὰ συναχθέντας, καὶ ἐν σοὶ ὄντας ἐπιδοῦναι ἐποίησεν. Εἶτα καὶ ἄλλο προνοίας εἶδος δεικνὺς λέγει· «Ὁ τιθεὶς τὰ ὅριά σου εἰρήνην». Ἔστι γὰρ καὶ ἐν ἀσφαλείᾳ εἶναι, καὶ πολλοὺς εἶναι, καὶ πολεμεῖσθαι, ἀλλ' ἐνταῦθα καὶ ταύτης ἀπηλλαγμένους δείκνυσι τῆς ἐπιβουλῆς, τῷ οὕτως εἰπεῖν, καὶ δεῖξαι οὐ τὴν πόλιν μόνον ἀπαλλαγεῖσαν τῶν ἐπιβουλευόντων, ἀλλὰ καὶ αὐτὰς τὰς ἐσχατιάς.

Εἶδες πόσας εὐεργεσίας ἀπαριθμεῖ; Καὶ πρώτην καὶ μείζονα

* Ὁ ψαλμὸς αὐτὸς ποὺ ἀρχίζει μὲ τὸ «ἀλληλούϊα», ἀποτελεῖ τὸ β' μέρος τοῦ ἑνιαίου σύνολου ποὺ ἀποτελοῦν αὐτὸς μὲ τὸν προηγούμενο ψαλμό. Ὁ ψαλμωδός, ἄγνωστος ποιός, καλεῖ τὴν Ἰερουσαλὴμ νὰ ὑμνήσει τὸν Κύριο γιὰ τὴν

ΟΜΙΛΙΑ

ΣΤΟ ΡΜΖ' ΨΑΛΜΟ*

«Πρόσφερε δοξολογία, Ἰερουσαλήμ, στὸν Κύριο, πρόσφερε ὕμνο στὸ Θεό σου, Σιών».

1. Τὸ λόγο αὐτὸ δὲν τὸν ἀπευθύνει πρὸς τὴν πόλη, ἀλλὰ πρὸς τοὺς κατοίκους της, καὶ ἐκεῖνο ποὺ κάμνει μὲ ὅλο τὸ βιβλίο τῶν ψαλμῶν, αὐτὸ κάμνει καὶ ἐδῶ. Δίνει δηλαδὴ συνέχεια παραινέσεις καὶ συμβουλές, ὥστε νὰ εὐχαριστοῦμε τὸ Θεὸ γιὰ τὶς εὐεργεσίες του, καὶ νὰ στηρίζουμε τὶς ἐλπίδες μας ὄχι στὰ οἰκοδομήματα, οὔτε στὴν ἀσφάλεια τῶν τειχῶν, ἀλλὰ στὴν πρόνοια τοῦ Θεοῦ. Ἀφοῦ λοιπὸν προετοίμασε αὐτό, προσθέτει καὶ λέγει· «Διότι ἐνίσχυσε τοὺς μοχλοὺς τῶν πυλῶν σου, εὐλόγησε τοὺς υἱούς σου γιὰ χάρη σου». Τί σημαίνει, «Τοὺς μοχλοὺς ἐνίσχυσε»; Σοῦ χάρισε, λέγει, ἀσφάλεια, σὲ κατέστησε ἀκατανίκητη. «Εὐλόγησε τοὺς υἱούς σου», δηλαδὴ αὔξησε σὲ μεγάλο πλῆθος αὐτούς. Ἕνα μὲν εἶδος εὐεργεσίας εἶναι αὐτό, ἄλλο δὲ εἶναι τὸ «νὰ εἶναι αὐτοὶ κοντά σου». Αὐτὸ δηλαδὴ ποὺ λέγει, σημαίνει τὸ ἑξῆς· Δὲν τοὺς ἄφησε διασπαρμένους, οὔτε διασκορπισμένους, ἀλλὰ τοὺς συγκέντρωσε καὶ βοήθησε νὰ εἶναι κοντά σου καὶ νὰ προοδεύουν. Ἔπειτα, γιὰ νὰ δείξει καὶ ἄλλο εἶδος πρόνοιας, λέγει· «Αὐτὸς ποὺ ἐξασφάλισε εἰρήνη στὰ σύνορά σου». Διότι εἶναι δυνατὸ καὶ ἀσφαλεῖς νὰ εἶναι καὶ πολλοὶ νὰ εἶναι καὶ νὰ πολεμοῦνται, ἀλλ' ἐδῶ δείχνει ὅτι εἶναι ἀπαλλαγμένοι καὶ ἀπ' αὐτὴν τὴν ἐπιβουλή, μὲ τὸ νὰ μιλήσει ἔτσι καὶ νὰ δείξει ὅτι ὄχι μόνο ἡ πόλη ἀπαλλάχτηκε ἀπὸ ἐκείνους ποὺ τὴν ἐπιβουλεύονται, ἀλλὰ καὶ τὰ πιὸ ἀπομακρυσμένα μέρη της.

Εἶδες πόσες εὐεργεσίες ἀπαριθμεῖ; Καὶ πρώτη καὶ μεγαλύ-

προστασία του πρὸς αὐτήν, ποὺ εἶναι ἰσχυρὴ καὶ ἀκαταγώνιστη. Γράφτηκε στοὺς χρόνους τοῦ Νεαμία.

πάντων, τῷ εἰπεῖν, «Τὸν Θεόν σου». Διὰ γὰρ τοῦ ῥήματος τούτου πάντα ταῦτα λέγει, ὅτι ᾠκειώσατό σε, ὅτι κληρονόμον σε ἐποίησεν ἑαυτοῦ, ὅτι κοινὸς ὢν ἁπάντων Δεσπότης, ἐξαιρέτως σός ἐστιν· ὅπερ κεφάλαιον πρῶτον τῶν ἀγαθῶν. Δεύτερον, ὅτι ἐν ἀσφαλείᾳ τὴν πόλιν κατέστησε. Τρίτον, ὅτι πολλοὺς αὐτοὺς εἶναι ἐποίησε. Τέταρτον, ὅτι πολέμων ἀπήλλαξε καὶ ταραχῆς οὐχὶ τὴν πόλιν μόνην, ἀλλὰ καὶ τὸ ἔθνος ἅπαν· ὅτι οὐχ ἑνὶ καιρῷ καὶ δευτέρῳ καὶ τρίτῳ, ἀλλὰ διηνεκῶς τοῦτο ἐποίει· οὐ γὰρ εἶπεν, 'ὁ θείς', ἀλλ', «Ὁ τιθείς». Εἰ δέ ποτε καὶ πόλεμοι συνέβαινον, οὐκ αὐτοῦ ἐγκαταλιμπάνοντος, ἀλλ' αὐτῶν ἀποπηδώντων· ὡς τό γε αὐτοῦ ἔργον τοῦτο ἦν διηνεκές, τὸ τειχίζειν, τὸ ἀσφαλίζεσθαι, τὸ ποιεῖν ἀπηλλάχθαι πάσης ταραχῆς καὶ πολέμου. Εἶτα καὶ ἑτέραν μετ' ἐκείνης λέγει εὐεργεσίαν, τὴν εὐετηρίαν καὶ εὐθηνίαν τῶν ἀπὸ γῆς καρπῶν, πάλιν καὶ ἐνταῦθα παιδεύων αὐτοὺς μὴ τῇ γῇ, μηδὲ τῇ φύσει τῶν ἀέρων, ἀλλὰ τῇ αὐτοῦ προνοίᾳ τὸ πᾶν λογίζεσθαι. Ποίαν δὲ ταύτην; Ἣν ἐπήγαγε λέγων, «Καὶ στέαρ πυροῦ ἐμπιπλῶν σε». Ὅρα· οὐκ εἶπεν ἁπλῶς, πυρόν, ἀλλά, «Στέαρ πυροῦ», πολλὴν ἐνδεικνύμενος τὴν εὐημερίαν. «Στέαρ γὰρ πυροῦ» τὸ λιπαρὸν τοῦ καρποῦ δηλοῖ. Τοιαῦτα γὰρ τοῦ Θεοῦ τὰ δῶρα, δόκιμα καὶ εὐθαλῆ. Τὸν κάλλιστον οὖν πυρὸν ἐνταῦθα λέγει ἐμπιπλᾶν μετὰ δαψιλείας. Τοῦτο γὰρ δηλῶν οὐκ εἶπε, 'διδούς', ἀλλ', «Ἐμπιπλῶν σε».

«Ὁ ἀποστέλλων τὸ λόγιον αὐτοῦ τῇ γῇ». Ὅπερ αὐτῷ σύνηθές ἐστιν ἀπὸ τῶν ἰδικῶν ἐπὶ τὰ κοινὰ μεταφέρειν τὸν λόγον, καὶ πάλιν ἀπὸ τῶν κοινῶν ἐπὶ τὰ ἰδιάζοντα, τοῦτο καὶ ἐνταῦθα ποιεῖ. Ἐπειδὴ γὰρ εἶπεν, «Αἴνει τὸν Θεόν σου», ἵνα μή τις τῶν ἀνοήτων νομίσῃ τῶν Ἰουδαίων μόνων Θεὸν εἶναι, δείκνυσι πῶς κοινὸς τῆς οἰκουμένης ἐστί, καὶ πανταχοῦ τῆς γῆς ἡ πρόνοια αὐτοῦ τέταται, ἀπὸ τῶν ἰδιαζόντων ἐπὶ τὸ κοινὸν ἐξάγων τὸν λόγον καὶ τὴν καθόλου πρόνοιαν. Διὸ καὶ εἰπών, «Ὁ ἀποστέλλων τὸ

τερη ἀπὸ ὅλες, τὸ νὰ πεῖ, «Τὸ Θεό σου». Διότι μὲ τὸ λόγο αὐτὸ ἐννοεῖ ὅλα αὐτά, ὅτι σὲ ἔκανε υἱό του, ὅτι σὲ ἔκανε κληρονόμο του, ὅτι, ἐνῶ εἶναι Κύριος ὅλων, εἶναι ἰδιαίτερα δικός σου, πράγμα ποὺ εἶναι τὸ ἀποκορύφωμα ὅλων τῶν ἀγαθῶν. Δεύτερο, ὅτι κατέστησε σὲ ἀσφάλεια τὴν πόλη. Τρίτο, ὅτι τοὺς αὔξησε. Τέταρτο, ὅτι ἀπάλλαξε ἀπὸ πολέμους καὶ ταραχὲς ὄχι μόνο τὴν πόλη, ἀλλὰ καὶ ὁλόκληρο τὸ ἔθνος· καὶ δὲν τὸ ἔκαμε αὐτὸ γιὰ μιὰ καὶ δυὸ καὶ τρεῖς φορές, ἀλλὰ συνέχεια τὸ ἔκαμνε· διότι δὲν εἶπε, 'αὐτὸς ποὺ ἔθεσε', ἀλλ' «αὐτὸς ποὺ θέτει». Ἂν ὅμως κάποτε συνέβαιναν καὶ πόλεμοι, δὲν τοὺς ἐγκατέλειπε αὐτός, ἀλλ' αὐτοὶ ἀπομακρύνονταν ἀπὸ κοντά του· διότι βέβαια τὸ δικό του ἔργο αὐτὸ ἦταν συνέχεια, τὸ νὰ τοὺς περιφρουρεῖ, τὸ νὰ τοὺς προσφέρει ἀσφάλεια, τὸ νὰ τοὺς ἀπαλλάσσει ἀπὸ κάθε ταραχὴ καὶ πόλεμο. Ἔπειτα ἀναφέρει μαζὶ μὲ ἐκείνη καὶ ἄλλη εὐεργεσία, τὴν εὐφορία καὶ τὴν ἀφθονία τῶν καρπῶν τῆς γῆς, διδάσκοντας πάλι αὐτοὺς μὲ αὐτὸ νὰ μὴ ἀποδίδουν τὸ πᾶν στὴ γῆ, οὔτε στὴ φύση τῶν ἀέρων, ἀλλὰ στὴν πρόνοια αὐτοῦ. Ποιὰ δὲ πρόνοια ἐννοεῖ; Ἐκείνη ποὺ πρόσθεσε στὴ συνέχεια, λέγοντας, «Καὶ σὲ χορταίνει μὲ ἐκλεκτὸ σιτάρι». Πρόσεχε· δὲν εἶπε ἁπλῶς, σιτάρι, ἀλλ' 'ἐκλεκτὸ σιτάρι», γιὰ νὰ δείξει μεγάλη εὐημερία. Καθόσον μὲ τὸ «στέαρ πυροῦ», δηλώνει τὸ λιπαρὸ τοῦ καρποῦ. Διότι τέτοια εἶναι τὰ δῶρα τοῦ Θεοῦ, ἐξαιρετικὰ καὶ ἄφθονα. Μὲ τὸ πιὸ καλύτερο λοιπὸν σιτάρι λέγει ἐδῶ ὅτι τὴν χορταίνει καὶ μὲ ἀφθονία. Αὐτὸ λοιπὸν γιὰ νὰ δηλώσει, δὲν εἶπε, 'σοῦ δίνει', ἀλλά, «Σὲ χορταίνει».

«Αὐτὸς ποὺ ἀποστέλλει τὴν προσταγή του στὴ γῆ». Ἐκεῖνο ποὺ συνηθίζει νὰ κάνει, νὰ μεταφέρει δηλαδὴ τὸ λόγο ἀπὸ τὰ ἰδιαίτερα στὰ κοινά, καὶ πάλι ἀπὸ τὰ κοινὰ στὰ ἰδιαίτερα, αὐτὸ κάμνει καὶ ἐδῶ. Ἐπειδὴ δηλαδὴ εἶπε, «Πρόσφερε ὕμνο στὸ Θεό», γιὰ νὰ μὴ νομίσει κάποιος ἀπὸ τοὺς ἀνόητους, ὅτι εἶναι Θεὸς μόνο τῶν Ἰουδαίων, δείχνει πῶς εἶναι κοινὸς Θεὸς τῆς οἰκουμένης καὶ ἡ πρόνοιά του ἁπλώνεται σ' ὅλα τὰ μέρη τῆς γῆς, μεταφέροντας τὸ λόγο καὶ τὴ γενικὴ πρόνοια αὐτοῦ ἀπὸ τὰ ἰδιαίτερα στὰ κοινά. Γι' αὐτὸ καὶ ἀφοῦ εἶπε, «Αὐτὸς ποὺ ἀπο-

λόγιον αὐτοῦ τῇ γῇ», ἐπήγαγεν· «Ἕως τάχους δραμεῖται ὁ λόγος αὐτοῦ. Τοῦτο δὲ εἶπε, δεικνὺς ὅτι οὐ μόνον τῆς ἡμετέρας κήδεται, ἀλλὰ τῆς οἰκουμένης ἁπάσης. Λόγον δὲ ἐνταῦθα τὸ πρόσταγμά φησι, τὴν ἐνέργειαν τὴν προνοητικήν. Εἶτα τὴν εὐκολίαν παριστάς, οὐ τῷ ὀνόματι τοῦ λόγου, ἀλλὰ καὶ τῇ προσηγορίᾳ τοῦ δρόμου ταύτην παρίστησι. Καὶ οὐδὲ τοῦτο αὐτῷ ἤρκεσεν, ἀλλὰ καὶ τὸ τάχος προσέθηκεν. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ὅπερ ἂν ἐπιτάξῃ, μετὰ πολλῆς γίνεται τῆς ταχυτῆτος. Ἐπιτάττει γὰρ πανταχοῦ τῆς οἰκουμένης. Τί δὲ ἐπιτάττει; Ταῦτα τὰ συνέχοντα τὴν ζωὴν τὴν ἡμετέραν, λέγω δὴ τὰ περὶ τῆς τῶν ἀέρων οἰκονομίας, καὶ τῶν τροπῶν καὶ τῶν μεταβολῶν. Διὸ καὶ ἐπάγει λέγων· «Διδόντος χιόνα αὐτοῦ ὡσεὶ ἔριον· ὁμίχλην ὡσεὶ σποδὸν πάσσοντος». Τοῦτο ἕτερος ἑρμηνευτής, «Δρόσον πεπηγμένην». Ὁ δὲ Ἑβραῖος, «Χεφδρ χαέφηρ».

«Βάλλοντος κρύσταλλον αὐτοῦ ὡσεὶ ψωμούς. Κατὰ πρόσωπον ψύχους αὐτοῦ τίς ὑποστήσεται;». Ἕτερος δέ φησι, «Κατὰ πρόσωπον καύματος αὐτοῦ τίς ὑποστήσεται;»· «Ἐξαποστελεῖ τὸν λόγον αὐτοῦ, καὶ τήξει αὐτά· πνεύσει τὸ πνεῦμα αὐτοῦ, καὶ ῥυήσεται ὕδατα». Ἐνταῦθά μοι τὸ ἄμαχον καὶ ἀπέραντον αὐτοῦ τῆς δυνάμεως παρίστησιν, ὅτι καὶ οὐκ οὔσας παράγει τὰς οὐσίας, καὶ γενομένας μετατίθησι, καὶ πρὸς ὃ βούλεται μεταρρυθμίζει. Ὅπερ καὶ ἕτερος προφήτης δηλῶν ἔλεγεν· «Ὁ ποιῶν πάντα, καὶ μετασκευάζων αὐτά». Εἰ γὰρ καὶ φύσεως ἀκινήτοις ὅροις πεπέδηνται, ἀλλ' ὅταν αὐτῷ δοκῇ, λύονται οὗτοι οἱ ὅροι. Αὐτῷ γὰρ πάντα εἴκει καὶ παραχωρεῖ. Καὶ ποτὲ μὲν αὐτὰς μεταβάλλει τὰς οὐσίας, ποτὲ δὲ μενούσας εἰς ἑτέραν μετατίθησιν ἐνέργειαν, καὶ τὴν μὲν οἰκείαν αὐτῷ καὶ συγκεκληρωμένην ἀφίησιν ἡσυχάζειν, ἑτέραν δὲ τὴν ἐναντίαν ἐπιδείκνυται· ὅπερ καὶ ἐπὶ τῆς καμίνου ἐποίησε. Πῦρ γὰρ ἦν, καὶ οὐκ ἔκαιεν, ἀλλὰ δρόσου

1. Ἀμὼς 5, 8.
2. Δαν. 1, 7.

στέλλει τὴν προσταγή του στὴ γῆ», πρόσθεσε, «Μὲ μεγάλη ταχύτητα θὰ τρέξει ὁ λόγος του». Αὐτὸ δὲ τὸ εἶπε, γιὰ νὰ δείξει, ὅτι δὲν φροντίζει μόνο γιὰ μᾶς, ἀλλὰ γιὰ ὅλη τὴν οἰκουμένη. Λόγο δὲ ἐδῶ ὀνομάζει τὸ πρόσταγμα, τὴν προνοητικὴ ἐνέργεια. Ἔπειτα γιὰ νὰ δείξει τὴν εὐκολία, τὴν δείχνει ὄχι μόνο μὲ τὸ ὄνομα τοῦ λόγου, ἀλλὰ καὶ μὲ τὴν ὀνομασία τοῦ δρόμου. Καὶ οὔτε αὐτὸ τὸ θεώρησε ἀρκετό, ἀλλὰ πρόσθεσε καὶ τὴν ταχύτητα. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· ὅ,τι καὶ ἂν προστάξει, γίνεται μὲ μεγάλη ταχύτητα. Διότι δίνει ἐντολὲς γιὰ ὁλόκληρη τὴν οἰκουμένη. Τί δὲ προστάζει; Αὐτὰ ποὺ συγκροτοῦν τὴ ζωή μας, δηλαδὴ ἐννοῶ τὰ σχετικὰ μὲ τὴ ρύθμιση τῶν ἀέρων, τῶν ἀλλαγῶν καὶ τῶν μεταβολῶν. Γι' αὐτὸ καὶ προσθέτει· «Ποὺ δίνει τὸ χιόνι λευκὸ καὶ ἁπαλὸ σὰν τὸ μαλλί, καὶ τὴν ὁμίχλη σὰν στάχτη σκορπισμένη». Αὐτὸ ἄλλος ἑρμηνευτὴς τὸ ἑρμηνεύει, «Σὰν δροσιὰ παγωμένη». Ὁ δὲ ἑβραῖος λέγει, «Χεφὸρ χαέφηρ».

«Ὁ ὁποῖος σκορπίζει τὸ χαλάζι ἔτσι ὅπως ἐμεῖς τοὺς ἄρτους. Ποιὸς μπορεῖ ν' ἀντέξει τὸ τρομερὸ ψύχος του;». Ἄλλος δὲ λέγει, «Ποιὸς μπορεῖ ν' ἀντέξει τὸν ὑπερβολικὸ καύσωνά του;». «Θὰ ἀποστείλει τὸ λόγο του καὶ θὰ λειώσει αὐτά· θὰ πνεύσει ὁ ἄνεμός του καὶ θὰ τρέξουν νερά». Ἐδῶ μοῦ φαίνεται παρουσιάζει τὸ ἀκαταμάχητο καὶ τὸ ἀπέραντο τῆς δυνάμεώς του, ὅτι δηλαδὴ καὶ ἀπὸ τὴν ἀνυπαρξία φέρει στὴν ὕπαρξη τὶς οὐσίες, καὶ ὅταν λάβουν ὕπαρξη, τὶς μεταβάλλει καὶ τὶς μετατρέπει σὲ ὅ,τι θέλει. Αὐτὸ ἀκριβῶς γιὰ νὰ δηλώσει καὶ ἄλλος προφήτης, ἔλεγε· «Αὐτὸς ποὺ δημιουργεῖ τὰ πάντα καὶ τὰ μεταβάλλει»[1]. Διότι, ἂν καὶ εἶναι σταθεροποιημένα μὲ τοὺς ἀμετακίνητους νόμους τῆς φύσεως, ἀλλ' ὅταν αὐτὸς θελήσει, λύνονται αὐτοὶ οἱ νόμοι. Διότι σ' αὐτὸν ὅλα ὑποχωροῦν καὶ παραμερίζουν. Καὶ ἄλλοτε μὲν μεταβάλλει τὶς ἴδιες τὶς οὐσίες, ἄλλοτε δέ, ἐνῶ παραμένουν οἱ ἴδιες, τὶς μετατρέπει σὲ ἄλλη ἐνέργεια, καὶ τὴν μὲν φυσική τους ἐνέργεια τὴν ἀφήνει νὰ ἡσυχάζει, παρουσιάζει δὲ ἄλλη, ἀντίθετη αὐτῆς, πράγμα ποὺ ἔκαμε καὶ στὴν περίπτωση τῆς καμίνου[2]. Διότι φωτιὰ ἦταν, καὶ ὅμως δὲν

τινὸς ἡδίστης οἱ ἐμβληθέντες ἀπέλαυον. Πέλαγος ἦν ἐπὶ τῶν Ἰουδαίων, καὶ οὐ κατεπόντιζε τὰ ὕδατα, ἀλλὰ πέτρας στερρότερον διεβιβάζοντο. Γῆ ἦν ἐπὶ τοῦ Δαθὰν καὶ Ἀβειρών, καὶ ὅμως οὐκ ἔστεγεν αὐτῶν τὰ σώματα, ἀλλὰ θαλάσσης εὐκολώτερον κατεποντίζοντο. Ξύλον ἦν ξηρὸν ἡ ῥάβδος τοῦ Ἀαρών, καὶ τῶν ἐπὶ γῆς πεφυτευμένων ὡραιότερον καρπὸν ἤνεγκεν. Ὄνος ἦν τὸ πάντων νωθέστερον ζῶον ἐπὶ τοῦ Βαλαάμ, καὶ ἀνθρώπου λογικοῦ οὐκ ἔλαττον ἀπολογίαν εἰς τὸν παίοντα πεποίηκε. Λέοντες ἦσαν ἐπὶ τοῦ Δανιήλ, καὶ προβάτων ἡμερότητα ἐπεδείξαντο, οὐ τῆς φύσεως αὐτῶν ἀφανισθείσης, ἀλλὰ τῆς ἐνεργείας μεταβληθείσης. Πολλὰ ἕτερα τοιαῦτα θαύματα καὶ ἐπὶ τῆς κτίσεώς ἐστιν ἰδεῖν. Μὴ οὖν, ἐπειδὴ καθ' ἕκαστον γίνεται ἐνιαυτόν, καὶ ἐν ὄψεσιν ἡμῶν συμβαίνει, μικρὸν νομίσῃς τὸ θαῦμα· ἐπεὶ ἐννόησον ἡλίκον ἐστί, νῦν μὲν χιόνα φαίνεσθαι, νῦν δὲ ὕδωρ, καὶ ἐν βραχείᾳ καιροῦ ῥοπῇ τοσαύτας γίνεσθαι μεταβολάς.

Ἵνα γὰρ μή τις τῶν ἀνοήτων λογίζηται τῇ φυσικῇ τῶν στοιχείων ἐνεργείᾳ, καὶ τούτων ἁπλῶς αἴτια ταῦτα νομίζῃ, ἀλλ' εἰδῇ τίς ἐστιν ὁ ἐπιτάττων, ἐπὶ τὸ πρόσταγμα αὐτοῦ πάντων τούτων ἀνάγει τὸν λόγον, καί φησιν· «Ἐξαποστελεῖ τὸν λόγον αὐτοῦ, καὶ τήξει αὐτά»· τουτέστι, τὸ πρόσταγμα· οὐ γὰρ τῶν ἀνέμων ἡ φύσις προηγουμένως τοῦτο ἐργάζεται, ἀλλ' ὁ τοὺς ἀνέμους ποιήσας Θεός. Ἐξήγαγε δὲ ἐπὶ τὰ στοιχεῖα τὸν λόγον, καὶ τὰς ἐν τοῖς στοιχείοις μεταβολάς, πείθων τὸν Ἰουδαῖον τὸν παχὺν καὶ ἀναίσθητον ἀπὸ τῶν καθ' ἕκαστον ἐνιαυτὸν γινομένων εἰδέναι τοῦ Θεοῦ τὴν ἰσχύν, ὅτι καὶ τὰ κατ' αὐτὸν ῥᾴδιον αὐτῷ διαθεῖναι πάντα, ὡς ἂν ἐθέλῃ, καὶ ἀπὸ τῶν ἐναντίων εἰς τὰ ἐναντία μεταβάλλειν. Ὥσπερ γὰρ κρυμοῦ γινομένου καὶ πάγου ἀνυποίστου,

---

3. Ἐξ. κεφ. 14.
4. Ἀριθμ. κεφ. 16.
5. Ἐξ. κεφ. 8.
6. Ἀριθμ. 22, 5 ἑ.
7. Δαν. κεφ. 12.

ἔκαιε, ἀλλ' ἀπολάμβαναν τὰ παιδιά, ποὺ εἶχαν ριχτεῖ μέσα, κάποια δροσιὰ πάρα πολὺ εὐχάριστη. Πέλαγος ἦταν στὴν περίπτωση τῶν Ἰουδαίων, καὶ δὲν καταβυθίζονταν μέσα στὰ ὕδατα, ἀλλὰ περνοῦσαν μέσα ἀπὸ αὐτὰ σὰν νὰ ἦταν στερεότερα καὶ ἀπὸ πέτρα[3]. Γῆ ἦταν στὴν περίπτωση τοῦ Δαθὰν καὶ τοῦ Ἀβειρών, καὶ ὅμως δὲν συγκρατοῦσε τὰ σώματα αὐτῶν, ἀλλὰ καταβυθίζονταν εὐκολότερα καὶ ἀπὸ ὅ,τι στὴ θάλασσα[4]. Ξύλο ξηρὸ ἦταν τὸ ραβδὶ τοῦ Ἀαρών, καὶ ὅμως παρήγαγε καρπὸ ὡραιότερο καὶ ἀπὸ τὰ φυτὰ ποὺ ἦταν φυτευμένα στὴ γῆ[5]. Ὄνος ἦταν, ποὺ εἶναι τὸ πιὸ νωθρὸ ζῶο ἀπὸ ὅλα, στὴν περίπτωση τοῦ Βαρλαάμ, καὶ ὅμως ἀπολογήθηκε σ' αὐτὸν ποὺ τὸ χτυποῦσε ὄχι κατώτερα ἀπὸ λογικὸ ἄνθρωπο[6]. Λεοντάρια ἦταν στὴν περίπτωση τοῦ Δανιήλ, καὶ ἔδειξαν ἡμερότητα προβάτων, χωρὶς νὰ ἐξαφανισθεῖ ἡ φύση τους, ἀλλὰ μεταβλήθηκε ἡ ἐνέργειά τους[7]. Πολλὰ ἄλλα παρόμοια θαύματα μπορεῖ κανένας νὰ δεῖ καὶ στὴν κτίση. Μὴ λοιπόν, ἐπειδὴ αὐτὸ γίνεται κάθε χρόνο καὶ συμβαίνει μπροστὰ στὰ μάτια μας, νομίσεις μικρὸ τὸ θαῦμα· διότι σκέψου πόσο σπουδαῖο εἶναι, ποὺ ἄλλοτε μὲν φαίνεται χιόνι, ἄλλοτε δὲ νερό, καὶ μέσα σὲ μιὰ σύντομη στιγμὴ ὁ καιρὸς παρουσιάζει τόσες πολλὲς μεταβολές.

Γιὰ νὰ μὴ σκέπτεται κάποιος ἀπὸ τοὺς ἀνόητους, ὅτι αὐτὰ συμβαίνουν μὲ τὴ φυσικὴ ἐνέργεια τῶν στοιχείων, καὶ αὐτὰ τὰ νομίζει ἁπλῶς αἴτια αὐτῶν, ἀλλὰ γιὰ νὰ γνωρίζει ποιὸς εἶναι ἐκεῖνος ποὺ τὰ προστάζει, μεταφέρει τὸ λόγο στὸ πρόσταγμα αὐτοῦ πρὸς ὅλα αὐτά, καὶ λέγει· «Θὰ ἐξαποστείλει τὸ λόγο του καὶ θὰ λειώσει αὐτά»· δηλαδὴ τὸ πρόσταγμά του· διότι δὲν τὸ κάμνει αὐτὸ προηγουμένως ἡ φύση τῶν ἀνέμων, ἀλλ' ὁ Θεὸς ποὺ ἔκαμε τοὺς ἀνέμους. Μετέφερε δὲ τὸ λόγο στὰ φυσικὰ στοιχεῖα καὶ στὶς μεταβολὲς τῶν στοιχείων, γιὰ νὰ πείσει τὸν Ἰουδαῖο, τὸ πνευματικὰ παχὺ καὶ ἀναίσθητο, νὰ γνωρίσει τὴ δύναμη τοῦ Θεοῦ ἀπὸ τὰ ὅσα συμβαίνουν κάθε χρόνο, ὅτι δηλαδὴ καὶ εἶναι εὔκολο σ' αὐτὸν νὰ θέσει σὲ ἐνέργεια ὅλα ὅσα συμβαίνουν καθ' ὅλο τὸ χρόνο, καὶ ἀπὸ τὰ ἀντίθετα νὰ τὰ μεταβάλλει στὰ ἀντίθετα. Διότι, ὅπως ἀκριβῶς ὅταν συμβεῖ ψῦ-

ράδιον αὐτῷ γαλήνην ἐργάσασθαι καὶ πάντα διαλῦσαι, οὕτω δὴ καὶ αὐτοὺς ἐν αἰχμαλωσίᾳ γενομένους καὶ ἐν πολέμοις, εὐκολώτερον αὐτῷ πρὸς εἰρήνην καὶ τὴν ἑαυτῶν ἐπαναγαγεῖν, καὶ πρὸς τὴν προτέραν εὐημερίαν χειραγωγῆσαι. Οὐ τοῦτο δὲ μόνον δηλοῖ, ἀλλὰ καὶ ἕτερον κεκρυμένως αἰνίττεται. Ποῖον δὴ τοῦτο; Ὅτι, καθάπερ ταῦτα καὶ λυποῦντα πολλάκις χρησίμως τε καὶ ὠφελίμως γίνεται, οὕτω καὶ τὰ κατ' αὐτοὺς συμφερόντως γέγονε, καὶ ἐργασάμενα πολλὴν τὴν ὠφέλειαν. Ἵνα μὴ ἐπὶ πλέον λυπήσῃ, πάλιν εἰς μεταβολὴν μετέστη τὴν εὐδιεινοτέραν. Τί δὲ αὐτῷ βούλεται καὶ τὰ παραδείγματα; Οὐ γὰρ εἶπε, «Διδόντος χιόνα», μόνον, ἀλλ' ἐπήγαγεν, «Ὡσεὶ ἔριον»· οὐδέ, «Ὁμίχλην πάσσοντος», ἀλλ' ἐπήγαγεν, «Ὡσεὶ σποδόν»· οὐδέ, «Βάλλοντος κρύσταλλον», ἀλλ' ἐπήγαγεν, «Ὡσεὶ ψωμούς». Ἐμοὶ δοκεῖ κἀντεῦθεν τὴν εὐκολίαν τοῦ ἐργαζομένου δηλοῦν καὶ τὴν εὐπορίαν.

«Ὁ ἀπαγγέλλων τὸν λόγον αὐτοῦ τῷ Ἰακώβ». Ἕτερος, «Ἀκριβασμούς». Ἄλλος, «Προστάγματα». «Δικαιώματα καὶ κρίματα αὐτοῦ τῷ Ἰσραήλ. Οὐκ ἐποίησεν οὕτω παντὶ ἔθνει». Ἄλλος, «Ὅμοια». «Καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς». Ὅρα πῶς πάλιν ἀπὸ τῶν καθολικῶν ἐπὶ τὰ μερικὰ μετάγει τὸν λόγον, καὶ τῶν Ἰουδαίων τὰ ἐξαίρετα, βουλόμενος διεγεῖραι αὐτοὺς πρὸς πλείονα σπουδήν. Ἀρχόμενος οὖν τοῦ ψαλμοῦ περὶ τῶν αἰσθητῶν διελέχθη καὶ σῶμα ὠφελούντων, οἷον ἀσφαλείας, εὐετηρίας, εἰρήνης, ἐνταῦθα δὲ ἐπὶ τὰ ὑψηλότερα ἀνάγει τὸν λόγον, τὸν περὶ τῆς νομοθεσίας λόγον ἀναπλῶν, ὅπερ μάλιστα εἶδος εὐεργεσίας, ἀπάγειν κακίας, χειραγωγεῖν πρὸς ἀρετήν, φωτίζειν διάνοιαν. Διὸ καὶ Μωϋσῆς ἄνω καὶ κάτω τοῦτο στρέφων ἔλεγε· «Ποῖος ὡς οὗτος λαός; τὸ ἔθνος τὸ μέγα, ᾧ ἐ-

χος καὶ παγωνιὰ ἀνυπόφορη, εἶναι εὔκολο σ' αὐτὸν νὰ φέρει γαλήνη καὶ νὰ τὰ διαλύσει ὅλα, ἔτσι λοιπὸν καὶ αὐτοὺς ποὺ αἰχμαλωτίστηκαν καὶ περιπλάκηκαν σὲ πολέμους, εἶναι πάρα πολὺ εὔκολο σ' αὐτὸν νὰ τοὺς ἐπαναφέρει στὴ γαλήνη καὶ νὰ τοὺς ὁδηγήσει στὴν προηγούμενη εὐημερία τους. Δὲν φανερώνει δὲ μόνο αὐτό, ἀλλὰ καὶ ἄλλο, ποὺ εἶναι κρυμμένο μέσα σ' αὐτά, ὑπαινίσσεται. Ποιό λοιπὸν εἶναι αὐτό; Ὅτι, ὅπως ἀκριβῶς αὐτά, ποὺ πολλὲς φορὲς καὶ μᾶς λυποῦν, εἶναι χρήσιμα καὶ ὠφέλιμα, ἔτσι, καὶ τὰ ὅσα συνέβηκαν σ' αὐτούς, ἔχουν γίνει γιὰ τὸ συμφέρον τους καὶ τοὺς ἐπέφεραν μεγάλη ὠφέλεια. Γιὰ νὰ μὴ τοὺς λυπήσει περισσότερο, μεταφέρθηκε πάλι πρὸς τὴν ἠπιότερη μεταβολή. Σὲ τί δὲ ἀποσκοπεῖ μὲ τὰ πάραδείγματα ποὺ ἀναφέρει; Διότι δὲν εἶπε μόνο, «αὐτὸς ποὺ δίνει τὸ χιόνι», ἀλλὰ πρόσθεσε, «σὰν τὸ λευκὸ καὶ ἀπαλὸ μαλλί»· οὔτε εἶπε, «Ὁμίχλη σκορπισμένη», ἀλλὰ πρόσθεσε, «σὰν στάχτη»· οὔτε εἶπε, «Αὐτὸς ποὺ ρίχνει τὸ χαλάζι καὶ τοὺς πάγους», ἀλλὰ πρόσθεσε, «σὰν τὰ ψωμιά». Ἐγὼ νομίζω ὅτι καὶ μὲ αὐτὸ θέλει νὰ δείξει τὴν εὐκολία καὶ τὴν εὐχέρια ἐκείνου ποὺ κάμνει αὐτά.

«Αὐτὸς εἶναι ποὺ φανέρωσε τὶς ἐντολές του στὸν Ἰακὼβ». Ἄλλος, «Τὶς ὑψηλὲς ἀλήθειές του». Ἄλλος, «Τὰ προστάγματά του». «Τὶς ἐντολές του καὶ τὰ δίκαια προστάγματά του στὸν Ἰσραήλ. Δὲν ἔκανε τὸ ἴδιο καὶ σὲ κάθε ἄλλο ἔθνος». Ἄλλος λέγει, «Ὅμοια». «Καὶ τὶς ἀποφάσεις του δὲν τὶς φανέρωσε σ' αὐτούς». Πρόσεχε πῶς πάλι μεταφέρει τὸ λόγο ἀπὸ τὰ γενικὰ πρὸς τὰ ἐπὶ μέρους, καὶ πρὸς τὰ τελείως ἰδιαίτερα ποὺ δόθηκαν στοὺς Ἰουδαίους, θέλοντας νὰ διεγείρη αὐτοὺς πρὸς μεγαλύτερο ἐνδιαφέρον. Ἀρχίζοντας δηλαδὴ τὸν ψαλμὸ μίλησε γιὰ τὰ αἰσθητὰ καὶ ποὺ ὠφελοῦν τὸ σῶμα, ὅπως γιὰ τὴν ἀσφάλεια, τὴν εὐημερία, τὴν εἰρήνη, ἐδῶ ὅμως μεταφέρει τὸ λόγο πρὸς τὰ ὑψηλότερα, ξεδιπλώνοντας τὸ λόγο γιὰ τὴ νομοθεσία, ποὺ εἶναι τὸ πιὸ μεγαλύτερο εἶδος εὐεργεσίας, καθόσον ἀπομακρύνει ἀπὸ τὴν κακία, καθοδηγεῖ πρὸς τὴν ἀρετή, φωτίζει τὴ διάνοια. Γι' αὐτὸ καὶ ὁ Μωϋσῆς, ἀναφέροντας συνέχεια αὐτό, ἔλεγε· «Ποιὸς ἄλλος εἶναι ὅπως αὐτὸς ὁ λαός; τὸ ἔθνος τὸ μεγάλο,

στιν αὐτῷ Θεὸς ἐγγίζων αὐτοῖς, ὡς Κύριος ὁ Θεὸς ἡμῶν, ἐπὶ πᾶσιν οἷς αὐτὸν ἐπικαλεσώμεθα;». Καὶ ὁ Δαυὶδ πάλιν· «Ποιῶν ἐλεημοσύνας ὁ Κύριος, καὶ κρίμα πᾶσι τοῖς ἀδικουμένοις. Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσεῖ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ». Καὶ ὁ Ἰερεμίας· «Οὗτος ὁ Θεὸς ἡμῶν· οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. Ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ».

Ἀλλ' ἴσως εἴποι τις ἄν· καὶ μὴ δηλώσας τοῖς λοιποῖς ἀνθρώποις, πῶς αὐτοὺς κολάζει; Ὅτι μὲν γὰρ κολάζει καὶ τοὺς πρὸ τοῦ νόμου καὶ τοὺς πανταχοῦ τῆς οἰκουμένης ἁμαρτάνοντας, δῆλον ἐξ ὧν ὁ Χριστός φησι· «Βασίλισσα νότου ἀναστήσεται, καὶ κατακρινεῖ τὴν γενεὰν ταύτην». Καὶ πάλιν· «Ἄνδρες Νινευῖται ἀναστήσονται καὶ κατακρινοῦσι τὴν γενεὰν ταύτην». Πάντως γὰρ διὰ τοῦτο οὕτως εἴρηται, ὡς κἀκείνων λόγον ὑπεχόντων, καὶ τῶν μὲν ἐπαινουμένων, τῶν δὲ κολαζομένων. Εἰ δὲ μὴ ἦν δῆλα αὐτοῖς τὰ πρακτέα, πῶς ἤμελλον κατακρίνειν τούτους; Πῶς δὲ πάλιν ἔλεγεν, ὅτι «τὸ αἷμα ἐκδικηθήσεται ἀπὸ τοῦ αἵματος Ἄβελ τοῦ δικαίου ἕως τοῦ αἵματος Ζαχαρίου»; πῶς δὲ καί, «Ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόρρας»; Τῷ γὰρ εἰπεῖν, «Ἀνεκτότερον», οὐ τελείαν ἀπαλλαγήν, ἀλλὰ κουφοτέραν τιμωρίαν, ὧν ἥμαρτον, αὐτοὺς διδόναι δηλοῖ. Εἰ δὲ οἱ κολασθέντες οὕτω χαλεπῶς πάλιν δίκην διδόασι, τίς τῶν ἄλλων διαφεύξεται;

Ὁρῶμεν δὲ καὶ τοὺς ἐπὶ τοῦ κατακλυσμοῦ δίκην δεδωκότας, καὶ ἑτέρους πολλούς, καὶ αὐτὸν δὲ τὸν Κάϊν. Καὶ ὁ Παῦλος δέ φησι, τὸ αὐτὸ τοῦτο δηλῶν· «Ἀποκαλύπτεται ὀργὴ Θεοῦ ἀπ' οὐρανοῦ ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων τῶν τὴν ἀ-

---

8. Δευτ. 4, 7.
9. Ψαλμ. 102, 6-7.
10. Βαρούχ 3, 36-37.
11. Ματθ. 12, 42.
12. Ματθ. 12, 41.
13. Ματθ. 23, 35.
14. Ματθ. 11, 24.

κοντὰ στὸ ὁποῖο βρίσκεται ὁ Θεὸς προστατεύοντας αὐτούς; ποιὸς εἶναι σὰν τὸν Κύριο τὸ Θεό μας, ποὺ μᾶς παρέχει ὅτι καὶ ἂν τοῦ ζητήσουμε;»[8]. Καὶ ὁ Δαυὶδ πάλι· «Κάμνει ὁ Κύριος ἔργα ἐλέους καὶ παίρνει ἀποφάσεις δίκαιες γιὰ ὅλους ἐκείνους ποὺ ἀδικοῦνται. Ἔκανε γνωστὲς στὸ Μωυσὴ τὶς βουλές του καὶ τὰ θελήματά του στοὺς υἱοὺς τοῦ Ἰσραήλ»[9]. Καὶ ὁ Ἰερεμίας· «Αὐτὸς εἶναι ὁ Θεός μας· δὲν θὰ μπορέσει νὰ συγκριθεῖ μὲ αὐτὸν κανένας ἄλλος. Αὐτὸς βρῆκε ὅλη τὴ σοφία καὶ τὴν παρέδωσε στὸ δοῦλο του Ἰακώβ, τὸν Ἰσραὴλ τὸν ἀγαπημένο του»[10].

Ἀλλ' ἴσως θὰ μποροῦσε νὰ πεῖ κάποιος· Ἐφόσον δὲν φανέρωσε στοὺς ὑπόλοιπους ἀνθρώπους τὶς ἐντολές του, πῶς τιμωρεῖ αὐτούς; Τὸ ὅτι βέβαια τιμωρεῖ καὶ ἐκείνους ποὺ ἔζησαν πρὶν ἀπὸ τὸ νόμο καὶ ἐκείνους ποὺ ἁμαρτάνουν σ' ὅλα τὰ μέρη τῆς οἰκουμένης, γίνεται φανερὸ ἀπὸ ἐκεῖνα ποὺ λέγει ὁ Χριστός· «Ἡ βασίλισσα ἀπὸ τὰ νότια τῆς Ἰουδαίας θὰ ἀναστηθεῖ καὶ θὰ κατακρίνει τὴ γενεὰ αὐτή»[11]. Καὶ πάλι· «Ἄνδρες Νινευῖτες θ' ἀναστηθοῦν καὶ θὰ κατακρίνουν τὴ γενεὰ αὐτή»[12]. Ὁπωσδήποτε λοιπὸν γι' αὐτὸ ἔτσι λέχθηκαν αὐτά, διότι καὶ ἐκεῖνοι εἶναι ὑπεύθυνοι, καὶ ἄλλοι μὲν ἀπὸ αὐτοὺς ἐπαινοῦνται, ἄλλοι δὲ τιμωροῦνται. Ἂν δὲ δὲν ἦταν γνωστὰ σ' αὐτοὺς αὐτὰ ποὺ πρέπει νὰ πράττουν, πῶς θὰ ἐπρόκειτο νὰ κατακρίνουν αὐτούς; Πῶς δὲ πάλι ἔλεγε, ὅτι «θὰ ἐκδικηθεῖ τὸ αἷμα ποὺ χύθηκε ἄδικα ἀπὸ τὸ αἷμα τοῦ δίκαιου Ἄβελ μέχρι τὸ αἷμα τοῦ Ζαχαρία»[13]; πῶς δὲ ἔλεγε ὅτι καὶ «ἡ τιμωρία τῶν Σοδόμων καὶ τῆς Γόμορας θὰ εἶναι περισσότερο ἀνεκτή»[14]; Διότι μὲ τὸ νὰ πεῖ «ὅτι ἡ τιμωρία θὰ εἶναι ἀνεκτότερη», φανερώνει ὄχι τέλεια ἀπαλλαγή, ἀλλ' ἐλαφρότερη τιμωρία θὰ ὑποστοῦν γιὰ τὰ ἁμαρτήματα ποὺ διέπραξαν. Ἂν δέ, ἐκεῖνοι ποὺ τιμωρήθηκαν τόσο φοβερά, πάλι θὰ τιμωρηθοῦν, ποιὸς ἀπὸ τοὺς ἄλλους θὰ διαφύγει τὴν τιμωρία;

Βλέπομε δὲ ὅτι τιμωρήθηκαν καὶ ἐκεῖνοι ποὺ ἔζησαν κατὰ τὴν ἐποχὴ τοῦ κατακλυσμοῦ καὶ πολλοὶ ἄλλοι καὶ αὐτὸς δὲ ὁ ἴδιος ὁ Κάϊν. Καὶ ὁ Παῦλος δὲ λέγει, δηλώνοντας αὐτὸ ἀκριβῶς τὸ ἴδιο, «Ἡ ὀργὴ τοῦ Θεοῦ φανερώνεται ἀπὸ τὸν οὐρανὸ πρὸς

λήθειαν ἐν ἀδικίᾳ κατεχόντων· διότι τὸ γνωστὸν τοῦ Θεοῦ φανερόν ἐστιν ἐν αὐτοῖς. Ὁ γὰρ Θεὸς αὐτοῖς ἐφανέρωσεν. Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης, εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους». Εἶτα τὸν περὶ τοῦ βίου κινῶν λόγον, οὐδὲ ἐνταῦθα ἀφίησιν αὐτοὺς ἀνευθύνους, οὕτω λέγων· «Οἵτινες τὸ δικαίωμα τοῦ Θεοῦ ἐπιγνόντες, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες ἄξιοι θανάτου εἰσίν, οὐ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράσσουσι». «Λογίζῃ δὲ τοῦτο, ὦ ἄνθρωπε, ὁ κρίνων τοὺς τὰ τοιαῦτα πράσσοντας, καὶ ποιῶν αὐτά, ὅτι σὺ ἐκφεύξῃ τὸ κρίμα τοῦ Θεοῦ; Ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ, καὶ τῆς ἀνοχῆς, καὶ τῆς μακροθυμίας καταφρονεῖς, ἀγνοῶν ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει; Κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν, θησαυρίζεις ἑαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως καὶ δικαιοκρισίας τοῦ Θεοῦ, ὅς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· τοῖς μὲν καθ' ὑπομονὴν ἔργου ἀγαθοῦ, δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν ζητοῦσι, ζωὴν αἰώνιον, τοῖς δὲ ἐξ ἐριθείας ἀπειθοῦσι μὲν τῇ ἀληθείᾳ, πειθομένοις δὲ τῇ ἀδικίᾳ, θυμὸς καὶ ὀργὴ καὶ θλίψις καὶ στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κατεργαζομένου τὸ κακόν, Ἰουδαίου τε πρῶτον, καὶ Ἕλληνος».

Ὁρᾷς διὰ πάντων τῶν εἰρημένων πῶς ἅπαντες ὅσοι γεγόνασιν ἄνθρωποι, καὶ πρὸ τοῦ νόμου, δίκην διδόασι, καὶ ὅσοι τῆς ἀρετῆς ἐπεμελήσαντο καὶ ἀσεβείας ἀπηλλάγησαν, ἀγαθῶν ἀπολαύουσι; Πῶς οὖν ἢ τοῦτο ἔσται, ἢ ἐκεῖνο, εἴπερ οὐκ ᾔδεισαν τὸ πρακτέον; Εἰ δὲ καὶ ᾔδεισαν τὸ πρακτέον, φησί, πῶς λέγει, «Οὐκ ἐποίησεν οὕτω παντὶ ἔθνει, καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδή-

15. Ρωμ. 1, 18-20.
16. Ρωμ. 1, 32.
17. Ρωμ. 2, 3-9.

κάθε ἀσέβεια καὶ ἀδικία τῶν ἀνθρώπων ἐκείνων πού, ἐνῶ κατέχουν τὴν ἀλήθεια, παρὰ ταῦτα ἀδικοῦν· καθόσον αὐτὸ ποὺ ἔπρεπε νὰ γνωρίζουν γιὰ τὸ Θεὸ εἶναι φανερὸ σ' αυτούς· ἀφοῦ ὁ Θεὸς τὸ φανέρωσε σ' αὐτούς. Διότι οἱ ἀόρατες ἰδιότητες καὶ ἐνέργειες αὐτοῦ γίνονται ἀντιληπτὲς ἀνάμεσα ἀπὸ τὰ δημιουργήματά του ἀπὸ τότε ποὺ κτίσθηκε ὁ κόσμος, καθὼς καὶ ἡ αἰώνια δύναμη καὶ θειότης αὐτοῦ, ὥστε νὰ εἶναι ἀδικαιολόγητοι»[15]. Στὴ συνέχεια μιλώντας γιὰ τὸν τρόπο ζωῆς, οὔτε καὶ ἐδῶ ἀφήνει αὐτοὺς ἀνεύθυνους, λέγοντας τὰ ἑξῆς· «Αὐτοί, ἂν καὶ γνώρισαν πολὺ καλὰ τὶς ἐντολὲς τοῦ Θεοῦ, ὅτι δηλαδὴ ἐκεῖνοι ποὺ πράττουν τέτοια ἔργα εἶναι ἄξιοι θανάτου, δὲν πράττουν μόνο αὐτά, ἀλλὰ καὶ ἐπιδοκιμάζουν ἐκείνους ποὺ πράττουν αὐτά»[16]. «Νομίζεις δέ, ἄνθρωπε, σὺ ποὺ κρίνεις αὐτοὺς ποὺ πράττουν τὰ ἔργα αὐτά, καὶ πράττεις καὶ σὺ αὐτά, ὅτι θὰ διαφύγεις τὴ δίκαια ἀπόφαση τοῦ Θεοῦ; Ἢ μήπως περιφρονεῖς τὸν πλοῦτο τῆς ἀγαθότητας αὐτοῦ καὶ τὴν ἀνοχὴ καὶ μακροθυμία του, ἀγνοώντας, ὅτι ἡ ἀγαθότητα τοῦ Θεοῦ σὲ ὁδηγεῖ σὲ μετάνοια; Ἀνάλογα δὲ μὲ τὴ σκληρότητά σου καὶ τὴν ἀμετανόητη καρδιά σου, θησαυρίζεις γιὰ τὸν ἑαυτό σου ὀργὴ γιὰ τὴν ἡμέρα τῆς ὀργῆς καὶ τῆς ἀποκαλύψεως καὶ δικαιοκρισίας τοῦ Θεοῦ, ποὺ θ' ἀποδώσει στὸν καθένα ἀνάλογα μὲ τὰ ἔργα του· σ' ἐκείνους μὲν ποὺ μὲ ἐπιμονὴ πράττουν τὰ ἀγαθὰ ἔργα, καὶ ζητοῦν δόξα καὶ τιμὴ καὶ ἀφθαρσία, θ' ἀποδώσει ζωὴ αἰώνια, σ' ἐκείνους δὲ ποὺ ἀπὸ φιλοδοξία ἀπειθοῦν μὲν στὴν ἀλήθεια, πείθονται δὲ στὴν ἀδικία, θὰ ἐκσπάσει θυμὸς καὶ ὀργὴ καὶ θλίψη καὶ στενοχώρια σὲ κάθε ψυχὴ ἀνθρώπου ποὺ πράττει τὸ κακό, καὶ τοῦ Ἰουδαίου πρῶτα, καὶ τοῦ ἐθνικοῦ»[17]

Βλέπεις μὲ ὅλα ὅσα λέχθηκαν, πῶς ὅλοι οἱ ἄνθρωποι ποὺ ὑπῆρξαν, ἀκόμη καὶ πρὶν ἀπὸ τὸ νὰ δοθεῖ ὁ νόμος, τιμωροῦνται, καὶ ὅσοι φρόντισαν γιὰ τὴν ἀρετὴ καὶ ἀπαλλάχτηκαν ἀπὸ τὴν ἀσέβεια, θ' ἀπολαύσουν ἀγαθά; Πῶς λοιπὸν θὰ συμβεῖ ἢ αὐτὸ ἢ ἐκεῖνο, ἐφόσον βέβαια δὲν γνώρισαν τί ἔπρεπε νὰ πράξουν; Ἂν δέ, λέγει, καὶ γνώρισαν αὐτὸ ποὺ ἔπρεπε νὰ πράξουν, πῶς λέγει, «Δὲν τὸ ἔκαμε αὐτὸ σὲ κάθε ἔθνος καὶ τὰ πα-

λωσεν αὐτοῖς»; Τί οὖν ἐστι τὸ εἰρημένον, καὶ τί ποτε δηλοῦν βούλεται; Ἄκουε. Γραπτὸν νόμον οὐδενὶ τῶν ἄλλων ἔδωκε· τὸν μὲν γὰρ φυσικὸν ἔνδοθεν εἶχον ἅπαντες ἐνηχοῦντα, τί μέν καλόν, τί δὲ οὐ τοιοῦτον. Ὁμοῦ γὰρ πλάττων τὸν ἄνθρωπον ὁ Θεός, τοῦτο αὐτῷ ἐνέθηκε δικαστήριον ἀδέκαστον, τὴν ἐν ἑκάστῳ τοῦ συνειδότος ψῆφον. Τοῖς δὲ Ἰουδαίοις ἐξαίρετόν τι ἐπραγματεύσατο, τὸ καὶ διὰ γραμμάτων δηλῶσαι τὰ νόμιμα. Διὰ τοῦτο καὶ αὐτὸς οὐκ εἶπεν, ὅτι οὐκ ἐποίησεν ἐν παντὶ ἔθνει, ἀλλ', «Οὕτως οὐκ ἐποίησε». Τουτέστιν, οὐ πλάκας αὐτοῖς ἔπεμψεν, οὐ γράμματα, οὐ νομοθέτην Μωϋσέα, οὐ τἄλλα τὰ ἐπὶ τοῦ Σινᾶ ὄρους· ἀλλὰ τούτων ἁπάντων ἐκ περιουσίας Ἰουδαῖοι μόνοι ἀπήλαυσαν· ἡ μέντοι πᾶσα φύσις ἡ ἀνθρωπίνη ἀρκοῦντα εἶχε τὸν ἀπὸ τοῦ συνειδότος νόμον. Ἅπερ καὶ ὁ Παῦλος δηλῶν ἔλεγεν· «Ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῇ· οὗτοι νόμον μὴ ἔχοντες, ἑαυτοῖς εἰσι νόμος». Διὸ καὶ μείζονος τῆς κατακρίσεως Ἰουδαῖοι ἄξιοι, ὅτι μετὰ τοῦ φυσικοῦ καὶ τὸν γραπτὸν λαβόντες, τοσαῦτα παρηνόμησαν. Ὥστε ἡ πολλὴ τοῦ Θεοῦ εὐεργεσία πλείονος αὐτοῖς κατακρίσεως ὑπόθεσις γίνεται ἐρρᾳθυμηκόσι. Κατὰ μὲν οὖν τὸ ρητὸν ἀρκεῖ τὰ εἰρημένα· εἰ δέ τις ἐπιθυμίαν ἔχει καὶ κατὰ ἀναγωγὴν τὸν ψαλμὸν ἐκλαβεῖν, οὐ παραιτησόμεθα καὶ ταύτην ὁδεῦσαι τὴν ὁδόν, οὐ λυμαινόμενοι τὴν ἱστορίαν, μὴ γένοιτο, ἀλλὰ μετ' ἐκείνης καὶ ταῦτα προστιθέντες τοῖς φιλοπονωτέροις, καθὼς ἂν οἷόν τε ᾖ.

«Ἐπαίνει, Ἰερουσαλήμ, τὸν Κύριον, αἶνει τὸν Θεόν σου, Σιών». Οἶδεν Ἰερουσαλὴμ τὴν ἄνω ὁ Παῦλος, περὶ ἧς λέγει· «Ἡ δὲ ἄνω Ἰερουσαλὴμ ἐλευθέρα ἐστίν, ἥτις ἐστὶ μήτηρ ἡμῶν· ὥσπερ καὶ Σιὼν οἶδε τὴν Ἐκκλησίαν, ὅταν λέγῃ· «Οὐ γὰρ προ-

---

18. Ρωμ. 2, 14.
19. Γαλ. 4, 26.

ραγγέλματά του δὲν τὰ φανέρωσε σ' αὐτούς»; Τί λοιπὸν σημαίνουν τὰ λόγια αὐτὰ καὶ τί τέλος πάντων θέλει νὰ δηλώσει; Ἄκουε. Γραπτὸ νόμο σὲ κανένα ἀπὸ τοὺς ἄλλους δὲν ἔδωσε· διότι τὸν μὲν φυσικὸ νόμο τὸν εἶχαν μέσα τους ὅλοι γενικὰ νὰ ἠχεῖ καὶ νὰ τοὺς λέγει, τί μὲν εἶναι καλό, τί δὲ δὲν εἶναι. Καθόσον πλάθοντας ὁ Θεὸς τὸν ἄνθρωπο, ἔθεσε συγχρόνως μέσα σ' αὐτόν, σὰν δικαστήριο ἀμερόληπτο, τὴ φωνὴ τῆς συνειδήσεως τοῦ καθενός. Στοὺς Ἰουδαίους ὅμως φρόντισε νὰ δώσει καὶ κάτι τὸ ἰδιαίτερο, τὸ νὰ φανερώσει σ' αὐτοὺς τὰ νόμιμα καὶ γραπτῶς. Γι' αὐτὸ καὶ αὐτὸς δὲν εἶπε, ὅτι δὲν ἔκαμε αὐτὸ σὲ κάθε ἔθνος, ἀλλά, «Δὲν τὸ ἔκαμε ἔτσι». Δηλαδή, δὲν ἔστειλε σ' αὐτοὺς πλάκες, οὔτε γράμματα, οὔτε τὸν νομοθέτη Μωυσῆ, οὔτε τὰ ἄλλα ποὺ συνέβηκαν στὸ ὄρος τοῦ Σινᾶ, ἀλλ' ὅλα αὐτὰ μόνο οἱ Ἰουδαῖοι τὰ ἀπόλαυσαν μὲ ἀφθονία· ὅλη δηλαδὴ ἡ ἄλλη ἀνθρώπινη φύση ἀρκοῦνταν στὸ νόμο τῆς συνειδήσεως. Αὐτὸ ἀκριβῶς γιὰ νὰ δηλώσει καὶ ὁ Παῦλος, ἔλεγε· «Διότι, ὅταν τὰ ἔθνη ποὺ δὲν ἔχουν γραπτὸ νόμο, ἐκ φύσεως πράττουν ἐκεῖνα ποὺ παραγγέλλει ὁ νόμος, ἄρα αὐτοί, ἂν καὶ δὲν ἔχουν νόμο γραπτό, εἶναι οἱ ἴδιοι νόμος γιὰ τὸν ἑαυτό τους»[18]. Γι' αὐτὸ καὶ οἱ Ἰουδαῖοι εἶναι ἄξιοι μεγαλύτερης κατακρίσεως, διότι ἂν καὶ ἔλαβαν μαζὶ μὲ τὸ φυσικὸ νόμο καὶ τὸ γραπτό, ὅμως διέπραξαν τόσο μεγάλες παρανομίες. Ὥστε ἡ μεγάλη εὐεργεσία τοῦ Θεοῦ γίνεται γι' αὐτοὺς αἰτία μεγαλύτερης κατακρίσεως, ἐφόσον ἔδειξαν ἀδιαφορία. Σύμφωνα λοιπὸν μὲ τὴν κατὰ γράμμα ἑρμηνεία εἶναι ἀρκετὰ τὰ ὅσα λέχθηκαν, ἂν ὅμως κάποιος ἐπιθυμεῖ νὰ ἐξετάσουμε τὸν ψαλμὸ καὶ ἀλληγορικά, δὲν θ' ἀποφύγουμε νὰ βαδίσουμε καὶ αὐτὴ τὴν ὁδό, ὄχι διαστρέφοντας τὴν ἱστορία, μακριὰ μιὰ τέτοια σκέψη, ἀλλὰ μαζὶ μὲ ἐκείνην προσθέτοντας καὶ αὐτά, κατὰ τὸ δυνατό, γιὰ τοὺς πιὸ φιλόπονους.

«Πρόσφερε, Ἱερουσαλήμ, λόγους ἐπαινετικοὺς στὸν Κύριο, πρόσφερε ὕμνους στὸ Θεό σου, Σιών». Γνωρίζει ὁ Παῦλος τὴν οὐράνια Ἱερουσαλήμ, γιὰ τὴν ὁποία λέγει· «Ἡ δὲ οὐράνια Ἱερουσαλὴμ εἶναι ἐλεύθερη, καὶ αὐτὴ εἶναι ἡ μητέρα μας»[19]· ὅπως ἀκριβῶς γνωρίζει νὰ ὀνομάζει καὶ τὴν ἐκκλησία Σιών, ὁ-

σεληλύθατε ὄρει ψηλαφωμένῳ καὶ κεκαυμένῳ πυρὶ καὶ γνόφῳ καὶ σκότῳ καὶ θυέλλῃ, ἀλλὰ προσεληλύθατε Σιὼν πόλει καὶ Ἐκκλησίᾳ πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς». Δυνατὸν οὖν κατὰ ἀναγωγὴν καὶ περὶ ταύτης λέγεσθαι τό, «Ἐπαίνει, Ἱερουσαλήμ, τὸν Κύριον, αἴνει τὸν Θεόν σου, Σιών· ὅτι ἐνίσχυσε τοὺς μοχλοὺς τῶν πυλῶν σου, εὐλόγησε τοὺς υἱούς σου ἐν σοί». Καὶ γὰρ τῆς Ἱερουσαλὴμ ἀσφαλέστερον αὐτὴν ἐτείχισεν, οὐ μοχλοῖς καὶ θύραις, ἀλλὰ τῷ σταυρῷ περιφράξας, καὶ τῇ ἀποφάσει τῆς οἰκείας δυνάμεως, δι' ἧς ἀνέστησεν αὐτῆς πανταχοῦ τὸν περίβολον, εἰπών, ὅτι «Πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς».

2. Ἐν γοῦν προοιμίοις βασιλεῖς ἅπαντες, καὶ δῆμοι καὶ πόλεις, καὶ τῶν δαιμόνων αἱ φάλαγγες, καὶ αὐτὴ τοῦ διαβόλου ἡ τυραννίς, καὶ μυρία πράγματα ἐπέθεντο τῇ Ἐκκλησίᾳ· καὶ ὅμως πάντα μὲν ἐκεῖνα διελύθη καὶ ἀπώλετο· αὕτη δὲ αὐξομένη πρὸς ὕψος ἤρθη τοσοῦτον, ὅτι καὶ αὐτοὺς ὑπερέβη τοὺς οὐρανούς. «Εὐλόγησε τοὺς υἱούς σου ἐν σοί». Ὥσπερ ἐξ ἀρχῆς εἶπεν, «Αὐξάνεσθε, καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν», καὶ διὰ τῆς γῆς ἁπάσης ὁ λόγος διέδραμεν, οὕτω μετὰ ταῦτα, «Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη»· καὶ ὅτι «Κηρυχθήσεται τὸ εὐαγγέλιον τοῦτο ἐν ὅλῳ τῷ κόσμῳ», καὶ αὐτὰ τῆς οἰκουμένης τὰ πέρατα ἐν βραχείᾳ καιροῦ ῥοπῇ κατέλαβε τὸ ἐπίταγμα. Διὸ καὶ ἔλεγεν· «Ὁ κόκκος τοῦ σίτου, ἐὰν πεσὼν εἰς τὴν γῆν μὴ ἀποθάνῃ, αὐτὸς μόνος μένει, ἐὰν δὲ ἀποθάνῃ, πολὺν καρπὸν φέρει». Καὶ πάλιν, «Ὅταν ὑψωθῶ, πάντας ἑλκύσω πρὸς ἐμαυτόν». Παρὰ μὲν οὖν τὴν ἀρχὴν ἐξ ἑνὸς ἐγένοντο πολλοί, νόμῳ φύσεως τοῦ πλήθους αὐξομένου, διὸ καὶ σχολαιότερον τὸ πρᾶγμα

---

20. Ἑβρ. 12, 18-23.
20. Δευτ. 5, 22.
21. Ματθ. 16, 18.
22. Γέν. 1, 28.
23. Ματθ. 28, 19.
24. Ματθ. 26, 13.
25. Ἰω. 12, 24.
26. Ἰω. 12, 32.

πως ὅταν λέγει· «Διότι δὲν ἔχετε προσέλθει σὲ κάποιο ὅρος ποὺ εἶναι ψηλαφιτὸ καὶ ἔχει καεῖ ἀπὸ φωτιὰ καὶ εἶναι σκεπασμένο ἀπὸ δμίχλη, σκοτάδι καὶ θύελλα[20], ἀλλὰ προσήλθατε στὴν πόλη Σιὼν ποὺ εἶναι ἡ Ἐκκλησία τῶν πρωτότοκων, ποὺ ἔχουν καταγραφεῖ στοὺς οὐρανούς». Εἶναι δυνατὸ λοιπὸν ἀλληγορικὰ καὶ γι' αὐτὴν νὰ λέγεται τό, «Πρόσφερε, Ἱερουσαλήμ, λόγους ἐπαινετικοὺς στὸν Κύριο, πρόσφερε ὕμνους στὸ Θεό, Σιών· διότι ἐνίσχυσε τοὺς μοχλοὺς τῶν πυλῶν σου καὶ εὐλόγησε τοὺς υἱούς σου ἐξ αἰτίας σου». Καθόσον αὐτὴν τὴν περιτείχισε ἀσφαλέστερα ἀπὸ τὴν Ἱερουσαλήμ, ὄχι μὲ μοχλοὺς καὶ θύρες, ἀλλὰ τὴν περιέφραξε μὲ τὸ σταυρὸ καὶ τὴν ἀπόφαση τῆς δυνάμεώς του, μὲ τὴν ὁποία ὕψωσε παντοῦ τὸν περίβολλό της λέγοντας, ὅτι, «Καὶ οἱ πύλες τοῦ Ἅδη δὲν θὰ τὴν καταβάλουν»[21].

2. Στὴν ἀρχὴ λοιπὸν ὅλοι οἱ βασιλεῖς καὶ οἱ λαοὶ καὶ οἱ πόλεις καὶ τῶν δαιμόνων οἱ φάλαγγες καὶ αὐτὴ ἀκόμα ἡ τυραννικὴ ἐξουσία τοῦ διαβόλου καὶ ἀμέτρητα ἄλλα κακὰ ἐπιτέθηκαν ἐναντίον τῆς Ἐκκλησίας, καὶ ὅμως ὅλα μὲν ἐκεῖνα διαλύθηκαν καὶ ἐξαφανίστηκαν, ἐνῶ αὐτὴ αὐξάνοντας, σὲ τόσο μεγάλο ὕψος ἔφθασε, ὥστε ὑπερέβηκε καὶ αὐτοὺς ἀκόμα τοὺς οὐρανούς. «Εὐλόγησε τοὺς υἱούς σου ἐξ αἰτίας σου». Ὅπως ἀκριβῶς στὴν ἀρχὴ εἶπε, «Αὐξάνεστε καὶ πληθύνεστε καὶ γεμίσατε τὴ γῆ»[22], καὶ ὁ λόγος τοῦ Θεοῦ διέτρεξε ὁλόκληρη τὴ γῆ, ἔτσι στὴ συνέχεια εἶπε, «Πηγαίνετε καὶ κάμετε μαθητές μου ὅλα τὰ ἔθνη»[23], καὶ ὅτι «Τὸ εὐαγγέλιο αὐτὸ θὰ κηρυχθεῖ σ' ὅλο τὸν κόσμο»[24], καὶ μέσα σὲ πολὺ μικρὸ χρονικὸ διάστημα τὸ πρόσταγμα κατέλαβε καὶ αὐτὰ τὰ πέρατα τῆς οἰκουμένης. Γι' αὐτὸ καὶ ἔλεγε· «Ὁ κόκκος τοῦ σιταριοῦ ἄν, πέφτοντας στὴ γῆ, δὲν πεθάνει, παραμένει αὐτὸς ὁ ἴδιος, ἂν ὅμως πεθάνει, παράγει πολὺ καρπό»[25]. Καὶ πάλι· «Ὅταν θὰ ὑψωθῶ ὅλους θὰ σᾶς προσελκύσω κοντά μου»[26]. Στὴν ἀρχὴ λοιπὸν ἀπὸ ἕναν ἄνθρωπο ἔγιναν πολλοί, αὐξάνοντας τὸ πλῆθος μὲ τὸ νόμο τῆς φύσεως, γι' αὐτὸ καὶ τὸ πράγμα προχωροῦσε δυσκολότερα, στὴν περίπτωση ὅμως τῶν ἀποστόλων τὸ πλῆθος αὐξανόταν ὄχι μὲ τὸ νόμο

προήει, ἐπὶ δὲ τῶν ἀποστόλων οὐ νόμῳ φύσεως, ἀλλὰ χάριτι τὸ πλῆθος ἐπεδίδου· διόπερ εὐθέως ἐν μιᾷ ἡμέρᾳ τρισχίλιοι, εἶτα πεντακισχίλιοι, εἶτα μύριοι, εἶτα πᾶσα ἡ οἰκουμένη διὰ τῆς καλῆς ταύτης ἀναγεννήσεως τεχθέντες, ηὐξήθησάν τε καὶ ἐπληθύνθησαν, καὶ τὴν εὐλογίαν διὰ τῶν ἔργων ἣν ἔλαβον ἐπεδείξαντο· «Οὐ γὰρ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκός, ἀλλ' ἐκ τῆς τοῦ Θεοῦ χάριτος ἐγεννήθησαν».

«Ὁ τιθεὶς τὰ ὅριά σου εἰρήνην». Τοῦτο μάλιστα περὶ τῆς Ἐκκλησίας ἄν τις εἴποι κυρίως· καὶ τὸ δὴ θαυμαστότερον, ὅτι πολεμουμένη εἰρήνης ἀπέλαυε, καὶ πάντων ἐπιβουλευόντων τῇ ἀδείᾳ ἐνετρύφα. Διὸ καὶ ἔλεγεν· «Εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν». «Καὶ στέαρ πυροῦ ἐμπιπλῶν σε». Δυνατὸν καὶ ἐπὶ τῆς Ἐκκλησίας τοῦτο λαμβάνεσθαι ἑτέρως εἰς πνευματικὴν τροφήν, ὅτι ἄρτον ἡμῖν δέδωκε τὸν τῆς ζωῆς. «Ὁ ἀποστέλλων τὸν λόγον αὐτοῦ τῇ γῇ· ἕως τάχους δραμεῖται ὁ λόγος αὐτοῦ». Ποῖος λόγος; εἰπέ μοι. Ὁ διὰ τῶν ἀποστόλων, ὁ πτεροῦ κουφότερον πάντα περιδραμών. Διὸ καὶ ὁ Δαυὶδ τοῦτο ἀλλαχοῦ αἰνιττόμενος, λέγει, «Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ». Εἰ δέ τις ἀμφιβάλλοι τῶν ἀνοήτων, ἀπὸ τῶν κατὰ τὰ στοιχεῖα γινομένων λαμβανέτω τὴν ἀπόδειξιν, καὶ μανθανέτω πῶς ἡ χιὼν ἀθρόον ἔπεισι, καὶ ἐν μιᾷ καιροῦ ῥοπῇ πᾶσαν καλύπτει τὴν γῆν, οὐκ ἐκ περιόδου ἐπιοῦσα τῷ προσώπῳ ταύτης, ἀλλ' ἀθρόον αὐτὴν περιστέλλουσα. Ἐπειδὴ τοίνυν προφήτης ἦν, καὶ εἰκὸς αὐτὸν τὰ μέλλοντα προαναφωνοῦντα καὶ αἰνιττόμενον κατὰ ἀναγωγὴν ταῦτα λέγειν, ἀκολούθως τῷ περὶ τῶν στοιχείων ἐνδιατρίβει λόγῳ. Ὃ δὲ λέγει τοιοῦτόν ἐστι· μέλλει πᾶσα ἡ γῆ τῷ λόγῳ τοῦ Θεοῦ κατηχεῖσθαι, καὶ μετὰ πολλοῦ τοῦ τάχους, καὶ ἐν βραχεῖ καιρῷ. Εἶτα ἵνα μή τις ἀμφιβάλλῃ, εἰ Ἰουδαῖοι ἔθνος ἓν τοσούτῳ χρόνῳ τοσαύτης ἀπο-

---

27. Ἰω. 1, 13.
28. Ἰω. 14, 27.
29. Ψαλμ. 67, 12.

τῆς φύσεως, ἀλλὰ μὲ τὴ βοήθεια τῆς χάριτος, καὶ γι' αὐτὸ ἀκριβῶς ἀμέσως σὲ μιὰ ἡμέρα, ἀφοῦ γεννήθηκαν μὲ τὴν καλὴ αὐτὴ ἀναγέννηση τρεῖς χιλιάδες, ἔπειτα πέντε χιλιάδες, ἔπειτα ἀμέτρητοι, καὶ ἔπειτα ὁλόκληρη ἡ οἰκουμένη, αὐξήθηκαν καὶ πληθύνθηκαν καὶ ἐπέδειξαν μὲ ἔργα τὴν εὐλογία τοῦ ἔλαβαν. Διότι «Γεννήθηκαν ὄχι ἀπὸ αἵματα, οὔτε ἀπὸ σαρκικὸ θέλημα, ἀλλ' ἀπὸ τὴ χάρη τοῦ Θεοῦ».

«Αὐτὸς ἐγκατέστησε εἰρήνη στὰ σύνορά σου». Αὐτὸ πρὸ πάντων θὰ μποροῦσε κάποιος νὰ τὸ ἀποδώσει κυρίως στὴν Ἐκκλησία· καὶ τὸ θαυμαστότερο βέβαια εἶναι, ὅτι, ἐνῶ πολεμοῦνταν, ἀπολάμβανε εἰρήνη, καὶ ἐνῶ ὅλοι τὴν ἐπιβουλεύονταν, μὲ φοβία ἀπολάμβανε τὴν πνευματικὴ χαρά. Γι' αὐτὸ καὶ ἔλεγε· «Σᾶς ἀφήνω τὴν εἰρήνη μου, σᾶς δίνω τὴν εἰρήνη μου»[28]. «Καὶ σὲ χορταίνει μὲ ἐκλεκτὸ σῖτο». Αὐτὸ εἶναι δυνατὸ ἀλληγορικὰ νὰ τὸ ἐννοήσουμε καὶ γιὰ τὴν Ἐκκλησία, μὲ τὴν ἔννοια τῆς πνευματικῆς τροφῆς, διότι μᾶς ἔδωσε τὸν ἄρτο τῆς ζωῆς. «Αὐτὸς ἀποστέλλει τὸ λόγο του στὴ γῆ, καὶ μὲ πάρα πολὺ μεγάλη ταχύτητα θὰ τρέξει ὁ λόγος του». Ποιὸς λόγος; πές μου. Ὁ λόγος ποὺ βγῆκε ἀπὸ τὸ στόμα τῶν ἀποστόλων καὶ διέτρεξε τὰ πάντα ἐλαφρότερα καὶ ἀπὸ φτερό. Γι' αὐτὸ καὶ ὁ Δαυὶδ ὑπαινισσόμενος σὲ ἄλλο μέρος αὐτό, λέγει· «Ὁ Κύριος θὰ δώσει λόγο σ' ἐκείνους ποὺ μὲ μεγάλη δύναμη κηρύσσουν τὸ χαρμόσυνο ἄγγελμα τῆς σωτηρίας»[29]. Ἂν ὅμως κάποιος ἀπὸ τοὺς ἀνόητους ἀμφιβάλλει, ἂς λάβει τὴν ἀπόδειξη ἀπὸ τὰ ὅσα συμβαίνουν στὰ φυσικὰ στοιχεῖα, καὶ ἂς μάθει πῶς τὸ χιόνι πέφτει ἀθόρυβα καὶ σὲ μιὰ μόνο στιγμὴ σκεπάζει ὁλόκληρη τὴ γῆ, χωρὶς νὰ καλύπτει αὐτὴν κατὰ διαστήματα, ἀλλὰ σὲ μιὰ στιγμὴ σκεπάζει αὐτήν. Ἐπειδὴ λοιπὸν ἦταν προφήτης καὶ φυσικὸ ἦταν νὰ προλέγει τὰ μελλοντικὰ καὶ νὰ κάμνει ὑπαινιγμοὺς καὶ νὰ τὰ λέγει αὐτὰ ἀλληγορικά, στὴ συνέχεια κάμνει λόγο γιὰ τὰ φυσικὰ στοιχεῖα. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Πρόκειται ὅλη ἡ γῆ νὰ κατηχηθεῖ μὲ τὸ λόγο τοῦ Θεοῦ, καὶ μὲ πολὺ μεγάλη ταχύτητα καὶ σὲ σύντομο χρόνο. Ἔπειτα γιὰ νὰ μὴ ἀμφιβάλλει κάποιος, ἂν οἱ Ἰουδαῖοι, ποὺ ἦταν ἕνα ἔθνος καὶ ποὺ ἀ-

λαῦσαν ἐπιμελείας οὐ γέγονε δόκιμον, πῶς τοὺς τὴν οἰκουμένην οἰκοῦντας ἐν βραχεῖ καιρῷ δυνατὸν μεταρρυθμισθῆναι, εἰς βεβαίωσιν τοῦ λόγου τὰ ἀπὸ τῶν στοιχείων παραδείγματα παραλαμβάνει, τὴν χιόνα, τὴν ὁμίχλην, τὸν κρύσταλλον, ἅπερ μάλιστα ἐν μιᾶ καιροῦ ῥοπῇ γίνεται.

Μὴ τοίνυν ἀπιστήσῃς, εἰ καὶ τὰ τῆς γνώμης αὐτῶν μέλλοι μεταβάλλεσθαι εὐκόλως. Ἀλλὰ πολλοὶ οἱ ἀνθιστάμενοι; Ἀλλὰ καὶ οὗτοι ἐκστήσονται καὶ παραχωρήσουσιν. Εἰ γὰρ ψῦχος ὀλίγον σφοδρότερον γινόμενον οὐδεὶς ἐνεγκεῖν δύναται, ἀλλ' εἴκουσι αὐτῷ πάντες καὶ παραχωροῦσι, πολλῷ μᾶλλον τῷ λόγῳ καὶ τῷ ἐπιτάγματι αὐτοῦ πάντα ἐκστήσεται τὰ ἐναντιούμενα. Καὶ γὰρ τὰς οὐσίας ἱκανὸς μεταθεῖναι, καὶ μὴ οὔσας παραγαγεῖν, καὶ εἰς τοσαύτην αὐξῆσαι δύναμιν, ὡς πᾶσι καὶ ἀνύποιστα ταῦτα γίνεσθαι. «Ὁ ἀπαγγέλλων τὸν λόγον αὐτοῦ τῷ Ἰακώβ, δικαιώματα καὶ κρίματα αὐτοῦ τῷ Ἰσραήλ». Ἐνταῦθα καὶ τὸν Ἰακὼβ οὐκ ἂν τις ἁμάρτοι τὸν πνευματικὸν εἰπών, καὶ τὸν Ἰσραήλ, ὃν καὶ Παῦλος οἶδε λέγων, «Εἰρήνη ὑμῖν καὶ ἐπὶ τὸν Ἰσραὴλ τοῦ Θεοῦ»· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

πόλαυσε ἐπὶ τόσο χρόνο τόση φροντιδα τοῦ Θεοῦ, δὲν παρουσίασε εὐδοκίμηση καὶ πρόοδο, πῶς εἶναι δυνατὸ νὰ μεταβληθοῦν μέσα σὲ σύντομο χρόνο οἱ κάτοικοι ὅλης τῆς οἰκουμένης, γιὰ νὰ ἐπιβεβαιώσει τὸ λόγο, παραλαμβάνει τὰ παραδείγματα ἀπὸ τὰ φυσικὰ στοιχεῖα, τὸ χιόνι, τὴν ὁμίχλη, τὸν πάγο, πράγματα ποὺ κατ' ἐξοχὴ γίνονται σὲ μιὰ στιγμή.

Μὴ λοιπὸν ἀπιστήσεις, ἂν πρόκειται τόσο εὔκολα νὰ ἀλλάξουν οἱ σκέψεις τους. Μὰ ὑπάρχουν πολλοὶ ποὺ προβάλλουν ἀντίσταση; Ἀλλὰ καὶ αὐτοὶ θὰ παραμερίσουν καὶ θὰ ὑποχωρήσουν. Διότι ἂν τὸ λίγο ψῦχος, ποὺ θὰ γίνει ἰσχυρότερο, δὲν μπορεῖ κανένας νὰ τὸ ὑποφέρει, ἀλλ' ὑποχωροῦν ὅλοι καὶ τὸ ἀποφεύγουν, πολὺ περισσότερο θὰ ὑποχωρήσουν ὅλα ἐκεῖνα ποὺ προβάλλουν ἀντίσταση στὸ λόγο καὶ στὸ πρόσταγμα τοῦ Θεοῦ. Καθόσον ἔχει τὴ δύναμη καὶ τὶς οὐσίες νὰ μεταβάλει καὶ νὰ τὶς παράγει ἀπὸ τὴν ἀνυπαρξία καὶ νὰ αὐξήσει τόσο πολὺ τὴ δύναμή τους, ὥστε νὰ γίνουν αὐτὰ σ' ὅλους ἀνυπόφρα. «Αὐτὸς φανέρωσε τὸ θέλημά του στὸν Ἰακώβ, καὶ τὶς ἐντολές του καὶ τὰ δίκαια προστάγματά του στὸν Ἰσραήλ». Ἐδῶ δὲν θὰ ἔσφαλλε κάποιος ἂν ἐξελάμβανε καὶ τὸν πνευματικὸ Ἰακῶβ καὶ τὸν Ἰσραήλ, τὸν ὁποῖο καὶ ὁ Παῦλος γνωρίζει, λέγοντας, «Εἰρήνη σὲ σᾶς καὶ στὸν Ἰσραὴλ τοῦ Θεοῦ», στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟΝ ΡΜΗ' ΨΑΛΜΟΝ.

«Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Αἰνεῖτε αὐτόν, πάντες οἱ ἄγγελοι αὐτοῦ».

1. Ἔθος τοιοῦτον τοῖς ἁγίοις διὰ πολλὴν εὐγνωμοσύνην, ἐπειδὰν μέλλωσιν εὐχαριστεῖν τῷ Θεῷ, πολλοὺς καλεῖν κοινωνοὺς τῆς εὐφημίας, καὶ παρακαλεῖν συνεφάπτεσθαι τῆς καλῆς ταύτης λειτουργίας αὐτοῖς. Τοῦτο καὶ οἱ παῖδες οἱ τρεῖς πεποιήκασι, τὴν κτίσιν ἅπασαν, ἡνίκα ἦσαν ἐν τῇ καμίνῳ, πρὸς τὴν εὐφημίαν τῆς ὑπὲρ αὐτῶν εὐεργεσίας καλέσαντες, καὶ πρὸς τὴν τοῦ Θεοῦ ὑμνῳδίαν. Τοῦτο καὶ οὗτος ἐνταῦθα ποιεῖ, ἑκάτερον τὸν κόσμον καλῶν, τὸν ἄνω, τὸν κάτω, τὸν αἰσθητόν, τὸν νοητόν. Τοῦτο καὶ ὁ προφήτης Ἠσαΐας, ὡς ὅταν λέγῃ· «Εὐφραινέσθωσαν οἱ οὐρανοί, καὶ ἀγαλλιάσθω ἡ γῆ, ὅτι ἠλέησεν ὁ Θεὸς τὸν λαὸν αὐτοῦ». Καὶ αὐτὸς δὲ οὗτος πάλιν, ὅταν λέγῃ· «Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, οἴκου Ἰακὼβ ἐκ λαοῦ βαρβάρου, τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοί, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων». Καὶ ἀλλαχοῦ πάλιν ὁ Ἠσαΐας· «Νεφέλαι ρανάτωσαν δικαιοσύνην». Ἅτε γὰρ οὐκ ὄντες ἱκανοὶ μόνοι πρὸς τὴν εὐφημίαν τοῦ Δεσπότου, περιέρχονται πάντας κοινωνοὺς λαβεῖν τῆς ὑμνῳδίας. Καὶ τοῦτο συνεχῶς μάλιστα οὗτος ποιεῖ, ὡς ὅταν λέγῃ, «Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ». Καὶ πάλιν, «Δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ».

---

* Ἀποτελεῖ θαυμάσιο ὕμνο. Ὁ ψαλμωδός, ποὺ βρίσκει ἀνεπαρκὴ τὴ γλῶσσα του νὰ δοξολογήσει καὶ εὐχαριστήσει τὸ Θεὸ γιὰ τὴν ἀποκατάσταση τῶν Ἰουδαίων, καλεῖ τὴν κτίση νὰ λάβει μέρος σ' αὐτὴ τὴν εὐχαριστία καὶ δοξολογία. Γράφτηκε κατὰ τοὺς χρόνους τοῦ Νεαμία κατὰ τοὺς ὁποίους ἀνοικοδομοῦνταν ἡ Ἰερουσαλήμ.

Ο Μ Ι Λ Ι Α

ΣΤΟ ΡΜΗ' ΨΑΛΜΟ*

«Αἰνεῖτε τὸν Κύριο ἀπὸ τοὺς οὐρανούς, αἰνεῖτε αὐτὸν μέσα στὰ ὕψη τοῦ οὐρανοῦ. Αἰνεῖτε αὐτὸν ὅλοι οἱ ἄγγελοι αὐτοῦ».

1. Ὑπάρχει τέτοια συνήθεια στοὺς ἁγίους ἐξ αἰτίας τῆς μεγάλης εὐγνωμοσύνης τους, ὅταν πρόκειται νὰ εὐχαριστήσουν τὸ Θεὸ νὰ προσκαλοῦν πολλοὺς γιὰ νὰ λάβουν μέρος στὴ δοξολογία καὶ νὰ τοὺς προτρέπουν νὰ συμβάλλουν καὶ αὐτοὶ μαζὶ μὲ αὐτοὺς στὴν καλὴ αὐτὴ ἐνέργεια. Αὐτὸ ἔκαναν καὶ τὰ τρία παιδιὰ ὅταν ἦταν μέσα στὴν κάμινο, καθόσον καὶ αὐτὰ κάλεσαν ὅλη τὴν κτίση γιὰ νὰ εὐχαριστήσουν καὶ νὰ δοξολογήσουν τὸ Θεὸ καὶ νὰ προσφέρουν ὕμνους σ' αὐτὸν γιὰ τὴν εὐεργεσία του πρὸς αὐτά[1]. Αὐτὸ κάμνει καὶ αὐτὸς ἐδῶ, καλώντας καὶ τοὺς δύο κόσμους, τὸν οὐράνιο καὶ τὸν ἐπίγειο, τὸν αἰσθητὸ καὶ τὸν ἀόρατο. Αὐτὸ κάμνει καὶ ὁ προφήτης Ἠσαΐας, ὅπως ὅταν λέγει· «Ἂς γεμίσουν ἀπὸ εὐφροσύνη οἱ οὐρανοὶ καὶ ἡ γῆ ἀπὸ ἀγαλλίαση, διότι εὐσπλαχνίστηκε ὁ Θεὸς τὸ λαό του»[2]. Καὶ αὐτὸς δὲ ὁ ἴδιος πάλι, ὅπως ὅταν λέγει· «Κατὰ τὴν ἔξοδο τοῦ Ἰσραὴλ ἀπὸ τὴν Αἴγυπτο, τοῦ οἴκου τοῦ Ἰακὼβ ἀπὸ τὸ βαρβαρικὸ λαό, τὰ ὄρη σκίρτησαν σὰν κριάρια καὶ τὰ βουνὰ σὰν τὰ ἀρνιὰ τῶν προβάτων»[3]. Καὶ ἀλλοῦ πάλι ὁ Ἠσαΐας λέγει· «Τὰ σύννεφα ἂς βρέξουν δικαιοσύνη»[4]. Διότι, ἐπειδὴ δὲν εἶναι ἱκανοὶ μόνοι τους νὰ δοξολογήσουν τὸν Κύριο, προσκαλοῦν ὅλους νὰ λάβουν μέρος στὴ δοξολογία. Καὶ αὐτὸ βέβαια συνέχεια αὐτὸς κάμνει, ὅπως ὅταν λέγει· «Καὶ ἂς προσκυνήσουν αὐτὸν ὅλοι οἱ ἄγγελοι τοῦ Θεοῦ»[5]. Καὶ πάλι, «Αὐτοὶ ποὺ ἔχουν μεγάλη δύναμη καὶ ἐκτελοῦν τὰ προστάγματά του»[6].

---

1. Δαν. 3, 27-67.
2. Ἠσ. 49, 13.
3. Ψαλμ. 113, 1· 4.
4. Ἠσ. 45, 8.
5. Ψαλμ. 96, 7.
6. Ψαλμ. 102, 20.

Καὶ ἕτερον δέ τι πάλιν ἐκ τούτων κατασκευάζει. Ποῖον δὴ τοῦτο; Τὸ μηδένα τῶν ἀλογωτέρων νομίσαι δύο δημιουργοὺς εἶναι. Ἐπειδὴ γὰρ αἱ κτίσεις διάφοροι, καὶ διεστήκασιν ἀλλήλων ταῖς οὐσίαις (ἡ μὲν γάρ ἐστιν αἰσθητή, ἡ δὲ νοητή· ἡ μὲν ὁρατή, ἡ δὲ ἀόρατος· ἡ μὲν σωμάτων ἐμπέπλησται, ἡ δέ ἐστιν ἀσώματος), ἵνα μή τις ἐκ τῆς διαφορᾶς τῶν ἔργων διαφόρους δημιουργοὺς ἐπεισαγάγῃ, ἕνα χορὸν ἵστησιν, ἐξ ἁπάντων μίαν ἀνάγων αὐτῷ τὴν μελῳδίαν, καὶ τὸν αὐτὸν λέγων δεῖν ὑπό τε τῆς ἄνω, ὑπό τε τῆς κάτω κτίσεως ἀνυμνεῖσθαι Θεόν, δηλῶν καὶ ἐντεῦθεν, ὅτι εἷς ἑκατέρας ὁ δημιουργός. Καὶ πρότερον ἄνωθεν ἄρχεται, λέγων· «Αἰνεῖτε αὐτόν, πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ». Ἕτερος, «Πᾶσαι αἱ στρατιαὶ αὐτοῦ»· τὰ Χερουβὶμ λέγων, τὰ Σεραφίμ, τὰς Κυριότητας, τὰς Ἀρχάς, τὰς Ἐξουσίας. Τοῦτο σφόδρα ἐκκαιομένης ψυχῆς, τοῦτο φίλτρου πεπυρωμένου, τὸ πάντας διεγείρειν πρὸς τὴν εὐφημίαν τοῦ ποθουμένου· τοῦτο συνεχῶς ἐντρυφώσης διανοίας τῇ περὶ τοῦ Θεοῦ ἐννοίᾳ, ἐκπληττομένης, θαυμαζούσης τὴν δόξαν αὐτοῦ, ἀνακειμένης αὐτῷ.

«Αἰνεῖτε αὐτόν, ἥλιος καὶ σελήνη· αἰνεῖτε αὐτόν, πάντα τὰ ἄστρα καὶ τὸ φῶς». Ἕτερος, «Ἀστέρες φωτός». Αἰνεῖτε αὐτόν, οἱ οὐρανοὶ τῶν οὐρανῶν· καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου. Ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν· αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν. Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος». Ἄλλος, «Ἔστησεν αὐτὰ διαμένειν αἰωνίως». Πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται». Τίνος ἕνεκεν ὀλίγα περὶ τῶν οὐρανίων δυνάμεων εἰπών, ταχέως ἐπεπήδησεν ἐκεῖθεν, καὶ ἐν τοῖς ὁρωμένοις τὸν λόγον ἀγαγών, ἐνταῦθα αὐτὸν μηκύνει, πάντα καθ᾽ ἕκαστον ἐπεξιών, τὰ

Καὶ κάτι ἄλλο δὲ πάλι κατορθώνει μὲ αὐτά. Ποιὸ λοιπὸν εἶναι αὐτό; Τὸ νὰ μὴ νομίσει κανένας ἀπὸ τοὺς πιὸ ἀνόητους ὅτι δύο εἶναι οἱ δημιουργοί. Ἐπειδὴ δηλαδὴ οἱ κόσμοι εἶναι διάφοροι καὶ διφέρουν μεταξύ τους ὡς πρὸς τὶς οὐσίες (διότι ὁ μὲν ἕνας εἶναι αἰσθητός, ὁ δὲ ἄλλος νοητός, ὁ μὲν ἕνας εἶναι ὁρατός, ὁ δὲ ἄλλος ἀόρατος, ὁ μὲν ἕνας εἶναι γεμάτος ἀπὸ σώματα, ὁ δὲ ἄλλος εἶναι ἀσώματος), γιὰ νὰ μὴ προβάλλει κάποιος, ἐξ αἰτίας τῆς διαφορᾶς τῶν δημιουργημάτων, διάφορους δημιουργούς, ἕνα χορὸ στήνει, προσφέροντας σ' αὐτὸν ἀπὸ ὅλους μιὰ μελωδία, καὶ λέγει ὅτι ὁ ἴδιος Θεὸς πρέπει νὰ ἀνυμνεῖται καὶ ἀπὸ τὸν οὐράνιο καὶ ἀπὸ τὸν ἐπίγειο κόσμο, κάμνοντας φανερὸ καὶ ἀπὸ ἐδῶ, ὅτι ἕνας εἶναι ὁ δημιουργὸς καὶ τῶν δύο κόσμων. Καὶ πρῶτα ἀρχίζει ἀπὸ τὸν οὐρανό, λέγοντας· «Αἰνεῖτε αὐτὸν ὅλοι οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτὸν ὅλες οἱ δυνάμεις αὐτοῦ». Ἄλλος λέγει, «Ὅλες οἱ στρατιὲς αὐτοῦ», ἐννοώντας τὰ Χερουβίμ, τὰ Σεραφίμ, τὶς Κυριότητες, τὶς Ἀρχές, τὶς Ἐξουσίες. Αὐτὸ δείχνει ψυχὴ ποὺ κατακαίεται ἀπὸ ὑπερβολικὸ πόθο, αὐτὸ εἶναι δεῖγμα ἀγάπης ὑπερβολικὰ θερμῆς, τὸ νὰ διεγείρει δηλαδὴ ὅλους πρὸς δοξολογία ἐκείνου ποὺ ποθεῖ· αὐτὸ εἶναι δεῖγμα διάνοιας ποὺ εἶναι ἀπορροφημένη ἀπὸ τὴ σκέψη γιὰ τὸ Θεό, ποὺ ἐκπλήσσεται καὶ θαυμάζει τὴ δόξα αὐτοῦ, ποὺ εἶναι ἀφοσιωμένη σ' αὐτόν.

«Αἰνεῖτε αὐτὸν ὁ ἥλιος καὶ ἡ σελήνη· αἰνεῖτε αὐτὸν ὅλα τὰ ἄστρα καὶ τὸ φῶς». Ἄλλος λέγει, «τὰ ἀστέρια τοῦ φωτός». «Αἰνεῖτε αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν· καὶ ἂς δοξολογήσουν τὸ ὄνομα τοῦ Κυρίου καὶ τὰ ὕδατα ποὺ βρίσκονται ἐπάνω ἀπὸ τοὺς οὐρανούς. Διότι αὐτὸς εἶπε καὶ δημιουργήθηκαν· αὐτὸς ἔδωσε ἐντολὴ καὶ κτίσθηκαν. Στερέωσε αὐτὰ γιὰ νὰ μένουν ἀμετακίνητα στὸν αἰώνα καὶ στὸν αἰώνα τοῦ αἰώνα». Ἄλλος, «Ἔστησε αὐτὰ γιὰ νὰ μένουν αἰώνια ἀμετακίνητα». «Ἔδωσε πρόσταγμα καὶ δὲν θὰ παρέλθει». Γιὰ ποιὸ λόγο, ἀφοῦ εἶπε λίγα γιὰ τὶς οὐράνιες δυνάμεις, ἀμέσως ἀπομακρύνθηκε ἀπὸ ἐκεῖ, καί, ἀφοῦ μετέφερε τὸ λόγο στὰ ὁρατὰ δημιουργήματα, παρατείνει αὐτὸν ἐδῶ, ἐξετάζοντας ὅλα ξεχωριστά, τὰ οὐράνια

ἄνω, τὰ κάτω; Ὅτι ταῦτα τοῖς τότε ἀκούουσι σαφέστερα ἦν, ὁρώμενα καὶ πρὸ ὀφθαλμῶν κείμενα. Διὸ καὶ Μωϋσῆς ἀρχόμενος τῆς δημιουργίας, καὶ μηδὲν περὶ τῶν ἄνω διαλεχθείς, μὴ μικρόν, μὴ μέγα, ἀπ' οὐρανοῦ καὶ γῆς ποιεῖται τὴν ἀρχήν, καὶ διαβαίνει λοιπὸν διὰ ἡλίου καὶ σελήνης, καὶ βοτανῶν, καὶ νηκτῶν, καὶ τετραπόδων, καὶ εἰς τὸν ἄνθρωπον καταλύει τὸν λόγον. Οὐρανοὺς δὲ οὐρανῶν ἐνταῦθα λέγων, οὐ πλῆθος ἐνδείκνυται, ἀλλ' οὐρανὸν οὐρανοῦ τὸν αὐτὸν λέγει. Τῇ γὰρ Ἑβραίων φωνῇ τὸν οὐρανὸν ἔθος οὐρανοὺς καλεῖν· καθάπερ καὶ ἑτέρωθί φησιν· «Ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ Κυρίῳ· τὴν δὲ γῆν ἔδωκε τοῖς υἱοῖς τῶν ἀνθρώπων».

«Καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν». Ἤκουες καὶ Μωϋσέως λέγοντος, ὅτι τῶν ὑδάτων τὰ μὲν εἴασε κάτω, τὰ δὲ ὑπὲρ τῶν νώτων τῶν οὐρανίων μετεωρίζεσθαι παρεσκεύασεν, ἐν τῷ μέσῳ τῆς ἀβύσσου πήξας τὸ στερέωμα, καὶ ὑπὲρ τῶν νώτων ἀφεὶς τὰ ὕδατα μένειν. Καὶ πῶς ταῦτα αἰνεῖ, ἴσως εἴποι τις ἄν, οὐ φωνὴν ἔχοντα, οὐ γλῶτταν, οὐ ψυχήν, οὐ λογισμόν, οὐ νοῦν, οὐ φωνητικὸν ὄργανον, οὐ διάνοιαν; Ὅτι δύο δοξολογίας τρόποι· εἷς μέν, ὁ διὰ ρημάτων, ἕτερος δέ, ὁ δι' ὄψεως, καὶ τρίτος δὲ μετὰ τούτων, ὁ διὰ βίου καὶ ἔργων. Καὶ γὰρ καὶ ἀνθρώπων οὐ φθεγγομένων μόνον, ἀλλὰ καὶ σιγώντων, δόξα ἀναφέρεται τῷ Θεῷ· ὥσπερ καὶ ὁ Χριστός φησι· «Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς». Καὶ πάλιν, «Τοὺς δοξάζοντάς με δοξάσω». Ἔστι καὶ διὰ γλώττης δοξολογία, ὡς καὶ Μωϋσῆς ἐδόξασε μετὰ τῆς Μαρίας λέγων· «Ἄσωμεν τῷ Κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται». Ἔστι καὶ ἡ διὰ τῆς

7. Ψαλμ. 113, 24.
8. Γέν. κεφ. 1.
9. Ματθ. 5, 16.
10. Α' Βασ. 2, 30.
11. Ἐξ. 15, 1.

καὶ τὰ ἐπίγεια; Διότι αὐτὰ ἦταν στοὺς τότε ἀκροατὲς περισσότερο κατανοητά, ἀφοῦ τὰ ἔβλεπαν καὶ βρίσκονταν μπροστὰ στὰ μάτια τους. Γι' αὐτὸ καὶ ὁ Μωϋσῆς ἀρχίζοντας τὴ διήγηση τῆς δημιουργίας καὶ χωρὶς νὰ πεῖ τίποτε γιὰ τὰ οὐράνια, οὔτε μικρό, οὔτε μεγάλο, κάμνει τὴν ἀρχὴ ἀπὸ τὸν οὐρανὸ καὶ τὴ γῆ καὶ προχωρεῖ στὴ συνέχεια στὴ δημιουργία τοῦ ἥλιου, τῆς σελήνης, τῶν βοτανῶν, τῶν ὑδροβίων, τῶν τετράποδων καὶ τερματίζει τὸ λόγο στὸν ἄνθρωπο. Λέγοντας δὲ ἐδῶ οὐρανοὺς οὐρανῶν, δὲν θέλει νὰ δηλώσει πλῆθος αὐτῶν, ἀλλὰ οὐρανὸ τοῦ οὐρανοῦ ὀνομάζει τὸ ἴδιο πράγμα. Διότι στὴ γλώσσα τῶν Ἑβραίων συνηθίζεται ὁ οὐρανὸς νὰ ὀνομάζεται οὐρανοί, ὅπως ἀκριβῶς καὶ ἀλλοῦ λέγει· «Ὁ οὐρανὸς τοῦ οὐρανοῦ ἀνήκει στὸν Κύριο, τὴν δὲ γῆ ἔδωσε στοὺς υἱοὺς τῶν ἀνθρώπων»[7].

«Καὶ τὸ ὕδωρ ποὺ βρίσκεται ἐπάνω ἀπὸ τοὺς οὐρανούς». Ἄκουσες καὶ τὸ Μωϋσῆ νὰ λέγει, ὅτι ἀπὸ τὰ ὕδατα, ἄλλα μὲν ἄφησε κάτω, ἄλλα δὲ τὰ ἔκανε νὰ περιφέρονται ἐπάνω ἀπὸ τὸν οὐρανό, σταθεροποιώντας τὸ στερέωμα στὸ μέσο τῆς ἀβύσσου[8], καὶ τοποθετώντας τὰ ὕδατα ἀκλόνητα στὴν ἐπιφάνεια τοῦ στερεώματος. Καὶ πῶς αὐτὰ δοξολογοῦν τὸ Θεό, θὰ μποροῦσε ἴσως νὰ πεῖ κάποιος, ἀφοῦ δὲν ἔχουν φωνή, οὔτε γλώσσα, οὔτε ψυχή, οὔτε λογικό, οὔτε νοῦ, οὔτε φωνητικὸ ὄργανο, οὔτε διάνοια; Διότι ὑπάρχουν δύο τρόποι δοξολογίας· ἕνας μὲν εἶναι ἐκεῖνος ποὺ γίνεται μὲ λόγια, ἄλλος δὲ μὲ τὴν ὄψη, καὶ τρίτος δὲ μαζὶ μὲ αὐτοὺς εἶναι ἐκεῖνος ποὺ γίνεται μὲ τὸν τρόπο ζωῆς καὶ μὲ τὰ ἔργα. Καθόσον δόξα ἀποδίδεται στὸ Θεὸ ὄχι μόνο ἀπὸ ἀνθρώπους ποὺ ἐκφράζουν αὐτὴν μὲ λόγια, ἀλλὰ καὶ ἀπὸ ἀνθρώπους ποὺ σιωποῦν, ὅπως ἀκριβῶς καὶ ὁ Χριστὸς λέγει· «Ἂς λάμψει τὸ φῶς σας μπροστὰ στοὺς ἀνθρώπους, γιὰ νὰ δοῦν τὰ καλά σας ἔργα καὶ νὰ δοξάσουν τὸν Πατέρα σας στὸν οὐρανό»[9]. Καὶ πάλι, «Θὰ δοξάσω ἐκείνους ποὺ μὲ δοξάζουν»[10]. Ὑπάρχει καὶ δοξολογία ποὺ γίνεται μὲ τὴ γλώσσα, ὅπως καὶ ὁ Μωϋσῆς δόξασε τὸ Θεὸ μαζὶ μὲ τὴ Μωρία, λέγοντας· «Ἂς δοξολογήσουμε τὸν Κύριο, διότι δοξάσθηκε μὲ πολὺ θαυμαστὸ τρόπο»[11]. Ὑπάρχει καὶ ἡ δοξολογία ἐκείνη ποὺ

κτίσεως αὐτῆς, ὡς αὐτὸς οὗτός φησιν· «Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ· ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα». Οὕτω καὶ ἐνταῦθα αἰνεῖ αὐτὸν ἡ κτίσις τῷ κάλλει, τῇ θέσει, τῷ μεγέθει, τῇ φύσει, τῇ χρήσει, τῇ διακονίᾳ, τῇ διαμονῇ, τῇ λυσιτελείᾳ τῇ ἐξ αὐτῶν γινομένῃ. Ὅταν οὖν λέγῃ, «αἰνεῖτε τὸν Κύριον, ἄγγελοι, δυνάμεις, οὐρανοί, σελήνη, ἥλιος, ἀστέρες, τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν», τοῦτο λέγει, ὅτι ἕκαστον τῶν γινομένων ἄξιον τῆς τοῦ πεποιηκότος σοφίας, καὶ πολλοῦ γέμει τοῦ θαύματος· ὅπερ συντόμως ὁ Μωϋσῆς ἐν προοιμίοις ἔλεγε «Καὶ εἶδεν ὁ Θεὸς ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν»· οὕτω καλά, ὡς δοξάζειν τὸν πεποιηκότα, καὶ τὸν θεατὴν ἐνάγειν εἰς εὐφημίαν τοῦ τεκτηναμένου.

2. Αἶνον οὖν τοῦτόν φησι, τὸ κάλλος τῶν γενομένων τίκτον ὑμνολογίαν τῷ πεποιηκότι. Ὅπερ καὶ ὁ Παῦλος δηλοῖ· «Τὰ γὰρ ἀόρατα ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης». Καὶ ὁ προφήτης δὲ οὗτος, εἰπὼν τὰ κτίσματα, καὶ τῇ ὄψει τῶν θεωμένων καταλιπὼν τὸ κάλλος αὐτῶν καταμανθάνειν καὶ τὸ μέγεθος καὶ τὴν χρείαν, αὐτὸς ἑτέραν τίθησιν αἰτίαν, λέγων, ὅτι «Αὐτὸς εἶπε, καὶ ἐγενήθησαν· αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν. Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται». Ὅτι μὲν οὖν καλὰ καὶ θαυμάσια, καὶ αὐτὴ ἡ ὄψις δηλοῖ, ὅτι δὲ καὶ δημιουργὸν ἔχει, καὶ οὐκ αὐτόματα ταῦτα, οὐδὲ ἀγένητα, ἱκανὸν μὲν καὶ τοῦτο ἀπὸ τῆς ἑρμηνείας αὐτῆς κατιδεῖν. Εἰ δέ τις ἀμφιβάλλοι, παρ' ἐμοῦ μανθανέτω, ὅτι δημιουργὸν ἔχει καὶ ποιητήν, καὶ προνοητὴν καὶ κηδεμόνα. Δύο γὰρ ἐνταῦθα τίθησι, μᾶλλον δὲ τρία· εἰ δέ τις ἀκριβῶς ἐξετάζοι,

---

12. Ψαλμ. 18, 1.
13. Γέν. 1, 31.
14. Ρωμ. 1, 20.

γίνεται μὲ τὴν ἴδια τὴν κτίση, ὅπως αὐτὸς ὁ ἴδιος λέγει· «Οἱ οὐρανοὶ διηγοῦνται τὴ δόξα τοῦ Θεοῦ, τὸ δὲ στερέωμα ἐξαγγέλλει τὴ δημιουργία του ἀπὸ τὰ χέρια αὐτοῦ»[12]. Ἔτσι καὶ ἐδῶ δοξολογεῖ αὐτὸν ἡ κτίση μὲ τὸ κάλλος της, τὴ θέση της, τὸ μέγεθός της, τὴ φύση της, τὴ χρησιμότητά της, τὴν ὑπηρεσία της, τὴ διατήρησή της, τὴν ὠφέλεια ποὺ προέρχεται ἀπ' αὐτήν. Ὅταν λοιπὸν λέγει, δοξολογεῖτε τὸν Κύριο, ἄγγελοι, δυνάμεις, οὐρανοί, σελήνη, ἥλιος, ἀστέρια, τὸ ὕδωρ ποὺ βρίσκεται ἐπάνω ἀπὸ τοὺς οὐρανούς, αὐτὸ ἐννοεῖ, ὅτι καθένα ἀπὸ τὰ δημιουργήματα αὐτὰ εἶναι ἀντάξιο τῆς σοφίας τοῦ δημιουργοῦ του καὶ γεμάτο ἀπὸ πολὺ θαυμασμό, πράγμα ποὺ ἔλεγε μὲ συντομία ὁ Μωϋσῆς στὴν ἀρχὴ τῆς ἐξιστορήσεως τῆς δημιουργίας· «Καὶ εἶδε ὁ Θεὸς ὅσα δημιούργησε, καὶ νὰ ἦταν πάρα πολὺ καλά»[13]· τόσο καλά, ὥστε νὰ γίνονται αἰτία δοξολογίας τοῦ δημιουργοῦ τους, καὶ νὰ ὁδηγοῦν τὸ θεατὴ σὲ δοξολογία τοῦ ἀρχιτέκτονά τους.

2. Δοξολογία λοιπὸν αὐτὸ ἐννοεῖ, τὸ κάλλος δηλαδὴ τῶν δημιουργημάτων ποὺ γεννᾶ ὑμνολογία στὸ δημιουργό. Αὐτὸ ἀκριβῶς δηλώνει καὶ ὁ Παῦλος· «Διότι οἱ ἀόρατες ἰδιότητές του βλέπονται καθαρὰ ἀπὸ τότε ποὺ δημιουργήθηκε ὁ κόσμος, καὶ ἡ αἰώνια δύναμή του καὶ ἡ θεότητά του»[14]. Καὶ ὁ προφήτης δὲ αὐτός, ἀφοῦ μίλησε γιὰ τὰ κτίσματα, καὶ ἄφησε στὰ ὄμματα τῶν ἀκροατῶν νὰ γνωρίσουν τὸ κάλλος, τὸ μέγεθος καὶ τὴν ἀναγκαιότητα αὐτῶν, ὁ ἴδιος ἀναφέρει ἄλλη αἰτία, λέγοντας, ὅτι «Αὐτὸς εἶπε καὶ δημιουργήθηκαν· αὐτὸς ἔδωσε ἐντολὴ καὶ κτίσθηκαν. Στερέωσε αὐτὰ γιὰ νὰ μένουν ἀμετακίνητα στὸν αἰῶνα, καὶ στὸν αἰῶνα τοῦ αἰῶνα. Ἔδωσε πρόσταγμα καὶ δὲν θὰ παύσει νὰ ἰσχύει». Τὸ ὅτι λοιπὸν εἶναι καλὰ καὶ ἄξια θαυμασμοῦ, τὸ φανερώνει καὶ ἡ ἴδια ἡ ὄψη, τὸ ὅτι δὲ ἔχουν καὶ δημιουργό, καὶ ὅτι δὲν δημιουργήθηκαν αὐτόματα, οὔτε εἶναι ἀδημιούργητα, εἶναι δυνατὸ μὲν καὶ αὐτὸ ἀπὸ τὴν ἑρμηνεία αὐτὴ νὰ τὸ διαπιστώσουμε, ἂν ὅμως ἀμφιβάλλει κάποιος, ἂς τὸ μάθει ἀπὸ μένα, ὅτι ἔχουν δημιουργὸ καὶ ποιητὴ καὶ προνοητὴ καὶ κηδεμόνα. Δυὸ δὲ ἀλήθειες ἐδῶ ἀναφέρει, μᾶλλον δὲ τρεῖς· ἂν δὲ κάποιος ἤθελε ἐξετάσει αὐτὰ μὲ προσοχή, καὶ τέσσερις· ὅτι

καὶ τέσσαρα· ὅτι τε ἐποίησε, καὶ ἐξ οὐκ ὄντων ἐποίησε, καὶ μετ' εὐκολίας ἐποίησε, καὶ γενόμενα διακρατεῖ. Τὸ μὲν γὰρ εἰπεῖν, «Αὐτὸς εἶπε», τὴν εὐκολίαν δηλοῖ· ὡς καὶ Παῦλος δηλῶν ἔλεγε, «Τοῦ ζωοποιοῦντος τοὺς νεκρούς, καὶ καλοῦντος τὰ μὴ ὄντα ὡς ὄντα», τῷ ὀνόματι τῆς κλήσεως τὴν εὐκολίαν ἡμῖν αἰνιττόμενος. Ὅτι δὲ καὶ γενόμενα διακρατεῖ, αὐτὸς ὁ προφήτης πάλιν δείκνυσιν ἐπαγαγών, «Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται».

Ὅρα καὶ ἐνταῦθα πάλιν τὴν ἐξουσίαν, τὴν εὐθεντίαν πῶς παρεδήλωσεν, οὐ τῷ «στῆναι» μόνον, ἀλλὰ καὶ τῷ εἰπεῖν, «Πρόσταγμα», ταῖς ἀνθρωπίναις λέξεσι τὴν ἐνέργειαν αὐτοῦ παραδηλῶν. Ὥσπερ γάρ σοι τὸ εἰπεῖν εὔκολον, καὶ τὸ προστάξαι ῥᾴδιον, οὕτω τῷ Θεῷ τὸ ποιῆσαι οὐκ ὄντα, καὶ γενόμενα διακρατῆσαι· μᾶλλον δὲ οὐχ οὕτως, ἀλλὰ καὶ πολλῷ πλέον. Οὐδὲ γὰρ δυνατὸν παραστῆσαι τῆς εὐκολίας τὴν ὑπερβολήν, μεθ' ἧς ταῦτα ἐποίησε. Καὶ τὸ δὴ θαυμαστόν, οὐχ ὅτι διακρατεῖ μόνον, οὐδὲ ὅτι ἑστήκασιν ἀκίνητοι οἱ νόμοι τῆς φύσεως, ἀλλ' ὅτι καὶ χρόνον οὕτως ἄπειρον. Ἐννόησον γοῦν πόσος αἰών, καὶ οὐδὲν συνεχύθη τῶν ὄντων· οὐ θάλαττα τὴν γῆν ἐπέκλυσεν, οὐχ ἥλιος τόδε τὸ ὁρώμενον κατέκαυσεν, οὐκ οὐρανὸς παρεσαλεύθη, οὐ νυκτός, οὐδὲ ἡμέρας ὅροι συνεχύθησαν, οὐχ ὡρῶν τροπαί, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν, ἀλλ' ἕκαστον καὶ τῶν κάτω καὶ τῶν ἄνω μετὰ πάσης ἕστηκε τῆς ἀκριβείας τοὺς ἅπαξ τεθέντας ὅρους ἐξ ἀρχῆς αὐτῷ διατηροῦν.

Εἰπὼν τοίνυν περὶ τῆς ἄνω κτίσεως καὶ τῶν κατ' οὐρανόν,

15. Ρωμ. 4, 17.

καὶ τὰ δημιούργησε, καὶ τὰ δημιούργησε ἀπὸ τὴν ἀνυπαρξία, καὶ μὲ εὐκολία τὰ δημιούργησε, καί, ἀφοῦ τὰ διημιούργησε, τὰ διατηρεῖ. Διότι μὲ τὸ νὰ πεῖ, «Αὐτὸς εἶπε», φανερώνει τὴν εὐκολία, καθὼς καὶ ὁ Παῦλος, γιὰ νὰ δηλώσει αὐτό, ἔλεγε, «Ὁ ὁποῖος ζωοποιεῖ τοὺς νεκροὺς καὶ καλεῖ στὴν ὕπαρξη τὰ ὄντα ποὺ δὲν ὑπάρχουν σὰν νὰ ὑπάρχουν»[15], ὑπαινισσόμενος σ' ἐμᾶς μὲ τὸ ὄνομα τῆς κλήσεως τὴν εὐκολία. Τὸ ὅτι δὲ καὶ τὰ διατηρεῖ ὅταν ἔλθουν στὴν ὕπαρξη ὁ ἴδιος ὁ προφήτης πάλι τὸ δείχνει, προσθέτοντας· «Τὰ στερέωσε γιὰ νὰ μένουν ἀμετακίνητα στὸν αἰώνα καὶ στὸν αἰώνα τοῦ αἰώνα. Ἔδωσε πρόσταγμα καὶ δὲν θὰ παύσει νὰ ἰσχύει ποτέ».

Πρόσεχε καὶ ἐδῶ πάλι πῶς ὑπαινίχθηκε τὴν ἐξουσία καὶ τὴν αὐθεντία, ὄχι μόνο μὲ τὸ νὰ πεῖ ὅτι τὰ «ἔστησε», ἀλλὰ καὶ μὲ τὸ νὰ προσθέσει «Πρόσταγμα», ὑπαινισσόμενος μὲ τὶς ἀνθρώπινες λέξεις τὴν ἐνέργεια αὐτοῦ. Διότι, ὅπως ἀκριβῶς σὲ σένα εἶναι εὔκολο τὸ νὰ πεῖς καὶ νὰ προστάξεις κάτι, ἔτσι καὶ στὸ Θεὸ εἶναι εὔκολο τὸ νὰ δημιουργήσει ὄντα ἀπὸ τὴν ἀνυπαρξία καὶ ὅταν τὰ δημιουργήσει νὰ τὰ συντηρήσει· μᾶλλον δὲ ὄχι ἔτσι, ἀλλὰ καὶ μὲ πολὺ περισσότερη εὐκολία. Διότι δὲν εἶναι δυνατὸ νὰ παραστήσουμε τὴν ὑπερβολικὴ εὐκολία μὲ τὴν ὁποία δημιούργησε αὐτά. Καὶ τὸ ἄξιο θαυμασμοῦ βέβαια εἶναι, ὄχι τὸ ὅτι τὰ συντηρεῖ μόνο, οὔτε τὸ ὅτι παραμένουν ἀκίνητοι οἱ νόμοι τῆς φύσεως, ἀλλὰ τὸ ὅτι αὐτὸ θὰ συμβαίνει καὶ σὲ τόσο πολὺ ἄπειρο χρόνο. Σκέψου λοιπὸν πόσοι αἰῶνες πέρασαν καὶ καμιὰ σύγχυση δὲν παρατηρήθηκε στὰ ὄντα· οὔτε ἡ θάλασσα κατέκλυσε τὴ γῆ, οὔτε ὁ ἥλιος κατέκαυσε αὐτὰ ἐδῶ ποὺ βλέπουμε, οὔτε ὁ οὐρανὸς παρασαλεύθηκε, οὔτε οἱ νόμοι τῆς νύχτας καὶ τῆς ἡμέρας ἔπαθαν κάποια σύγχυση, οὔτε οἱ ἐποχὲς μεταβλήθηκαν, οὔτε καὶ τίποτε ἄλλο ἀπὸ τὰ παρόμοια αὐτά, ἀλλὰ τὸ καθένα καὶ ἀπὸ τὰ ἐπίγεια καὶ ἀπὸ τὰ οὐράνια παραμένει ἀπαρασάλευτο μὲ κάθε ἀκρίβεια, διατηρώντας ἀπὸ τὴν ἀρχὴ τοὺς νόμους ποὺ ὁρίσθηκαν γι' αὐτὸ ἀπὸ τὴν πρώτη στιγμή.

Ἀφοῦ λοιπὸν μίλησε γιὰ τὰ οὐράνια δημιουργήματα καὶ

κάτεισιν ἐπὶ τὴν γῆν. Ὅπερ δὲ ἐποίησεν ἐπὶ τῶν ἄνω, ἀρξάμενος μὲν ἀπὸ τῶν ὑπερουρανίων, καταβὰς δὲ εἰς τὰ οὐράνια, τοῦτο καὶ ἐνταῦθα ποιεῖ ἀπὸ τῶν οὐρανίων ἐπὶ τὴν γῆν μεταπηδῶν. Ἐπειδὴ γάρ τινές εἰσι λέγοντες τὰ μὲν κατ' οὐρανὸν τῆς τοῦ Θεοῦ δημιουργίας ἄξια εἶναι, τῶν δὲ ἐπὶ γῆς ἐπιλαμβάνονται, διὰ τὸ ἐν αὐτῇ εἶναι σκορπίους λέγοντες, ἔχεις, δράκοντας, καὶ τὸ λοιπὸν τῶν θηρίων γένος, καὶ τὰ ἄκαρπα τῶν δένδρων, πρὸς τούτους ὥσπερ ἀπολογούμενος, ἑτέρως πάλιν μεταχειρίζει τὸν λόγον. Καὶ ὅρα τί ποιεῖ· τὰ ὡμολογημένα καλὰ ἀφείς, πρόβατα καὶ βόας, ὧν καὶ ἡ πεῖρα τὴν χρείαν δείκνυσιν, ὄνους, καμήλους, καὶ ὅσα πρὸς τὴν τῶν ἀγωγίμων ἡμῖν μετακομιδὴν ἐπιτήδεια, ἐν τοῖς δοκοῦσιν ἀχρήστοις εἶναι περιάγει τὸν λόγον, δράκοντας εἰς μέσον ἄγων, καὶ τὸ ἄπλωτον τοῦ πελάγους μέρος, καὶ τὰ δοκοῦντα λυπεῖν, οἷον τὸ πῦρ, τὴν χάλαζαν, τὴν χιόνα, τὸν κρύσταλλον· εἶτα τὰ ἄκαρπα τῶν δένδρων, τὰ ὄρη· καὶ πάλιν τὰ πεδία καταλιπών, τὰ ὕπτια καὶ πρὸς γεωργίαν ἐπιτήδεια καὶ καρπῶν ἡμέρων φοράν, ἐπὶ τὰ ὄρη μεταβαίνει καὶ τοὺς βουνοὺς καὶ τὰ ἐρημότερα τῶν χωρίων, καὶ τῶν ἑρπετῶν μέμνηται πάντων. Ὥστε δὲ σαφέστερον ταῦτα μαθεῖν, ἄξιον ἐπακοῦσαι αὐτῶν τῶν ῥημάτων.

Μετὰ γὰρ τὸ εἰπεῖν, «Πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται», ἐπήγαγεν· «Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι· πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ». Ἕτερος, «Ἄνεμος τυφῶνος». «Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα, καὶ πᾶσαι κέδροι· τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερω-

τὰ ὄντα ποὺ βρίσκονται στὸν οὐρανό, μεταφέρει τὸ λόγο στὴ γῆ. Καὶ ἐκεῖνο ποὺ ἔκαμε στὴν περίπτωση τῶν οὐράνιων ὄντων, ἀφοῦ ἄρχισε ἀπὸ τὰ ὑπερουράνια, κατέβηκε στὴ συνέχεια στὰ οὐράνια, αὐτὸ κάμνει καὶ ἐδῶ, μεταπηδώντας ἀπὸ τὰ οὐράνια στὰ ἐπίγεια. Ἐπειδὴ δηλαδὴ ὑπάρχουν μερικοὶ ποὺ λέγουν, ὅτι τὰ μὲν δημιουργήματα τοῦ οὐρανοῦ εἶναι ἀντάξια τῆς δημιουργίας τοῦ Θεοῦ, ἐνῶ γιὰ τὰ ἐπίγεια προβάλλουν ἀντιρρήσεις, γιὰ τὸ λόγο ὅτι ὑπάρχουν στὴ γῆ σκορπιοί, ἔχιδνες, δράκοντες, καὶ τὰ ὑπόλοιπα εἴδη τῶν θηρίων, καθὼς καὶ τὰ ἄκαρπα ἀπὸ τὰ δέντρα, σὰν ἀκριβῶς νὰ ἀπολογεῖται πρὸς αὐτούς, μὲ διαφορετικὸ τρόπο πάλι χρησιμοποιεῖ τὸ λόγο. Καὶ πρόσεχε τί κάμνει· ἀφοῦ ἄφησε κατὰ μέρος τὰ ὄντα ποὺ ὅλοι τὰ παραδέχονται σὰν καλά, τὰ πρόβατα καὶ τὰ βόδια, τῶν ὁποίων τὴ χρησιμότητα δείχνει καὶ ἡ πείρα, καθὼς καὶ τοὺς ὄνους, τὶς καμῆλες καὶ ὅσα ἄλλα εἶναι κατάλληλα γιὰ τὴν μεταφορὰ τῶν προϊόντων, μεταφέρει τὸ λόγο σ' ἐκεῖνα ποὺ θεωροῦνταν ἄχρηστα, παρουσιάζοντας τοὺς δράκοντες, τὸ μέρος τοῦ πελάγους ποὺ δὲν μποροῦν νὰ πλεύσουν τὰ πλοῖα, καὶ ἐκεῖνα ποὺ θεωροῦνται λυπηρά, ὅπως ἀκριβῶς τὸ πῦρ, τὸ χαλάζι, τὸ χιόνι, τὸν πάγο, καὶ στὴ συνέχεια παρουσιάζει τὰ ἄκαρπα ἀπὸ τὰ δένδρα καὶ τὰ ὄρη· καὶ πάλι, ἀφήνοντας τὶς πεδιάδες καὶ τὰ ἰσοπεδωμένα μέρη ποὺ εἶναι κατάλληλα γιὰ τὴ γεωργία καὶ γιὰ τὴν παραγωγὴ ἥμερων καρπῶν, μεταφέρει τὸ λόγο στὰ βουνὰ καὶ στὰ ἐρημότερα μέρη καὶ ἀναφέρει ὅλα τὰ ἑρπετά. Γιὰ νὰ κατανοήσουμε λοιπὸν αὐτὰ καλύτερα, ἀξίζει ν' ἀκούσουμε αὐτὰ τὰ λόγια.

Μετὰ λοιπὸν ἀπὸ τοὺς λόγους, «Ἔδωσε πρόσταγμα καὶ δὲν θὰ παύσει νὰ ἰσχύει ποτέ», πρόσθεσε· «Αἰνεῖτε τὸν Κύριο καὶ ἀπὸ τὴ γῆ, οἱ δράκοντες καὶ ὅλοι οἱ ἄβυσσοι, τὸ πῦρ, τὸ χαλάζι, τὸ χιόνι, ὁ πάγος, ὁ ἄνεμος ποὺ δημιουργεῖ τὶς καταιγίδες, τὰ ὁποῖα ἐκτελοῦν τὸ πρόσταγμά του». Ἄλλος λέγει, «Ὁ ἄνεμος τοῦ τυφώνα». «Αἰνεῖτε αὐτὸν τὰ ὄρη καὶ ὅλα τὰ βουνά, τὰ δένδρα τὰ καρποφόρα καὶ ὅλοι οἱ κέδροι, τὰ θηρία καὶ ὅλα τὰ κτήνη, τὰ ἑρπετὰ καὶ τὰ πτερωτὰ πετεινά». Γιὰ ποιὸ λόγο

τά». Τίνος ἕνεκεν οὕτω μεταχειρίζει τὸν λόγον; Ἐκ περιουσίας δεικνὺς τοῦ Θεοῦ τὴν πρόνοιαν. Εἰ γὰρ τὰ δοκοῦντα ἄχρηστα εἶναι, καὶ πολέμια τῷ γένει τῶν ἀνθρώπων, οὕτως ἐστὶ καλά, οὕτω χρήσιμα, ὡς καὶ αὐτὰ ὕμνον ἀναφέρειν τῷ Θεῷ καὶ δοξολογίαν διὰ τῆς οἰκείας δημιουργίας, ἐννόησον οἷα τὰ ἄλλα. Καὶ εἰ δοκεῖ, ἐπέλθωμεν ἕκαστον τῶν εἰρημένων.

3. «Δράκοντες», φησί, «καὶ πᾶσαι ἄβυσσοι». Δράκοντας ἐνταῦθα τὰ κήτη λέγει, ὡς καὶ ἀλλαχοῦ, ὅταν λέγῃ, «Δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ». Καὶ πολλαχοῦ ἴδοι τις ἂν τὸ ζῶον τοῦτο οὕτω καλούμενον. Καὶ πῶς τοῦτο αἰνεῖ; Ὅταν γὰρ ἴδῃς τὸ μέγεθος, τὴν σύμπηξιν τοῦ σώματος, ἣν ἐν τῷ Ἰὼβ ἡ Γραφὴ διηγεῖται μετὰ πλείονος τῆς σαφηνείας, πῶς οὐ θαυμάσεις τὸν δημιουργήσαντα, ἡλίκον ζῶον παρήγαγεν; Οὐ διὰ τὸ μέγεθος δὲ μόνον, ἀλλ' ὅτι καὶ χωρίον αὐτῷ τῆς θαλάσσης τὸ ἄπλωτον ἀπεκλήρωσε μέρος. Καὶ ἄξιον θαυμάζειν, πῶς οὐχ ὑπερβαίνει τοὺς οἰκείους ὅρους, ζῶον ἄγριον ὂν καὶ σφόδρα μέγιστον, ἀλλὰ μένει τοῖς οἰκείοις τόποις ἐνδιαιτώμενον, καὶ οὐ μόνον οὐκ ἔξεισι πρὸς τὴν γῆν οὐδὲ πρὸς τὴν οἰκουμένην χώραν, ἀλλ' οὐδὲ τῆς θαλάττης τὸ πρὸς ναυτιλίαν ἐπιτήδειον λυμαίνεται μέρος· οὐ δαπανᾷ τῶν ἰχθύων τὰ γένη, ἀλλ' εἴσω τῆς οἰκείας ἐνδιαιτᾶται χώρας. Καὶ οὐ ταῦτα μόνον ἄξιον θαυμάζειν, ἀλλὰ καὶ τὴν ἄβυσσον, ὅση τὸ βάθος ἐστίν. Ὅπερ δὲ ἐπὶ τοῦ θηρίου, τοῦτο καὶ ἐπὶ τῆς θαλάσσης ἐστὶν ἰδεῖν. Καὶ γὰρ καὶ αὕτη ταῖς τῶν πνευμάτων βίαις οὖσα ἀφόρητος, καὶ τοσοῦτον πλῆθος ὑδάτων ἔχουσα, οὐκ ἐκρήγνυται τῶν οἰκείων ὅρων, οὐκ ἐπικλύζει τὴν γείτονα γῆν, ἀλλὰ καὶ αὐτὴ δεσμοῖς ἀκινήτοις πεπέδηται, καίτοι γε ἄτακτος ἡ τῶν ὑδάτων φύσις. Ὅταν δὲ καὶ πλῆθος τοσοῦτον ᾖ, καὶ ὑπὸ τοσούτων πνευμάτων ὠθῆται, ἐννόησον ἡλίκου θαύ-

---

16. Ψαλμ. 103, 26.

μνημονεύει όλα αὐτά; Γιὰ νὰ δείξει μὲ ἀφθονία τὴν πρόνοια τοῦ Θεοῦ. Διότι ἂν αὐτά, ποὺ θεωροῦνται ὅτι εἶναι ἄχρηστα καὶ ἐχθρικὰ γιὰ τὸ γένος τῶν ἀνθρώπων, εἶναι τόσο καλά, τόσο χρήσιμα, ὥστε καὶ αὐτὰ νὰ ὑμνοῦν καὶ νὰ δοξολογοῦν τὸ Θεὸ μὲ τὴ δημιουργία τους ἀπὸ τὸ Θεό, σκέψου τί λογῆς εἶναι τὰ ἄλλα. Καὶ ἂν νομίζεις, ἂς ἐξετάσουμε ξεχωριστὰ τὸ καθένα ἀπὸ τὰ ὅσα ἀναφέρθηκαν.

3. «Δράκοντες» λέγει, «καὶ ὅλοι οἱ ἄβυσσοι». Δράκοντες ἐδῶ ἐννοεῖ τὰ κήτη, ὅπως καὶ ἀλλοῦ, ὅταν λέγει, «Ὁ δράκοντας αὐτός, ποὺ τὸν ἔπλασες γιὰ νὰ ἐμπαίζει τὴ θάλασσα»[16]. Καὶ ἀλλοῦ θὰ μποροῦσε κανεὶς νὰ δεῖ τὸ ζῶο αὐτὸ νὰ ὀνομάζεται ἔτσι. Καὶ πῶς, λέγει, αὐτὸ δοξολογεῖ τὸ δημιουργό; Καὶ πῶς δὲν τὸν δοξολογεῖ; Διότι, ὅταν δεῖς τὸ μέγεθος, τὴ συγκρότηση τοῦ σώματός του, τὴν ὁποία ἡ Γραφὴ περιγράφει μὲ μεγάλη σαφήνεια στὸ βιβλίο τοῦ Ἰώβ, πῶς δὲν θὰ θαυμάσεις τὸ δημιουργό του, ποὺ δημιούργησε ἕνα τόσο μεγάλο ζῶο; Ὄχι δὲ μόνο γιὰ τὸ μέγεθος, ἀλλὰ καὶ διότι ὅρισε σὰν τόπο διαμονῆς του τὸ ἄπλωτο μέρος τῆς θάλασσας. Καὶ εἶναι ἄξιο θαυμασμοῦ, πῶς δὲν ξεπερνᾶ τὰ ὅριά του, ἕνα ζῶο ἄγριο καὶ τόσο πολὺ μεγάλο, ἀλλὰ διαμένει καὶ διατρέφεται στοὺς δικούς του τόπους, καὶ ὄχι μόνο δὲν βγαίνει στὴν ξηρά, οὔτε στὴν κατοικημένη χώρα, ἀλλ' οὔτε προκαλεῖ καταστροφὲς στὸ μέρος τῆς θάλασσας ποὺ εἶναι κατάλληλο γιὰ τὴ ναυτιλία· δὲν κατατρώγει τὰ εἴδη τῶν ψαριῶν, ἀλλὰ διατρέφεται ἀπὸ ἐκεῖνα ποὺ ζοῦν μέσα στὸ δικό του χῶρο. Καὶ δὲν εἶναι μόνο αὐτὰ ἄξια θαυμασμοῦ, ἀλλὰ καὶ ἡ ἄβυσσος μὲ τὸ ἀμέτρητο βάθος της. Καὶ αὐτὸ ἀκριβῶς ποὺ συμβαίνει μὲ τὸ θηρίο, αὐτὸ μποροῦμε νὰ δοῦμε νὰ συμβαίνει καὶ στὴν περίπτωση τῆς θάλασσας. Καθόσον καὶ αὐτή, ἂν καὶ εἶναι ἀνυπόφορη ἐξ αἰτίας τῶν βιαίων ἀνέμων, καὶ ἔχει τόσο πλῆθος ὑδάτων, δὲν ἐξέρχεται ἀπὸ τὰ ὅριά της, δὲν κατακλύζει τὴ γειτονικὴ ξηρά, ἀλλὰ καὶ αὐτὴ συγκρατεῖται μὲ δεσμὰ ἀκλόνητα, ἂν καὶ βέβαια εἶναι ἄτακτη ἡ φύση τῶν ὑδάτων. Ὅταν ὅμως ὑπάρχει καὶ τόσος ὄγκος ὑδάτων καὶ διαταράσσεται ἀπὸ τόσους ἀνέμους, σκέψου πόσο ἄξιο θαυμασμοῦ εἶναι τὸ νὰ

ματος τὸ μήτε κατὰ τὴν ἀταξίαν μήτε τὸν ὄγκον μήτε τὴν βίαν ἐκπίπτειν τῆς οἰκείας χώρας, ἀλλὰ πᾶσαν ἐν ἀταξίᾳ τοσαύτῃ διατηρεῖν εὐταξίαν.

Ταῦτα τοίνυν ἀναλογιζόμενος δυνήσῃ καὶ ἐντεῦθεν ὕμνον ὑφαίνειν τῷ Θεῷ, καὶ θαυμάζειν αὐτοῦ τὴν δύναμιν, τὴν σοφίαν, τὴν ἰσχύν, τὴν ἐξουσίαν. Εἰσὶ δὲ καὶ ἕτεροι λόγοι ἀπόρρητοι τούτων, οὓς ὁ ποιήσας οἶδεν αὐτός. Διὸ καί τις ἔλεγε· «Μὴ εἴπῃς, διὰ τί τοῦτο; εἰς τί τοῦτο; Πάντα γὰρ εἰς χρείαν αὐτοῦ ἐγένετο. Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ. Ἐνταῦθα καὶ ἕτερόν τι μετὰ τῶν εἰρημένων προστίθησιν. Ἐν μὲν γὰρ τῷ προτέρῳ ψαλμῷ τοῦτο ἐθαύμαζεν, ὅτι ἐν βραχείᾳ καιροῦ ῥοπῇ πᾶσαν ἔπεισι τὴν γῆν ἡ χιών, ὁ κρύστλλος, ὅτι πήγνυται, ὅτι μεταβάλλεται, ὅτι πρὸς τὰ ἐναντία μεθίσταται· ἐνταῦθα δέ, ὅτι τε οὐκ ὄντα γέγονε, καὶ ὅτι γενόμενα μένει, καὶ ὅτι μένοντα διακόνων τάξιν ἀναπληροῖ, καίτοι γε ἄλογα ὄντα, καὶ τὸ πρόσταγμα αὐτοῦ μετὰ πολλῆς τῆς ὑπακοῆς εἰς ἔργον ἐξάγει. Μᾶλλον δὲ καὶ ἐναντία τῇ φύσει ἓν πολλάκις ἐπίταγμα ἤνυσεν, ὥσπερ ἐπὶ τῆς Βαβυλωνίας καμίνου τότε καῖον τὸ πῦρ καὶ δροσίζον, ἑκάτερα πρᾶττον ἐδείκνυτο.

Τοῦτο οὖν, φησίν, εὐχαριστίας ἄξιον; Καὶ πολλῆς μὲν οὖν. Τὸν γὰρ Θεὸν ὁμοίως ἀνυμνεῖν χρή, καὶ κολάζοντα καὶ ἀνιέντα κολάσεως. Ἀμφότερα γὰρ κηδεμονίας, ἀμφότερα ἀγαθότητος. Ἄνθρωποι μὲν γὰρ τὸ μὲν ἀγαθότητι ποιοῦσι, τὸ δὲ πονηρίᾳ καὶ θυμῷ· ὁ δὲ Θεὸς ἀμφότερα φιλανθρωπίᾳ. Ὁμοίως γοῦν αὐτὸν ἀνυμνεῖν δεῖ, καὶ ὅτι ἔθηκεν ἐν παραδείσῳ τὸν Ἀδάμ, καὶ ὅτι ἐξέ-

---

17. Ψαλμ. 147, 5-6.

μὴ ἐξέρχεται ἀπὸ τὸ δικό της χῶρο οὔτε ἐξ αἰτίας τῆς ἀταξίας, οὔτε ἐξ αἰτίας τοῦ ὄγκου της, οὔτε ἐξ αἰτίας τῶν βιαίων ἀνέμων, ἀλλὰ διατηρεῖ τόση εὐταξία μέσα στὴν τόσο μεγάλη ἀταξία.

Αὐτὰ λοιπὸν σκεπτόμενος θὰ μπορέσεις καὶ ἀπὸ ἐδῶ νὰ ὑφαίνεις ὕμνο στὸ Θεὸ καὶ νὰ θαυμάζεις τὴ δύναμή του, τὴ σοφία του, τὴν ἰσχύ του, τὴν ἐξουσία του. Ὑπάρχουν δὲ ἐκτὸς ἀπὸ αὐτοὺς καὶ ἄλλοι λόγοι ἀπόρρητοι, τοὺς ὁποίους γνωρίζει μόνο ὁ δημιουργός. Γι' αὐτὸ καὶ κάποιος ἔλεγε· 'Μὴ πεῖς, γιατί ἔγινε αὐτό; γιὰ ποιὸ σκοπὸ ἔγινε αὐτό; Διότι ὅλα ἔγιναν γιὰ νὰ ἐξυπηρετοῦν αὐτόν'. «Τὸ πῦρ, τὸ χαλάζι, τὸ χιόνι, ὁ πάγος, ὁ ἄνεμος τῆς καταιγίδας, ὅλα αὐτὰ ποὺ ἐκτελοῦν τὸ πρόσταγμα αὐτοῦ». Ἐδῶ προσθέτει μαζὶ μὲ τὰ ὅσα λέχθηκαν καὶ κάτι ἄλλο. Διότι στὸν μὲν προηγούμενο ψαλμὸ θαύμαζε αὐτό, τὸ ὅτι δηλαδὴ σὲ πάρα πολὺ σύντομο χρονικὸ διάστημα σκεπάζει ὁλόκληρη τὴ γῆ τὸ χιόνι, ὁ πάγος, τὸ ὅτι παγώνει, τὸ ὅτι μεταβάλλεται, τὸ ὅτι μετατρέπεται στὴν ἀντίθετη κατάσταση[17], ἐνῶ ἐδῶ τὸ ὅτι δημιουργήθηκαν ἀπὸ τὸ μηδέν, τὸ ὅτι, ἀφοῦ δημιουργήθηκαν, παραμένουν ἀμετακίνητα, καὶ τὸ ὅτι, παραμένοντας ἀμετακίνητα, ἀναπληρώνουν τὴ θέση ὑπηρετῶν, ἂν καὶ βέβαια εἶναι ἄλογα, ὅμως ἐκτελοῦν μὲ μεγάλη ὑπακοὴ τὸ πρόσταγμά του. Καὶ βέβαια πολλὲς φορὲς καὶ κάποιο πρόσταγμά του ἐπέτυχε ἀντίθετα ἀποτελέσματα, ὅπως ἀκριβῶς τότε στὴν περίπτωση τῆς βαβυλώνιας καμίνου τὸ πῦρ ποὺ ἔκαιε καὶ δρόσιζε, ἐκτελώντας καὶ τὶς δύο προσταγές.

Αὐτὸ λοιπόν, λέγει, εἶναι ἄξιο εὐχαριστίας; Καὶ βέβαια εἶναι ἄξιο μεγάλης εὐχαριστίας. Διότι πρέπει τὸ Θεὸ κατὰ τὸν ἴδιο τρόπο νὰ τὸν ἀνυμνοῦμε, καὶ ὅταν μᾶς τιμωρεῖ καὶ ὅταν μᾶς ἀπαλλάσσει ἀπὸ τὴν τιμωρία. Διότι καὶ τὰ δύο εἶναι δείγματα κηδεμονίας, καὶ τὰ δύο εἶναι δείγματα ἀγαθότητας. Διότι οἱ μὲν ἄνθρωποι τὴν μὲν εὐεργεσία τὴν κάμνουν ἀπὸ ἀγαθότητα, τὴν δὲ τιμωρία ἀπὸ κακία καὶ θυμό, ἐνῶ ὁ Θεὸς καὶ τὰ δύο τὰ κάμνει ἀπὸ φιλανθρωπία. Ὅμοια λοιπὸν πρέπει νὰ ἀνυμνοῦμε τὸ Θεὸ καὶ γιὰ τὸ ὅτι τοποθέτησε τὸν Ἀδὰμ στὸν παρά-

βαλε, καὶ χάριν εἰδέναι οὐχ ὑπὲρ τῆς βασιλείας μόνον, ἀλλὰ καὶ ὑπὲρ τῆς γεέννης. Καὶ γὰρ καὶ ταύτην ἐποίησέ τε καὶ ἠπείλησεν, ὥστε κακίας ἀπαλλάξαι. Ὥσπερ οὖν ἰατρὸν οὐ τρέφοντα μόνον, ἀλλὰ καὶ ἄγχοντα λιμῷ, οὐκ εἰς ἀγορὰν μόνον ἐξάγοντα, ἀλλὰ καὶ ἐν οἴκοις που κατακλείοντα, οὐκ ἀλείφοντα μόνον, ἀλλὰ καὶ καίοντα καὶ τέμνοντα θαυμάζομεν (εἰ γὰρ καὶ ἐναντία τὰ γινόμενα, ἀλλὰ πρὸς ἓν ὁρᾷ τέλος), οὕτω καὶ τὸν Θεὸν ὑπὲρ ἁπάντων ἀνυμνεῖν χρή, καὶ πολλῷ πλέον, ὅσῳ ὁ μὲν Θεός, ὁ δὲ ἄνθρωπος· καὶ ὅτι τὰ μὲν τούτων πολλάκις καὶ εἰς τοὐναντίον ἐξέβη, τὰ δὲ τοῦ Θεοῦ μετὰ τῆς προσηκούσης γίνεται σοφίας καὶ κηδεμονίας.

Οὐ τιμωρεῖται δὲ μόνον χάλαζα καὶ πῦρ, ἀλλὰ καὶ τιμωρίας ἀπήλλαξε, καὶ πολέμους ἔστησε, καὶ ἐχθροὺς ἐπιόντας ἀπεκρούσατο. Ἢ οὐκ οἶσθα ἐν Αἰγύπτῳ ὅσα διὰ τούτων ἐθαυματουργήθη τῶν στοιχείων, καὶ ἐπὶ τῶν Ἰουδαίων, καὶ ἐπὶ τῆς γενεᾶς τῆς ἡμετέρας; Καὶ τοσαύτη ἡ τοῦ κελεύοντος δύναμις, ὅτι ἅπερ δι' ἀγγέλων ἐποίει, τῶν νοερῶν ἐκείνων καὶ μεγάλων δυνάμεων, ταῦτα πολλάκις καὶ διὰ τῶν στοιχείων ἐθαυματούργει, ἵνα ὅταν καὶ ἄγγελος ταῦτα ἐργάσηται, μηδεὶς τῶν ἀνοητοτέρων ἐκείνῳ λογίζηται, ἀλλὰ τῷ ἐπιτάξαντι. Ἔστησεν οὖν ἄγγελος πόλεμον; Ἔστησε καὶ χάλαζα. Ἀνεῖλε τὰ πρωτότοκα ἄγγελος; Ἀνεῖλε καὶ καταιγὶς θαλάττης τὸν δῆμον ἅπαντα. Ὑπὲρ ἁπάντων τοίνυν εὐχαρίστει τῷ φιλανθρώπῳ Θεῷ. «Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα καὶ πᾶσαι κέδροι· τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετά, καὶ πετεινὰ πτερωτά». Ὅρα πῶς τοῖς ἀχρηστοτέροις μᾶλλον ἐμφιλοχωρεῖ, ὄρεσι καὶ νάπαις, καὶ βου-

---

17α. Ἐξ. 14, 19.
18. Ἐξ. 9, 13-26.
19. Ἐξ. 12, 29.
20. Ἐξ. 14, 23-31.

δεισο καὶ γιὰ τὸ ὅτι τὸν ἔδιωξε ἀπ' αὐτόν, καὶ νὰ τὸν εὐγνωμονοῦμε ὄχι μόνο γιὰ τὴν οὐράνια βασιλεία, ἀλλὰ καὶ γιὰ τὴ γέεννα. Καθόσον καὶ αὐτὴν καὶ τὴν δημιούργησε καὶ μᾶς ἀπείλησε μὲ αὐτήν, ὥστε νὰ μᾶς ἀπαλλάξει ἀπὸ τὴν κακία. Ὅπως ἀκριβῶς δηλαδὴ θαυμάζομε τὸν ἰατρὸ ὄχι μόνο γιὰ τὴν τροφὴ ποὺ παρέχει στὸν ἀσθενή, ἀλλὰ καὶ γιὰ τὴ δίαιτα μὲ τὴν ὁποία τὸν καταπονεῖ, ὄχι μόνο ποὺ τὸν ἐπιτρέπει νὰ βγεῖ στὴν ἀγορά, ἀλλὰ καὶ ποὺ κάποτε τὸν περιορίζει στὴν οἰκία, ὄχι μόνο ποὺ θέτει ἀλοιφὲς στὶς πληγές, ἀλλὰ καὶ ποὺ τὶς καυτηριάζει καὶ τὶς ἐγχειρίζει (διότι, ἂν καὶ εἶναι ἀντίθετα αὐτὰ ποὺ κάμνει, ἀλλ' ὅμως πρὸς ἕνα σκοπὸ ἀποβλέπει), ἔτσι καὶ τὸ Θεὸ πρέπει γιὰ ὅλα νὰ τὸν ἀνυμνοῦμε, καὶ πολὺ περισσότερο, ὅσο αὐτὸς μὲν εἶναι Θεός, ὁ δὲ ἰατρὸς ἄνθρωπος· καὶ διότι πολλὲς φορὲς τῶν μὲν ἰατρῶν οἱ ἐνέργειες εἶχαν ἀντίθετα ἀποτελέσματα, ἐνῶ τοῦ Θεοῦ τὰ πάντα γίνονται μὲ τὴν πρέπουσα σοφία καὶ τὴ φροντίδα.

Δὲν προξενεῖ τὸ χαλάζι καὶ ἡ φωτιὰ μόνο τιμωρίες, ἀλλὰ καὶ ἀπὸ τιμωρίες ἀπάλλαξε καὶ πολέμους σταμάτησε καὶ ἐπιθέσεις ἐχθρῶν ἀπέκρουσε. Ἢ δὲν γνωρίζεις στὴν Αἴγυπτο πόσα θαύματα ἔγιναν μὲ αὐτὰ τὰ στοιχεῖα, καὶ πρὸς τοὺς Ἰουδαίους καὶ πρὸς τὴ δική μας γενεά; Καὶ τόσο μεγάλη εἶναι ἡ δύναμη ἐκείνου ποὺ προστάζει αὐτά, ὥστε ἐκεῖνα ἀκριβῶς ποὺ ἔκαμνε μὲ τοὺς ἀγγέλους, τὶς νοερὲς ἐκεῖνες καὶ μεγάλες δυνάμεις, αὐτὰ πολλὲς φορὲς τὰ θαύματα ἔκαμνε καὶ μὲ τὰ στοιχεῖα αὐτά, ὥστε, ὅταν καὶ ὁ ἄγγελος κάνει αὐτά, κανεὶς ἀπὸ τοὺς ἀνοητότερους νὰ μὴ τὰ ἀποδίδει σ' ἐκεῖνον, ἀλλὰ στὸ Θεὸ ποὺ τό, διέταξε αὐτά. Σταμάτησε λοιπὸν κάποτε ἄγγελος πόλεμο[17]; Σταμάτησε καὶ τὸ χαλάζι[18]. Ἐξολόθρευσε ἄγγελος τὰ πρωτότοκα[19]; Ἐξολόθρευσε καὶ καταιγίδα τῆς θάλασσας ὁλόκληρο τὸ λαό[20]. Γιὰ ὅλα λοιπὸν νὰ εὐχαριστεῖς τὸν φιλάνθρωπο Θεό. «Τὰ ὄρη καὶ ὅλα τὰ βουνά, τὰ καρποφόρα δένδρα καὶ ὅλοι οἱ κέδροι· τὰ θηρία καὶ ὅλα τὰ κτήνη, τὰ ἑρπετά, καὶ τὰ πτερωτὰ πετεινά». Πρόσεχε πῶς ἀσχολεῖται περισσότερο μὲ τὰ πιὸ ἄχρηστα στοιχεῖα, μὲ τὰ ὄρη καὶ τὰ φαράγγια, μὲ τὰ

νοῖς, καὶ θηρίοις, ἑρπετοῖς, καὶ ξύλοις ἀκάρποις. Τὰ μὲν γὰρ καρποφόρα αὐτόθεν δήλην ἔχει τὴν χρείαν, ὥσπερ καὶ τὰ ὕπτια πεδία καὶ τὰ ἥμερα ζῶα, τὰ δὲ θηρία, καὶ τὰ ἑρπετά, καὶ τὰ ὄρη, καὶ τὰ ἄκαρπα δένδρα ποίαν ἀνύει χρείαν, φησί; Πολλὴν μὲν οὖν, καὶ σφόδρα τὴν ζωὴν συνέχουσαν τὴν ἡμετέραν. Καὶ γὰρ πρὸς οἰκοδομίας ὄρη καὶ βουνοὶ καὶ ξύλα ἄκαρπα σφόδρα ἡμῖν ἐπιτήδεια, καὶ εἰ μὴ τούτων ἀπελαύομεν, οὐδὲν ἐκώλυε διαφθείρεσθαι τὸ γένος τὸ ἡμέτερον. Ὥσπερ οὖν ἐπιδεόμεθα τῶν ἡμέρων χωρίων εἰς τὸ τρέφεσθαι, οὕτω δεόμεθα καὶ τῶν ἀκάρπων ξύλων καὶ λίθων εἰς τὸ τὰς οἰκίας οἰκοδομεῖν, καὶ μυρία ἕτερα ἐντεῦθεν κατασκευάζειν.

4. Ἀλλ' οἱ ὄφεις, φησί, καὶ οἱ σκορπίοι, καὶ οἱ δράκοντες, καὶ οἱ λέοντες, τί χρήσιμον εἰσάγουσιν εἰς τὸν βίον; τί δὲ αὐτῶν τὸ κέρδος; Πολὺ καὶ ἄφατον, καὶ τῶν ἡμέρων οὐκ ἔλαττον. Ἐκεῖνα μὲν γὰρ πρὸς τὴν τοῦ σώματος χρείαν ἐστὶν ἐπιτήδεια, ταῦτα δέ σοι καὶ φόβον ἐπιτειχίζει, καὶ σωφρονεῖν παρασκευάζει, καὶ ἐναγώνιον ποιεῖ, καὶ ἀναμιμνήσκει σε τῆς ἐν τῷ παραδείσῳ τοῦ προπάτορος ἁμαρτίας, καὶ δείκνυσιν ὅσων κακῶν αἰτία ἡ παρακοή. Οὐ γὰρ τοιαῦτα ἦν πρὸ τούτου τὰ θηρία, φοβερὰ καὶ φευκτὰ τῷ ἀνθρώπῳ, ἀλλὰ τιθασσὰ καὶ χειροήθη. Ἤγαγε γοῦν αὐτὰ πρὸς τὸν Ἀδὰμ ὁ Θεός, καὶ αὐτὸς ἐπέθηκεν αὐτοῖς τὰ ὀνόματα. Ὁ ὄφις τῇ γυναικὶ διαλέγεται, καὶ οὐκ ἀποπηδᾷ ἡ Εὔα. Ἐπειδὴ δὲ παρεβάθη ἡ ἐντολή, καὶ ὁ Θεὸς παρηκούσθη, ἠκρωτηριάσθη τὰ τῆς τιμῆς. Ὅταν τοίνυν ἴδῃς λέοντα, ὅταν ἴδῃς ὄφιν, ἀναμιμνήσκου τῶν διηγημάτων, καὶ οὐ μικράν σοι παρέξει ταῦτα φιλοσοφίας ὑπόθεσιν. Ἀναμιμνήσκου δὲ καὶ τοῦ Δανιήλ, πῶς, ἐπειδὴ πρὸς τὴν παλαιὰν ἐπανῆλθεν εἰκόνα, εὐκαταφρόνη-

βουνά, τὰ θηρία, τὰ ἑρπετά, τὰ δένδρα τὰ ἄκαρπα. Διότι τὰ μὲν καρποφόρα δένδρα ἔχουν ὁλοφάνερη τὴ χρησιμότητα, ὅπως καὶ οἱ ὁμαλὲς πεδιάδες καὶ τὰ ἥμερα ζῶα, ἐνῶ τὰ θηρία καὶ τὰ ἑρπετὰ καὶ τὰ ὄρη καὶ τὰ ἄκαρπα δένδρα ποιὰ ὠφέλεια, λέγει, παρέχουν; Καὶ βέβαια παρέχουν μεγάλη ὠφέλεια καὶ συγκρατοῦν σὲ μεγάλο βαθμὸ τὴν ἑνότητα καὶ ἁρμονία τῆς ζωῆς μας. Καθόσον τὰ ὄρη καὶ τὰ βουνὰ καὶ τὰ ἄκαρπα δένδρα μᾶς εἶναι πάρα πολὺ κατάλληλα γιὰ τὶς οἰκοδομές, καὶ ἂν δὲν εἴχαμε στὴ διάθεσή μας αὐτά, τίποτε δὲν θὰ ἐμπόδιζε νὰ καταστραφεῖ τὸ ἀνθρώπινο γένος. Ὅπως ἀκριβῶς λοιπὸν χρειαζόμαστε τὰ καλλιεργημένα χωράφια γιὰ τὴν τροφή μας, ἔτσι χρειαζόμαστε καὶ τὰ ἄκαρπα δένδρα καὶ τοὺς λίθους γιὰ νὰ χτίζουμε τὶς οἰκίες καὶ νὰ κατασκευάζουμε ἀπὸ αὐτὰ ἀμέτρητα ἄλλα πράγματα.

4. Ἀλλὰ τὰ φίδια, λέγει, καὶ οἱ σκορπιοί, οἱ δράκοντες καὶ τὰ λεοντάρια, τί τὸ χρήσιμο προσφέρουν στὴ ζωή; ποιὸ εἶναι τὸ κέρδος ἀπὸ αὐτά; Εἶναι μεγάλο καὶ ἀπερίγραπτο, καὶ δὲν εἶναι μικρότερο ἀπὸ τὰ ἥμερα. Διότι, ἐκεῖνα μὲν εἶναι κατάλληλα γιὰ τὶς ἀνάγκες τοῦ σώματος, ἐνῶ αὐτὰ καὶ μὲ φόβο σὲ περιτειχίζουν, καὶ σοῦ παρέχουν σωφροσύνη, καὶ σὲ βάζουν σὲ ἀγωνία, καὶ σοῦ ὑπενθυμίζουν τὴν ἁμαρτία τοῦ προπάτορά μας στὸν παράδεισο, καὶ δείχνουν πόσων κακῶν εἶναι αἰτία ἡ παρακοή. Καθόσον πρὶν ἀπὸ τὴν παρακοὴ δὲν ἦταν τέτοια τὰ θηρία, φοβερὰ ὥστε νὰ τὰ ἀποφεύγει ὁ ἄνθρωπος, ἀλλ' ἦταν ἥμερα καὶ εὐκολοχειραγωγούμενα. Διότι ὁδήγησε αὐτὰ ὁ Θεὸς πρὸς τὸν Ἀδὰμ καὶ αὐτὸς ἔδωσε τὰ ὀνόματά τους. Τὸ φίδι συνομιλεῖ μὲ τὴ γυναίκα καὶ δὲν τὸ φοβᾶται ἡ Εὕα. Ἐπειδὴ ὅμως παραβιάσθηκε ἡ ἐντολὴ καὶ παρακούσθηκε ὁ Θεός, μειώθηκε καὶ ὁ σεβασμὸς τῶν θηρίων πρὸς τὸν ἄνθρωπο. Ὅταν λοιπὸν δεῖς λεοντάρι, ὅταν δεῖς φίδι, ἐνθυμήσου τὶς σχετικὲς διηγήσεις καὶ δὲν θὰ σοῦ προσφέρουν αὐτὲς μικρὴ ἀφορμὴ φιλοσοφίας. Ἐνθυμήσου δὲ καὶ τὸν Δανιήλ, πῶς, ἐπειδὴ ἐπανῆλθε πρὸς τὴν παλιὰ εἰκόνα, περιφρονοῦσε τὰ φοβερὰ θηρία, ὅπως ἀκριβῶς

τα ἦν αὐτῷ τὰ φοβερὰ θηρία, ὥσπερ καὶ Παύλῳ ἡ ἔχις, καὶ οὐ μικρὰν ἐντεῦθεν καρπώσῃ σπουδὴν καὶ ἐπιμέλειαν ψυχῆς.

Μετὰ τούτων δὲ καὶ ἑτέρωθέν ἐστι θαυμάσαι τοῦ Θεοῦ τὴν οἰκονομίαν τὴν ἐπ' αὐτοῖς καὶ τὴν διάταξιν. Ποίαν δὲ ταύτην; Ὅτι καὶ τούτοις ἀφώρισε χωρία ἀπῳκισμένα τῶν πόλεων, τὰς ἐρημίας· καὶ οὕτω φοβερὰ ὄντα οὐκ ἐμφιλοχωρεῖ ταῖς πόλεσιν, οὐδὲ κατατρέχει τοὺς ἔνδον οἰκοῦντας, ἀλλὰ στέργει καὶ ἀγαπᾷ τὴν ἔρημον, ἄνωθεν τοῦ Θεοῦ τοῦτο αὐτοῖς συγκληρώσαντος, καὶ τόπον ἐπιτήδειον ἔχειν καὶ κλῆρον διαίτης. Ὅταν γὰρ σὺ καθεύδῃς, τότε ἐκεῖνα τὴν ἔρημον ἔπεισιν. Ὅπερ καὶ ἀλλαχοῦ δείκνυσιν ὁ προφήτης, οὕτω λέγων· «Ἔθου σκότος, καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ». Εἶδες πῶς καὶ νῦν μένει σοι τῆς ἀρχῆς τὰ ἴχνη, εἰ καὶ ἠκρωτηριασμένα, ἀλλ' ὅμως ἔχοντα αἴνιγμα τῆς παλαιᾶς τιμῆς; Ὥσπερ γὰρ δοῦλα, οὕτως ἀπῴκισται καὶ τῷ καιρῷ καὶ τῷ τόπῳ· κἂν μὴ σὺ τούτοις ἐπέλθῃς, αὐτὰ οὐκ ἔπεισιν, ἀλλ' ἐνδιαιτᾶται ταῖς ἐρήμοις.

Εἰ δὲ ἀθυμεῖς καὶ δυσχεραίνεις, τίνος ἕνεκεν γέγονε θηρία, σφόδρα ἀνοηταίνεις. Ἂν γὰρ σὺ τὰ κατὰ σαυτὸν καλῶς οἰκονομήσῃς, οὐδὲν ἐντεῦθεν βλαβήσῃ· εἰ δὲ ἀπὸ θηρίων δέχῃ βλάβην, ἐννόησον ὅτι παρὰ ἀνθρώπων πολλάκις χαλεπωτέραν ἐδέξω. Ἔστι γὰρ καὶ θηρίου ἄνθρωπος χαλεπώτερος. Τὸ μὲν γὰρ προφανῆ τὴν θηριωδίαν ἔχει, οὗτος δὲ κρύπτει τὴν πονηρίαν τῷ τῆς ἐπιεικείας προσωπείῳ, ὅθεν καὶ πολλάκις ἐστὶ δυσφύλακτος. Ἀλλ' ἐὰν νήφῃς, οὔτε θηρίον, οὔτε ἄνθρωπός σε δεινόν τι ἐργάσεται, ἀλλὰ καὶ τὰ μέγιστα ὠφελήσει. Καὶ τί λέγω θηρίον καὶ ἄνθρωπος, ὅπου γε καὶ αὐτὸς ὁ διάβολος οὐ μόνον οὐδὲν ἔβλαψε τὸν Ἰώβ, ἀλλὰ καὶ μυρίων στεφάνων αὐτῷ γέγονεν ἀφορμή; τί λέγω θηρίον καὶ ἄνθρωπον, ὅπου γε καὶ ὑπὸ τῶν ἐν σοὶ κειμέ-

21. Ψαλμ. 103, 20.

καὶ ἡ ἔχιδνα ὑπῆρξε ἀκίνδυνη στὸν Παῦλο, καὶ δὲν θὰ καρπωθεῖς ἀπὸ ἐδῶ μικρὴ προθυμία καὶ φροντίδα γιὰ τὴν ψυχή.

Ἀλλὰ μαζὶ μὲ αὐτὰ καὶ ἀπὸ ἀλλοῦ εἶναι δυνατὸ νὰ θαυμάσεις τὴν οἰκονομία τοῦ Θεοῦ γι' αὐτὰ καὶ τὴν τακτοποίησή τους μέσα στὴ φύση. Ποιὰ δὲ εἶναι αὐτή; Τὸ ὅτι καὶ γι' αὐτὰ ξεχώρισε τοποθεσίες διάφορες μακριὰ ἀπὸ τὶς πόλεις, τὶς ἐρημιές· καὶ ἐνῶ εἶναι τόσο φοβερὰ ὄντα, δὲν εἰσέρχονται στὶς πόλεις, οὔτε καταστρέφουν τοὺς κατοίκους αὐτῶν, ἀλλὰ αἰσθάνονται στοργὴ καὶ ἀγάπη γιὰ τὴν ἔρημο, διότι ἀπὸ τὴν ἀρχὴ ὁ Θεὸς ὅρισε γι' αὐτὰ νὰ ἔχουν αὐτὴν καὶ σὰν τόπο κατάλληλο διαμονῆς καὶ μέρος διατροφῆς. Διότι, ὅταν σὺ κοιμᾶσαι, τότε ἐκεῖνα περιφέρονται στὴν ἔρημο. Αὐτὸ ἀκριβῶς γιὰ νὰ δηλώσει καὶ ἀλλοῦ ὁ προφήτης, λέγει τὰ ἑξῆς· «Καθόρισες νὰ ἔρχεται τὸ σκοτάδι καὶ ἔγινε ἡ νύχτα, κατὰ τὴν διάρκεια τῆς ὁποίας θὰ περιφέρονται ὅλα τὰ θηρία τοῦ δάσους»[21]. Εἶδες πῶς καὶ τώρα παραμένουν σὲ σένα τὰ ἴχνη τῆς ἐξουσίας, ἔστω καὶ ἀκρωτηριασμένα, ἀλλ' ὅμως ὑπαινίσσονται τὴν παλιὰ τιμὴ πρὸς ἐσένα; Διότι σὰν νὰ εἶναι δοῦλοι, ἔτσι εἶναι περιορισμένα καὶ ἀπὸ τὸ χρόνο κυκλοφορίας καὶ ἀπὸ τὸν τόπο διαμονῆς τους· καὶ ἂν δὲν μεταβῆς σὺ πρὸς αὐτά, αὐτὰ δὲν ἔρχονται πρὸς ἐσένα, ἀλλὰ διαμένουν στὶς ἐρημιές.

Ἀλλ' ἂν στενοχωρεῖσαι καὶ δυσανασχετεῖς, γιὰ ποιὸ λόγο ἔγιναν τὰ θηρία, τότε δείχνεις ὑπερβολικὴ ἀνοησία. Διότι, ἂν σὺ ρυθμίσεις ὅπως πρέπει τὰ σχετικὰ μέ σένα, δὲν θὰ δεχθεῖς ἀπ' αὐτὰ καμιὰ βλάβη· ἂν δὲ ἀπὸ τὰ θηρία δέχεσαι βλάβη, σκέψου ὅτι καὶ ἀπὸ τοὺς ἀνθρώπους δέχθηκες πολλὲς φορὲς χειρότερη βλάβη. Καθόσον ὁ ἄνθρωπος εἶναι φοβερότερος ἀπὸ τὸ θηρίο. Διότι τὸ μὲν θηρίο ἔχει φανερὴ τὴ θηριωδία, ἐνῶ ὁ ἄνθρωπος κρύβει τὴν κακία του μὲ τὸ προσωπεῖο τῆς ἐπιείκειας, καὶ γι' αὐτὸ εἶναι περισσότερο δύσκολο νὰ προφυλαχθεῖ κάποιος ἀπ' αὐτόν. Ἂν ὅμως ἐπαγρυπνεῖς, οὔτε θηρίο, οὔτε ἄνθρωπος θὰ σοῦ προξενήσει κάποιο κακό, ἀλλὰ καὶ θὰ σὲ ὠφελήσει πάρα πολύ. Καὶ γιατί λέγω τὸ θηρίο καὶ ὁ ἄνθρωπος, τὴ στιγμὴ βέβαια ποὺ καὶ ὁ ἴδιος ὁ διάβολος ὄχι μόνο δὲν ἔβλαψε

νων στοιχείων, ἐὰν ῥαθυμήσῃς, πολλῷ χαλεπώτερα πείσῃ, οἷον ὑπὸ χολῆς ἢ φλέγματος, ἂν ἀμετρίᾳ τινὶ τὴν τούτων πλεονεξίαν περιίδῃς; Οὕτω πανταχόθεν νηφούσης χρεία διανοίας. Ἀλλ' ὥσπερ ῥαθυμῶν μεγίστην ἐντεῦθεν ὑποστήσῃ βλάβην, οὕτω νήφων καὶ ἐγρηγορὼς οὐ τὴν τυχοῦσαν καρπώσῃ πάλιν ὠφέλειαν· τὸ γὰρ πᾶν ἐπὶ τῇ σῇ κεῖται γνώμῃ. Ὅπερ οὖν ἐστι χιὼν ἐν τῷ παντί, καὶ πῦρ καὶ πνεῦμα, τοῦτο καὶ ἐν τῷ σώματι φλέγμα καὶ αἷμα, καὶ χολή. Καὶ δεῖ μετὰ ἀρίστου λόγου ταῦτα οἰκονομεῖν, ὡς καρποῦσθαί τι παρ' αὐτῶν ὄφελος, ἀλλὰ μὴ βλάπτεσθαι.

Καὶ τί λέγω περὶ τοῦ σώματος, ὅπου γε καὶ ἡ ψυχὴ ἔχει τινά, ἅπερ ἐὰν ἀφῇς εἰς ἀμετρίαν ἐξελθεῖν, νοσήματα γίνεται, κολαζόμενα δέ, βοηθήματα; Καὶ γὰρ ὁ θυμός, ἂν μὲν εἰς δέον χρήσῃ, γέγονέ σοι φάρμακον σωτηρίας, ἂν δὲ ἀμέτρως, γέγονεν ἀπωλείας ὑπόθεσις. Καὶ ἡ ἐπιθυμία, μετὰ μέτρου μὲν οἰκονομουμένη, πατέρα σε ποιεῖ, καὶ μὴν εἰς παιδοποιίαν γέγονε χρήσιμος, ἀφιεμένη δέ, εἰς πορνείαν καὶ μοιχείαν σε καταβάλλει πολλάκις. Μὴ δὴ τὰ πράγματα αἰτιῶ, ἀλλὰ πανταχοῦ τὴν σὴν γνώμην. Ἂν γὰρ ταύτης ἀμελῇς, καὶ ὑπὸ σαυτοῦ βλαβήσῃ, καὶ ὑπὸ τοῦ οἰκείου σώματος ἀπολῇ· ἂν δὲ ταύτης ἐπιμελῇ, οὐδὲ ὑπὸ τῶν δαιμόνων, οὐδὲ ὑπὸ τοῦ διαβόλου, μήτι γε ὑπὸ θηρίων, πείσῃ τι δεινὸν καὶ ἀηδές.

«Βασιλεῖς τῆς γῆς, καὶ πάντες λαοί». Ἄλλος, «Πάντα φῦλα». «Ἄρχοντες καὶ πάντες κριταὶ γῆς. Νεανίσκοι καὶ παρθένοι». Ἄλλος, «Ἐκλεκτοί». «Πρεσβύτεροι μετὰ νεωτέρων». Ἄλλος, «Μετὰ νέων». «Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου». Πά-

καθόλου τὸν Ἰώβ, ἀλλὰ καὶ ἔγινε ἀφορμὴ γι' αὐτὸν ἀμέτρητων στεφάνων; γιατί λέγω γιὰ τὸ θηρίο καὶ τὸν ἄνθρωπο, τὴ στιγμὴ βέβαια πού, ἂν ἀδιαφορήσεις, θὰ πάθεις πολὺ πιὸ χειρότερα ἀπὸ τὰ στοιχεῖα ποὺ ὑπάρχουν μέσα σου, ὅπως γιὰ παράδειγμα ἀπὸ τὴ χολὴ ἢ τὰ φλέγματα, ἂν παραβλέψεις τὴν ὑπερβολικὴ ποσότητα αὐτῶν; Ὥστε πρέπει ἡ διάνοια νὰ ἐπαγρυπνεῖ πρὸς κάθε κατεύθυνση. Ἀλλ' ὅπως ἀκριβῶς ἀδιαφορώντας θὰ πάθεις ἀπ' αὐτὰ πάρα πολὺ μεγάλη βλάβη, ἔτσι ἂν προσέχεις καὶ ἐπαγρυπνεῖς δὲν θὰ εἶναι πάλι τυχαία ἡ ὠφέλεια ποὺ θὰ καρπωθεῖς· διότι τὸ πᾶν ἐξαρτᾶται ἀπὸ τὴ δική σου γνώμη. Ἐκεῖνο ἀκριβῶς δηλαδὴ ποὺ εἶναι τὸ χιόνι γιὰ τὸ κάθε τί καθὼς καὶ ἡ φωτιὰ καὶ ὁ ἀέρας, αὐτὸ εἶναι καὶ γιὰ τὸ σῶμα τὸ φλέγμα, τὸ αἷμα καὶ ἡ χολή. Καὶ πρέπει αὐτὰ νὰ τὰ ρυθμίζουμε μὲ μεγάλη περίσκεψη, ὥστε ν' ἀποκομίζουμε ἀπ' αὐτὰ κάποιο ὄφελος, καὶ νὰ μὴ βλαπτόμαστε.

Καὶ γιατί λέγω γιὰ τὸ σῶμα, τὴ στιγμὴ βέβαια ποὺ καὶ ἡ ψυχὴ ἔχει ὁρισμένα πράγματα, πού, ἂν τὰ ἀφήσεις νὰ προχωρήσουν σὲ ὑπερβολικὸ βαθμό, γίνονται νοσήματα, ὅταν ὅμως μετριασθοῦν, γίνονται βοηθήματα; Καθόσον ὁ θυμός, ἂν μὲν τὸν χρησιμοποιήσεις ὅπως πρέπει, σοῦ ἔγινε φάρμακο σωτηρίας, ἂν ὅμως ἄμετρα, σοῦ ἔγινε ἀφορμὴ καταστροφῆς. Καὶ ἡ ἐπιθυμία, ὅταν μὲν ρυθμίζεται μὲ μέτρο, σὲ κάμνει πατέρα, καθόσον ἀποβαίνει χρήσιμη γιὰ τὴν ἀπόκτηση παιδιῶν, ἂν ὅμως ἀφεθεῖ ἀχαλίνωτη, ὁδηγεῖ πολλὲς φορὲς σὲ πορνεία καὶ μοιχεία. Μὴ λοιπὸν κατηγορεῖς τὰ πράγματα, ἀλλὰ παντοῦ τὴ δική σου γνώμη. Διότι ἂν δείχνεις ἀδιαφορία γι' αὐτήν, καὶ ἀπὸ τὸν ἑαυτό σου θὰ βλαβεῖς καὶ ἀπὸ τὸ σῶμα σου θὰ καταστραφεῖς, ἂν ὅμως φροντίζεις γι' αὐτὴν δὲν θὰ πάθεις κανένα κακὸ καὶ δυσάρεστο οὔτε ἀπὸ τοὺς δαίμονες, οὔτε ἀπὸ τὸ διάβολο, οὔτε ἀπὸ τὰ θηρία.

«Οἱ βασιλεῖς τῆς γῆς καὶ ὅλοι οἱ λαοί». Ἄλλος λέγει, «Ὅλες οἱ φυλές». «Οἱ ἄρχοντες καὶ ὅλοι οἱ δικαστὲς τῆς γῆς, οἱ νεανίσκοι καὶ οἱ παρθένες». Ἄλλος, «Οἱ ἐκλεκτοί». «Οἱ γεροντότεροι μαζὶ μὲ τοὺς νεότερους. Ἄλλος, «Μαζὶ μὲ τοὺς νέ-

λιν ἕτερον ἐνταῦθα κινεῖ προνοίας εἶδος, τὸ τῶν ἀρχόντων· ὃ καὶ Παῦλος ἐν τῇ πρὸς Ρωμαίους τίθησι, μετὰ πολλῆς τῆς συνέσεως δεικνύς, ὅτι τῆς τοῦ Θεοῦ σοφίας ἔργον ἐστί, τὸ εἰς ἄρχοντας καὶ εἰς ἀρχομένους τόδε τὸ πᾶν διαταξαι. «Θεοῦ γὰρ διάκονός ἐστί σοι, φησίν, εἰς τὸ ἀγαθόν». Ἂν δὲ τοῦτο ἀνέλῃς, τὸ πᾶν οἴχεται. Εἰ γὰρ νῦν, ὄντων ἀρχόντων καὶ πολλῶν ἐν αὐτοῖς διεφθαρμένων, τοσαύτη τοῦ πράγματός ἐστιν ἡ χρεία, ὡς καὶ κακῶς διακειμένων πολλὴν γίνεσθαι τὴν ὠφέλειαν, ἐννόησον εἰ καλῶς μετεχείριζον οἱ τὰς ἀρχὰς ἐγχειριζόμενοι, πόσης ἂν τὸ γένος ἀπήλαυσεν εὐημερίας. Ἀλλὰ τὸ μὲν τυπῶσαι τὰς ἀρχάς, τοῦ Θεοῦ γέγονεν ἔργον, τὸ δὲ πονηροὺς ἐπὶ τοῦτο ἄγεσθαι, καὶ μὴ εἰς δέον αὐταῖς κεχρῆσθαι, τῆς τῶν ἀνθρώπων πονηρίας.

5. Λέγει τοίνυν, ὅτι καὶ ὑπὲρ τοῦ βασιλέας εἶναι, καὶ ὑπὲρ τοῦ δικαστὰς εἶναι, δεῖ μεγάλας εὐχαριστίας ἀναφέρειν τῷ Θεῷ. Τῆς γὰρ εὐταξίας τῆς τῶν ἀνθρώπων ἐπιμελούμενος, καὶ τοῦ μὴ θηρίων ἀλογώτερον διακεῖσθαι τοὺς πολλούς, ὥσπερ ἡνιοχείαν καὶ κυβερνητικήν, οὕτως ἀρχὰς καὶ βασιλείας ἐχαρίσατο. Κἂν ἄρχων τοίνυν ᾖς, εὐχαρίστει τῷ φιλανθρώπῳ Θεῷ, ὅτι ἔλαβες ἀφορμὴν τοσαύτης ἐπιμελείας, κἂν ἀρχόμενος, πάλιν εὐχαρίστει, ὅτι ἔχεις τὸν ἐπιμελούμενον, καὶ οὐκ ἀφιέντα σε ὑπὸ τῶν πονηρῶν ἐπιβουλεύεσθαι. Κἂν εἰς γῆρας ἔλθῃς, κἂν νέος ᾖς, εὐχαρίστει τῷ Θεῷ. Τοῦτο γὰρ μάλιστα διὰ πάντων ὁ ψαλμὸς οὗτος κατασκευάζει, ὅτι δεῖ ὑπὲρ ἁπάντων αἰνεῖν αὐτόν, κἂν ἄρχων ᾖς, κἂν τοῦ λαοῦ ᾖς. Διὸ καὶ τοῦτο δηλῶν, «Καὶ πάντες», εἶπε, «λαοί». Κἂν νέος, φησίν, ᾖς, κἂν γεγηρακώς, κἂν γυνή, κἂν ἀνήρ.

«Ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου». Ἄλλος, «Ὅτι ὑπερέχον». «Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ». Ἄλλος,

22. Ρωμ. 13, 4.

ους». «Ἂς δοξολογήσουν τὸ ὄνομα τοῦ Κυρίου». Πάλι ἐδῶ παρουσιάζει ἄλλο εἶδος πρόνοιας, τὸ τῶν ἀρχόντων, τὸ ὁποῖο καὶ ὁ Παῦλος ἀναφέρει στὴν πρὸς Ρωμαίους ἐπιστολή του, δείχνοντας μὲ πολλὴ σύνεση, ὅτι ἔργο τῆς σοφίας τοῦ Θεοῦ εἶναι, τὸ νὰ καθορίσει αὐτὸ τὸ εἶδος τῆς πρόνοιας σὲ ἄρχοντες καὶ σὲ ἀρχόμενους. «Διότι», λέγει, «εἶναι διάκονος τοῦ Θεοῦ γιὰ τὸ καλό σου»[22]. Ἂν δὲ αὐτὸ τὸ καταστρέψεις, καταστρέφεται τὸ πᾶν. Διότι, ἂν τώρα, ἐνῶ ὑπάρχουν ἄρχοντες καὶ ὑπάρχουν μεταξὺ αὐτῶν πολλοὶ διεφθαρμένοι, εἶναι τόσο ἀναγκαία ἡ ὕπαρξη αὐτῶν, ὥστε, ἂν καὶ πολλοὶ συμπεριφέρονται κακῶς, νὰ προκύπτει μεγάλη ὠφέλεια, σκέψου, ἂν ἀσκοῦσαν τὴν ἐξουσία, αὐτοὶ ποὺ τὴν ἀσκοῦν, ὅπως πρέπει, πόση εὐημερία θὰ ἀπολάμβανε τὸ γένος τῶν ἀνθρώπων. Ἀλλ' ὁ μὲν καθορισμὸς τῶν ἐξουσιῶν ὑπῆρξε τοῦ Θεοῦ ἔργο, τὸ νὰ καταλαμβάνουν ὅμως αὐτὲς κακοὶ ἄνθρωποι καὶ νὰ μὴ ἀσκοῦν αὐτὲς ὅπως πρέπει, εἶναι ἀποτέλεσμα τῆς κακίας τῶν ἀνθρώπων.

5. Λέγει λοιπόν, ὅτι πρέπει νὰ ἀναπέμπουμε μεγάλες εὐχαριστίες στὸ Θεὸ καὶ γιὰ τὴν ὕπαρξη βασιλέων καὶ γιὰ τὴν ὕπαρξη δικαστῶν. Διότι φροντίζοντας γιὰ τὴν καλὴ τάξη μεταξὺ τῶν ἀνθρώπων καὶ γιὰ νὰ μὴ συμπεριφέρονται πολλοὶ πιὸ χειρότερα καὶ ἀπὸ τὰ θηρία, χάρισε τὶς ἐξουσίες καὶ τὶς βασιλεῖες σὰν ἀκριβῶς τὴν τέχνη τῆς ἡνιοχείας καὶ τῆς κυβερνητικῆς. Καὶ ἂν λοιπὸν εἶσαι ἄρχοντας, νὰ εὐχαριστεῖς τὸν φιλάνθρωπο Θεό, διότι ἔλαβες ἀφορμὴ γιὰ μιὰ τόσο μεγάλη φροντίδα, ἂν δὲ ἀρχόμενος, πάλι νὰ τὸν εὐχαριστεῖς, διότι ἔχεις ἐκεῖνον ποὺ φροντίζει γιὰ σένα καὶ δὲν σὲ ἄφησε νὰ ἐπιβουλεύεσαι ἀπὸ τοὺς κακούς. Καὶ ἂν φθάσεις στὰ γεράματα, καὶ ἂν εἶσαι νέος, νὰ εὐχαριστεῖς τὸ Θεό. Διότι αὐτὸ πρὸ πάντων μὲ ὅλα αὐτὰ διδάσκει ὁ ψαλμὸς αὐτός, ὅτι πρέπει γιὰ ὅλα νὰ εὐχαριστοῦμε αὐτόν, εἴτε εἶσαι ἄρχοντας, εἴτε κάποιος ἀπὸ τὸ λαό. Γι' αὐτὸ καὶ γιὰ νὰ δηλώσει αὐτό, εἶπε, «Καὶ ὅλοι οἱ λαοί». Εἴτε, λέγει, εἶσαι νέος, εἴτε γέρος, εἴτε γυναίκα, εἴτε ἄνδρας.

«Διότι μόνο τὸ ὄνομα αὐτοῦ μεγαλύνθηκε». Ἄλλος, «Ὅτι ὑπερέχει». «Ἡ δοξολογία τοῦ ὀνόματός του γίνεται καὶ στὴ γῆ

«Καὶ ὁ ὕμνος αὐτοῦ». «Καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ. Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἔδειξα μὲν καὶ ἀπὸ τῶν δρωμένων ἁπάντων αὐτοῦ τὴν κηδεμονίαν, τὴν δόξαν, τὴν μεγαλωσύνην, δεῖ δὲ αὐτὸν εἰπεῖν οὐ διὰ ταῦτα μόνον, ἀλλὰ καὶ τούτων χωρίς. Καὶ γὰρ καὶ πρὸς τούτων, καὶ τούτων ἄνευ, συγκεκλήρωται αὐτῷ τὸ ὕψος καὶ ἡ δόξα καὶ ἡ παρὰ πάντων εὐχαριστία. Τὸ καί, «Αὐτοῦ μόνου», πρὸς ἀντιδιαστολὴν τῶν οὐκ ὄντως θεῶν εἶπεν.

Εἶτα ἀνάγων ἐπὶ μείζονα τὸν ἀκροατὴν ἔννοιαν, πάλιν ἀπὸ τῆς γῆς ἐπὶ τὸν οὐρανὸν αὐτὸν μετατίθησιν. Ὥσπερ γὰρ ἀρχόμενος ἀπὸ τοῦ οὐρανοῦ πρὸς τὴν γῆν κατέβη, οὕτως ἀπὸ τῶν δρωμένων ἁπάντων ἀνάγει πάλιν αὐτὸν ὑπὲρ τὸν οὐρανόν, λέγων· «Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ». Τουτέστιν, εἰ καὶ αἱ ἄνω δυνάμεις αἱ ἀόρατοι καὶ νοεραὶ οὐ παύονται εὐχαριστοῦσαι καὶ ἀνυμνοῦσαι, ἀλλ' ὅμως ὁ τοσοῦτος καὶ τηλικοῦτος Θεὸς κατηξίωσε λαὸν αὐτοῦ καὶ ἡμᾶς ὀνομάσαι, καὶ οὐκ ὀνομάσαι μόνον, ἀλλὰ καὶ ἐπᾶραι καὶ ὑψῶσαι. Διὸ καὶ ἐπήγαγε· «Καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ», ταύτῃ πάλιν αὐτοὺς ἐπισπώμενος πρὸς μείζονα αὐτοῦ θεραπείαν, δεικνὺς ὅτι οὐ τῆς παρ' αὐτῶν δεόμενος θεραπείας (πῶς γάρ, ὁ φύσει συγκεκληρωμένην ἔχων τὴν δόξαν καὶ τοσαύτην κτίσιν ὑποτεταγμένην;), ἀλλὰ δι' ἀγαθότητα μόνην ᾠκειώσατο αὐτοὺς ἑαυτῷ, καὶ περιφανεῖς ἐποίησε καὶ λαμπροὺς πανταχοῦ τῆς οἰκουμένης. Ὅπερ οὖν καὶ δηλῶν, ἔλεγεν· «Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ».

Ἵνα γὰρ μὴ ταύτῃ πάλιν ῥᾳθυμοτέρους ποιήσῃ καὶ ὑπτιωτέρους τῷ λέγειν, «καὶ λαὸς αὐτοῦ», καὶ τούτῳ μόνῳ θαρροῦντες

καὶ στὸν οὐρανό». Ἄλλος, «καὶ ὁ ὕμνος αὐτοῦ». «Καὶ θὰ ὑψώσει τὴ δύναμη τοῦ λαοῦ του. Ὕμνος καὶ δόξα θ' ἀποδοθεῖ στοὺς ἀφοσιωμένους του, στοὺς υἱούς τοῦ Ἰσραήλ, στὸ λαὸ τὸ δικό του». Αὐτὸ δὲ ποὺ λέγει, σημαίνει τὸ ἑξῆς· ἔδειξα μὲν καὶ ἀπὸ ὅλα τὰ ὁρατὰ τὴ φροντίδα αὐτοῦ, τὴ δόξα, τὴ μεγαλωσύνη, πρέπει ὅμως νὰ εὐχαριστοῦμε αὐτὸν ὄχι μόνο γι' αὐτά, ἀλλὰ καὶ χωρὶς αὐτά. Καθόσον καὶ πρὶν ἀπὸ αὐτὰ καὶ χωρὶς αὐτὰ εἶναι στενὰ ἑνωμένα μὲ αὐτὸν καὶ τὸ ὕψος, καὶ ἡ δόξα, καὶ ἡ εὐχαριστία ἐκ μέρους ὅλων. Καὶ τὸ «Αὐτοῦ μόνου», τὸ εἶπε πρὸς διάκριση ἀπὸ τοὺς μὴ πραγματικοὺς Θεούς.

Στὴ συνέχεια μεταφέροντας τὸν ἀκροατὴ σὲ ὑψηλότερη ἔννοια, πάλι μεταφέρει αὐτὸν ἀπὸ τὴ γῆ πρὸς τὸν οὐρανό. Διότι ὅπως ἀκριβῶς ἀρχίζοντας τὸν ψαλμὸ κατέβηκε ἀπὸ τὸν οὐρανὸ πρὸς τὴ γῆ, ἔτσι ἀπὸ ὅλα τὰ ὁρατὰ μεταφέρει πάλι αὐτὸν ψηλότερα ἀπὸ τὸν οὐρανό, λέγοντας· «Ἡ δοξολογία τοῦ ὀνόματός του γίνεται καὶ στὴ γῆ καὶ στὸν οὐρανό». Δηλαδή, ἂν καὶ οἱ οὐράνιες δυνάμεις, οἱ ἀόρατες καὶ νοερές, δὲν παύουν νὰ τὸν εὐχαριστοῦν καὶ νὰ τὸν ἀνυμνοῦν, ἀλλ' ὅμως ὁ τόσο μεγάλος καὶ τόσο ὑψηλὸς Θεὸς καταδέχθηκε νὰ ὀνομάσει καὶ ἐμᾶς λαό του, καὶ ὄχι μόνο νὰ μᾶς ὀνομάσει, ἀλλὰ καὶ νὰ μᾶς ὑψώσει καὶ νὰ μᾶς μεγαλύνει. Γι' αὐτὸ καὶ πρόσθεσε· «Καὶ θὰ ὑψώσει τὴ δύναμη τοῦ λαοῦ του», παρακινώντας αὐτοὺς πάλι μὲ τὸν τρόπο αὐτὸ πρὸς μεγαλύτερο σεβασμὸ πρὸς αὐτόν, καὶ δείχνοντας ὅτι δὲν ἔχει ἀνάγκη ἀπὸ τὸ σεβασμὸ αὐτῶν (διότι πῶς θὰ ἦταν αὐτὸ δυνατὸ σ' αὐτὸν ποὺ ἐκ φύσεως ἔχει στενὰ ἑνωμένη μαζί του τὴ δόξα καὶ ὑποταγμένη μιὰ τόσο μεγάλη κτίση;), ἀλλὰ ἀπὸ ἀγαθότητα καὶ μόνο συνένωσε αὐτοὺς μὲ τὸν ἑαυτό του καὶ τοὺς ἔκαμε ἔνδοξους καὶ λαμπροὺς σ' ὁλόκληρη τὴν οἰκουμένη. Αὐτὸ ἀκριβῶς λοιπὸν γιὰ νὰ δηλώσει, ἔλεγε· «Ὕμνος καὶ δόξα θ' ἀποδοθεῖ σ' ὅλους τοὺς ἀφοσιωμένους του, στοὺς υἱοὺς τοῦ Ἰσραήλ, στὸ λαὸ ποὺ εἶναι ἑνωμένος μαζί του».

Γιὰ νὰ μὴ τοὺς κάνει λοιπὸν πάλι μὲ ὅλα αὐτὰ πιὸ ἀδιάφορους καὶ ἀδρανεῖς, μὲ τὰ λόγια δηλαδή, «καὶ ὁ λαὸς αὐτοῦ»,

τῆς κατὰ ψυχὴν ἀμελῶσι τῆς ἀρετῆς, εἰπών, «Ὕμνος πᾶσιν», οὐχ ἁπλῶς εἶπε, 'τοῖς ἀνθρώποις', ἀλλά, «Τοῖς ὁσίοις αὐτοῦ»· καὶ πάλιν εἰπών, «Τοῖς υἱοῖς Ἰσραήλ», προσέθηκε, «Λαῷ ἐγγίζοντι αὐτῷ». Ἕτερος δὲ ἑρμηνευτής, ἀντὶ τοῦ «Ὕμνος», «Ἔπαινος» εἶπεν. Ὃ τοίνυν λέγει, τοιοῦτόν ἐστιν· ἐὰν ἦτε ὅσιοι, ἐὰν ἐγγίζητε αὐτῷ, πολλῆς ἀπολαύσεσθε δόξης. Τὰ μὲν γὰρ αὐτοῦ πάντα διαρκῆ ἐστιν, οὕτω πλουτοῦντος καὶ τοσαύτην δόξαν ἔχοντος, δεῖ δὲ καὶ τὰ παρ' ἡμῶν λοιπὸν ἀκολουθεῖν, καὶ πολλῆς ἀπολαύσομεν καὶ ἡμεῖς τῆς περιφανείας, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

καί, στηριζόμενοι ἀποκλειστικὰ καὶ μόνο σ' αὐτό, δείχνουν ἀδιαφορία γιὰ τὴν ἀρετὴ τῆς ψυχῆς, ἀφοῦ εἶπε, «Ὕμνος θ' ἀποδοθεῖ καὶ δόξα σ' ὅλους», δὲν εἶπε ἁπλῶς, 'τοὺς ἀνθρώπους'', ἀλλὰ «Τοὺς ἀφοσιώμενους σ' αὐτόν»· καὶ πάλι, ἀφοῦ εἶπε, «Στοὺς υἱοὺς τοῦ Ἰσραήλ», πρόσθεσε, «Στὸ λαὸ ποὺ εἶναι ἑνωμένος μὲ αὐτόν». Ἄλλος δὲ ἑρμηνευτής, ἀντὶ τοῦ «Ὕμνος», εἶπε, «Ἔπαινος». Αὐτὸ δηλαδὴ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Ἂν εἶστε ἀφοσιωμένοι σ' αὐτόν, ἂν εἶστε ἑνωμένοι μὲ αὐτόν, θ' ἀπολαύσετε μεγάλη δόξα. Διότι τὰ μὲν δικά του πράγματα εἶναι ὅλα διαρκή, ἀφοῦ εἶναι τόσο πολὺ πλούσιος καὶ ἔχει τόσο μεγάλη δόξα, πρέπει ὅμως στὸ ἑξῆς ν' ἀκολουθοῦν καὶ αὐτὰ ποὺ ἐξαρτῶνται ἀπὸ ἐμᾶς, καὶ τότε θ' ἀπολαύσουμε καὶ ἐμεῖς μεγάλη δόξα, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη, στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

Ο Μ Ι Λ Ι Α

ΕΙΣ ΤΟΝ ΡΜΘ' ΨΑΛΜΟΝ.

«Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν».

1. Κατὰ μὲν ἀναγωγὴν τὸ τῆς Καινῆς Διαθήκης ᾆσμα καινὸν εἴρηται. Πάντα γὰρ τότε γέγονε καινά. Διαθήκη· «Διαθήσομαι ὑμῖν διαθήκην», φησί, «καινήν»· κτίσις· «Εἴ τις ἐν Χριστῷ», φησί, «καινὴ κτίσις»· ἄνθρωπος· «Ἀπεκδυσάμενοι», φησί, «τὸν παλαιὸν ἄνθρωπον, καὶ ἐνδυσάμενοι τὸν νέον, τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν». Διὰ τὴν καινὴν τοίνυν ζωήν, καὶ τὰ ἄλλα πάντα, Διαθήκη Καινὴ λέγεται, καὶ ᾆσμα καινὸν τὸ ταύτης ᾄδειν νῦν ὁ προφήτης προτρέπει. Κατὰ δὲ ἱστορίαν, ὃ ἐπὶ νίκαις, ὃ ἐπὶ κατορθώμασιν, ὃ ἐπὶ τροπαίοις ἔμελλον ᾄδειν, λαμπρὸν καὶ ἐπίσημον.

«Ἡ αἴνεσις αὐτοῦ ἐν Ἐκκλησίᾳ ὁσίων». Ὁρᾷς πῶς πρὸ τῶν ρημάτων τὴν διὰ τοῦ βίου καὶ τῶν ἔργων εὐχαριστίαν ἐπιζητεῖ, καὶ τούτους εἰς τὸν χορὸν ἄγει τῶν ὑμνούντων; Οὐ γὰρ ἀρκεῖ τὸ διὰ ρημάτων εὐχαριστεῖν μόνον, ἂν μὴ καὶ ἡ διὰ τῆς πράξεως ἀρετὴ συμβαίνῃ. «Ἡ αἴνεσις αὐτοῦ ἐν Ἐκκλησίᾳ ὁσίων». Καὶ ἕτερόν τι ἐνταῦθα παιδεύει. Δείκνυσι γάρ, ὅτι ὁμοῦ καὶ μετὰ συμφωνίας ἁπάσης δεῖ τὰς εὐφημίας ἀναφέρειν. Ἐκκλησία γὰρ συ-

---

* Ψαλμὸς μεταιχμαλωσιακός, ποὺ τὸ περιεχόμενό του συμφωνεῖ μὲ τὰ ὅσα συνέβηκαν κατὰ τοὺς χρόνους τοῦ Ἔσδρα καὶ Νεεμία κατὰ τοὺς ὁποίους ἀποκαθίστονταν τὸ κράτος τοῦ Ἰσραήλ. Ὁ ψαλμωδὸς καλεῖ τοὺς Ἰσραηλίτες νὰ ὑμνήσουν τὸν Κύριο γιὰ τὶς νέες εὐεργεσίες του καὶ τοὺς παροτρύνει στὸν ἱερὸ πόλεμό τους ἐναντίον τῶν εἰδωλολατρῶν ποὺ ἐμπόδιζαν αὐτούς.

Ο Μ Ι Λ Ι Α

ΣΤΟ ΡΜΘ′ ΨΑΛΜΟ*

«Ψάλατε στὸν Κύριο καινούριο ὕμνο».

1. Ἀλληγορικὰ μὲν ὁ ὕμνος τῆς Καινῆς Διαθήκης ἔχει ὀνομασθεῖ ὕμνος καινούργιος. Διότι ὅλα τότε ἔγιναν καινούργια. Ἡ Διαθήκη· διότι λέγει, «Θὰ κάνω μαζί σας καινούργια συμφωνία»[1]· ἡ κτίση· «Ἐὰν κάποιος», λέγει, «πίστεψε στὸ Χριστὸ καὶ ἑνώθηκε μαζί του, ἔγινε καινούργιο δημιουργία»[2]· ὁ ἄνθρωπος· «Ἂς ἀποβάλουμε», λέγει, «τὸν παλιὸ ἄνθρωπο, καὶ ἂς ἐνδυθοῦμε τὸν καινούργιο, ποὺ γίνεται ὅλο καὶ πιὸ καινούργιος, ὥστε νὰ γνωρίσει καλύτερα καὶ νὰ γίνει εἰκόνα ἐκείνου ποὺ τὸν ἔπλασε»[3]. Ἐξ αἰτίας λοιπὸν τῆς νέας ζωῆς καὶ ὅλων τῶν ἄλλων, ὀνομάζεται Καινὴ Διαθήκη, καὶ προτρέπει τώρα ὁ προφήτης νὰ ψάλλουμε καινούργιο ὕμνο ἐξ αἰτίας αὐτῆς. Ἱστορικὰ δὲ καινούργιος ὕμνος ὀνομάζεται ἐκεῖνος ποὺ συνέβαινε νὰ ψάλλουν κατὰ τὶς νίκες, ἐκεῖνος ποὺ συνέβαινε νὰ ψάλλουν κατὰ τὰ κατορθώματα καὶ τὰ τρόπαια, ὁ λαμπρὸς καὶ ἔνδοξος.

«Ἡ δοξολογία αὐτοῦ ἂς ἀκουσθεῖ μέσα στὴν Ἐκκλησία τῶν ἀφοσιωμένων σ' αὐτόν». Βλέπεις πῶς πρὶν ἀπὸ τὰ λόγια ἐπιζητεῖ τὴν εὐχαριστία μὲ τὸν τρόπο ζωῆς καὶ τὰ ἔργα, καὶ αὐτοὺς ὁδηγεῖ στὸ χορὸ ἐκείνων ποὺ τὸν ὑμνοῦν; Διότι δὲν ἀρκεῖ νὰ τὸν εὐχαριστοῦμε μόνο μὲ τὰ λόγια, ἂν δὲν συμβαδίζει καὶ ἡ ἀρετὴ ποὺ προέρχεται ἀπὸ τὶς πράξεις. «Ἡ δοξολογία αὐτοῦ ἂς ἀκουσθεῖ μέσα στὴν Ἐκκλησία τῶν ἀφοσιωμένων σ' αὐτόν». Καὶ κάτι ἄλλο διδάσκει ἐδῶ. Δείχνει δηλαδή, ὅτι ὅλοι μαζὶ καὶ μὲ κάθε ὁμοφωνία πρέπει νὰ ἀναπέμπουμε πρὸς αὐτὸν τοὺς ὕμνους. Διότι Ἐκκλησία σημαίνει σύνολο καὶ σύναξη ἀν-

---

1. Ἰερ. 38, 31.
2. Β′ Κορ. 5, 17.
3. Κολοσ. 3, 9.

στήματος καὶ συνόδου ἐστὶν ὄνομα. «Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν». Πρὸ τῶν ἰδικῶν εὐεργεσιῶν τίθησι τὴν καθολικήν, μονονουχὶ τοῦτο, δι' ὧν ἐπήγαγε, παραινῶν καὶ λέγων· εὐχαρίστει τῷ Θεῷ, ὅτι οὐκ ὄντα σε παρήγαγε, καὶ ψυχὴν ἐνέπνευσεν. Οὐ μικρὸν γὰρ καὶ τοῦτο εὐεργεσίας μέρος. Ἐνταῦθα δὲ καὶ πλέον τι δείκνυσιν. Οὐ γὰρ ἁπλῶς τὴν δημιουργίαν, ἀλλὰ τὴν οἰκειότητα ἐμφαίνει τῷ οὕτως εἰπεῖν· καὶ εὐχαριστεῖν παρακελεύεται, οὐχ ὅτι ἐποίησεν αὐτόν, ἀλλ' ὅτι καὶ οἰκεῖον λαόν.

Ὁρᾷς πῶς ἑνῶν αὐτὸν τῷ Θεῷ καὶ συνάπτων, οὐχ ἁπλῶς εὐχαριστεῖν βούλεται, ἀλλὰ μετὰ ἡδονῆς, μετὰ εὐφροσύνης, καὶ διαθερμαινόμενον τὴν διάνοιαν; Ταῦτα γὰρ πάντα διὰ τοῦ, «Εὐφρανθήτω», ᾐνίξατο. Τὴν διάθεσιν οὖν ζητεῖ τοῦ εὐχαριστοῦντος, ἵνα ἐκαίηται τῷ πόθῳ, ἵνα διεγείρηται τῷ φίλτρῳ, ἵνα ὅλος ἀνακέηται τῷ ὑμνουμένῳ Θεῷ· καθάπερ καὶ ἀλλαχοῦ τὸ αὐτὸ δηλῶν ἔλεγεν, «Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σέ, ὁ Θεός». Καὶ πάλιν, «Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ἰσχυρόν, τὸν ζῶντα». Καὶ πάλιν, «Ἐδίψησέ σε ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου, ἐν γῇ ἐρήμῳ, καὶ ἀβάτῳ, καὶ ἀνύδρῳ»· ὅπερ ἕτερος ἑρμηνευτής, «Ὡς ἐν γῇ διψάδι», εἶπε. Βουλόμενος γὰρ τὴν διάθεσιν τῆς ἑαυτοῦ παραστῆσαι ψυχῆς καὶ τὸν πόθον, γῇ παραβάλλει διψάδι, ἐλάφῳ διψώσῃ. Καὶ διὰ ῥημάτων δὲ πάλιν τὸν αὐτὸν πόθον ἐνδείκνυται, λέγων· «Πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ;». Τοιαῦται γὰρ αἱ τῶν ἁγίων ψυχαί, ὥσπερ καὶ ἡ Παύλου στενάζουσα ἐποίει τῇ μελλήσει τῆς ἐντεῦθεν ἀποδημίας.

«Καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν». Ὁ-

4. Ψαλμ. 41, 2.
5. Ψαλμ. 41, 3.
6. Ψαλμ. 62, 2.

θρώπων ποὺ εἶναι στενὰ ἑνωμένοι μαζί τους. «Ἂς νιώσει ὁ Ἰσραὴλ εὐφροσύνη γιὰ τὸ ὅτι τὸν ἔκαμε ὁ Κύριος λαὸ ἐκλεκτό του». Πρὶν ἀπὸ τὶς εἰδικὲς εὐεργεσίες ἀναφέρει τὴν γενικὴ εὐεργεσία, καὶ εἶναι σὰν νὰ προτρέπει καὶ λέγει μὲ ὅσα πρόσθεσε σχεδὸν αὐτό· Εὐχαρίστα τὸ Θεὸ διότι σὲ ἔφερε στὴν ὕπαρξη ἀπὸ τὴν ἀνυπαρξία καὶ σοῦ ἐνέπνευσε τὴν ψυχή. Διότι δὲν εἶναι καὶ αὐτὸ μικρὸ εἶδος εὐεργεσίας. Ἐδῶ δὲ διδάσκει καὶ κάτι ἐπὶ πλέον. Διότι δὲν δείχνει ἁπλῶς τὴ δημιουργία μὲ τὰ λόγια αὐτὰ ποὺ λέγει, ἀλλὰ καὶ τὴν οἰκειότητα· καὶ προτρέπει αὐτὸν νὰ τὸν εὐχαριστεῖ, ὄχι διότι τὸν δημιούργησε, ἀλλὰ διότι καὶ τὸν ἔκαμε δικό του λαό.

Βλέπεις πῶς ἑνώνοντας αὐτὸν καὶ συνδέοντάς τον μὲ τὸ Θεό, δὲν θέλει ἁπλῶς νὰ τὸν εὐχαριστεῖ, ἀλλὰ μὲ πολλὴ εὐχαρίστηση, μὲ εὐφροσύνη καὶ μὲ πολὺ θερμὴ ψυχικὴ διάθεση; Διότι ὅλα αὐτὰ τὰ ὑπαινίχθηκε μὲ τὸ νὰ πεῖ «Ἂς εὐφρανθεῖ». Τὴ διάθεση λοιπὸν ζητεῖ ἐκείνου ποὺ τὸν εὐχαριστεῖ, ποὺ πρέπει νὰ κατακαίεται ἀπὸ τὸν πόθο, ποὺ πρέπει νὰ εἶναι κυριευμένος ἀπὸ πολλὴ ἀγάπη, ποὺ πρέπει ὁλόκληρος ὁ πόθος του νὰ εἶναι συγκεντρωμένος πρὸς τὸν ὑμνούμενο Θεό· ὅπως ἀκριβῶς καὶ ἀλλοῦ γιὰ νὰ δηλώσει αὐτό, ἔλεγε, «Καθῶς ἡ διψασμένη ἔλαφος τρέχει μὲ πόθο πρὸς τὶς πηγὲς τῶν ὑδάτων, ἔτσι, Θεέ μου, σὲ ποθεῖ ἡ ψυχή μου»[4]. Καὶ πάλι, «Ἐπιθύμησε πάρα πολὺ ἡ ψυχή μου τὸ Θεὸ τὸν ἰσχυρὸ καὶ ζωντανό»[5]. Καὶ πάλι, «Σὲ πόθησε πάρα πολὺ ἡ ψυχή μου· πόσες φορὲς σὲ πόθησε καὶ ἡ σάρκα μου ἐνῶ βρισκόταν σὲ χώρα ἔρημη, ἀδιάβατη καὶ χωρὶς νερό»[6]· αὐτὸ ἀκριβῶς ἄλλος ἑρμηνευτὴς ἑρμήνευσε. «Σὰν νὰ βρισκόταν σὲ γῆ διψασμένη». Διότι, θέλοντας νὰ παραστήσει τὴ διάθεση καὶ τὸν πόθο τῆς ψυχῆς του, τὴν παραβάλλει μὲ διψασμένη γῆ καὶ διψασμένη ἔλαφο. Καὶ μὲ λόγια δὲ πάλι δείχνει τὸν ἴδιο πόθο, λέγοντας· «Πότε θὰ ἔλθω καὶ θὰ δῶ τὸ πρόσωπο τοῦ Θεοῦ;». Διότι τέτοιες εἶναι οἱ ψυχὲς τῶν ἁγίων, ὅπως ἀκριβῶς καὶ ἡ ψυχὴ τοῦ Παύλου μὲ στεναγμοὺς ἀντιμετώπιζε τὴν καθυστέρηση τῆς ἀποδημίας του ἀπὸ τὴν ἐδῶ ζωή.

«Καὶ οἱ υἱοὶ τῆς Σιὼν ἂς νιώσουν ἀγαλλίαση γιὰ τὸ βασιλιά

ρᾷς ὅτι τοῦτο, ὅπερ ἔφθην εἰπών, ἐνταῦθα αἰνίττεται, τὴν οἰκείωσιν, τὸ ἐξαίρετον αὐτοῦ εἶναι λαόν; Διὰ δὴ τοῦτο καὶ ἐπήγαγε τό, «Ἐπὶ τῷ βασιλεῖ αὐτῶν», τοῦτο δηλῶν. Οὐ γὰρ δὴ κατὰ τὸν τῆς δημιουργίας λόγον μόνον ἦν βασιλεύς, ἀλλὰ καὶ κατὰ τὸν τῆς οἰκειώσεως. «Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ». Ὅρα πάλιν καὶ ταύτην τὴν συμφωνίαν διαλάμπουσαν. Διὰ γὰρ τοῦτο χοροί, ἵνα κοινῇ πάντες καὶ ὁμοθυμαδὸν ἀναφέρωσι τὰς εὐφημίας. Τοῦτο καὶ Παῦλος δηλοῖ λέγων, «Μὴ καταλιμπάνοντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν». Καὶ αὐτὴ δὲ ἡ εὐχὴ τοῦτο αἰνίττεται, ἀπὸ τοῦ κοινοῦ πάντων ἀναφερομένη· «Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς»· καί, «Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν»· καί, «Μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν»· καί, «Ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ», τῷ πληθυντικῷ ὀνόματι κεχρημένους. Οὕτω καὶ τὸ παλαιὸν ἐπαιδεύοντο μετὰ συμφωνίας ψάλλειν καὶ ᾄδειν τῷ Θεῷ, πανταχόθεν εἰς ἀγάπην ἀλειφόμενοι καὶ ὁμόνοιαν.

2. «Ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ». Τινὲς μὲν καὶ τούτων τῶν ὀργάνων τὸν λόγον κατὰ ἀναγωγὴν ἐκλαμβάνοντες, λέγουσιν ὅτι τὸ μὲν τύμπανον τὴν νέκρωσιν τῆς σαρκὸς ἡμῶν ἐπιζητεῖ, τὸ δὲ ψαλτήριον τὸ πρὸς τὸν οὐρανὸν βλέπειν. Καὶ γὰρ ἄνωθεν τὸ ὄργανον τοῦτο κινεῖται, οὐ κάτωθεν, ὥσπερ ἡ κιθάρα. Ἐγὼ δὲ ἐκεῖνο ἂν εἴποιμι, ὅτι τὸ παλαιὸν οὕτως ἤγοντο διὰ τῶν ὀργάνων τούτων, διὰ τὴν παχύτητα τῆς διανοίας αὐτῶν, καὶ τὸ ἄρτι ἀπεσπάσθαι ἀπὸ τῶν εἰδώλων. Ὥσπερ οὖν τὰς θυσίας συνεχώρησεν, οὕτω καὶ ταῦτα ἐπέτρεψε, συγκαταβαίνων αὐτῶν τῇ ἀσθενείᾳ. Ἀπαιτεῖ τοίνυν ἐνταῦθα τὸ μεθ' ἡδονῆς ᾄδειν. Τοῦτο γάρ ἐστι τό, «Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ», τὸ μετὰ συμφωνίας, τὸ μετὰ βίου καθαροῦ. Εἶτα πάλιν

---

7. Ἑβρ. 10, 25.
8. Ματθ. 6, 9-13 καὶ Λουκᾶ 11, 2-4.
9. Ψαλτήριον = ἔγχορδο μουσικὸ ὄργανο τῶν Ἑβραίων, μὲ τὴ συνοδεία τοῦ ὁποίου ψάλλονταν οἱ ψαλμοί.

τους». Βλέπεις ὅτι ὑπαινίσσεται ἐδῶ αὐτὸ ποὺ εἶπα προηγουμένως, τὴν οἰκειότητα, τὸ ὅτι εἶναι ὁ ἐξαίρετος λαὸς αὐτοῦ; Γι' αὐτὸ βέβαια καὶ πρόσθεσε τό, «Γιὰ τὸ βασιλιά τους», γιὰ νὰ δηλώσει αὐτό. Διότι βέβαια δὲν ἦταν βασιλιὰς γιὰ τὸ λόγο μόνο ὅτι ἦταν δημιουργός τους, ἀλλὰ καὶ λόγω τῆς μεγάλης οἰκειότητάς τους πρὸς αὐτόν. «Ἂς ὑμνήσουν τὸ ὄνομά του μὲ χορό». Πρόσεχε πάλι καὶ αὐτὴ τὴ συμφωνία ποὺ διαλάμπει. Διότι γι' αὐτὸ ὑπάρχουν χοροί, γιὰ νὰ ἀναπέμπουν ὅλοι μαζὶ καὶ μὲ μιὰ καρδιὰ τοὺς ὕμνους. Αὐτὸ γιὰ νὰ δηλώσει καὶ ὁ Παῦλος, ἔλεγε, «Καὶ νὰ μὴ ἀμελοῦμε τὶς συγκεντρώσεις μας»[7]. Καὶ αὐτὴ δὲ ἡ προσευχή, ποὺ ἀνεπέμπεται ἀπὸ ὅλους μαζί, αὐτὸ ὑπαινίσσεται· «Πατέρα μας οὐράνιε»[8]· καί, «Συγχώρησε τὰ ἁμαρτήματά μας»[8]· καί, «Μὴ μᾶς ἀφήσεις νὰ πέσουμε σὲ πειρασμό»[8]· καί, «Ἐλευθέρωσέ μας ἀπὸ τὸν πονηρό»[8]· δηλαδὴ χρησιμοποιοῦν τὸν πληθυντικὸ ἀριθμό. Ἔτσι καὶ τὴν παλιὰ ἐποχὴ διδάσκονταν νὰ ψάλλουν καὶ νὰ ὑμνοῦν τὸ Θεὸ ὅλοι μαζί, ἀσκούμενοι ἀπὸ παντοῦ στὴν ἀγάπη καὶ τὴν ὁμόνοια.

2. «Μὲ τύμπανο καὶ ψαλτήρι ἂς ψάλουν ὕμνο πρὸς αὐτόν». Μερικοὶ μὲν καὶ τὰ ὄργανα αὐτὰ γιὰ τὰ ὁποῖα γίνεται λόγος τὰ ἐκλαμβάνουν ἀλληγορικὰ καὶ λέγουν ὅτι τὸ μὲν τύμπανο ἐπιζητεῖ τὴ νέκρωση τῆς σάρκας μας, τὸ δὲ ψαλτήρι τὸ νὰ βλέπει ἡ ψυχὴ πρὸς τὸν οὐρανό. Καθόσον τὸ ὄργανο αὐτὸ κινεῖται ἀπὸ ἐπάνω καὶ ὄχι ἀπὸ κάτω, ὅπως ἀκριβῶς καὶ ἡ κιθάρα. Ἐγὼ ὅμως ἐκεῖνο θὰ μποροῦσα νὰ πῶ, ὅτι τὴν παλιὰ ἐποχὴ ἔτσι προτρέπονταν μὲ τὰ ὄργανα αὐτὰ νὰ ὑμνοῦν τὸ Θεό, ἐξ αἰτίας τῆς παχύτητας τῆς διάνοιάς τους καὶ ἐπειδὴ μόλις πρὶν ἀπὸ λίγο εἶχαν ἀπομακρυνθεῖ ἀπὸ τὰ εἴδωλα. Ὅπως ἀκριβῶς λοιπὸν ἐπέτρεψε τὶς θυσίες, ἔτσι ἐπέτρεψε καὶ αὐτά, δείχνοντας συγκατάβαση γιὰ τὴν πνευματικὴ ἀδυναμία τους. Ἀπαιτεῖ λοιπὸν ἐδῶ νὰ ψάλλουν μὲ πολλὴ εὐχαρίστηση. Διότι αὐτὸ σημαίνει τό, «Ἂς ψάλλουν τὸ ὄνομα αὐτοῦ μὲ χορό», δηλαδὴ μὲ ὁμοφωνία, μὲ βίο καθαρό. Ἔπειτα πάλι διεγείροντας αὐτοὺς σὲ περισσότερη προθυμία λέγει καὶ τὴν ἀγάπη πρὸς αὐτοὺς αὐτοῦ ποὺ ὑμνεῖται. Καθόσον προσθέτει· «Διότι δείχνει ὁ Κύριος

εἰς πλείονα προθυμίαν αὐτοὺς διεγείρων, λέγει καὶ τοῦ ὑμνουμένου τὴν εὔνοιαν τῷ λαῷ αὐτοῦ». Τί ταύτης ἴσον γένοιτ' ἂν τῆς εὐημερίας, ὅταν ὁ Θεὸς ἵλεως ᾖ;

«Καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ». Ὅρα πάλιν πῶς καὶ τὰ τοῦ Θεοῦ τίθησι, καὶ τὰ τῶν ἀνθρώπων. Ὥσπερ οὖν ἄνω τὴν εὐχαριστίαν παρ' αὐτῶν ἀπαιτῶν, καὶ τὰ τοῦ Θεοῦ εἰσῆγε, λέγων, «Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ», οὕτω καὶ ἐνταῦθα πάλιν ἐπαγγελλόμενος τὰ παρὰ τοῦ Θεοῦ, ἀπαιτεῖ καὶ τὰ παρὰ ἀνθρώπων, λέγων «Καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ». Τὸ μὲν γὰρ ὑψῶσαι, τοῦ Θεοῦ, τὸ δὲ πρᾶον εἶναι, τῶν ἀνθρώπων. Οὐ γὰρ γίνεται τὰ παρὰ τοῦ Θεοῦ, ἐὰν μὴ τὰ παρὰ ἀνθρώπων προηγήσηται. Καὶ ὅρα τῆς δωρεᾶς τὸ μέγεθος. Οὐκ εἶπε, 'σώσει', ἁπλῶς, ἀλλ', «Ὑψώσει ἐν σωτηρίᾳ». Τουτέστιν, οὐκ ἀπαλλάξει τῶν δεινῶν μόνον, ἀλλὰ καὶ περιβλέπτους ποιήσει καὶ περιφανεῖς, μετὰ τῆς σωτηρίας καὶ τὴν δόξαν αὐτοῖς παρέχων. Τοῦτο γοῦν καὶ διασαφῶν ἐπήγαγε πάλιν, λέγων· «Καυχήσονται ὅσιοι ἐν δόξῃ». Ὥσπερ ἐκεῖ πραεῖς ἐπιζητεῖ, οὕτως ἐνταῦθα ὁσίους. Πανταχοῦ γὰρ ὁ Θεὸς μετὰ θαυμάτων τὰ ἑαυτοῦ πάντα ἐπιδείκνυται. Οὕτως αὐτοὺς ἀπήλλαξεν Αἰγύπτου, οὕτως ἐπανήγαγεν ἀπὸ Βαβυλῶνος, οὐκ ἐν τῇ τῶν δεινῶν ἀπαλλαγῇ, ἀλλὰ καὶ ἐν τῷ θαύματι τῶν γινομένων λαμπροτέρους αὐτοὺς ἐργασάμενος.

«Καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν». Πολλὴν δείκνυσι τὴν ἄδειαν, ἐξ ὧν οὕτως ἐπήγαγε, πολλὴν τὴν ἄνεσιν, πολλὴν τὴν εὐφροσύνην, πολλὴν τὴν ἡδονήν. Ταῦτα δὲ λέγει, ὥστε εἰδέναι αὐτοὺς, ὅτι οὐκ οἰκείοις ὅπλοις, οὐδὲ οἰκείᾳ δυνάμει, ἀλλὰ τῇ τοῦ Θεοῦ ῥοπῇ τὸ πᾶν γέγονε, καὶ ὅτι ταύτην ἐπισπᾶσθαι δεῖ διὰ ταπεινοφροσύνης καὶ πρᾳότητος. «Αἱ ὑψώσεις

τὴν ἀγάπη του πρὸς τὸν Λαὸ αὐτό». Τί θὰ μποροῦσε νὰ ὑπάρξει ἴσο μὲ αὐτὴν τὴν εὐτυχία, ὅταν ὁ Θεὸς δείχνει τὴν εὐσπλαχνία του πρὸς αὐτούς;

«Καὶ θὰ ὑψώσει τοὺς πραεῖς χαρίζοντας τὴ σωτηρία τους». Πρόσεχε πάλι πῶς ἀναφέρει καὶ τὰ τοῦ Θεοῦ καὶ τὰ τῶν ἀνθρώπων. Ὅπως ἀκριβῶς λοιπὸν προηγουμένως, ζητώντας τὴν εὐχαριστία ἀπὸ αὐτούς, παρουσίασε καὶ τὰ τοῦ Θεοῦ λέγοντας, «Διότι δείχνει ὁ Κύριος τὴν ἀγάπη του πρὸς τὸ λαό του», ἔτσι καὶ ἐδῶ πάλι ὑποσχόμενος τὶς δωρεὲς τοῦ Θεοῦ, ἀπαιτεῖ καὶ αὐτὰ πού ἐξαρτῶνται ἀπὸ τοὺς ἀνθρώπους, λέγοντας, «Καὶ θὰ ὑψώσει τοὺς πραεῖς χωρίζοντάς τους τὴ σωτηρία τους». Ἡ μὲν δηλαδὴ ἀνύψωση εἶναι ἔργο τοῦ Θεοῦ, τὸ νὰ εἶναι ὅμως πρᾶοι εἶναι ἔργο τῶν ἀνθρώπων. Δὲν πραγματοποιοῦνται τὰ τοῦ Θεοῦ, ἂν δὲν προηγηθοῦν τὰ τῶν ἀνθρώπων. Καὶ πρόσεχε τὸ μέγεθος τῆς δωρεᾶς. Δὲν εἶπε ἁπλῶς, 'θὰ τοὺς σώσει', ἀλλά, «θὰ τοὺς ὑψώσει χαρίζοντάς τους τὴ σωτηρία τους». Δηλαδὴ δὲν θὰ τοὺς ἀπαλλάξει μόνο ἀπὸ τὶς συμφορές, ἀλλὰ καὶ θὰ τοὺς κάνει λαμπροὺς καὶ ἔνδοξους, χαρίζοντάς τους μαζὶ μὲ τὴ σωτηρία καὶ τὴ δόξα. Αὐτὸ λοιπὸν γιὰ νὰ διασαφήσει πρόσθεσε πάλι τὰ ἑξῆς· «Θὰ καυχηθοῦν οἱ ἀφοσιωμένοι σ' αὐτὸν γιὰ τὴ δόξα τους». Ὅπως ἀκριβῶς ἐκεῖ ζητᾶ νὰ εἶναι πρᾶοι, ἔτσι καὶ ἐδῶ θέλει νὰ εἶναι ἀφοσιωμένοι σ' αὐτόν. Διότι παντοῦ ὁ Θεὸς ἐκδηλώνει ὅλες τὶς δικές του ἐνέργειες μὲ θαύματα. Ἔτσι ἀπάλλαξε αὐτοὺς ἀπὸ τὴν Αἴγυπτο, ἔτσι ἀπανέφερε αὐτοὺς ἀπὸ τὴ Βαβυλώνα, ἀφοῦ τοὺς κατέστησε λαμπρότερους ὄχι μόνο μὲ τὴν ἀπαλλαγὴ ἀπὸ τὶς συμφορές, ἀλλὰ καὶ μὲ τὸ ὅτι αὐτὰ ἔγιναν κατὰ τρόπο θαυματουργικό.

Καὶ ἡ χαρὰ καὶ ἀγαλλίασή τους θὰ φθάνει καὶ μέχρι τοὺς κοιτῶνες τους». Μὲ τὰ ὅσα ἀνέφερε, δείχνει πολλὴ ἀσφάλεια, πολλὴ ἄνεση, πολλὴ εὐφροσύνη, πολλὴ ἡδονή. Αὐτὰ δὲ τὰ λέγει γιὰ νὰ γνωρίσουν αὐτοί, ὅτι τὸ πᾶν συνέβηκε ὄχι μὲ τὰ δικά τους ὅπλα, οὔτε μὲ τὴ δική τους δύναμη, ἀλλὰ μὲ τὴ βοήθεια τοῦ Θεοῦ, καὶ ὅτι αὐτὴν πρέπει νὰ τὴν ἀποσποῦν μὲ ταπεινοφροσύνη καὶ πραότητα. «Τὰ ἐγκώμια ἐξυμνήσεως τοῦ μεγα-

τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ αἱ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν· τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς». Ἐνταῦθα τὸν μετὰ χορείας πόλεμον δηλοῖ, καὶ ὅτι ᾄδοντες καὶ ὑμνοῦντες οὕτω περιέσονται. Ὑψώσεις γὰρ τὰς ὑμνολογίας, τὰς ψαλμῳδίας, τὰς εὐχαριστίας λέγει. Διὸ καὶ ἕτερος τὰς «Ὑψώσεις» «Ὑμνολογίας» εἶπε. «Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔνθεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς». Τί ἐστι τοῦτο; Ἐπειδὴ τὸν πάντα χρόνον κρατήσαντες ὠνείδιζον, ἐλέγξαι αὐτοὺς διὰ τῶν ἔργων ἀπαγγέλλεται, καὶ δεῖξαι διὰ τῶν ἔργων αὐτῶν, ὅτι οὐχ ἡ τοῦ Θεοῦ ἀσθένεια, ἀλλ' αἱ αὐτῶν ἁμαρτίαι ἔδωκαν αὐτοῖς κρατῆσαι. Ὅτε γοῦν δίκην ἔδοσαν ἱκανήν, ἔνευσε μόνον ὁ φιλάνθρωπος Θεός, καὶ τὰ πράγματα εἰς θαυμαστὴν ἦλθε μεταβολήν. Καὶ ὅρα τῆς νίκης τὴν ὑπερβολήν. Ἐπάγει γὰρ καὶ λέγει· «Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς». Εἶδες περιουσίαν ἰσχύος; Οὐ γὰρ ἀπήλασαν τοὺς πολεμίους μόνον, οὐδὲ ἀπώσαντο, ἀλλὰ καὶ δεσμώτας λαβόντες ἐπανῆλθον, πᾶσιν ἐπιδεικνύμενοι τοῦ Θεοῦ τὴν ἰσχύν.

«Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρίμα ἔγγραπτον». Τί ἐστι, «Κρίμα ἔγγραπτον»; Φανερόν, ὡμολογημένον, οὐ δυνάμενον λήθῃ παραδοθῆναι. Τὰ γὰρ τοῦ Θεοῦ τοιαῦτα· καὶ τῷ μεγέθει τῶν κατορθωμάτων, καὶ τῇ τῆς θαυματουργίας ὑπερβολῇ εἰς πάντα διατείνεται τὸν χρόνον. Τοιαύτη οὖν ἔσται ἡ νίκη, φησί, καὶ τοιοῦτον τὸ τρόπαιον, ὡς ἅπασιν εἶναι δῆλον, οὕτω σαφές, καθάπερ ἐν στήλῃ γεγραμμένον, καὶ μηδέποτε ἐξαλειφόμενον. «Δόξα αὕτη ἐστὶ πᾶσι τοῖς ὁσίοις αὐτοῦ». Ποία αὕτη; Τὸ νικῆσαι, μᾶλλον δὲ οὐ τὸ νικῆσαι ἁπλῶς, ἀλλὰ τὸ οὕτω νικῆσαι, διὰ τῆς τοῦ Θεοῦ

λείου τοῦ Θεοῦ θὰ βρίσκονται στὸ λάρυγγά τους καὶ τὰ δίκοπα σπαθιὰ στὰ χέρια τους, γιὰ νὰ ἐκδικηθοῦν τοὺς ἐθνικοὺς καὶ νὰ ἐλέγξουν καὶ τιμωρήσουν τοὺς λαούς». Ἐδῶ δηλώνει τὸν μετὰ χοροῦ πόλεμο, καὶ ὅτι θὰ καταβάλουν τοὺς ἐχθρούς τους μὲ ψαλμοὺς καὶ ὕμνους. Ὑψώσεις δηλαδὴ ὀνομάζει τὶς ὑμνολογίες, τὶς ψαλμωδίες, τὶς εὐχαριστίες. Γι' αὐτὸ καὶ ἄλλος ἑρμηνευτὴς ἀντί «Τὶς ὑψώσεις» εἶπε, «Ὑμνολογίες». «Γιὰ νὰ ἐκδικηθοῦν τοὺς ἐθνικοὺς καὶ νὰ ἐλέγξουν καὶ τιμωρήσουν τοὺς λαούς». Τί σημαίνει αὐτό; Ἐπειδὴ ὅλο τὸ χρόνο ἐξουσιάζονταν ἀπὸ τοὺς ἐθνικοὺς καὶ ἐμπαίζονταν ἀπ' αὐτούς, ὑπόσχεται ὅτι θὰ ἐλέγξει καὶ θὰ τιμωρήσει αὐτοὺς μὲ τὰ κατορθώματά τους καὶ θὰ δείξει μὲ τὰ ὅσα θὰ ἐπιτύχουν αὐτοί, ὅτι αἰτία νὰ περιέλθουν κάτω ἀπὸ τὴν ἐξουσία τῶν ἐθνικῶν δὲν ἦταν ἡ ἀδυναμία τοῦ Θεοῦ, ἀλλ' οἱ ἁμαρτίες τους. Ἀφοῦ λοιπὸν τιμωρήθηκαν ἀρκετά, ἕνα μόνο νεῦμα ἔκαμε ὁ φιλάνθρωπος Θεός, καὶ τὰ πράγματα μεταβλήθηκαν κατὰ τρόπο τόσο θαυμαστό. Καὶ πρόσεχε τῆς νίκης τὴν ὑπερβολή. Διότι προσθέτει καὶ λέγει· «Γιὰ νὰ δέσουν μὲ ἁλυσίδες τοὺς βασιλεῖς καὶ τοὺς ἔνδοξους αὐτῶν μὲ σιδερένιες χειροπέδες». Εἶδες ἀφθονία δυνάμεως; Διότι δὲν ἐξεδίωξαν μόνο τοὺς ἐχθρούς, δὲν τοὺς ἀπομάκρυναν, ἀλλὰ ἐπέστρεψαν ἀφοῦ τοὺς συνέλαβαν καὶ αἰχμαλώτους, κάμνοντας φανερὴ σ' ὅλους τὴ δύναμη τοῦ Θεοῦ.

«Γιὰ νὰ καταστήσουν φανερὴ καὶ ἀλησμόνητη τὴ δίκαια ἀπόφαση τοῦ Θεοῦ». Τί σημαίνει, «Κρίμα ἔγγραπτον»; Φανερό, ὁμολογημένο ἀπὸ ὅλους, χωρὶς νὰ εἶναι δυνατὸ νὰ λησμονηθεῖ. Διότι τέτοια εἶναι τὰ ἔργα τοῦ Θεοῦ, ἐπεκτείνονται μέσα σ' ὅλο τὸ χρόνο καὶ ἐπειδὴ εἶναι πάρα πολὺ μεγάλα τὰ κατορθώματά του καὶ ἐπειδὴ εἶναι ὑπερβολικὰ θαυματουργικά. Τέτοια δηλαδή, λέγει, θὰ εἶναι ἡ νίκη ποὺ θὰ συμβεῖ καὶ τέτοιο τὸ τρόπαιο, ὥστε σ' ὅλους νὰ εἶναι φανερὸ καὶ τόσο καθαρό, σὰν νὰ εἶναι γραμμένο σὲ στήλη καὶ νὰ μὴ ἐξαλείφεται ποτέ. «Αὐτὸ θὰ εἶναι δόξα γιὰ τοὺς ἀφοσιωμένους σ' αὐτόν». Ποιὸ αὐτό; Τὸ νὰ νικήσουν· μᾶλλον δὲ ὄχι ἁπλῶς τὸ νὰ νικήσουν, ἀλλὰ τὸ ὅτι θὰ συμβεῖ αὐτὸ κατὰ τέτοιο τρόπο, μὲ τὴ συμμαχία δηλαδὴ τοῦ

συμμαχίας, διὰ τῆς ἄνωθεν ῥοπῆς. Ὅρα δὲ πῶς τῶν ὁσίων μέμνηται, διεγείρων αὐτοὺς εἰς τὴν τοῦ βίου καὶ τῆς ἀρετῆς ἐπιμέλειαν. Ἐμοὶ δὲ δοκεῖ, οὐχὶ τὴν νίκην μόνον λέγει δόξαν, ἀλλὰ καὶ τὸν αἶνον, καὶ τὰς μελῳδίας, καὶ τοὺς ὕμνους, παιδεύων διὰ πάντων, ὅτι Θεὸν ἀνυμνοῦντες, μεγάλην ἑαυτοῖς περιθήσουσι δόξαν, καὶ λαμπροτέρους ἑαυτοὺς ἀποφανοῦσι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Θεοῦ, μὲ τὴν οὐράνια βοήθεια. Πρόσεχε δὲ πῶς μνημονεύει τοὺς ἀφοσιωμένους στὸ Θεό, διεγείροντας αὐτούς, ὥστε νὰ φροντίζουν γιὰ τὸν τρόπο ζωῆς τους καὶ γιὰ τὴν ἀρετή. Ἐγὼ δὲ νομίζω, ὅτι δόξα ὀνομάζει ὄχι μόνο τὴ νίκη, ἀλλὰ καὶ τὴ δοξολογία, καὶ τὶς μελωδίες καὶ τοὺς ὕμνους, διδάσκοντας μὲ ὅλα, ὅτι ἀνυμνώντας τὸ Θεό, θὰ προσφέρουν μεγάλη δόξα στοὺς ἑαυτούς τους καὶ θὰ καταστήσουν λαμπρότερους τοὺς ἑαυτούς τους, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη, στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟΝ ΡΝ' ΨΑΛΜΟΝ.

«Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ». Ἄλλος, «Ἐν τῷ ἁγίῳ αὐτοῦ». Ἄλλος, «Ἐν τῷ ἡγιασμένῳ αὐτοῦ». *

Ἢ περὶ τοῦ λαοῦ ἐνταῦθα τοῦτο λέγει, ἢ περὶ βίου ἁγίου καὶ ἀνδρῶν ἁγίων. Ὅρα δὲ πῶς τὸ βιβλίον κατέκλεισε πάλιν εἰς εὐχαριστίαν, παιδεύων ἡμᾶς ὅτι τοῦτο καὶ ἀρχὴν καὶ τέλος εἶναι δεῖ καὶ τῶν πραγμάτων καὶ τῶν ρημάτων ἡμῶν. Διὸ καὶ Παῦλός φησι· «Πᾶν ὅ τι ἂν ποιῆτε ἐν λόγῳ καὶ ἔργῳ, πάντοτε εὐχαριστεῖτε τῷ Θεῷ καὶ Πατρὶ δι' αὐτοῦ». Οὕτω καὶ τῆς εὐχῆς ἡμῶν τὸ προοίμιον ἐντεῦθεν ἔχει τὴν ἀρχήν. Τὸ γὰρ λέγειν, «Πάτερ ἡμῶν», εὐχαριστούντων ἐστὶν ἐπὶ ταῖς γεγενημέναις δωρεαῖς, καὶ πάσας αὐτὰς διὰ τοῦ ὀνόματος τούτου δεικνύντων. Ὁ γὰρ εἰπὼν Πατέρα, τὴν υἱοθεσίαν ὡμολόγησεν· ὁ δὲ τὴν υἱοθεσίαν ὁμολογήσας, τὴν δικαιοσύνην, τὸν ἁγιασμόν, τὴν ἀπολύτρωσιν, τὴν τῶν ἁμαρτημάτων ἄφεσιν, τοῦ Πνεύματος τὴν χορηγίαν ἀνεκήρυξε. Δεῖ γὰρ ταῦτα πάντα προϋπάρξαι, ὥστε τῆς υἱοθεσίας ἡμᾶς οὕτως ἀπολαῦσαι, καὶ καλέσαι Πατέρα ἀξιωθῆναι.

Ἐμοὶ δὲ ἕτερον δοκεῖ αἰνίττεσθαι λέγων· τὸ γάρ, «Ἐν τοῖς ἁγίοις αὐτοῦ», τουτέστι, 'διὰ τοὺς ἁγίους αὐτοῦ'. Εὐχαριστεῖτε οὖν, ὅτι τοιαύτην πολιτείαν εἰς τὸν βίον εἰσήγαγεν, ἢ τοὺς ἀνθρώπους ἀγγέλους ἐποίησε. Διὸ πρότερον, «Ἐν τοῖς ἁγίοις», εἰπών, τότε ἐπήγαγεν, «Αἰνεῖτε αὐτὸν ἐν στερεώματι δυνάμεως αὐτοῦ», ἐμφαίνων ὅπερ ἔφθην εἰπών. Τοῦτο γὰρ μᾶλλον τῷ Θεῷ περισπούδαστον, ἢ ἐκεῖνο. Καὶ γὰρ οὐρανὸς διὰ τὸν ἄνθρωπον γέγονεν, οὐκ ἄνθρωπος διὰ τὸν οὐρανόν. Ἕτερος δὲ ἀντὶ τοῦ,

---

* Ὁ ψαλμὸς αὐτὸς ἐπισφραγίζει τοὺς τέσσερις προηγούμενους ψαλμούς, ἀποτελεῖ δὲ πρόσκληση τῆς κτίσεως καὶ κυρίως τοῦ Ἰσραὴλ γιὰ νὰ ὑμνήσουν καὶ δοξάσουν τὸν Κύριο. Ἀρχίζει καὶ αὐτός, ὅπως καὶ οἱ πέντε προηγούμενοι, μὲ τὸ «ἀλληλούϊα».

ΟΜΙΛΙΑ

ΣΤΟ ΡΝ' ΨΑΛΜΟ*

«Αἰνεῖτε τὸ Θεὸ γιὰ τοὺς ἁγίους αὐτοῦ». Ἄλλος, «Γιὰ τὸν ἅγιο αὐτοῦ». Ἄλλος, «Γιὰ τὸν ἁγιασμένο αὐτοῦ».

Ἢ αὐτὸ ἐδῶ τὸ λέγει γιὰ τὸ λαό, ἢ γιὰ τὸν βίο τῶν ἁγίων ἀνδρῶν. Πρόσεχε δὲ πῶς τελείωσε τὸ βιβλίο τῶν ψαλμῶν πάλι μὲ εὐχαριστία, διδάσκοντάς μας ὅτι αὐτὸ πρέπει νὰ εἶναι ἡ ἀρχὴ καὶ τὸ τέλος καὶ τῶν πράξεων καὶ τῶν λόγων μας. Γι' αὐτὸ καὶ ὁ Παῦλος λέγει· «Ὁ,τιδήποτε καὶ ἂν κάμνετε μὲ λόγια καὶ μὲ ἔργα, πάντοτε νὰ εὐχαριστεῖτε μὲ αὐτὸ τὸ Θεὸ καὶ Πατέρα»[1]. Παρόμοια καὶ τῆς προσευχῆς μας τὸ προοίμιο μὲ αὐτὸ ἀρχίζει. Διότι τὰ λόγια, «Πατέρα μας», δηλώνουν εὐχαριστία γιὰ τὶς δωρεὲς ποὺ μᾶς ἔγιναν καὶ ὅλες αὐτὲς τὶς δείχνουμε μὲ τὸ ὄνομα αὐτό. Καθόσουν ἐκεῖνος ποὺ εἶπε Πατέρα, ὁμολόγησε τὴν υἱοθεσία, ἐκεῖνος δὲ ποὺ ὁμολόγησε τὴν υἱοθεσία, διεκήρυξε τὴ δικαιοσύνη, τὸν ἁγιασμό, τὴν ἀπολύτρωση, τὴ συγχώρεση τῶν ἁμαρτημάτων, τὴ χορηγία τοῦ Πνεύματος. Διότι πρέπει ὅλα αὐτὰ νὰ προϋπάρξουν, καὶ τότε νὰ ἀπολαύσουμε τὴν υἱοθεσία καὶ ν' ἀξιωθοῦμε νὰ τὸν ὀνομάσουμε Πατέρα.

Ἐγὼ ὅμως νομίζω ὅτι κάτι ἄλλο ὑπαινίσσεται μὲ τὰ λόγια αὐτά· διότι τό, «Ἐν τοῖς ἁγίοις αὐτοῦ», αὐτὸ σημαίνει, 'γιὰ τοὺς ἁγίους αὐτοῦ'. Εὐχαριστεῖτε λοιπὸν αὐτόν, διότι τέτοιο τρόπο ζωῆς εἰσήγαγε στὸ βίο, ἢ διότι ἔκαμε τοὺς ἀνθρώπους ἀγγέλους. Γι' αὐτὸ πρῶτα, ἀφοῦ εἶπε «Γιὰ τοὺς ἁγίους του», τότε πρόσθεσε, «Αἰνεῖτε αὐτὸν ὅσοι βρίσκεσθε στὸ στερέωμα τοῦ οὐρανοῦ ποὺ ἔγινε μὲ τὴ δύναμή του», δηλαλώνοντας αὐτὸ ποὺ προανέφερα. Διότι αὐτὸ εἶναι περισσότερο περιπόθητο στὸ Θεό, παρὰ ἐκεῖνο. Καθόσον ὁ οὐρανὸς ἔγινε γιὰ τὸν ἄνθρωπο, καὶ ὄχι ὁ ἄνθρωπος γιὰ τὸν οὐρανό. Ἄλλος δὲ ἀντὶ τοῦ «Στὸ

---

1. Κολ. 3, 17.

«Ἐν στερεώματι», «Τῷ ἀκαθαιρέτῳ» εἶπε. Καὶ ἄλλος, «Ἐν στερεώματι κράτους αὐτοῦ». Καὶ ἕτερον δέ μοι δοκεῖ αἰνίττεσθαι πάλιν, ὡς ἐν τῷ προτέρῳ ψαλμῷ. Ὡς γὰρ ἐκεῖ εἶπεν, «Αἰνεῖτε αὐτὸν οἱ ἄγγελοι αὐτοῦ», οὕτω καὶ ἐνταῦθα, «Αἰνεῖτε αὐτὸν ἐν στερεώματι αὐτοῦ»· τουτέστιν, οἱ ὄντες ἐν στερεώματι αὐτοῦ. Οὐ γὰρ παύεται συνεχῶς κοινωνοὺς λαμβάνων τῆς εὐφημίας τὰς ἄνω δυνάμεις.

«Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ». Ἄλλος, «Διὰ τῶν δυναστειῶν αὐτοῦ». Ὁ δὲ Ἑβραῖός φησιν, «Βεγεβουροθαῦ». Ὃ δὲ λέγει, τοῦτό ἐστιν· αἰνεῖτε αὐτὸν διὰ τὰς δυναστείας αὐτοῦ, διὰ τὴν δύναμιν αὐτοῦ, διὰ τὰ θαύματα αὐτοῦ, διὰ τὴν ἰσχύν, ἣν διὰ πάντων ἐπιδείκνυται, τῶν ἄνω, τῶν κάτω, τῶν κοινῇ, τῶν ἰδίᾳ, τῶν καθ' ἕκαστον, τῶν διηνεκῶς. «Αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ». Καὶ πῶς τοῦτο δυνατόν, ἀντίρροπον τοῦ πλήθους τῆς μεγαλωσύνης αὐτοῦ αἶνον ἀναγαγεῖν; Οὐ τοῦτο λέγει, ὅτι ἀντίρροπον, ἀλλ' ὅσον, φησί, δυνατὸν ἐκτείνειν, ἐννοῶν τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ, τοιοῦτον ὡς ἐγχωρεῖ σοι ἀνάφερε, καὶ οἷον εἰκὸς τοιούτῳ μεγάλῳ Θεῷ καὶ μεθ' ὑπερβολῆς μεγάλῳ ἀναφέρειν ὕμνον ἄνθρωπον ὄντα· καὶ γὰρ ἄξιον οὐδεὶς ἀνενεγκεῖν δύναται. Εἶδες πόθον ψυχῆς; εἶδες ἐκκαιομένην διάνοιαν, βιαζομένην, φιλονεικοῦσαν καὶ τὴν οἰκείαν ἀσθένειαν ὑπερβῆναι, καὶ ἀναπτῆναι λοιπὸν πρὸς αὐτὸν τὸν οὐρανόν, συνδεδεμένην τῷ Θεῷ, ἀνακειμένην αὐτῷ πολλῷ τῷ πόθῳ;

«Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος». Ἄλλος, «Δι' ἤχου κερατίνης». «Αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ». Ἄλλος, «Διὰ νάβλας καὶ λύρας». «Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ». Ἄλλος, «Διὰ χορδῶν καὶ κιθάρας». «Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ». Ἄλλος, «Ἐν κυμβάλοις σημα-

2. Ψαλμ. 148, 2.
3. Κερατίνη ἦταν σάλπιγγα κατασκευασμένη ἀπὸ κέρατο.
4. Κύμβαλο· ἦταν μουσικὸ ὄργανο τῶν Ἑβραίων ἀποτελούμενο ἀπὸ δύο κοῖλα μετάλλινα ἡμισφαίρια ποὺ κρούονταν καὶ ἔβγαζαν ἦχο.

στερέωμα», εἶπε, «Στὸ ἀκατάβλητο». Καὶ ἄλλος ἑρμήνευσε, «Στὸ στερέωμα τῆς δυνάμεώς του». Καὶ κάτι ἄλλο δὲ μοῦ φαίνεται ὅτι ὑπαινίσσεται πάλι, ὅπως στὸν προηγούμενο ψαλμό. Διότι, ὅπως ἐκεῖ εἶπε, «Αἰνεῖτε αὐτὸν οἱ ἄγγελοι αὐτοῦ»[2], ἔτσι καὶ ἐδῶ εἶπε, «Αἰνεῖτε αὐτὸν ὅσοι βρίσκεσθε στὸ στερέωμα τοῦ οὐρανοῦ αὐτοῦ»· δηλαδὴ αὐτοὶ ποὺ διαμένετε στὸ στερέωμά του. Διότι δὲν σταματᾶ νὰ προσκαλεῖ συνέχεια τὶς οὐράνιες δυνάμεις νὰ λάβουν μέρος στὴ δοξολογία.

«Αἰνεῖτε αὐτὸν γιὰ τὰ θαυμαστὰ ἔργα τῆς δυνάμεως αὐτοῦ». Ἄλλος «Γιὰ τὰ μεγάλα ἔργα του». Ὁ δὲ ἑβραῖος λέγει, «Βεγεβουροθαῦ». Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Αἰνεῖτε αὐτὸν γιὰ τὴν ἐξουσία του, γιὰ τὴ δύναμή του, γιὰ τὰ θαύματά του, γιὰ τὴν ἰσχύ του, ποὺ τὴν δείχνει μὲ ὅλα, μὲ τὰ οὐράνια, μὲ τὰ ἐπίγεια, μὲ ἐκεῖνα ποὺ γίνονται πρὸς ὅλους, μὲ τὰ ἰδιαίτερα, μὲ ἐκεῖνα ποὺ γίνονται στὸν καθένα, μὲ ἐκεῖνα ποὺ γίνονται συνέχεια. «Αἰνεῖτε αὐτὸν ὅπως ταιριάζει στὴ μεγαλοπρέπειά του». Καὶ πῶς εἶναι αὐτὸ δυνατό, νὰ προσφέρουμε ὕμνο ἰσάξιο τοῦ πλήθους τῆς μεγαλωσύνης του; Δὲν λέγει αὐτό, δηλαδὴ ἰσάξιο, ἀλλά, λέγει, ὅσο εἶναι δυνατὸ νὰ προσφέρει κανείς· σκεπτόμενος τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ, ἀνάπεμψε πρὸς αὐτὸν τέτοιο ὕμνο, ὅσο σοῦ εἶναι δυνατό, καὶ τέτοιο ποὺ εἶναι φυσικὸ ν' ἀναπέμπει κάποιος, ὕμνο, ἐνῶ εἶναι ἄνθρωπος, πρὸς ἕνα τέτοιο μεγάλο Θεὸ καὶ πρὸς ἕνα ὑπερβολικὰ μεγάλο Θεό· καθόσον κανεὶς δὲν μπορεῖ ν' ἀναπέμψει πρὸς αὐτὸν ἄξιο ὕμνο. Εἶδες πόθο ψυχῆς; εἶδες διάνοια ποὺ κατακαίεται, ποὺ βιάζεται, ποὺ συναγωνίζεται καὶ θέλει νὰ ὑπερβεῖ τὴν ἀδυναμία της καὶ νὰ πετάξει πλέον πρὸς τὸν ἴδιο τὸν οὐρανό, νὰ συνενωθεῖ μὲ τὸ Θεὸ καὶ ν' ἀφοσιωθεῖ σ' αὐτὸν μὲ μεγάλο πόθο;

«Αἰνεῖτε αὐτὸν μὲ ἦχο σάλπιγγας». Ἄλλος, «Μὲ ἦχο κερατίνης»[3]. «Αἰνεῖτε αὐτὸν μὲ ψαλτήρι καὶ κιθάρα». Ἄλλος, «Μὲ νάβλα καὶ λύρα». «Αἰνεῖτε αὐτὸν μὲ τύμπανο καὶ χορό, αἰνεῖτε αὐτὸν μὲ χορδὲς καὶ ὄργανα». Ἄλλος, «Μὲ χορδὲς καὶ κιθάρα». «Αἰνεῖτε αὐτὸν μὲ κύμβαλα[4] εὔηχα, αἰνεῖτε αὐτὸν μὲ κύμβαλα ἀλαλαγμοῦ». Ἄλλος, «Μὲ κύμβαλα ποὺ νὰ προτρέ-

σίας». «Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον». Ἄλλος, «Ἀναπνοή». Πάντα ἀνακινεῖ τὰ ὄργανα, καὶ διὰ πάντων τὴν μελῳδίαν ἀναφέρεσθαι παρακελεύεται, διαθερμαίνων τὴν διάνοιαν αὐτῶν καὶ ἀνεγείρων. Ὥσπερ οὖν Ἰουδαίοις διὰ πάντων τῶν ὀργάνων, οὕτως ἡμῖν παρακελεύεται διὰ πάντων τῶν μελῶν ἀνυμνεῖν τὸν Θεόν, δι' ὀφθαλμοῦ, διὰ γλώττης, δι' ἀκοῆς, καὶ διὰ χειρός. Ὅπερ οὖν καὶ ὁ Παῦλος δηλοῖ λέγων· «Παραστήσατε τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν». Αἰνεῖ γὰρ καὶ ὀφθαλμός, ὅταν μὴ ἀκόλαστα βλέπῃ· καὶ γλῶττα, ὅταν ψάλλῃ· καὶ ἀκοή, ὅταν μὴ δέχηται πονηρὰ ᾄσματα, μηδὲ κατηγορίας τοῦ πλησίον· καὶ διάνοια, ὅταν μὴ δόλους ῥάπτῃ, ἀλλὰ ἀγάπην βρύῃ· καὶ πόδες, ὅταν μὴ ἐπὶ πονηρίαν τρέχωσιν, ἀλλ' ἐπὶ ἀγαθῶν ἔργων οἰκονομίαν· καὶ χεῖρες, ὅταν μὴ ἐπὶ ἁρπαγὴν καὶ πλεονεξίαν καὶ πληγάς, ἀλλ' ἐπὶ ἐλεημοσύνην καὶ τὴν τῶν ἀδικουμένων προστασίαν ἐκτείνωνται. Τότε γίνεται κιθάρα ἐμμελὴς ὁ ἄνθρωπος, παναρμόνιόν τινα μελῳδίαν καὶ πνευματικὴν ἀναφέρων τῷ Θεῷ. Καὶ τὰ ὄργανα δὲ ἐκεῖνα διὰ τοῦτο ἐπετέτραπτο τότε, διά τε τὴν ἀσθένειαν αὐτῶν, καὶ διὰ τὸ κιρνᾶν αὐτοὺς εἰς ἀγάπην καὶ συμφωνίαν, καὶ ἐγείρειν αὐτῶν τὴν διάνοιαν μεθ' ἡδονῆς ποιεῖν τὰ τὴν ὠφέλειαν παρεχόμενα, καὶ εἰς πολλὴν βούλεσθαι αὐτοὺς ἄγειν σπουδὴν διὰ τῆς τοιαύτης ψυχαγωγίας. Τὸ γὰρ βάναυσον αὐτῶν καὶ ῥᾴθυμον καὶ ἀναπεπτωκὸς σοφιζόμενος ὁ Θεός, ἀφυπνίζειν αὐτοὺς ταύτῃ μεθώδευσε τῇ σοφίᾳ, ἀνακεράσας τῷ πόνῳ τῆς προσεδρίας τὸ ἡδὺ τῆς μελῳδίας.

Τί δέ ἐστιν, «Ἐν κυμβάλῳ σημασίας»; Τοὺς ψαλμοὺς οὕτω φησίν. Οὐ γὰρ ἁπλῶς ἐκυμβάλιζον, οὐδὲ ἁπλῶς ἐκιθάριζον, ἀλλ' ὡς οἷόν τε ἦν, καὶ διὰ τῶν κυμβάλων, καὶ διὰ τῶν σαλπίγγων, καὶ διὰ τῶν τῆς κιθάρας ψαλμῶν τὰς σημασίας ἐνδεικνύμενοι· καὶ ἦν αὐτοῖς εἰς ταῦτα σπουδὴ καὶ πόνος πολὺ τὸ

5. Ρωμ. 12, 1.

πουν γιὰ ἐξύμνηση». «Κάθε ζωντανὴ ὕπαρξη ἂς δοξολογήσει τὸν Κύριο». Ἄλλος, «Κάθε ἀναπνοή». Ὅλα τὰ ὄργανα τὰ ἀνακινεῖ καὶ προτρέπει μὲ τὴ μελωδία ὅλων νὰ ἀναπέμπεται ὁ ὕμνος στὸ Θεό, διαθερμαίνονται καὶ διεγείροντας τὴ διάνοιά τους. Ὅπως ἀκριβῶς λοιπὸν παροτρύνει τοὺς Ἰουδαίους νὰ ὑμνοῦν αὐτὸν μὲ ὅλα τὰ ὄργανα, ἔτσι παρακινεῖ καὶ ἐμᾶς νὰ ἀνυμνοῦμε τὸ Θεὸ μὲ ὅλα τὰ μέλη μας, μὲ τοὺς ὀφθαλμούς, μὲ τὴ γλώσσα, μὲ τὴν ἀκοή, μὲ τὰ χέρια. Αὐτὸ ἀκριβῶς λοιπὸν θέλοντας καὶ ὁ Παῦλος νὰ δηλώσει, ἔλεγε· «Κάνετε τὰ σώματά σας θυσία ζωντανή, ἅγια, εὐπρόσδεκτη στὸ Θεό· αὐτὴ εἶναι ἡ λογικὴ λατρεία σας»[5]. Διότι ὑμνεῖ τὸ Θεὸ καὶ ὁ ὀφθαλμὸς ὅταν δὲν βλέπει ἀκόλαστα· καὶ ἡ γλώσσα, ὅταν ψάλλει· καὶ ἡ ἀκοή, ὅταν δὲν δέχεται κακὰ ἄσματα, οὔτε κατηγορίες ἐνώπιον τοῦ πλησίον· καὶ ἡ διάνοια, ὅταν δὲν πλέκει μηχανορραφίες, ἀλλὰ ἀναβλύζει ἀγάπη· καὶ τὰ πόδια, ὅταν δὲν τρέχουν σὲ κακὰ ἔργα, ἀλλὰ φροντίζουν γι' ἀγαθὰ ἔργα· καὶ τὰ χέρια, ὅταν ἁπλώνονται ὄχι γιὰ ἁρπαγὴ καὶ πλεονεξία καὶ γιὰ νὰ πληγώσουν, ἀλλὰ γιὰ ἐλεημοσύνη καὶ προστασία τῶν ἀδικουμένων. Τότε γίνεται ὁ ἄνθρωπος κιθάρα μελωδική, ἀναπέμποντας στὸ Θεὸ καὶ κάποια παναρμόνια καὶ πνευματικὴ μελωδία. Καὶ τὰ ὄργανα δὲ ἐκεῖνα γι' αὐτὸ εἶχαν ἐπιτραπεῖ τότε, ἐξ αἰτίας τῆς πνευματικῆς ἀδυναμίας αὐτῶν, καὶ γιὰ νὰ ἀναμειγνύουν τὴν ἀγάπη μὲ τὴν ὁμοφωνία καὶ νὰ διεγείρουν τὴ διάνοια αὐτῶν νὰ κάμνουν ἐκεῖνα ποὺ παρέχουν ὠφέλεια, καὶ μὲ τὴν ψυχαγωγία αὐτὴ νὰ παρακινοῦν αὐτοὺς νὰ καταβάλλουν μεγάλη φροντίδα γιὰ πνευματικὰ ἔργα. Διότι ἀναλογιζόμενος ὁ Θεὸς τὴ σκληρότητα αὐτῶν, τὴν ἀδιαφορία καὶ τὴν εὔκολη πτώση τους, μεθόδευσε μὲ τὰ σοφὰ αὐτὰ μέσα νὰ ἀφυπνίζει αὐτούς, ἀφοῦ ἀνέμειξε μὲ τὸν κόπο τῆς ὑπομονῆς καὶ τὴ γλυκύτητα τῆς μελωδίας.

«Τί σημαίνει δέ, «Ἐν κυμβάλῳ σημασίας»; Ἔτσι ὀνομάζει τοὺς ψαλμούς. Διότι δὲν ἔπαιζαν ἁπλῶς τὰ κύμβαλα, οὔτε ἁπλῶς ἔπαιζαν τὶς κιθάρες, ἀλλ', ὅσο ἦταν δυνατό, καὶ μὲ τὰ κύμβαλα καὶ μὲ τὶς σάλπιγγες καὶ μὲ τὶς κιθάρες παρουσίαζαν τὸ βαθύτερο νόημα τῶν ψαλμῶν. Καὶ ἡ φροντίδα αὐτὴ καὶ ὁ

κέρδος φέρων. «Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον». Ἐπειδὴ γὰρ ἐκάλεσε τοὺς ἐξ οὐρανοῦ, ἐπειδὴ διήγειρε τὸν δῆμον, ἐπειδὴ τὰ ὄργανα ἅπαντα ἐκίνησεν, εἰς τὴν φύσιν πᾶσαν ἐκβαίνει λοιπόν, πᾶσαν ἡλικίαν εἰς τὴν μελῳδίαν καλῶν, πρεσβύτας, ἄνδρας, νέους, ἐφήβους, γυναῖκας, ἅπαντας τοὺς τὴν οἰκουμένην οἰκοῦντας, καὶ ἐντεῦθεν ἤδη προκαταβαλλόμενος τῆς Καινῆς Διαθήκης τὰ σπέρματα τοῖς πανταχοῦ γῆς ἐκτεταμένοις.

Αἰνῶμεν τοίνυν τὸν Θεὸν διηνεκῶς, μὴ διαλείπωμεν ὑπὲρ ἁπάντων εὐχαριστοῦντες, καὶ διὰ ρημάτων, καὶ διὰ τῶν πραγμάτων. Αὕτη γὰρ ἡμῶν θυσία καὶ προσφορά, αὕτη λειτουργία ἀρίστη καὶ ταῖς ἀγγελικαῖς πολιτείαις ἐοικυῖα. Κἂν διαμείνωμεν οὕτως αὐτὸν ἀνυμνοῦντες, καὶ τὸν παρόντα βίον ἀπροσκόπως ἀνύσομεν, καὶ τῶν μελλόντων ἀπολαυσόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

κόπος ἀπὸ αὐτὰ παρεῖχε σ' αὐτοὺς μεγάλη ὠφέλεια. «Κάθε ζωντανὴ ὕπαρξη ἂς προσφέρει ὕμνο στὸν Κύριο». Ἀφοῦ δηλαδὴ κάλεσε τὶς οὐράνιες δυνάμεις στὴν ἐξύμνηση αὐτοῦ, ἀφοῦ διήγειρε τὸ πλῆθος, ἀφοῦ κίνησε στὴν ἐξύμνηση αὐτοῦ ὅλα τὰ ὄργανα, προχωρεῖ πλέον σ' ὅλη τὴ φύση, καλώντας στὴ μελωδία κάθε ἡλικία, γέροντες, ἄνδρες, νέους, ἔφηβους, γυναῖκες ὅλους τοὺς κατοίκους τῆς οἰκουμένης, καὶ ἀπὸ ἐδῶ ἤδη ρίχνει τὰ σπέρματα τῆς Καινῆς Διαθήκης πρὸς τοὺς κατοίκους τῆς γῆς ποὺ εἶναι ἐγκατεστημένοι σ' ὅλα τὰ μέρη αὐτῆς.

Ἂς ὑμνοῦμε λοιπὸν τὸ Θεὸ συνέχεια, χωρὶς νὰ παραλείπουμε γιὰ ὅλα νὰ τὸν εὐχαριστοῦμε, καὶ μὲ τὰ λόγια καὶ μὲ τὶς πράξεις μας. Διότι αὐτὴ εἶναι θυσία καὶ προσφορά μας, αὐτὴ εἶναι λειτουργία ἄριστη ποὺ μοιάζει μὲ τὸν ἀγγελικὸ τρόπο ζωῆς. Καὶ ἂν ἐπιμείνουμε ἔτσι νὰ ἀνυμνοῦμε αὐτόν, καὶ τὴν παρούσα ζωὴ θὰ διανύσουμε χωρὶς ἐμπόδια, καὶ τὰ μελλοντικὰ ἀγαθὰ θ' ἀπολαύσουμε, τὰ ὁποῖα εὔχομαι ὅλοι μας νὰ ἐπιτύχουμε μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα, συγχρόνως δὲ καὶ στὸ ἅγιο Πνεῦμα, ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

2

ΟΙ ΤΡΕΙΣ ΟΜΙΛΙΕΣ ΣΤΟ ΔΑΥΙΔ ΚΑΙ ΤΟ ΣΑΟΥΛ.

ΕΙΣΑΓΩΓΗ

Κύριο θέμα τῶν ὁμιλιῶν αὐτῶν εἶναι ἡ μεγαλοψυχία πρὸς τοὺς ἐχθρούς, ποὺ ἐνσαρκώνεται κατὰ τρόπο μοναδικὸ γιὰ τὴν ἐποχὴ ἐκείνη στὸ πρόσωπο τοῦ Δαυίδ.

Στὴν πρώτη ὁμιλία περιγράφεται καὶ ἀναλύεται μὲ τὸν πλέον ἐκφραστικὸ τρόπο τὸ ὅλο ἱστορικὸ τὸ σχετιζόμενο μὲ τὰ δύο ἄκρως ἀντίθετα πρόσωπα τῆς Π. Διαθήκης, τὸ Δαυίδ, τὸ φωτεινὸ αὐτὸ παράδειγμα ἀνεξικακίας καὶ μεγαλοψυχίας, καὶ τὸ Σαοὺλ μὲ τὴν ἄσπονδη ἐχθρότητά του πρὸς τὸν εὐεργέτη του. Ἀναλύονται τὰ γεγονότα τῆς νίκης τοῦ Δαυὶδ πρὸς τὸ Γολιὰθ καὶ οἱ ἐπευφημίες τῶν γυναικῶν μετὰ τὴ νίκη «Ὁ Σαοὺλ ἐφόνευσε χιλιάδες καὶ ὁ Δαυὶδ μυριάδες» (Α' Βασ. 18,7), γεγονότα ποὺ ἔκαναν νὰ φουντώσει μέσα στὸ Σαοὺλ ὁ φθόνος του πρὸς τὸν εὐεργέτη του τὸ Δαυίδ, νὰ φθάσει στὸ ἀποκορύφωμά του καὶ νὰ ἐκδηλωθεῖ μὲ τὴν τριπλὴ ἀπόπειρα νὰ φονεύσει αὐτόν. Ὁ Δαυὶδ διαφεύγει τὸν κίνδυνο, καὶ φεύγει μακριὰ γιὰ νὰ καθησυχάσει τὸ πάθος τοῦ Σαούλ, ἀλλὰ καταδιώκεται ἀπ' αὐτόν. Μὰ ὅπως σὲ κάθε βῆμα τῆς ζωῆς τοῦ Δαυὶδ ὁ Θεὸς συμπαραστέκεται τὸ Δαυίδ, ἔτσι καὶ ἐδῶ θὰ ἐπεμβεῖ καὶ θὰ τοῦ παραδώσει τὸν ἐχθρὸ στὰ χέρια μέσα στὸ σπήλαιο ποὺ διέμενε μὲ τοὺς συντρόφους του. Σκηνὲς ἀνεπανάληπτες διαζωγραφίζονται ἐκεῖ μέσα, μέσα ἀπὸ τὶς ὁποῖες προβάλει λαμπρότατος ὁ φωτεινὸς αὐτὸς φάρος καὶ ἡ λάμψη του γίνεται ἀκόμα μεγαλύτερη ἀπὸ τὸν τρόπο μὲ τὸν ὁποῖο μᾶς τὸν παρουσιάζει ὁ Χρυσόστομος. Ὁ ἐχθρὸς βρίσκεται στὰ χέρια του μόνος του καὶ ἀνίκανος νὰ ὑπερασπισθεῖ τὸν ἑαυτό του. Οἱ σύντροφοι τοῦ Δαυὶδ τὸν πιέζουν νὰ τὸ φονεύσουν γιὰ ν' ἀπαλλαγοῦν μιὰ γιὰ πάντα ἀπὸ τὴ μανία του, μὰ ἐκεῖνος σὰν ἀκλόνητος βράχος ἀμύνεται καὶ τελικὰ ἐξέρχεται νικητής, διακηρύσσοντας ἔτσι ὅλο τὸ ψυχικὸ μεγαλεῖο του. Τοποθετεῖ τὸν ἑαυτό του πάνω ἀπὸ τὸ νόμο ποὺ πρόσταζε, «ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ», καὶ γίνεται ἔτσι πρόδρομος τοῦ κηρύγματος τοῦ εὐαγγελίου, «Ἐγὼ δὲ λέγω ὑμῖν ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς...» (Ματθ. 5,44). Ἡ ὁμιλία κλείνει μὲ τὶς προτροπὲς τοῦ Χρυσοστόμου πρὸς μίμηση τοῦ λαμπροῦ αὐτοῦ παραδείγματος.

Στὴ δεύτερη ὁμιλία ἡ ἀρετὴ τοῦ Δαυὶδ φθάνει στὸ ἀποκορύφωμά της. Ἀπὸ τὸ σπήλαιο ἐξῆλθε νικητὴς τοῦ πάθους τῆς ἐκδικήσεως καὶ τώρα ἀγωνίζεται ν' ἀπαλλάξει τὸν ἐχθρό του ἀπὸ τὴ μανία ποὺ τὸν διακατέχει, παρουσιάζοντάς του ἔμπρακτα τὴν ἀγάπη του πρὸς αὐτὸν καὶ διαλύοντας ἔτσι ὅλες τὶς σὲ βάρος του συκοφαντίες. Αὐτὲς ἀκριβῶς τὶς ψυχικὲς ἐκδηλώσεις τόσο τοῦ Δαυὶδ ὅσο καὶ τοῦ Σαοὺλ μᾶς τὶς παρουσιάζει ὁ Χρυσόστομος μὲ τὸν τρόπο ποὺ μόνο αὐτὸς γνώριζε νὰ παρουσιάζει, σὰν γνώστης ὅλων τῶν πτυχῶν τῆς ψυχῆς τοῦ ἀνθρώπου. Καὶ δὲν θ' ἀγωνισθεῖ ὁ Δαυὶδ ν' ἀπαλλάξει τὸν ἐχθρό του ἀπὸ τὸν ἄδικο μόνο φόνο του, ἀλλὰ καὶ ὅταν θὰ πέσει στὴ μάχη μαζὶ μὲ τὸν υἱό του τὸν Ἰωνάθαν, θὰ κλάψει πικρὰ καὶ τοὺς δυό ξεσχίζοντας τὰ ροῦχα του ἀπὸ τὴ λύπη του καὶ καλώντας καὶ τὰ ἴδια τὰ φυσικὰ στοιχεῖα νὰ λάβουν μέρος στὸ πένθος του αὐτό, τὰ ὄρη Γελβουέ, στὰ ὁποῖα ἔπεσε «ἐκεῖνος» ποὺ τὸν ἀγάπησε περισσότερο καὶ ἀπὸ τὶς γυναῖκες. Τὴν ὁμιλία κλείνει καὶ πάλι μὲ τὴν προτροπὴ πρὸς τοὺς ἀκροατές του νὰ μιμηθοῦν τὸ Δαυίδ, δείχνοντας πρὸς τοὺς ἐχθρούς τους ἀνεξικακία κατὰ τὸ παράδειγμα τοῦ Δαυίδ.

Ἡ τρίτη ὁμιλία ἀρχίζει μὲ διαφορετικὸ θέμα. Παίρνει ἀφορμὴ ἀπὸ ἐκείνους ποὺ ἐγκατέλειψαν τὸ ναὸ καὶ κατέφυγαν στὰ θέατρα καί, διαζωγραφίζοντας ἀπὸ τὸ ἕνα μέρος τὰ κακὰ ποὺ λάμβαναν χώρα ἐκεῖ, καὶ ἀπὸ τὸ ἄλλο μέρος τὰ ἀγαθὰ ποὺ ἀποκομίζει κανεὶς ἀπὸ τὴ συχνὴ ἐπαφή του μὲ τὴν ἐκκλησία, πείθει τὸν ἀκροατὴ τὰ μὲν πρῶτα ν' ἀποφύγει, τὰ δὲ δεύτερα νὰ προτιμήσει.

Στὴ συνέχεια ἐπαναφέρει τὸ λόγο στὸ Δαυίδ. Τονίζει τὰ ἀγαθὰ τῆς ἀνεξικακίας. Ἡ ὅλη συμπεριφορὰ τοῦ Δαυὶδ λύγισε τὸν ἐχθρό του, συντρίβοντας κυριολεκτικὰ τὴν ψυχή του, ἔτσι ποὺ ν' ἀφήσει μέσα ἀπ' αὐτὴν νὰ βγοῦν τὰ λόγια του ἐκεῖνα, «Δίκαιος σὺ ὑπὲρ ἐμέ, ὅτι σὺ ἀνταπέδωκάς μοι ἀγαθά, ἐγὼ δὲ ἀνταπέδωκά σοι κακά» (Α' Βασ. 24,18). Καὶ δὲν σταματᾶ μέχρις ἐδῶ, ἀλλά, διαισθανόμενος καὶ προλέγοντας τὴν ἐπικράτηση τοῦ Δαυίδ, ζητᾶ ἀπὸ τὸν εὐεργέτη του νὰ φροντίσει γιὰ τοὺς ἀπογόνους του. Καὶ ἀκριβῶς μὲ τὸ θέμα αὐτὸ κλείνει καὶ ὁ Ἰ. Χρυσόστομος τὴν ὁμιλία του αὐτὴ περιγράφοντας καὶ ἀναλύοντας τὴν ὅλη συμπεριφορὰ καὶ τὴ μεγαλοψυχία τοῦ Δαυὶδ πρὸς τὸν ἀνάπηρο υἱὸ τοῦ Σαούλ, ποὺ τὸν κάμνει καὶ ὁμοτράπεζό του, καὶ δίνοντας τὴ συμβουλὴ στοὺς ἀκροατές του νὰ μιμηθοῦν τὸ παράδειγμα τοῦ Δαυίδ.

Καὶ οἱ τρεῖς ὁμιλίες ἐκφωνήθηκαν τὸ θέρος τοῦ 387.

Τὸ κείμενο εἶναι παρμένο ἀπὸ τὴν ἔκδοση Montfaucon στὸ ὁποῖο ἔγιναν διορθώσεις μόνο στὴ στίξη.

ΟΜΙΛΙΑ Α΄.

Εἰς τὰ κατὰ τὸν Δαυὶδ καὶ τὸν Σαούλ, καὶ περὶ ἀνεξικακίας, καὶ τοῦ δεῖν φείδεσθαι τῶν ἐχθρῶν, καὶ μηδὲ ἀπόντας λέγειν κακῶς.

1. Ὅταν χρονία τις καὶ σκληρὰ φλεγμονὴ τοῖς σώμασιν ἐναποσκιρρωθεῖσα τύχοι, πολλοῦ μὲν χρόνου καὶ πόνου, πολλῆς δὲ τῆς ἀπὸ τῶν φαρμάκων δεῖται σοφίας, ὥστε ἀσφαλῶς αὐτῆς χαλασθῆναι τὸν ὄγκον. Τοῦτο καὶ ἐπὶ τῆς ψυχῆς ἐστιν ἰδεῖν. Ὅταν γὰρ πάθος ἐρριζωμένον καὶ πολὺν ἐμφιλοχωρῆσαν τῇ ψυχῇ χρόνον βούληταί τις πρόρριζον ἀνελεῖν, οὐκ ἀρκεῖ μιᾶς, οὐδὲ δύο ἡμερῶν πρὸς τὴν διόρθωσιν ταύτην παραίνεσις, ἀλλὰ χρὴ πολλάκις καὶ ἐπὶ πολλαῖς ταῖς ἡμέραις περὶ ταύτης διαλέγεσθαι τῆς ὑποθέσεως, εἴ γε μὴ μέλλοιμεν πρὸς φιλοτιμίαν καὶ τέρψιν, ἀλλὰ πρὸς κέρδος καὶ ὠφέλειαν δημηγορεῖν. Διὰ δὴ τοῦτο, ὅπερ ἐπὶ τῶν ὅρκων ἐποιήσαμεν, πολλὰς ἐφεξῆς ἡμέρας περὶ τῆς αὐτῆς ὑποθέσεως διαλεχθέντες ὑμῖν, τοῦτο καὶ ἐπὶ τῆς ὀργῆς ἐργασώμεθα, καὶ συνεχῆ περὶ αὐτῆς ποιησώμεθα συμβουλὴν κατὰ δύναμιν τὴν ἡμετέραν. Καὶ γὰρ οὗτος ἄριστος διδασκαλίας εἶναί μοι δοκεῖ τρόπος, τὸ μὴ πρότερον ἀφίστασθαι συμβουλεύοντας ὑπὲρ ὁτουοῦν, ἕως ἂν εἰς ἔργον τὴν συμβουλὴν ἐξελθοῦσαν ἴδωμεν. Ὁ γὰρ σήμερον μὲν περὶ ἐλεημοσύνης, αὔριον δὲ περὶ εὐχῆς, μετ᾽ ἐκείνην δὲ περὶ ἐπιεικείας, εἶτα πάλιν περὶ ταπεινοφροσύνης διαλεγόμενος, οὐδέτερον τούτων ἐν τοῖς ἀκροαταῖς κατορθῶσαι δυνήσεται, ἀπὸ τούτου πρὸς ἐκεῖνο, καὶ πάλιν ἀπ᾽ ἐκείνου πρὸς

Ο Μ Ι Λ Ι Α Α΄

Γιὰ τὰ σχετικὰ μὲ τὸν Δαυὶδ καὶ τὸν Σαούλ, περὶ ἀνεξικακίας, καὶ περὶ τοῦ ὅτι πρέπει νὰ δείχνουμε εὐσπλαγχνία γιὰ τοὺς ἐχθρούς μας καὶ νὰ μὴ τοὺς κακολογοῦμε ὅταν εἶναι ἀπόντες.

1. Ὅταν συμβεῖ μιὰ κάποια χρόνια καὶ σκληρὴ φλεγμονὴ νὰ κρατήσει γιὰ πολὺ χρόνο σ' ἕνα σῶμα χρειάζεται καὶ πολὺς χρόνος καὶ κόπος καὶ πολλὲς φαρμακευτικὲς γνώσεις, ὥστε νὰ ὑποχωρήσει καὶ νὰ θεραπευθεῖ μὲ ἀσφάλεια ὁ ὄγκος. Αὐτὸ μποροῦμε νὰ δοῦμε νὰ συμβαίνει καὶ στὴν περίπτωση τῆς ψυχῆς. Διότι, ὅταν κάποιος θέλει νὰ καταστρέψει ἀπὸ τὴ ρίζα του κάποιο πάθος ποὺ ἔχει εἰσχωρήσει καὶ ἔχει ριζώσει γιὰ πολὺ χρόνο μέσα στὴν ψυχή, δὲν ἀρκοῦν συμβουλὲς μιᾶς οὔτε δύο ἡμερῶν γιὰ τὴν ἐξάλειψη αὐτοῦ, ἀλλὰ χρειάζεται πολλὲς φορὲς καὶ ἐπὶ πολλὲς ἡμέρες νὰ δίνει κανεὶς συμβουλὲς γιὰ τὸ θέμα αὐτό, ἐὰν φυσικὰ ἐπιθυμοῦμε νὰ ὁμιλοῦμε ὄχι ἀπὸ φιλοδοξία καὶ εὐχαρίστηση, ἀλλὰ γιὰ κέρδος καὶ ὠφέλεια. Γι' αὐτὸ λοιπόν, ἐκεῖνο ἀκριβῶς ποὺ κάναμε γιὰ τοὺς ὅρκους καὶ σᾶς μιλήσαμε πολλὲς συνεχόμενες ἡμέρες γιὰ τὸ ἴδιο θέμα, αὐτὸ θὰ κάνουμε καὶ γιὰ τὴν ὀργή, θὰ συνεχίσουμε δηλαδὴ τὴ συμβουλὴ γι' αὐτὴ ὅσο τὸ ἐπιτρέπουν οἱ δυνάμεις μας. Καθόσον κατὰ τὴ γνώμη μου αὐτὸς εἶναι ἄριστος τρόπος διδασκαλίας, τὸ νὰ μὴ σταματοῦμε νὰ συμβουλεύουμε γιὰ ὁποιοδήποτε πράγμα, μέχρι ποὺ νὰ δοῦμε νὰ γίνεται πράξη ἡ συμβουλή. Διότι ἐκεῖνος ποὺ ὁμιλεῖ σήμερα μὲν γιὰ ἐλεημοσύνη, αὔριο γιὰ προσευχή, μεθαύριο δὲ γιὰ ἐπιείκεια, καὶ τὴν ἑπόμενη πάλι ἡμέρα γιὰ ταπεινοφροσύνη, δὲν θὰ μπορέσει νὰ προσφέρει τίποτα ἀπ' αὐτὰ στοὺς ἀκροατές του, μεταπηδώντας συνέχεια ἀπὸ αὐτὸ τὸ θέ-

ἕτερον συνεχῶς μεταπηδῶν, ἀλλὰ χρὴ τὸν μέλλοντα κατορθοῦν ἐν τοῖς ἀκούουσι τὰ λεγόμενα, μὴ πρότερον ἀφίστασθαι περὶ τῶν αὐτῶν παραινοῦντα καὶ συμβουλεύοντα, μηδὲ ἐφ' ἕτερόν τι μεταπηδᾶν, ἕως ἂν ἴδῃ τὴν προτέραν παραίνεσιν καλῶς ἐν αὐτοῖς ῥιζωθεῖσαν. Τοῦτο καὶ οἱ διδάσκαλοι ποιοῦσιν· οὐ πρότερον ἐπὶ τὰς συλλαβὰς τοὺς παῖδας ἄγουσιν, ἕως ἂν τῶν στοιχείων τὴν γνῶσιν ἐν αὐτοῖς κατορθωθεῖσαν ἴδωσι.

Πρῴην μὲν οὖν ὑμῖν τὴν παραβολὴν ἀναγνόντες τῶν ἑκατὸν δηναρίων, καὶ τῶν μυρίων ταλάντων, ἐδείκνυμεν ὅσον ἦν κακὸν τὸ μνησικακεῖν. Ὃν γὰρ οὐκ ἀπώλεσε τὰ μυρία τάλαντα, τοῦτον ἑκατὸν δηνάρια κατεπόντισε, καὶ τὴν δοθεῖσαν συγγνώμην ἀνεκαλέσατο, καὶ τὴν δωρεὰν ἀπεκρούσατο, καὶ ἀπαλλαγέντα τῶν εὐθυνῶν εἰς τὸ δικαστήριον πάλιν εἰσήγαγε, κἀκεῖθεν εἰς τὸ δεσμωτήριον ἐνέβαλε, καὶ οὕτως ἀθανάτῳ αὐτὸν παρέδωκε τιμωρίᾳ. Σήμερον δὲ ἐφ' ἑτέραν ὑπόθεσιν τὸν λόγον χειραγωγήσομεν. Ἔδει μὲν γάρ, εἴπερ δίκαιον ἐγίνετο, τὸν λέγοντα περὶ ἐπιεικείας τε καὶ πρᾳότητος οἴκοθεν καὶ παρ' ἑαυτοῦ τὰ παραδείγματα παρέχειν τῆς καλῆς ταύτης φιλοσοφίας, ὥστε καὶ διὰ τῶν λόγων διδάσκειν καὶ διὰ τῶν ἔργων παιδεύειν. Ἐπειδὴ δὲ πολὺ ταύτης ἀποδέομεν τῆς ἀρετῆς ἡμεῖς, ἕνα τινὰ τῶν ἁγίων ἑλκύσαντες εἰς μέσον καὶ πρὸ τῶν ὀφθαλμῶν στήσαντες τῶν ὑμετέρων, ἐναργῆ τινα καὶ δυνατὴν ὑμῖν ποιησόμεθα τὴν παράκλησιν, ὥσπερ ἀρχέτυπόν τινα εἰκόνα τὴν ἀρετὴν τοῦ δικαίου μιμεῖσθαι παρακελευόμενοι καὶ ὑμῖν καὶ ἡμῖν αὐτοῖς.

Τίνα οὖν εἰς μέσον ἀγαγεῖν χρὴ περὶ ἐπιεικείας διαλεγόμενον; Τίνα δὲ ἄλλον, ἀλλ' ἢ τὸν μαρτυρίαν ἄνωθεν δεξάμενον καὶ ἐπὶ τούτῳ μάλιστα θαυμασθέντα; «Εὗρον» γάρ, φησί, «Δαυὶδ τὸν τοῦ Ἰεσσαί, ἄνδρα κατὰ τὴν καρδίαν μου». Ὅταν δὲ ὁ Θεὸς ἀποφαίνηται, οὐδεμία τοῖς ἀντιλέγουσιν ὑπολέλειπται πρόφασις.

1. Α' Βασ. 13, 14 καὶ Πράξ. 13, 22.

μα στὸ ἄλλο, καὶ ἀπὸ ἐκεῖνο πάλι σ' ἄλλο, ἀλλὰ πρέπει, ἐκεῖνος ποὺ ἐπιθυμεῖ τὰ λόγια του νὰ βρίσκουν ἀπήχηση στοὺς ἀκροατές του, νὰ μὴ σταματᾶ νὰ δίνει παραινέσεις καὶ συμβουλές, οὔτε νὰ πεταπηδᾶ σὲ κάποιο ἄλλο θέμα, μέχρι ποὺ νὰ δεῖ τὴν προηγούμενη συμβουλὴ νὰ ἔχει ριζώσει καλὰ μέσα σ' αὐτούς. Αὐτὸ κάνουν καὶ οἱ δάσκαλοι· δὲν διδάσκουν προηγουμένως στὰ παιδιὰ τὶς συμβουλές, μέχρι ποὺ νὰ δοῦν ὅτι κατορθώθηκε ἀπ' αὐτὰ ἡ γνώση τῶν γραμμάτων.

Χθὲς λοιπὸν ποὺ σᾶς διάβασα τὴν παραβολὴ τῶν ἑκατὸ δηναρίων καὶ τῶν μυρίων ταλάντων, σᾶς ἔδειξα πόσο μεγάλο κακὸ εἶναι τὸ νὰ εἶναι κανένας ἐκδικητικός. Διότι ἐκεῖνον ποὺ δὲν τὸν ὁδήγησαν στὴν ἀπώλεια τὰ μύρια τάλαντα, αὐτόν τὸν καταπόντισαν ἑκατὸ δηνάρια, καὶ ἀνακάλεσε ὁ κύριός του τὴ συγχώρηση ποὺ τοῦ ἔδωσε, καὶ ἀκύρωσε τὴ δωρεά, καί, ἐνῶ ἀπαλλάχθηκε ἀπὸ τὶς εὐθύνες, τὸν ὁδήγησε πάλι στὸ δικαστήριο καὶ ἀπὸ ἐκεῖ τὸν ἔκλεισε στὴ φυλακή, καὶ ἔτσι τὸν παρέδωσε σὲ αἰώνια τιμωρία. Σήμερα θὰ ὁδηγήσουμε τὸ λόγο σὲ ἄλλη ὑπόθεση. Θὰ ἔπρεπε δηλαδή, ἐὰν φυσικὰ τὰ πράγματα συνέβαιναν ὅπως πρέπει, ἐκεῖνος ποὺ ὁμιλεῖ γιὰ ἐπιείκεια καὶ πραότητα ὁ ἴδιος καὶ ἀπὸ τὸν ἑαυτό του νὰ παρουσιάζει τὰ παραδείγματα τῆς καλῆς αὐτῆς φιλοσοφίας, ὥστε καὶ μὲ τὰ λόγια νὰ διδάσκει καὶ μὲ τὰ ἔργα του νὰ παιδαγωγεῖ. Ἐπειδὴ ὅμως ἐμεῖς ἀπέχουμε πάρα πολὺ ἀπὸ τὴν ἀρετὴ αὐτή, ἀφοῦ ὁδηγήσουμε κάποιον ἀπὸ τοὺς ἁγίους στὸ μέσο καὶ τὸν στήσουμε μπροστὰ στὰ μάτια σας, θὰ σᾶς ὑποβάλουμε τὴν παράκληση κατὰ τρόπο ὁλοκάθαρο καὶ δυνατό, ἔχοντας αὐτὸν σὰν ἀκριβῶς κάποιο πρότυπο, καὶ θὰ παρακαλέσουμε καὶ ἐσᾶς καὶ τὸν ἴδιο τὸν ἑαυτό μας νὰ μιμούμαστε τὴν ἀρετὴ τοῦ δικαίου.

Ποιὸν λοιπὸν πρέπει νὰ σᾶς παρουσιάσω ποὺ νὰ ὁμιλεῖ γιὰ ἐπιείκεια; Ποιὸν ἄλλο, παρὰ ἐκεῖνον ποὺ ἔλαβε τὴ μαρτυρία ἀπὸ τὸν οὐρανὸ καὶ ποὺ κατ' ἐξοχὴ θαυμάστηκε γιὰ τὸ πράγμα αὐτό; Διότι, λέγει, «Βρῆκα τὸν Δαυὶδ τοῦ Ἰεσσαί, ἄνδρα ὅπως τὸν θέλει ἡ καρδιά μου»[1]. Ὅταν δὲ ὁ Θεὸς ἀποφασίζει, δὲν ἀπομένει καμιὰ δικαιολογία σ' ἐκείνους ποὺ προβάλλουν ἀντιρ-

Ἀδέκαστος γὰρ ἡ ψῆφος ἐκείνη, οὔτε πρὸς χάριν, οὔτε πρὸς ἀπέχθειαν τοῦ Θεοῦ κρίνοντος, ἀλλὰ τῇ τῆς ψυχῆς ἀρετῇ γυμνῇ ψηφιζομένου. Οὐ διὰ τοῦτο δὲ μόνον αὐτὸν εἰς μέσον ἄγομεν, ὅτι παρὰ τοῦ Θεοῦ τὴν ψῆφον ἐδέξατο, ἀλλ' ὅτι καὶ τῶν ἐν τῇ Παλαιᾷ τραφέντων ἐστί. Τὸ μὲν γὰρ ἐπὶ τῆς χάριτος φανῆναί τινα καθαρὸν ὀργῆς, καὶ τοῖς ἐχθροῖς ἀφιέντα τὰ ἁμαρτήματα, καὶ τῶν λελυπηκότων φειδόμενον, θαυμαστὸν οὐδὲν μετὰ τὸν τοῦ Χριστοῦ θάνατον, μετὰ τὴν τοσαύτην τῶν ἁμαρτημάτων ἄφεσιν, μετὰ τὰ φιλοσοφίας γέμοντα ἐπιτάγματα, τὸ δὲ ἐπὶ τῆς Παλαιᾶς, ἡνίκα ὁ νόμος συνεχώρει ὀφθαλμὸν ἐξορύττειν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος, καὶ τοῖς ἴσοις ἀμύνεσθαι τὸν ἀδικήσαντα, φανῆναί τινα ὑπερβάντα τὰ μέτρα τῶν προσταγμάτων καὶ πρὸς τὴν ἀποστολικὴν φθάσαντα φιλοσοφίαν, τίνα μὲν οὐκ ἂν ἐκπλήξειε τῶν ἀκουόντων; τίνα δὲ οὐκ ἂν τῶν μὴ ζηλούντων πάσης ἀποστερήσειε συγγνώμης τε καὶ ἀπολογίας;

Ἵνα δὲ ἀκριβέστερον αὐτοῦ καταμάθωμεν τὴν ἀρετήν, δότε μοι μικρὸν ἀνωτέρω τὸν λόγον ἀγαγεῖν, καὶ τὰς εὐεργεσίας εἰπεῖν, ἃς εἰς τὸν Σαοὺλ κατέθετο ὁ μακάριος οὗτος ἀνήρ. Τὸ μὲν γὰρ ἁπλῶς ἐχθρὸν λυπήσαντα μὴ ἀμύνασθαι, θαυμαστὸν οὐδέν, τὸ δὲ ἄνθρωπον εὐεργετηθέντα πολλὰς καὶ μεγάλας εὐεργεσίας, εἶτα ἀντὶ τῶν εὐεργεσιῶν ἐκείνων καὶ ἅπαξ καὶ δὶς καὶ πολλάκις ἀνελεῖν ἐπιχειρήσαντα τὸν εὐεργέτην, λαβόντα εἰς χεῖρας καὶ κύριον γενόμενον ἀνελεῖν, καὶ αὐτὸν ἀφεῖναι, καὶ τῆς ἑτέρων ἐπιβουλῆς ἐξαρπάσαι, καὶ ταῦτα πάλιν τοῖς αὐτοῖς ἐπιθήσεσθαι μέλλοντα, τίνα ἂν καταλίποι λοιπὸν φιλοσοφίας ὑπερβολήν;

---

2. Λουκᾶ 23, 34. «Πάτερ, ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσι».

ρήσεις. Διότι εἶναι ἀμερόληπτη ἡ ἀπόφαση ἐκείνη, καθόσον ὁ Θεὸς δὲν κρίνει χαριστικά, οὔτε μὲ ἐχθρότητα, ἀλλὰ βγάζει τὴν ἀπόφασή του ἀπερίφραστα, ἐξετάζοντας τὴν ἀρετὴ τῆς ψυχῆς. Δὲν τὸν παρουσιάζουμε δὲ αὐτὸν μόνο γι' αὐτό, γιὰ τὸ ὅτι δηλαδὴ δέχτηκε τὴν ἔγκριση ἐκ μέρους τοῦ Θεοῦ, ἀλλὰ καὶ ἐπειδὴ εἶναι ἕνας ἀπὸ ἐκείνους ποὺ ἔζησαν στοὺς χρόνους τῆς Παλαιᾶς Διαθήκης. Διότι τὸ νὰ φανεῖ μὲν κάποιος καθαρὸς ἀπὸ ὀργὴ κατὰ τὸ χρόνο τῆς χάριτος, νὰ συγχωρεῖ τὰ ἁμαρτήματα τῶν ἐχθρῶν του καὶ νὰ δείχνει εὐσπλαχνία πρὸς ἐκείνους ποὺ τὸν λύπησαν, δὲν εἶναι τίποτε τὸ ἀξιοθαύμαστο μετὰ τὸ θάνατο τοῦ Χριστοῦ, μετὰ τὴν τόσο μεγάλη ἐκείνη συγχώρηση τῶν ἁμαρτημάτων[2], μετὰ τὶς ἐντολὲς ἐκεῖνες τὶς γεμάτες ἀπὸ τόση φιλοσοφικότητα, ἐνῶ τὸ νὰ παρουσιαστεῖ κάποιος κατὰ τοὺς χρόνους τῆς Παλαιᾶς Διαθήκης, ὅταν ὁ νόμος ἐπέτρεπε νὰ βγάζει κανεὶς μάτι ἀντὶ ματιοῦ καὶ δόντι ἀντὶ δοντιοῦ, καὶ ν' ἀνταποδίδει τὰ ἴδια σ' ἐκεῖνον ποὺ τὸν ἀδίκησε, καὶ νὰ ὑπερβεῖ τὰ μέτρα τῶν προσταγμάτων καὶ νὰ φθάσει στὸν ἀποστολικὸ ἐκεῖνο τρόπο ζωῆς, ποιὸν θὰ ἦταν δυνατό, ἀπὸ ἐκείνους ποὺ θὰ τὸ ἄκουαν, νὰ μὴ τὸν ἐκπλήξει; ἀπὸ ποιὸν δέ, ἀπὸ ἐκείνους ποὺ δὲν τὸν μιμοῦνται, δὲν θὰ στεροῦσε κάθε συγγνώμη καὶ κάθε ἀπολογία;

'Αλλὰ γιὰ νὰ γνωρίσουμε καλύτερα τὴν ἀρετὴ αὐτοῦ, ἐπιτρέψτε με νὰ φέρω τὸ λόγο λίγο πρὸς τὰ πίσω καὶ ν' ἀναφέρω τὶς εὐεργεσίες ἐκεῖνες ποὺ ἔκανε ὁ μακάριος αὐτὸς ἄνδρας στὸ Σαούλ. Διότι τὸ νὰ μὴ ἐκδικηθεῖ ἁπλῶς κάποιος τὸν ἐχθρό του ποὺ τὸν λύπησε δὲν εἶναι καθόλου ἀξιοθαύμαστο, ἐνῶ ἄνθρωπο, ποὺ εὐεργετήθηκε μὲ πολλὲς καὶ μεγάλες εὐεργεσίες, καὶ ἔπειτα ἐπιχείρησε, ἔναντι τῶν εὐεργεσιῶν ἐκείνων, μία καὶ δύο καὶ πολλὲς φορὲς νὰ φονεύσει τὸν εὐεργέτη, ἀφοῦ τὸν συνέλαβε καὶ εἶχε τὴ δυνατότητα νὰ τὸν φονεύσει, καὶ αὐτὸν νὰ τὸν ἀφήσει ἐλεύθερο καὶ νὰ τὸν σώσει καὶ ἀπὸ τὴν ἐπιβουλὴ τῶν ἄλλων, καὶ ὅλα αὐτὰ ἐνῶ ἐπρόκειτο νὰ ἐξαπολύσει τὶς ἴδιες ἐπιθέσεις ἐναντίον του, ἀπὸ ποιὰ ὑπερβολικὴ μορφὴ εὐσεβοῦς ζωῆς θὰ ἦταν δυνατὸ σήμερα νὰ ὑπολειφθεῖ;

2. Τίνας οὖν εὐηργέτησεν ὁ Δαυὶδ εὐεργεσίας τὸν Σαούλ, καὶ πότε καὶ πῶς, ἀνάσχεσθε διὰ βραχέων διηγουμένου. Πολέμου γάρ ποτε τοὺς Ἰουδαίους καταλαβόντος χαλεπωτάτου, καὶ πάντων κατεπτηχότων καὶ δεδοικότων, καὶ οὐδενὸς προκύψαι τολμῶντος, ἀλλ' ἐν ἐσχάτοις τῆς πόλεως οὔσης ἁπάσης, καὶ τὸν θάνατον πρὸ ὀφθαλμῶν ἑκάστου βλέποντος, καὶ καθ' ἑκάστην ἀπαθανεῖσθαι τὴν ἡμέραν προσδοκώντων ἁπάντων, καὶ τῶν ἐπὶ τὸ βάραθρον ἀγομένων ἀθλιώτερον ζώντων τὸν βίον, εἰσελθὼν οὗτος ἀπὸ τῶν προβάτων ἐπὶ τὴν παράταξιν, καὶ τῆς ἡλικίας καὶ τῆς τέχνης ἀτέλειαν παρεχούσης αὐτῷ τῶν πολεμικῶν πόνων, τὸν ἁπάντων αὐτὸς ἀνεδέξατο πόλεμον, καὶ κατώρθωσεν ἐλπίδος ἁπάσης κρείττονα κατορθώματα. Καίτοι εἰ καὶ μηδὲν ἦν κατωρθωκώς, τῆς προθυμίας αὐτὸν καὶ τῆς προθέσεως ἕνεκεν στεφανοῦν ἔδει μόνον.

Τὸ μὲν γὰρ στρατιώτην τινὰ τῶν ἐν ἡλικίᾳ ποιῆσαι τοῦτο, θαυμαστὸν οὐδέν, ὁ γὰρ τῆς στρατείας νόμος τοῦτο ἀπῄτει, οὗτος δὲ οὐδεμίαν ὁρῶν ἀνάγκην ἐπικειμένην, ἀλλὰ καὶ πολλοὺς τοὺς κωλύοντας ἔχων (καὶ γὰρ καὶ ὁ ἀδελφὸς ἐπετίμησε, καὶ ὁ βασιλεὺς πρὸς τὸ τῆς ἡλικίας ἄωρον καὶ τὸ τῶν κινδύνων ἀφόρητον βλέπων, κατεῖχε καὶ μένειν ἐκέλευε, λέγων· «Οὐ δηνήσῃ πορευθῆναι, ὅτι σὺ παιδάριον εἶ, αὐτὸς δὲ ἀνὴρ πολεμιστὴς ἐκ νεότητος αὐτοῦ»), ἀλλ' ὅμως οὐδεμιᾶς αὐτὸν ἑλκούσης προφάσεως, οἴκοθεν καὶ παρ' ἑαυτοῦ διαθερμανθεὶς θείῳ ζήλῳ καὶ τῷ τῆς πατρίδος ἔρωτι, ὥσπερ πρόβατα μᾶλλον ἢ ἀνθρώπους ὁρῶν, καὶ ὡς κύνας μᾶλλον ἢ στρατόπεδον ἀνθρώπων τοιοῦτον μέλλων ἐλαύνειν, οὕτω μετὰ ἀδείας ἐπὶ τοὺς βαρβάρους ἔτρεχε· καὶ τοσαύτην περὶ τὸν βασιλέα κηδεμονίαν ἐπεδείξατο τότε, ὡς

3. Α' Βασ. 17, 33.

2. Μὲ ποιὲς λοιπὸν εὐεργεσίες εὐεργέτησε ὁ Δαυὶδ τὸν Σαούλ, πότε καὶ πῶς, ἀνεχθῆτε νὰ σᾶς τὰ διηγηθῶ μὲ συντομία. Ὅταν δηλαδὴ κάποτε κηρύχτηκε φοβερότατος πόλεμος ἐναντίον τῶν Ἰουδαίων καὶ ὅλοι εἶχαν χάσει τὸ θάρρος τους καὶ εἶχαν κυριευτεῖ ἀπὸ φόβο, καὶ κανένας δὲν τολμοῦσε νὰ βγεῖ ἔξω, ἀλλ' ὁλόκληρη ἡ πόλη βρισκόταν μπροστὰ στὰ χειρότερα κακά, καὶ ὁ καθένας ἔβλεπε μπροστὰ στὰ μάτια του τὸ θάνατο, καὶ ὅλοι περίμεναν καθημερινὰ νὰ πεθάνουν, καὶ ζοῦσαν ἀθλιότερα ἀπὸ ἐκείνους ποὺ ὁδηγοῦνταν στὸ βάραθρο, αὐτός, ἀφοῦ ἄφησε τὰ πρόβατα καὶ εἰσῆλθε στὸ στρατόπεδο, καὶ ἐνῶ ἡ ἡλικία του καὶ ἡ τέχνη του τὸν ἀπάλλασσαν ἀπὸ τοὺς πολεμικοὺς κόπους, αὐτὸς ἀνέλαβε ὁλόκληρο τὸν πόλεμο, καὶ ἐπέτυχε κατορθώματα μεγαλύτερα ἀπὸ κάθε προσδοκία. Ἂν καὶ βέβαια καὶ ἂν ἀκόμα δὲν κατόρθωνε τίποτε, ἔπρεπε νὰ στεφανωθεῖ καὶ μόνο γιὰ τὴν προθυμία του καὶ τὴν πρόθεσή του.

Διότι τὸ νὰ τὸ ἔκαμνε αὐτὸ κάποιος στρατιώτης, ποὺ εἶχε τὴν κατάλληλη ἡλικία, δὲν ἦταν καθόλου ἄξιο θαυμασμοῦ, καθόσον αὐτὸ τὸ ἀπαιτοῦσε ὁ νόμος τοῦ στρατοῦ, αὐτὸς ὅμως, ἐνῶ δὲν ἐξαναγκαζόταν ἀπὸ κανένα, ἀντίθετα δὲ εἶχε καὶ πολλοὺς ποὺ τὸν ἐμπόδιζαν (καθόσον καὶ ὁ ἀδελφός του τὸν ἐπιτίμησε, καὶ ὁ βασιλιάς, βλέποντας τὴν ἀνωριμότητα τῆς ἡλικίας καὶ τοὺς ὑπερβολικὰ φοβεροὺς κινδύνους, τὸν ἐμπόδιζε καὶ τὸν διέτασσε ν' ἀποφύγει αὐτό, λέγοντας, «Δὲν εἶναι δυνατὸ νὰ βαδίσεις ἐναντίον αὐτοῦ, διότι σὺ εἶσαι μικρὸ παιδί, ἐνῶ αὐτὸς εἶναι ἄνδρας καὶ πολεμιστὴς ἀπὸ τὰ νενανικά του χρόνια»[3]), ἀλλ' ὅμως, ἐνῶ τίποτε δὲν τὸν ὑποχρέωνε νὰ τὸ κάνει αὐτό, μόνος του καὶ ἀπὸ τὸν ἴδιο τὸν ἑαυτό του, ἀφοῦ κυριεύθηκε ἀπὸ θεῖο ζῆλο καὶ ἀπὸ τὴν ὑπερβολικὴ ἀγάπη γιὰ τὴν πατρίδα, σὰν νὰ ἔβλεπε πρόβατα μᾶλλον παρὰ ἀνθρώπους, καὶ σὰν νὰ ἐπρόκειτο νὰ βαδίσει ἐναντίον σκύλων μᾶλλον, παρὰ ἐναντίον ἑνὸς τέτοιου στρατοπέδου ἀνθρώπων, ἔτσι μὲ ἀφοβία ἔτρεχε ἐναντίον τῶν βαρβάρων· καὶ τόση μεγάλη φροντίδα ἔδειξε τότε γιὰ τὸ βασιλιά, ὥστε, καὶ πρὶν ἀπὸ τὸν πόλεμο καὶ τὴ νίκη καὶ ἐνῶ

καὶ πρὸ τοῦ πολέμου καὶ τῆς νίκης ἐπ' ὄψιν αὐτὸν κείμενον ἀναστῆσαι. Οὐ γὰρ δὴ μόνον αὐτὸν τοῖς ἔργοις μετὰ ταῦτα ὠφέλει, ἀλλὰ καὶ πρὸ τούτου τοῖς ῥήμασι παρεκάλει καὶ θαρρεῖν ἔπειθε, καὶ χρηστὰς περὶ τοῦ μέλλοντος ἐλπίδας ἔχειν, οὕτω λέγων· «Μὴ συμπεσέτω ἡ καρδία τοῦ κυρίου μου ἐπ' αὐτόν, ὅτι ὁ δοῦλός σου πορεύεται, καὶ πολεμήσει μετὰ τοῦ ἀλλοφύλου τούτου».

Ἆρα μικρὸν τοῦτο, εἰπέ μοι, τὸν μηδεμίαν ἀνάγκην ἔχοντα, τὴν ψυχὴν ἐπιδοῦναι τὴν ἑαυτοῦ, καὶ ὑπὲρ τῆς ἐκείνων ὠφελείας εἰς μέσους πηδῆσαι τοὺς πολεμίους, μηδὲν μηδέποτε παρ' αὐτῶν εὖ παθόντα; Ἆρα οὐκ ἔδει αὐτὸν μετὰ ταῦτα δεσπότην ἐπιγράφεσθαι, καὶ σωτῆρα κοινὸν τῆς πόλεως ἀναγορεύειν, τὸν καὶ τὸ σχῆμα τῆς βασιλείας, καὶ τὸ τῶν πόλεων ἔδαφος, καὶ τὴν ἁπάντων ζωὴν μετὰ τὴν τοῦ Θεοῦ χάριν διατηρήσαντα; Ποία γὰρ ταύτης εὐεργεσίας μείζων ἑτέρα ἦν; Οὐ γὰρ εἰς χρήματα, οὐδὲ εἰς δόξαν καὶ δυναστείαν, ἀλλ' εἰς αὐτὴν αὐτοῦ τὴν ψυχὴν τὴν εὐεργεσίαν κατέθετο, καὶ ἐξ αὐτῶν ἀνεκαλέσατο τῶν τοῦ θανάτου πυλῶν, καί, τό γε εἰς ἄνθρωπον ἧκον, δι' ἐκεῖνον ἔζη λοιπὸν ὁ βασιλεύς, καὶ ἀπέλαυε τῆς ἀρχῆς. Τίσιν οὖν αὐτὸν μετὰ ταῦτα ἠμείψατο; Εἰ μὲν γὰρ αὐτό τις τῶν κατορθωμάτων ἴδοι τὸ μέγεθος, οὐδ' εἰ τὸν στέφανον ἀπὸ τῆς αὐτοῦ λαβὼν κεφαλῆς ἐπὶ τὴν τοῦ Δαυὶδ ἔθηκεν, οὐδέπω τὴν ἀξίαν ἦν ἀποδεδωκώς, ἀλλὰ τὸ πλέον ὀφείλων. Ἐκεῖνος μὲν γὰρ καὶ ζωὴν καὶ βασιλείαν αὐτῷ ἐχαρίσατο, οὗτος δὲ βασιλείας αὐτῷ παραχωρεῖν ἔμελλε μόνης. Πλὴν ἀλλ' ἴδωμεν αὐτοῦ τὰς ἀμοιβάς.

Τίνες οὖν ἦσαν αὗται; Δι' ὑποψίας εἶχεν αὐτὸν λοιπὸν καὶ ὑπεβλέπετο ἀπὸ τῆς ἡμέρας ἐκείνης. Τίνος ἕνεκεν καὶ διὰ τί; Ἀναγκαῖον γὰρ καὶ τῆς ὑποψίας τὴν αἰτίαν εἰπεῖν. Οὐδὲν μὲν γάρ, ὅπερ ἂν εἴπῃ τις, ἐρεῖ δίκαιον. Πρὸς γὰρ τὸν τὴν ψυχὴν χαρισάμενον καὶ τὴν ζωὴν δωρησάμενον, ποία δικαίας ὑποψίας πρόφασις ἦν; Πλὴν ἀλλὰ καὶ αὐτὴν τὴν αἰτίαν τῆς ἔχθρας ἴδωμεν, ἵνα

---

4. Α' Βασ. 17, 32.

ἦταν πεσμένος κάτω μὲ τὸ πρόσωπο, νὰ τὸν σηκώσει ἐπάνω. Διότι δὲν τὸν ὠφελοῦσε στὴ συνέχεια μόνο μὲ τὰ ἔργα, ἀλλὰ καὶ πρὶν ἀπ' αὐτὸ μὲ τὰ λόγια τὸν παρηγοροῦσε καὶ τὸν ἔπειθε νὰ ἔχει θάρρος καὶ νὰ τρέφει καλὲς ἐλπίδες γιὰ τὸ μέλλον, λέγοντας τὰ ἑξῆς· «Ἂς μὴ ταραχθεῖ καὶ χάσει τὸ θάρρος της ἡ καρδιὰ τοῦ κυρίου μου, διότι ὁ δοῦλος σου θὰ μεταβεῖ καὶ θὰ πολεμήσει μὲ τὸν ἀλλόφυλο αὐτό»[4].

Πές μου λοιπὸν εἶναι μικρὸ αὐτὸ τὸ νὰ θυσιάσει τὴ ζωή του ἐκεῖνος ποὺ δὲν εἶχε καμιὰ ἀνάγκη, καὶ νὰ πηδήσει μέσα στοὺς ἐχθροὺς γιὰ τὴν ὠφέλεια ἐκείνων, ἂν καὶ δὲν δέχτηκε καμιὰ εὐεργεσία ποτὲ ἀπὸ ἐκείνους; Δὲν ἔπρεπε λοιπὸν μετὰ ἀπὸ αὐτὰ νὰ ἐπονομαστεῖ αὐτὸς κύριος καὶ νὰ ἀναγορευτεῖ κοινὸς σωτήρας τῆς πόλεως, αὐτὸς ποὺ καὶ τὸ σχῆμα τῆς βασιλείας διατήρησε, καὶ τὸ ἔδαφος τῆς πόλεως καὶ τὴ ζωὴ ὅλων ἔσωσε μὲ τὴ χάρη τοῦ Θεοῦ; Διότι ποιὰ ἄλλη ὑπῆρχε μεγαλύτερη ἀπὸ αὐτὴ τὴν εὐεργεσία; Καθόσον ἡ εὐεργεσία του δὲν ἀποσκοποῦσε σὲ χρήματα, οὔτε σὲ δόξα καὶ ἐξουσία, ἀλλὰ πρόσφερε τὴν εὐεργεσία στὴν ἴδια τὴν ψυχὴ αὐτοῦ, καὶ ἀνακάλεσε αὐτὸν ἀπὸ αὐτὲς τὶς ἴδιες τὶς πύλες τοῦ θανάτου, καί, ὅσο βέβαια ἐξαρτῶταν ἀπὸ ἄνθρωπο, χάρη σ' ἐκεῖνον πλέον ζοῦσε ὁ βασιλιὰς καὶ ἀπολάμβανε τὴν ἐξουσία. Μὲ τί λοιπὸν τὸν ἀντάμειψε αὐτὸς στὴ συνέχεια; Διότι, ἐὰν κανεὶς προσέξει τὸ μέγεθος τῶν κατορθωμάτων, οὔτε ἐὰν ἔπαιρνε τὸ σκῆπτρο ἀπὸ τὸ κεφάλι του καὶ τὸ τοποθετοῦσε στὸ κεφάλι τοῦ Δαυίδ, δὲν θὰ τοῦ ἀνταπέδιδε ποτὲ αὐτὸ ποὺ ἄξιζε, ἀλλὰ θὰ τοῦ ὄφειλε τὸ μεγαλύτερο μέρος ἀπὸ τὴν εὐεργεσία. Διότι ἐκεῖνος μὲν χάρισε σ' αὐτὸν καὶ ζωὴ καὶ βασιλεία, ἐνῶ αὐτὸς θὰ ἐπρόκειτο νὰ παραχωρήσει σ' ἐκεῖνον μόνο βασιλεία. Πλὴν ὅμως ἂς δοῦμε τὶς ἀμοιβὲς αὐτοῦ.

Ποιὲς λοιπὸν ἦταν αὐτές; Τὸν ὑποψιαζόταν πλέον καὶ δὲν τὸν ἔβλεπε ἀπὸ τὴν ἡμέρα ἐκείνη μὲ καλὸ μάτι. Γιὰ ποιὸ λόγο καὶ γιατί; Εἶναι ἀνάγκη λοιπὸν νὰ ποῦμε καὶ τὴν αἰτία τῆς ὑποψίας. Ἀλλ' ὅμως ὁ,τιδήποτε καὶ ἂν θὰ πεῖ κάποιος δὲν θὰ πεῖ τὸ δίκιο. Διότι πρὸς ἐκεῖνον ποὺ τοῦ χάρισε τὴν ψυχὴ καὶ τοῦ δώρησε τὴ ζωὴ ποιὰ πρόφαση δίκαιας ὑποψίας ὑπῆρχε; Πλὴν

μάθητε, ὅτι καὶ τῆς νίκης οὐκ ἔλαττον καὶ διὰ ταῦτα τιμᾶσθαι δίκαιος ἦν, δι' ἅπερ ὑπωπτεύετο καὶ ἐπεβουλεύετο μετὰ ταῦτα. Τίς οὖν ἡ αἰτία τῆς ὑποψίας ἦν; Ἐπειδὴ τοῦ βαρβάρου τὴν κεφαλὴν ἔλαβε καὶ τὰ λάφυρα ἔχων ἐπανῄει, «Ἐξῆλθον αἱ χορεύουσαι», φησίν, «ᾄδουσαι καὶ λέγουσαι· ἐπάταξε Σαοὺλ ἐν χιλιάσιν αὐτοῦ, καὶ Δαυὶδ ἐν μυριάσιν αὐτοῦ. Καὶ ὠργίσθη Σαούλ, καὶ ἦν ὑποβλεπόμενος τὸν Δαυὶδ ἀπὸ τῆς ἡμέρας ἐκείνης καὶ ἐπέκεινα». Τίνος ἕνεκεν, εἰπέ μοι; Μάλιστα μὲν γάρ, εἰ καὶ ἀδίκως ταῦτα ἐλέγετο, οὐδὲ οὕτως πρὸς αὐτὸν ἀπεχθῶς διατεθῆναι ἔδει, ἀλλ' ἀπὸ τῶν γεγενημένων τὴν εὔνοιαν αὐτοῦ μαθόντα, καὶ ὅτι μηδενὸς ἀναγκάζοντος, μηδὲ βιαζομένου, ἐξ οἰκείας εὐνοίας τοσοῦτον ὑπέμεινε κίνδυνον, μηδὲν μηκέτι λοιπὸν ὑποπτεύειν περὶ αὐτοῦ πονηρόν. Νυνὶ δὲ καὶ τὸ δίκαιον εἶχον αἱ εὐφημίαι, καί, εἰ χρή τι θαυμαστὸν εἰπεῖν, τῷ Σαοὺλ ἐχαρίσαντο μᾶλλον, ἢ τῷ Δαυὶδ ταῦτα λέγουσαι, καὶ ἀγαπᾶν αὐτὸν ἐχρῆν, ὅτι τὰς χιλιάδας γοῦν ἔδωκαν αὐτῷ. Τί οὖν ἀγανακτεῖ, ὅτι ἔδωκαν τὰς μυριάδας ἐκείνῳ; Εἰ μὲν γὰρ ἦν τι συντελέσας εἰς τὸν πόλεμον καὶ μικρὰν γοῦν τινα μοῖραν εἰσενεγκών, καλῶς ταῦτα ἐλέγετο, ὅτι «Σαοὺλ ἐν χιλιάσι, καὶ Δαυὶδ ἐν μυριάσιν», εἰ δὲ αὐτὸς μὲν δεδοικὼς καὶ τρέμων ἔνδον ἐκάθητο, καθ' ἑκάστην ἡμέραν ἀποθανεῖσθαι προσδοκῶν, οὗτος δὲ τὸ πᾶν εἰργάσατο, πῶς οὐκ ἄτοπον ἦν, τὸ μηδὲν εἰς τοὺς κινδύνους ἐκείνους συμβαλλόμενον ἀγανακτεῖν, ὅτι μὴ τὸ πλέον τῆς εὐφημίας ἔλαβεν; Εἰ γὰρ ἀγανακτεῖν ἐχρῆν, τὸν Δαυὶδ ἀγανακτεῖν ἔδει, ὅτι τὸ πᾶν αὐτὸς κατορθώσας, μεριστὴν ἕτερον ἔσχε τῆς εὐφημίας.

3. Πλὴν ἀλλ' οὐδὲν τούτων λέγω, ἀλλ' ἐκεῖνο ἂν εἴποιμι· ἔστω κακῶς πεποιηκέναι τὰς γυναῖκας καὶ ἐγκλημάτων ἀξίας εἶναι καὶ κατηγορίας· τί ταῦτα πρὸς τὸν Δαυίδ; Οὐ γὰρ δὴ τὰ ᾄσματα αὐτὸς συνέθηκεν, οὐδὲ ἐκείνας λέγειν ἅπερ ἔλεγον αὐτὸς ἀνέ-

5. Α' Βασ. 18, 6-9.

ὅμως ἂς δοῦμε καὶ αὐτὴ τὴν αἰτία τῆς ἔχθρας, γιὰ νὰ μάθετε ὅτι ἦταν δίκιο νὰ τιμᾶται ὄχι λιγότερο ἀπὸ τὴ νίκη γι' αὐτὰ γιὰ τὰ ὁποῖα ἀκριβῶς τὸν ὑποπτευόταν στὴ συνέχεια καὶ τὸν ἐπιβουλευόταν. Ποιὰ λοιπὸν ἦταν ἡ αἰτία τῆς ὑποψίας; Ἀφοῦ πῆρε τὸ κεφάλι τοῦ βαρβάρου καὶ ἐπέστρεψε κρατώντας τὰ λάφυρα, «βγῆκαν», λέγει, «οἱ γυναῖκες ἔξω ψάλλοντας καὶ λέγοντας· ὁ Σαοὺλ πάταξε χιλιάδες ἐχθρῶν καὶ ὁ Δαυὶδ μυριάδες αὐτῶν. Καὶ ὀργίστηκε ὁ Σαοὺλ καὶ ἀπὸ τὴν ἡμέρα ἐκείνη καὶ στὸ ἑξῆς ἔβλεπε τὸν Δαυὶδ μὲ ὑποψίες»[5]. Πές μου γιὰ ποιὸ λόγο; Καὶ βέβαια καὶ ἂν ἀκόμα αὐτὰ λέγονταν ἄδικα, οὔτε ἔτσι ἔπρεπε νὰ δείχνει πρὸς αὐτὸν ἐχθρικὲς διαθέσεις, ἀλλά, διαπιστώνοντας τὴν εὔνοια αὐτοῦ ἀπὸ τὰ ὅσα εἶχαν συμβεῖ, καὶ ὅτι ὑπέμεινε τόσο μεγάλο κίνδυνο ἀπὸ δική του προθυμία, χωρὶς κανένας νὰ τὸν ἀνάγκαζε, οὔτε νὰ τὸν βίαζε, ἔπρεπε στὸ ἑξῆς νὰ μὴ ὑποπτευόταν γι' αὐτὸν τίποτε τὸ κακό. Τώρα ὅμως καὶ δίκαιες ἦταν οἱ ἐπευφημίες, καί, ἂν πρέπει νὰ ποῦμε κάτι τὸ ἄξιο θαυμασμοῦ, λέγοντας αὐτὰ πρόσφερναν χάρη περισσότερο στὸ Σαοὺλ, παρὰ στὸ Δαυίδ, καὶ ἔπρεπε νὰ τὸν ἀγαπᾶ, διότι ἔδωσαν σ' αὐτὸν τὶς χιλιάδες. Γιατί λοιπὸν ἀγανακτεῖ, ἐπειδὴ ἔδωσαν σ' ἐκεῖνον τὶς μυριάδες; Δότι, ἐὰν μὲν πρόσφερνε κάτι στὸν πόλεμο καὶ εἶχε συνεισφέρει ἔστω καὶ κάποιο μικρὸ ἔργο, δίκαια αὐτὰ λέγονταν, ὅτι δηλαδὴ «ὁ Σαοὺλ πάταξε χιλιάδες καὶ ὁ Δαυὶδ μυριάδες», ἐὰν ὅμως αὐτὸς μὲν γεμάτος ἀπὸ φόβο καὶ τρόμο καθόταν μέσα, περιμένοντας κάθε ἡμέρα νὰ πεθάνει, ὁ δὲ Δαυὶδ ἔπραξε τὸ πᾶν, πῶς δὲν ἦταν παράλογο ν' ἀγανακτεῖ ἐκεῖνος ποὺ δὲν συνέβαλε καθόλου στοὺς κινδύνους, ἐπειδὴ δὲν ἔλαβε τὸ μεγαλύτερο μέρος τῶν ἐπεφημιῶν; Διότι, ἐὰν ἔπρεπε κάποιος ν' ἀγανακτεῖ, ἔπρεπε ὁ Δαυὶδ ν' ἀγανακτεῖ, διότι, ἐνῶ αὐτὸς κατόρθωσε τὸ πᾶν, εἶχε καὶ ἄλλον ποὺ ἔλαβε μέρος στὶς ἐπευφημίες.

3. Πλὴν ὅμως δὲν λέγω τίποτε ἀπὸ αὐτά, ἀλλ' ἐκεῖνο θὰ μποροῦσα νὰ πῶ· ἔστω ὅτι εἶχαν ἐνεργήσει κακῶς οἱ γυναῖκες καὶ ὅτι εἶναι ἄξιες κατακρίσεως καὶ κατηγορίας· τί σχέση ἔχουν αὐτὰ μὲ τὸ Δαυίδ; Διότι βέβαια δὲν σύνταξε αὐτὸς τὰ ἄ-

πεισεν, οὐδὲ κατεσκεύασε τοῦτον τὸν τρόπον γενέσθαι τῆς εὐφημίας. Ὥστε εἰ καὶ ἀγανακτεῖν ἔδει, ἐκείναις ἐχρῆν ἀγανακτεῖν, οὐ τῷ κοινῷ τῆς πόλεως εὐεργέτῃ, καὶ μυρίων στεφάνων ἀξίῳ. Ὁ δὲ ἐκείνας ἀφείς, ἐπὶ τοῦτον ᾔει. Καὶ εἰ μὲν ἀπὸ τῆς εὐφημίας ἐκείνης ἐπαρθεὶς ὁ μακάριος ἐφθόνει τῷ κρατοῦντι καὶ ὕβριζεν εἰς αὐτὸν καὶ διέπτυσεν αὐτοῦ τὴν βασιλείαν, τάχα εἶχέ τινα λόγον ὁ φθόνος, εἰ δὲ ἐπιεικέστερος ἐγίνετο καὶ πρᾳότερος, καὶ τὴν τῶν ἀρχομένων ἔμενε διατηρῶν τάξιν, ποία εἶχε δικαίαν πρόφασιν ἡ λύπη; Ὅταν μὲν γὰρ ὁ τιμώμενος ἐπαίρηται κατὰ τοῦ παρευδοκιμουμένου, καὶ διατελῇ ταῖς τιμαῖς εἰς ὕβριν κεχρημένος ἐκείνου, λαμβάνει τινὰ ἀφορμὴν τὸ πάθος, ὅταν δὲ μένῃ τιμῶν, μᾶλλον δὲ θεραπεύων μειζόνως, καὶ εἴκων ἐν ἅπασι, ποίαν ἂν ἔχοι πρόφασιν ἡ βασκανία λοιπόν; Ὥστε εἰ καὶ μηδὲν αὐτῷ κατώρθωσαν ἕτερον, δι' αὐτὸ τοῦτο μειζόνως αὐτὸν ἀγαπᾶν ἔδει, ὅτι τοσαύτην ἀφορμὴν λαβὼν πρὸς τυραννίδος ἐπίθεσιν, ἔμενε τὴν αὐτῷ πρέπουσαν ἐπιείκειαν διατηρῶν. Οὐδὲ γὰρ δὴ μόνον τὰ πρότερα, ἀλλ' οὐδὲ τὰ μετὰ ταῦτα πολλῷ μείζονα ὄντα ἐπῆρεν αὐτόν.

Ποῖα δὴ ταῦτα; «Ἦν Δαυὶδ συνιών», φησίν, «ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, καὶ Κύριος παντοκράτωρ μετ' αὐτοῦ, καὶ πᾶς Ἰσραὴλ καὶ Ἰούδας ἠγάπων τὸν Δαυίδ, ὅτι αὐτὸς ἐξεπορεύετο καὶ εἰσεπορεύετο πρὸ προσώπου τοῦ λαοῦ. Καὶ Μελχὼλ ἡ θυγάτηρ Σαοὺλ καὶ πᾶς Ἰσραὴλ ἠγάπα αὐτόν. Καὶ συνῆκε παρ' ἅπαντας τοὺς δούλους Σαούλ· καὶ ἐτιμήθη τὸ ὄνομα αὐτοῦ σφόδρα. Καὶ Ἰωνάθαν υἱὸς Σαοὺλ ἠγάπα τὸν Δαυὶδ σφόδρα». Ἀλλ' ὅμως τὸν δῆμον ἅπαντα καὶ τὴν οἰκίαν τοῦ βασιλέως οἰκειωσάμε-

σματα, οὔτε ἔπεισε αὐτὸς ἐκεῖνες νὰ λέγουν ἐκεῖνα ποὺ ἔλεγαν, οὔτε προετοίμασε ἡ ἐπευφήμιση νὰ γίνει κατ' αὐτὸν τὸν τρόπο. Ὥστε, καὶ ἂν ἀκόμα ἔπρεπε ν' ἀγανακτεῖ, ἔπρεπε ἐναντίον ἐκείνων ν' ἀγανακτεῖ, καὶ ὄχι ἐναντίον τοῦ κοινοῦ εὐεργέτη τῆς πόλεως καὶ τοῦ ἄξιου μυρίων στεφάνων. Αὐτὸς ὅμως, ἀφοῦ ἄφησε ἐκεῖνες, ἔστρεψε τὴν ἀγανάκτησή του ἐναντίον αὐτοῦ. Καὶ ἐὰν μὲν ἐξ αἰτίας τῆς ἐπευφημίας ἐκείνης κυριευόταν ὁ μακάριος Δαυὶδ ἀπὸ ἀλαζονεία καὶ φθονοῦσε τὸ βασιλιά, φερόταν μὲ αὐθάδεια πρὸς αὐτὸν καὶ περιφρονοῦσε τὴ βασιλεία του, ἴσως θὰ εἶχε κάποια δικαιολογία ὁ φθόνος, ἐὰν ὅμως ἔγινε πιὸ ἐπιεικὴς καὶ πιὸ πρᾶος καὶ ἐξακολούθησε νὰ διατηρεῖ τὴ θέση τῶν ἀρχομένων, ποιὰ δίκαια αἰτία εἶχε ἡ λύπη του; Διότι ὅταν αὐτὸς ποὺ τιμᾶται δείχνει ἀλαζονεία πρὸς τὸν ἀνώτερο καὶ χρησιμοποιεῖ τὶς τιμὲς ἐκδηλώνοντας περιφρόνηση πρὸς ἐκεῖνον, ἔχει κάποια ἀφορμὴ τὸ πάθος, ὅταν ὅμως ἐξακολουθεῖ νὰ τὸν τιμᾶ, ἢ καλύτερα νὰ τὸν ὑπηρετεῖ μὲ μεγαλύτερη προθυμία καὶ νὰ δείχνει ὑπακοὴ σ' ὅλα, ποιὰ τέλος πάντων δικαιολογία θὰ μποροῦσε νὰ ἔχει ὁ φθόνος; Ὥστε καὶ ἂν ἀκόμα δὲν εἶχε κάνει γι' αὐτὸν τίποτε ἄλλο, γι' αὐτὸ ἀκριβῶς ἔπρεπε νὰ τὸν ἀγαπᾶ περισσότερο, διότι, ἐνῶ ἔλαβε τόση μεγάλη ἀφορμὴ πρὸς κατάληψη τῆς ἐξουσίας, ἐξακολούθησε νὰ διατηρεῖ τὴν πρέπουσα καλωσύνη πρὸς αὐτόν. Διότι βέβαια ὄχι μόνο τὰ προηγούμενα, ἀλλ' οὔτε τὰ ὅσα συνέβηκαν στὴ συνέχεια καὶ ποὺ ἦταν πολὺ πιὸ μεγαλύτερα κατέστησαν αὐτὸν ἀλαζόνα.

Ποιὰ λοιπὸν εἶναι αὐτά; «Καὶ ἔδειχνε», λέγει, «ὁ Δαυὶδ σύνεση σ' ὅλες τὶς ἐνέργειές του καὶ ὁ κύριος παντοκράτορας ἦταν μαζί του καὶ κάθε Ἰσραηλίτης καὶ Ἰουδαῖος ἀγαποῦσε τὸν Δαυίδ, διότι αὐτὸς βρισκόταν σὲ συνεχὴ ἐπαφὴ μὲ τὸ λαό, πηγαινοέρχοντας ἀνάμεσα σ' αὐτόν. Καὶ ἡ Μελχὼλ ἡ θυγατέρα τοῦ Σαοὺλ καὶ κάθε Ἰσραηλίτης ἀγαποῦσε αὐτόν. Καὶ συναναστρεφόταν ὅλους τοὺς δούλους τοῦ Σαοὺλ ἐκτιμώμενος ἀπὸ αὐτούς, καὶ τιμήθηκε πάρα πολὺ τὸ ὄνομα αὐτοῦ. Καὶ ὁ Ἰωνάθαν ὁ υἱὸς τοῦ Σαοὺλ ἀγαποῦσε πάρα πολὺ τὸ Δαυίδ». Ἀλλ' ὅμως ἐνῶ εἶχε ἀποκτήσει τὴν εὔνοια ὅλου τοῦ λαοῦ καὶ τῆς οἰκο-

νος, καὶ κρατῶν ἐν τοῖς πολέμοις πανταχοῦ, καὶ οὐδαμοῦ διαμαρτάνων, καὶ τοιαύτας ἀντὶ τῶν εὐεργεσιῶν ἐκείνων ἀπολαβὼν τὰς ἀμοιβάς, οὐκ ἐξετραχηλίζετο, οὐδὲ ἐπεθύμει τῆς βασιλείας, οὐδὲ ἠμύνατο τὸν ἐχθρόν, ἀλλ' ἔμενεν εὐεργετῶν, καὶ τοὺς ὑπὲρ αὐτοῦ πολέμους κατορθῶν. Τίνα οὐκ ἂν ἔπεισε ταῦτα ἐκτεθηριωμένον καὶ ἄγριον καταθέσθαι τὴν ἔχθραν καὶ ἀπαλλαγῆναι τῆς βασκανίας; Ἀλλὰ τὸν ὠμὸν ἐκεῖνον καὶ ἀπάνθρωπον οὐδὲν τούτων ἔπεισεν, ἀλλὰ πρὸς ἅπαντα ἀποτυφλωθεὶς καὶ τῇ βασκανίᾳ τὴν ψυχὴν ἐπιδούς, ἀνελεῖν αὐτὸν ἐπιχειρεῖ· καὶ τί ποιοῦντα; (τοῦτο γάρ ἐστι τὸ μεῖζον καὶ θαυμαστόν)· ψάλλοντα καὶ καταστέλλοντα αὐτοῦ τὴν μανίαν. «Δαυὶδ ἔψαλλε τῇ χειρὶ αὐτοῦ», φησίν, «ὡς καθ' ἑκάστην ἡμέραν· καὶ τὸ δόρυ ἐν τῇ χειρὶ Σαούλ· καὶ ἦρε Σαοὺλ τὸ δόρυ, καὶ εἶπε· πατάξω ἐν Δαυίδ· καὶ ἐπάταξεν ἐν τῷ τοίχῳ· καὶ ἐξέκλινε Δαυὶδ ἀπὸ προσώπου αὐτοῦ δίς». Ἆρα ἂν ἔχοι τις εἰπεῖν μείζονα τούτων πονηρίας ὑπερβολήν; Ἆρα δὲ καὶ τὰ μετὰ ταῦτα. Ἄρτι τῶν πολεμίων ἀπελαθέντων, καὶ τῆς πόλεως ἑαυτὴν ἀνακτησαμένης, καὶ πάντων ἐπινίκια θυόντων, τὸν εὐαργέτην καὶ σωτῆρα καὶ τῶν ἀγαθῶν ἐκείνων αἴτιον ἀνελεῖν ἐπεχείρησε ψάλλοντα, καὶ οὐδὲ τῆς εὐεργεσίας ἡ ὑπόθεσις τὸν μεμηνότα καὶ παραπαίοντα κατέστειλεν ἐκεῖνον, ἀλλὰ καὶ ἅπαξ καὶ δὶς ἠκόντισε, βουλόμενος ἀνελεῖν. Καὶ τοιαύτας αὐτῷ ἀντὶ τῶν κινδύνων τὰς ἀμοιβὰς ἐδίδου. Καὶ πολλάκις τοῦτο ἐποίησε, καὶ οὐκ ἐν ἡμέρᾳ μιᾷ.

Ὁ δὲ ἅγιος ἐκεῖνος καὶ μετὰ ταῦτα πάντα ἔμενε τὰ ἐκείνου θεραπεύων, καὶ ὑπὲρ τῆς σωτηρίας αὐτοῦ κινδυνεύων, καὶ παραταττόμενος ἐν τοῖς πολέμοις ἅπασι, καὶ τὸν ἑαυτοῦ διασώζων σφαγέα τοῖς οἰκείοις κινδύνοις, καὶ οὔτε ἐν ῥήμασιν, οὔτε ἐν πράγμασιν ἐλύπησε τὸν ἄγριον θῆρα ἐκεῖνον, ἀλλὰ πρὸς πάντα εἶκε καὶ ὑπήκουε, καὶ τὸ ὁρισθὲν αὐτῷ τῆς νίκης ἔπαθλον οὐ λα-

6. Α' Βασ. κεφ. 18.

γένειας τοῦ βασιλέως καὶ νικοῦσε σ' ὅλους τοὺς πολέμους, καὶ πουθενὰ δὲν εἶχε ἀποτυχίες, καί, ἐνῶ ἀπόλαυσε τέτοιες ἀμοιβὲς ἔναντι ἐκείνων τῶν εὐεργεσιῶν, δὲν παραφερόταν, οὔτε ἐπιθυμοῦσε τὴ βασιλεία, οὔτε μαχόταν τὸν ἐχθρό, ἀλλ' ἐξακολουθοῦσε νὰ εὐεργετεῖ αὐτὸν καὶ νὰ σημειώνει ἐπιτυχίες στοὺς πολέμους γιὰ χάρη αὐτοῦ. Ποιὸν ὅμοιο μὲ θηρίο καὶ ἄγριο δὲν θὰ ἔπειθαν αὐτὰ νὰ ἀποβάλει τὴν ἔχθρα καὶ ν' ἀπαλλαγεῖ ἀπὸ τὸ φθόνο; Καὶ ὅμως τὸν σκληρὸ ἐκεῖνο καὶ ἀπάνθρωπο τίποτε ἀπ' αὐτὰ δὲν τὸν ἔπεισε, ἀλλ', ἀφοῦ ἀποτυφλώθηκε πρὸς ὅλα ἐκεῖνα καὶ παρέδωσε τὴν ψυχή του στὸ φθόνο, ἐπιχειρεῖ νὰ τὸν φονεύσει, καὶ ἐνῶ ἔκαμνε τί; (διότι αὐτὸ εἶναι τὸ σπουδαιότερο καὶ τὸ ἀξιοθαύμαστο)· ἐνῶ ἔψαλλε καὶ καταπράϋνε τὴ μανία τοῦ Σαούλ. «Ὁ Δαυίδ», λέγει, «ἔπαιζε τὴν κιθάρα μὲ τὰ δάχτυλά του ὅπως συνήθιζε κάθε ἡμέρα· καὶ τὸ δόρυ βρισκόταν πάντοτε στὸ χέρι τοῦ Σαούλ · καὶ σήκωσε ὁ Σαοὺλ τὸ δόρυ καὶ εἶπε· θὰ φονεύσω τὸ Δαυίδ· καὶ τὸ δόρυ χτύπησε στὸν τοῖχο· καὶ ὁ Δαυὶδ ἔφυγε μακριὰ ἀπὸ τὸ Σαοὺλ δυὸ φορές»[6]. Ἄραγε θὰ μποροῦσε κανένας ν' ἀναφέρει πιὸ μεγαλύτερη κακία ἀπὸ αὐτά; Καὶ ὁπωσδήποτε τὸ ἴδιο φανερώνουν καὶ τὰ ὅσα συνέβηκαν στὴ συνέχεια. Ἐνῶ δηλαδὴ μόλις πρὶν λίγο ἐκδιώχτηκαν οἱ ἐχθροὶ καὶ ξαναπέκτησαν τὴν πόλη τους καὶ ὅλοι πρόσφεραν θυσίες γιὰ τὴ νίκη, τὸν εὐεργέτη καὶ σωτήρα καὶ αἴτιο τῶν ἀγαθῶν ἐκείνων ἐπιχείρησε νὰ τὸν φονεύσει ἐνῶ ἔψαλλε, καὶ οὔτε ἡ ὑπόθεση τῆς εὐεργεσίας καταπράυνε τὸν μανιακὸ ἐκεῖνο καὶ παράφρονα, ἀλλὰ μιὰ καὶ δυὸ φορὲς ἔρριξε τὸ ἀκόντιό του ἐναντίον του, θέλοντας νὰ τὸν φονεύσει. Καὶ τέτοιες ἀμοιβὲς πρόσφερνε σ' αὐτὸν ἔναντι τῆς ἀπαλλαγῆς του ἀπὸ τοὺς κινδύνους. Καὶ πολλὲς φορὲς τὸ ἔκανε αὐτὸ καὶ ὄχι ἁπλῶς μιὰ ἡμέρα.

Ὁ δὲ ἅγιος ἐκεῖνος καὶ μετὰ ἀπὸ ὅλα αὐτὰ ἐξακολουθοῦσε νὰ προσφέρει τὶς ὑπηρεσίες του σ' αὐτὸν καὶ νὰ κινδυνεύει γιὰ τὴ σωτηρία αὐτοῦ, λαμβάνοντας μέρος σ' ὅλους τοὺς πολέμους καὶ διασώζοντας τὸν σφαγέα του κινδυνεύοντας ὁ ἴδιος, καὶ οὔτε μὲ λόγια, οὔτε μὲ ἔργα λύπησε τὸ ἄγριο ἐκεῖνο θηρίο, ἀλλὰ σ' ὅλα ὑποχωροῦσε καὶ ὑπάκουε, καὶ ἐνῶ δὲν ἔλαβε τὸ ἔ-

βών, ἀλλ' ἀποστερηθεὶς τὸν μισθὸν τῶν κινδύνων ἐκείνων, οὐδὲ λόγῳ ποτὲ ἐνεκάλεσεν, οὐ τοῖς στρατιώταις, οὐ τῷ βασιλεῖ· οὐ γὰρ ἐπὶ μισθῷ ταῦτα ἔπραττεν ἀνθρωπίνῳ, ἀλλὰ τὴν ἄνωθεν ἐκδεχόμενος ἀμοιβήν. Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστόν, ὅτι οὐκ ἀπῄτησε τὸν μισθόν, ἀλλ' ὅτι καὶ διδόμενον διεκρούσατο διὰ πολλὴν ταπεινοφροσύνης ὑπερβολήν. Ἐπειδὴ γὰρ ὁ Σαοὺλ πάντα κινῶν καὶ πραγματευόμενος οὐκ ἴσχυσεν αὐτὸν ἀνελεῖν, ῥάπτει τὸν διὰ τοῦ γάμου δόλον, καὶ καινόν τινα προικὸς καὶ ἕδνων ἐπινοεῖται τρόπον. «Οὐ γὰρ βούλεται», φησίν, «ὁ βασιλεὺς ἕδνα, ἀλλ' ἢ ἑκατὸν ἀκροβυστίας ἐκδικῆσαι εἰς τοὺς ἐχθροὺς τοῦ βασιλέως». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἄνελέ μοι, φησίν, ἑκατὸν ἄνδρας, καὶ τοῦτο ἀντὶ τῶν ἕδνων ἔσται μοι. Ταῦτα δὲ ἔλεγε βουλόμενος αὐτὸν προφάσει τοῦ γάμου παραβαλεῖν τοῖς ἐχθροῖς.

4. Ἀλλ' ὅμως ὁ Δαυὶδ κατὰ τὴν αὐτοῦ πρᾳότητα τὰ πράγματα κρίνων, διεκρούσατο τὸν γάμον, οὐ διὰ τὸν κίνδυνον, οὐδὲ διὰ τὸν φόβον τῶν πολεμίων, ἀλλὰ διὰ τὸ νομίζειν ἀνάξιον ἑαυτὸν εἶναι τῆς πρὸς ἐκεῖνον συγγενείας, καὶ ταυτὶ πρὸς τοὺς δούλους αὐτοῦ λέγει τὰ ῥήματα· «Εἰ κοῦφόν ἐστιν ἐν ὀφθαλμοῖς ὑμῶν ἐπιγαμβρεῦσαί με τῷ βασιλεῖ; ἐγὼ δὲ ἀνὴρ ταπεινὸς καὶ οὐκ ἔντιμος». Καὶ μὴ ὀφειλὴ τὸ πρᾶγμα ἦν, καὶ μισθὸς καὶ ἀνταπόδοσις τῶν πόνων, ἀλλ' οὕτως ἦν συντετριμμένην ἔχων τὴν καρδίαν, ὡς μετὰ τοσαῦτα κατορθώματα καὶ λαμπρὰν οὕτω νίκην, καὶ ὑπόσχεσιν ὡμολογημένην, ἀνάξιον εἶναι νομίζειν τοῦ λαβεῖν τὸν ὀφειλόμενον αὐτῷ μισθόν· καὶ ταῦτα ἐνόμιζε, πάλιν μέλλων κινδυνεύειν. Ἐπειδὴ δὲ τῶν πολεμίων ἐκράτησε καὶ τὴν θυγατέρα ἔλαβε τοῦ βασιλέως, πάλιν «Ἔψαλλεν ὁ Δαυίδ, καὶ ἐζήτει Σαοὺλ τοῦ πατάξαι αὐτὸν ἐν τῷ δόρατι, καὶ ἐπάταξε· καὶ ἐξέκλι-

7. Α' Βασ. 18, 10-11
8. Α' Βασ. 18, 25.

παθλο ποὺ εἶχε ὁριστεῖ γι' αὐτὸν ἐξ αἰτίας τῆς νίκης, ἀλλ' ἀποστερήθηκε τὸ μισθὸ γιὰ τοὺς κινδύνους ἐκείνους, οὔτε λόγο δὲν εἶπε ποτὲ ἐναντίον οὔτε τῶν στρατιωτῶν, οὔτε τοῦ βασιλιᾶ· διότι αὐτὰ δὲν τὰ ἔκαμνε γιὰ νὰ λάβει μισθὸ ἀπὸ ἀνθρώπους, ἀλλὰ περιμένοντας νὰ λάβει τὴν οὐράνια ἀμοιβή. Καὶ δὲν εἶναι μόνο αὐτὸ τὸ ἄξιο θαυμασμοῦ, τὸ ὅτι δηλαδὴ δὲν ζήτησε νὰ λάβει τὸ μισθό, ἀλλὰ καὶ τὸ ὅτι τὸν ἀπέρριψε ὅταν τοῦ δόθηκε ἐξ αἰτίας τῆς ὑπερβολικῆς ταπεινοφροσύνης του. Ἐπειδὴ δηλαδὴ ὁ Σαοὺλ μηχανευόμενος ὅλα καὶ θέτοντας σὲ ἐφαρμογὴ αὐτὰ δὲν μπόρεσε νὰ τὸν φονεύσει, μηχανεύεται τὸ δόλο τοῦ γάμου καὶ ἐπινοεῖ κάποιον νέο τρόπο προίκας καὶ γαμηλίων δώρων. Διότι, λέγει, «Ὁ βασιλιὰς δὲν θέλει γαμήλια δῶρα, παρὰ μόνο ἑκατὸ ἀκροβυστίες τῶν ἀλλοφύλων γιὰ νὰ ἐκδικηθεῖ τοὺς ἐχθροὺς τοῦ βασιλιᾶ»[7]. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Σκότωσε γιὰ χάρη μου, λέγει, ἑκατὸ ἄνδρες καὶ αὐτὸ ἂς εἶναι γιὰ μένα ἔναντι τῶν γαμηλίων δώρων. Αὐτὰ δὲ τὰ ἔλεγε θέλοντας μὲ πρόφαση τὸ γάμο νὰ τὸν βάλει νὰ συγκρουσθεῖ μὲ τοὺς ἐχθρούς.

4. Ἀλλ' ὅμως ὁ Δαυὶδ κρίνοντας τὰ πράγματα σύμφωνα μὲ τὴν καλωσύνη του, ἀπέρριψε τὸν γάμο, ὄχι ἐξ αἰτίας τοῦ κινδύνου, οὔτε ἐξ αἰτίας τοῦ φόβου ἐκ μέρους τῶν ἐχθρῶν, ἀλλ' ἐπειδὴ θεωροῦσε ἀνάξιο τὸν ἑαυτό του νὰ συνάψει συγγένεια μὲ ἐκεῖνον, καὶ λέγει πρὸς τοὺς δούλους αὐτοῦ αὐτὰ ἐδῶ τὰ λόγια· «Μήπως καὶ σὲ σᾶς δὲν φαίνεται ἀνόητο τὸ νὰ θελήσω νὰ γίνω γαμπρὸς τοῦ βασιλιᾶ; διότι ἐγὼ εἶμαι ἄνθρωπος ἀσήμαντος καὶ χωρὶς ν' ἀπολαμβάνω τιμές»[8]. Καὶ βέβαια ἡ πρόταση αὐτὴ γιὰ τὸ γάμο ἦταν ὀφειλὴ καὶ ἀμοιβὴ καὶ ἀνταπόδοση γιὰ τοὺς κόπους του, ἀλλ' ὅμως τόσο πολὺ ταπεινὴ καρδιὰ εἶχε, ὥστε μετὰ ἀπὸ τόσα μεγάλα κατορθώματα καὶ τόσο λαμπρὴ νίκη καὶ ὑπόσχεση ποὺ ἦταν πράγματι ἀληθινή, νὰ θεωρεῖ τὸν ἑαυτό του ἀνάξιο νὰ λάβει τὴν ἀμοιβὴ ποὺ τοῦ ὀφειλόταν· καὶ αὐτὴ ἦταν ἡ γνώμη του ἐνῶ ἐπρόκειτο πάλι νὰ ριχτεῖ στοὺς κινδύνους. Ὅταν ὅμως νίκησε τοὺς ἐχθροὺς καὶ ἔλαβε τὴ θυγατέρα τοῦ βασιλιᾶ γιὰ σύζυγο, πάλι «Ἐνῶ ἔψαλλε ὁ Δαυίδ, ὁ Σαοὺλ θέλησε νὰ φονεύσει αὐτὸν μὲ τὸ δόρυ του καὶ τὸ πέταξε ἐναντίον

νεν ὁ Δαυίδ· καὶ ἐπάταξε τὸ δόρυ ἐν τῷ τοίχῳ». Τίνα οὐκ ἂν καὶ τῶν σφόδρα φιλοσοφεῖν ἐπισταμένων εἰς θυμὸν ταῦτα ἐξήνεγκε, καί, εἰ μηδὲν ἕτερον, τῆς οἰκείας προνοοῦντα ἀσφαλείας ἔπεισεν ἀνελεῖν τὸν ἀδίκως ἐπιβουλεύοντα; Οὐδὲ γὰρ φόνος τὸ πρᾶγμα λοιπὸν ἦν, ἀλλὰ καὶ οὕτω τὸ μέτρον τοῦ νόμου τότε ὑπερβαίνειν ἔμελλεν. Ἐκεῖνος μὲν γὰρ ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ ἐξορύττειν ἐκέλευεν, οὗτος δὲ εἰ καὶ ἔσφαξεν, ἀντὶ τριῶν φόνων ἕνα εἰργάζετο, τριῶν φόνων οὐδεμίαν εὔλογον ἐχόντων πρόφασιν.

Ἀλλ' ὅμως οὐδὲν τούτων ἐπεχείρησεν, ἀλλ' ᾑρεῖτο φυγεῖν μᾶλλον καὶ τῆς πατρῴας οἰκίας ἐκπεσεῖν καὶ πλανήτης εἶναι καὶ δραπετεύειν καὶ ταλαιπωρούμενος τὴν ἀναγκαίαν πορίζειν τροφήν, ἢ τῷ βασιλεῖ γενέσθαι σφαγῆς αἴτιος. Οὐ γὰρ ὅπως ἑαυτὸν ἐκδικήσειεν, ἀλλ' ὅπως ἐκεῖνον ἀπαλλάξειε τοῦ πάθους ἐσκόπει. Διὰ τοῦτο τῶν ὀφθαλμῶν ἑαυτὸν ὑπεξήγαγε τοῦ ἐχθροῦ, ὥστε ὑποσῦραι τὸν ὄγκον, καὶ καταστεῖλαι τὴν φλεγμονήν, καὶ παραμυθήσασθαι τὴν βασκανίαν. «Βέλτιον ἐμέ», φησίν, «ταλαιπωρεῖσθαι καὶ μυρία πάσχειν δεινά, ἢ τοῦτον ἀδίκου σφαγῆς παρὰ τῷ Θεῷ κρίνεσθαι». Ταῦτα μὴ μόνον ἀκούωμεν, ἀλλὰ καὶ μιμώμεθα, καὶ πάντα ὑπομένωμεν καὶ ποιεῖν καὶ πάσχειν, ὥστε ἀπαλλάξαι τοὺς ἐχθροὺς τῆς πρὸς ἡμᾶς ἀπεχθείας· καὶ μὴ τοῦτο ζητῶμεν, εἰ δικαίως, ἢ ἀδίκως πρὸς ἡμᾶς ἀπεχθάνονται, ἀλλ' ἐκεῖνο μόνον, ὅπως μηκέτι καθ' ἡμῶν ἐχθραίνοιεν. Καὶ γὰρ ὁ ἰατρὸς τοῦτο σκοπεῖ, ὅπως ἀπαλλάξειε τοῦ νοσήματος τὸν κάμνοντα, οὐκ εἰ δικαίως, ἢ ἀδίκως τὴν ἀρρωστίαν ἑαυτῷ ἐπεσπάσατο. Καὶ σὺ τοίνυν ἰατρὸς εἶ τοῦ λελυπηκότος· ἓν ζήτει μόνον, ὅπως αὐτοῦ τὴν ἀρρωστίαν ἀνέλῃς. Ὃ καὶ ὁ μακάριος οὗτος ἐποίησε, πενίαν ἀντὶ πλούτου, ἐρημίαν ἀντὶ πατρίδος, πόνους καὶ

του· ὁ Δαυὶδ ὅμως ἔκανε στὴν ἄκρη καὶ χτύπησε τὸ δόρυ στὸν τοῖχο». Ποιὸν καὶ ἀπὸ ἐκείνους ἀκόμα ποὺ γνωρίζουν πάρα πολὺ καλὰ νὰ φιλοσοφοῦν τὰ πράγματα δὲν θὰ τὸν ἀνάγκαζε αὐτὸ τὸ γεγονὸς νὰ θυμώσει, καί, ἐὰν ὄχι τίποτε ἄλλο, ἡ φροντίδα γιὰ τὴ δική του ἀσφάλεια θὰ τὸν ἔπειθε νὰ φονεύσει ἐκεῖνον ποὺ ἄδικα τὸν ἐπιβουλευόταν; Οὔτε βέβαια τὸ πράγμα αὐτὸ θὰ ἦταν τότε φόνος, ἀλλὰ καὶ ἔτσι θὰ φαινόταν νὰ ξεπερνᾶ αὐτὸ τὸ μέτρο ποὺ ὅριζε ὁ νόμος. Διότι ὁ μὲν νόμος πρόσταζε νὰ βγάζει κανεὶς τὰ μάτι ἐκείνου ποὺ ἔβγαλε τὸ δικό του, ἐνῶ αὐτὸς καὶ ἂν ἀκόμα τὸν ἔσφαζε, θὰ ἔκαμνε ἕνα φόνο ἀντὶ τριῶν, τριῶν φόνων ποὺ δὲν εἶχαν καμιὰ δικαιολογημένη ἀφορμή.

Ἀλλ' ὅμως τίποτε ἀπὸ αὐτὰ δὲν ἐπιχείρησε, ἀντίθετα προτίμησε μᾶλλον νὰ φύγει καὶ νὰ στερηθεῖ τὴν πατρική του γῆ, νὰ περιπλανιέται καὶ νὰ ζεῖ σὰν δραπέτης καὶ νὰ ἐξασφαλίζει τὴν ἀναγκαία τροφὴ μὲ ταλαιπωρίες, παρὰ νὰ γίνει αἰτία σφαγῆς τοῦ βασιλιᾶ. Διότι δὲν φρόντιζε πῶς νὰ πάρει ἐκδίκηση γιὰ τὸν ἑαυτό του, ἀλλὰ πῶς νὰ ἀπαλλάξει ἐκεῖνον ἀπὸ τὸ πάθος του. Γι' αὐτὸ ἀπομάκρυνε τὸν ἑαυτό του ἀπὸ τὰ μάτια τοῦ ἐχθροῦ, ὥστε νὰ ἐξαλείψει τὸν ὄγκο, νὰ καταπραΰνει τὴ φλεγμονὴ καὶ νὰ ἐλαττώσει τό φθόνο. «Εἶναι προτιμότερο», λέγει, «νὰ ταλαιπωροῦμαι ἐγὼ καὶ νὰ ὑποφέρω ἀμέτρητα κακά, παρὰ νὰ καταδικαστεῖ αὐτὸς ἀπὸ τὸ Θεὸ γιὰ ἄδικη σφαγή». Αὐτὰ ἂς μὴ τὰ ἀκοῦμε μόνο, ἀλλὰ ἂς τὰ μιμούμαστε, καὶ ὅλα νὰ τὰ ὑπομένουμε καὶ νὰ τὰ κάνουμε καὶ νὰ τὰ ὑποφέρουμε, ὥστε ν' ἀπαλλάξουμε τοὺς ἐχθρούς μας ἀπὸ τὸ μίσος τους ἐναντίον μας· καὶ νὰ μὴ ἐξετάζουμε αὐτό, τὸ ἐὰν δηλαδὴ μᾶς ἐχθρεύονται δίκαια ἢ ἄδικα, ἀλλ' ἐκεῖνο μόνο, τὸ νὰ μὴ τρέφουν πλέον ἔχθρα ἐναντίον μας. Καθόσον καὶ ὁ ἰατρὸς σ' αὐτὸ ἀποσκοπεῖ, τὸ πῶς ν' ἀπαλλάξει τὸν ἀσθενὴ ἀπὸ τὴν ἀσθένειά του, καὶ ὄχι ἐὰν προξενήθηκε σ' αὐτὸν ἡ ἀρρώστια δίκαια ἢ ἄδικα. Καὶ σὺ λοιπὸν ἰατρὸς εἶσαι ἐκείνου ποὺ σὲ δυσαρέστησε· ἕνα μόνο ἐπιδίωκε, τὸ πῶς νὰ ἐξαλείψεις τὴν ἀρρώστια αὐτοῦ. Αὐτὸ ἀκριβῶς ἔκανε καὶ ὁ μακάριος αὐτός, διότι προτίμησε τὴ φτώχεια ἀντὶ τοῦ

κινδύνους ἀντὶ τρυφῆς καὶ ἀδείας, φυγὴν διηνεκῆ ἀντὶ τῆς οἴκοι μονῆς ἑλόμενος, ἵνα ἐκεῖνον ἀπαλλάξῃ τῆς πρὸς ἑαυτὸν ἀπεχθείας καὶ ἔχθρας.

Ἀλλ' οὐδὲν οὐδὲ οὕτως ἐκέρδανεν ὁ Σαούλ, ἀλλ' ἐδίωκε καὶ πανταχοῦ περιήει ζητῶν τὸν ἠδικηκότα μὲν οὐδὲν, ἀδικηθέντα δὲ τὰ ἔσχατα, καὶ μυρία αὐτὸν ἀντὶ τούτων ποιήσαντα ἀγαθά, καὶ οὐκ εἰδώς, εἰς αὐτὰ λοιπὸν τοῦ Δαυὶδ ἐμπίπτει τὰ δίκτυα. «Ἦν γὰρ ἐκεῖ σπήλαιον», φησί, «καὶ εἰσῆλθε Σαοὺλ παρασκευάσασθαι. Καὶ Δαυὶδ καὶ οἱ ἄνδρες αὐτοῦ ἐν τῷ σπηλαίῳ τῷ ἐσωτέρῳ ἐκάθηντο. Καὶ εἶπον οἱ ἄνδρες Δαυὶδ πρὸς αὐτόν· ἰδοὺ ἡ ἡμέρα, καθὼς εἶπε Κύριος· δίδωμι τὸν ἐχθρόν σου εἰς τὰς χεῖράς σου, καὶ ποιήσεις αὐτῷ τὸ ἀρεστὸν ἐν ὀφθαλμοῖς σου. Καὶ ἀνέστη Δαυίδ, καὶ ἀφεῖλε τὸ πτερύγιον τῆς διπλοΐδος Σαοὺλ λαθραίως. Καὶ μετὰ ταῦτα ἐπάταξε τὸν Δαυὶδ ἡ καρδία αὐτοῦ, ὅτι ἀφεῖλε τὸ πτερύγιον τῆς διπλοΐδος, καὶ εἶπε Δαυὶδ πρὸς τοὺς ἄνδρας αὐτοῦ· μηδαμῶς μοι παρὰ Κυρίου ποιῆσαι τὸ ῥῆμα τοῦτο τῷ κυρίῳ μου, τῷ χριστῷ Κυρίου, ἐπενεγκεῖν τὴν χεῖρά μου ἐπ' αὐτόν, ὅτι χριστὸς Κυρίου ἐστίν».

Εἶδες τὰ δίκτυα τεταμένα, καὶ τὸ θήραμα ἐναπειλημμένον, καὶ τὸν κυνηγέτην ἑστῶτα, καὶ πάντας ἐγκελευομένους βαπτίσαι τὸ ξίφος εἰς τὸ τοῦ πολεμίου στῆθος; Θέα μοι λοιπὸν τὴν φιλοσοφίαν, θέα τὴν πάλην, τὴν νίκην, τὸν στέφανον. Καὶ γὰρ στάδιον ἦν τὸ σπήλαιον ἐκεῖνο, καὶ πάλη θαυμαστή τις ἐγίνετο καὶ παράδοξος. Ἐπάλαιε μὲν γὰρ ὁ Δαυίδ, ἐπύκτευε δὲ ὁ θυμός, καὶ ἔπαθλον ὁ Σαοὺλ ἔκειτο, καὶ ἀγωνοθέτης ἦν ὁ Θεός· μᾶλλον δὲ οὐ πρὸς ἑαυτὸν μόνον καὶ τὴν ἐπιθυμίαν τὴν ἑαυτοῦ ἦν αὐτῷ ὁ

---

9. Α' Βασ. 18, 23.

πλούτου, τὴν ἐρημιὰ ἀντὶ τῆς πατρίδας, τοὺς κόπους καὶ τοὺς κινδύνους ἀντὶ τῆς ζωῆς τῶν ἀπολαύσεων καὶ τῶν ἀνέσεων, καὶ τὴ συνεχὴ φυγὴ ἀντὶ τῆς διαμονῆς του στὸν τόπο του, μὲ σκοπὸ ν' ἀπαλλάξει ἐκεῖνον ἀπὸ τὸ μίσος καὶ τὴν ἔχθρα ἐναντίον του.

'Αλλ' ὅμως τίποτε δὲ κέρδιζε ὁ Σαοὺλ ἀπὸ ὅλα αὐτά, ἀντίθετα δὲ τὸν καταδίωκε καὶ περιερχόταν παντοῦ ἀναζητώντας νὰ βρεῖ ἐκεῖνον ποὺ δὲν τὸν εἶχε μὲν ἀδικήσει σὲ τίποτε, ἀλλ' ἀδικήθηκε μὲ τὸν πιὸ χειρότερο τρόπο, καὶ τοῦ εἶχε κάνει ἀμέτρητα καλὰ ἔναντι ὅλων αὐτῶν τῶν ἀδικιῶν, καὶ χωρὶς νὰ τὸ γνωρίζει δὲ πέφτει στὴ συνέχεια μέσα στὰ δίχτυα τοῦ Δαυίδ. Διότι, λέγει, «Ὑπῆρχε ἐκεῖ κάποιο σπήλαιο καὶ εἰσῆλθε σ' αὐτὸ ὁ Σαοὺλ γιὰ νὰ ξεκουρασθεῖ. Ὁ Δαυὶδ δὲ καὶ οἱ ἄνδρες του κάθονταν στὸ ἐσωτερικὸ τοῦ σπηλαίου. Καὶ εἶπαν οἱ ἄνδρες τοῦ Δαυὶδ πρὸς αὐτόν· νὰ ἡ ἡμέρα, σύμφωνα μὲ ἐκεῖνα ποὺ εἶπε ὁ Κύριος· σοῦ δίνω τὸν ἐχθρό σου στὰ χέρια σου καὶ κάνε σ' αὐτὸν ὅ,τι σοῦ εἶναι ἀρεστό. Καὶ σηκώθηκε ὁ Δαυὶδ καὶ ἀφαίρεσε κρυφὰ ἕνα ἄκρο ἀπὸ τὸ ἐπανωφόρι τοῦ Σαούλ. Στὴ συνέχεια ὅμως ἔνιωσε ὁ Δαυὶδ μεγάλη στενοχώρια μέσα στὴν καρδιά του, διότι ἀφαίρεσε τὸ ἄκρο ἀπὸ τὸ ἐπανωφόρι αὐτοῦ καὶ εἶπε ὁ Δαυὶδ πρὸς τοὺς ἄνδρες του· ποτὲ νὰ μὴ μὲ ἀξιώσει ὁ Κύριος νὰ κάνω σὲ βάρος τοῦ κυρίου μου αὐτὸ τὸ πράγμα ποὺ εἴπατε, στὸν κύριό μου ποὺ τὸν ἔχρισε βασιλιὰ ὁ Κύριος, νὰ σηκώσω δηλαδὴ καὶ νὰ φέρω ἐναντίον αὐτοῦ τὸ χέρι μου, διότι αὐτὸς χρίστηκε βασιλιὰς ἀπὸ τὸν Κύριο»[9].

Εἶδες τὰ δίχτυα ἁπλωμένα, τὸ θήραμα νὰ ἔχει συλληφθεῖ ἀπ' αὐτά, τὸν κυνηγὸ νὰ στέκεται δίπλα καὶ ὅλους νὰ τὸν παροτρύνουν νὰ βυθίσει τὸ ξίφος του μέσα στὸ στῆθος τοῦ ἐχθροῦ; Πρόσεχε σὲ παρακαλῶ στὴ συνέχεια τὴ φιλοσοφικότητα αὐτοῦ, πρόσεχε τὴν πάλη, τὴ νίκη, τὸ στεφάνι. Καθόσον τὸ σπήλαιο ἐκεῖνο ἦταν στάδιο, καὶ γινόταν μιὰ κάποια θαυμαστὴ καὶ παράδοξη πάλη. Διότι πάλευε μὲν ὁ Δαυίδ, τὰ δὲ χτυπήματα τὰ ἔδινε ὁ θυμός, ἔπαθλο ἦταν ὁ Σαοὺλ καὶ ἀγωνοθέτης ὁ Θεός· μᾶλλον δὲ διεξήγαγε τὸν πόλεμο αὐτὸ ὄχι μόνο πρὸς τὸν

πόλεμος, ἀλλὰ καὶ πρὸς τοὺς παρόντας στρατιώτας. Εἰ γὰρ καὶ φιλοσοφεῖν ἤθελε καὶ φείδεσθαι τοῦ λελυπηκότος, εἰκὸς ἦν καὶ δεδοικέναι αὐτὸν ἐκείνους, μήποτε καὶ συγκόψωσιν αὐτὸν ἐν τῷ σπηλαίῳ, ἅτε λυμεῶνα καὶ προδότην αὐτὸν ὄντα τῆς αὐτῶν σωτηρίας, καὶ τὸν κοινὸν ἐχθρὸν αὐτῶν διασώζοντα. Καὶ γὰρ εἰκὸς ἦν ταῦτα κατὰ διάνοιαν ἕκαστον αὐτῶν δυσχεραίνοντα λέγειν· πλανῆται καὶ φυγάδες ἐγενόμεθα ἡμεῖς, καὶ οἰκίας καὶ πατρίδος καὶ τῶν ἄλλων ἁπάντων ἐξεπέσομεν, καὶ τῶν δυσχερῶν σοι πάντων ἐκοινωνήσαμεν, καὶ σὺ τῶν κακῶν τούτων τὸν αἴτιον εἰς χεῖρας λαβών, ἀφεῖναι διανοῇ, ἵνα μηδέποτε τῶν κακῶν τούτων ἡμεῖς ἀναπνεύσωμεν, καὶ σπουδάζων τὸν ἐχθρὸν διασῶσαι, προδίδως τοὺς φίλους; Καὶ ποῦ ταῦτα δίκαια; Εἰ γὰρ τῆς ἑαυτοῦ καταφρονεῖς σωτηρίας, ἀλλὰ τῆς ἡμετέρας φεῖσαι ψυχῆς. Οὐ λυπεῖ σε τὰ παρελθόντα; οὐδὲ μέμνησαι τῶν κακῶν ὧν ἔπαθες παρ' αὐτοῦ; Διὰ τὰ μέλλοντα ἄνελε, ἵνα μὴ μείζονα καὶ χαλεπώτερα ὑποστῶμεν κακά. Ταῦτα γὰρ εἰ καὶ μὴ τοῖς ῥήμασιν ἔλεγον, ἀλλ' ὅμως κατὰ διάνοιαν ἐλογίζοντο καὶ ταῦτα, καὶ τούτων πλείονα ἕτερα.

5. Ἀλλ' οὐδὲν τούτων ὁ ἐκεῖνος ὑπελογίζετο, ἀλλ' εἰς ἓν ἔβλεπε μόνον, ὅπως τὸν τῆς ἀνεξικακίας ἀναδήσασθαι δυνηθῇ στέφανον, καὶ φιλοσοφῆσαι φιλοσοφίαν τινὰ καινοτέραν καὶ παράδοξον. Οὐδὲ γὰρ ἦν οὕτω θαυμαστόν, εἰ μόνος ὢν καὶ καθ' ἑαυτὸν ἐφείσατο τοῦ λελυπηκότος, ὡς νῦν παράδοξόν ἐστιν, ὅτι παρόντων ἑτέρων αὐτῷ τοῦτο ἐποίησεν. Ἡ γὰρ τῶν στρατιωτῶν ἐκείνων παρουσία διπλοῦν ἐγίνετο τῇ φιλοσοφίᾳ τὸ κώλυμα. Πολλάκις γοῦν αὐτοὶ κρίναντες ὀργὴν ἀφεῖναι καὶ συγχωρῆ-

ἑαυτό του καὶ τὴν ἐπιθυμία του, ἀλλὰ καὶ πρὸς τοὺς παραβρισκομένους ἐκεῖ στρατιῶτες. Διότι καὶ ἂν ἀκόμα ἤθελε νὰ δείξει ὑψηλὸ φρόνημα καὶ νὰ εὐσπλαχνιστεῖ ἐκεῖνον ποὺ τὸν εἶχε λυπήσει, φυσικὸ ἦταν καὶ νὰ φοβόταν ἐκείνους, μὴ τυχὸν καὶ κατασφάξουν αὐτὸν μέσα στὸ σπήλαιο, ἐπειδὴ γινόταν καταστροφέας καὶ προδότης τῆς σωτηρίας τους καθὼς καὶ σωτήρας τοῦ κοινοῦ ἐχθροῦ τους. Καθόσον φυσικὸ ἦταν ὁ καθένας ἀπ' αὐτοὺς δυσανασχετώντας νὰ ἔφερνε στὴ σκέψη ὅλα αὐτά, λέγοντας· Ἐμεῖς γίναμε περιπλανώμενοι καὶ φυγάδες καὶ στερηθήκαμε τὸ σπίτι μας, τὴν πατρίδα μας καὶ ὅλα τὰ ἄλλα γενικὰ καὶ γίναμε συμμέτοχοι σ' ὅλες τὶς δυσχέρειές σου, καὶ σὺ τώρα, ἐνῶ συνέλαβες καὶ κρατᾶς στὰ χέρια σου τὸν αἴτιο ὅλων αὐτῶν τῶν κακῶν, σκέφτεσαι νὰ τὸν ἀφήσεις ἐλεύθερο, γιὰ νὰ μὴ ἀναπνεύσουμε ἐμεῖς ποτὲ ἀπὸ τὰ κακὰ αὐτά, καὶ φροντίζεις νὰ σώσεις τὸν ἐχθρό, προδίνοντας τοὺς φίλους σου; Καὶ πῶς θὰ μποροῦσαν αὐτὰ νὰ θεωρηθοῦν δίκαια; Διότι, ἂν περιφρονεῖς τὴ δική σου σωτηρία, ὅμως λυπήσου τὴ δική μας ζωή. Δὲν σοῦ προξενοῦν λύπη τὰ περασμένα; οὔτε θυμᾶσαι τὰ κακὰ ποὺ ἔπαθες ἀπ' αὐτόν; φόνευσέ τον ἐξ αἰτίας ἐκείνων ποὺ πρόκειται νὰ συμβοῦν στὸ μέλλον, γιὰ νὰ μὴ πάθουμε μεγαλύτερα καὶ φοβερότερα κακά. Διότι αὐτὰ καὶ ἂν ἀκόμα δὲν τὰ ἔλεγαν μὲ τὰ λόγια, ἀλλ' ὅμως στὸ νοῦ τους σκέφτονταν καὶ αὐτὰ καὶ ἄλλα πολὺ περισσότερα ἀπὸ αὐτά.

5. Ἀλλ' ὅμως ὁ δίκαιος ἐκεῖνος κανένα ἀπὸ αὐτὰ δὲν ὑπολόγιζε, ἀντίθετα δὲ σ' ἕνα μόνο ἀπέβλεπε, πῶς θὰ μποροῦσε δηλαδὴ νὰ φορέσει τὸ στεφάνι τῆς ἀνεξικακίας καὶ νὰ διδάξει μὲ τὴν ὅλη συμπεριφορά του μιὰ κάποια καινούργια καὶ παράδοξη φιλοσοφικότητα. Διότι δὲν θὰ ἦταν τόσο ἄξιο θαυμασμοῦ, ἐὰν εὐσπλαχνιζόταν τὴ ζωὴ ἐκείνου ποὺ τὸν εἶχε λυπήσει, ἐνῶ θὰ ἦταν ἐντελῶς μόνος, ὅσο παράδοξο εἶναι τώρα, διότι τὸ ἔκανε αὐτὸ ἐνῶ βρίσκονταν κοντά του καὶ ἄλλοι. Καθόσον ἡ παρουσία ἐκείνων τῶν στρατιωτῶν γινόταν διπλὸ ἐμπόδιο γιὰ τὸν ὀρθὸ τρόπο σκέψεως καὶ ἐνέργειας. Πολλὲς φορὲς δηλαδή, ἐνῶ ἀποφασίσαμε νὰ ἀφήσουμε κατὰ μέρος τὴν

σαι τὰ πεπλημμελημένα τινί, ἐπειδὰν ἴδωμέν τινας παροξύνοντας καὶ διεγείροντας, τὴν ἡμετέραν καταλύομεν κρίσιν, τοῖς ἐκείνων παραπειθόμενοι λόγοις. Ἀλλ' ὁ μακάριος ἐκεῖνος τοῦτο οὐκ ἔπαθεν, ἀλλὰ καὶ μετὰ τὴν παραίνεσιν καὶ τὴν συμβουλὴν ἔμενε τὴν οἰκείαν διατηρῶν ψῆφον.

Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστόν, ὅτι οὔτε ταῖς παρ' ἑτέρων παρετράπη συμβουλαῖς, οὐδ' ὅτι αὐτοὺς οὐκ ἔδεισεν, ἀλλ' ὅτι καὶ ἐκείνους τὰ αὐτὰ αὐτῷ φιλοσοφεῖν παρεσκεύασε. Μέγα μὲν γὰρ τὸ καὶ αὐτόν τινα τῶν οἰκείων περιγενέσθαι παθῶν, πολὺ δὲ μεῖζον τὸ καὶ ἑτέρους δυνηθῆναι πεῖσαι, τὴν αὐτὴν αὐτῷ κτήσασθαι γνώμην· καὶ ἑτέρους, οὐκ ἐπιεικεῖς ἀνθρώπους καὶ μετρίους, ἀλλὰ στρατιώτας καὶ πολεμεῖν μεμαθηκότας, καὶ τοῖς πολλοῖς ἀπεγνωκότας πόνοις, καὶ μικρὸν ἀναπνεῦσαι ἐπιθυμοῦντας, καὶ εἰδότας ὅτι τῶν κακῶν ἡ λύσις πᾶσα ἐν τῇ τοῦ πολεμίου σφαγῇ τότε ἔκειτο· οὐ μόνον δὲ λύσις κακῶν, ἀλλὰ καὶ μυρίων κτῆσις ἀγαθῶν· οὐδὲν γὰρ ἐκώλυεν, ἐκείνου σφαγέντος, ἐπὶ τοῦτον εὐθέως διαβῆναι τὴν βασιλείαν. Ἀλλ' ὅμως τοσούτων ὄντων τῶν παροξυνόντων τοὺς στρατιώτας, ἴσχυσεν ὁ γενναῖος ἐκεῖνος πάντων περιγενέσθαι τούτων, καὶ πεῖσαι φείσασθαι τοῦ πολεμίου.

Ἄξιον δὲ καὶ αὐτῆς ἀκοῦσαι τῶν στρατιωτῶν τῆς συμβουλῆς· ἡ γὰρ κακουργία τῆς παραινέσεως τὸ στερρὸν καὶ ἀπερίτρεπτον τῆς τοῦ δικαίου δείκνυσι γνώμης. Οὐδὲ γὰρ εἶπον, 'Ἰδοὺ ὁ μυρία σε διαθεὶς κακά, ὁ τῆς σφαγῆς ἐπιθυμήσας τῆς σῆς, ὁ περιβαλὼν ἡμᾶς τοῖς ἀνηκέστοις δεινοῖς', ἀλλ' ἐπειδὴ συνεῖδον ὅτι πάντων τούτων ὑπερεώρα, καὶ τῶν εἰς αὐτὸν ἡμαρτημένων οὐ πολὺν ἐποιεῖτο τὸν λόγον, ἄνωθεν αὐτῷ τὴν ψῆφον φέρουσιν, «Ὁ Θεὸς αὐτὸν παρέδωκε» λέγοντες, ἵνα τὴν ἐκεῖθεν

ὀργὴ καὶ νὰ συγχωρήσουμε κάποιον γιὰ τὰ κακὰ ποὺ μᾶς ἔκανε, ὅταν δοῦμε μερικοὺς νὰ μᾶς παροτρύνουν καὶ νὰ μᾶς ἐξεγείρουν, ἐγκαταλείπουμε τὴν ἀπόφασή μας, ὑπακούοντας στὰ λόγια ἐκείνων. Ὅμως ὁ μακάριος ἐκεῖνος δὲν τὸ ἔπαθε αὐτό, ἀλλὰ καὶ μετὰ τὴν προτροπὴ καὶ τὴ συμβουλὴ ἐκείνη ἐξακολούθησε νὰ διατηρεῖ τὴ δική του ἀπόφαση.

Καὶ δὲν εἶναι αὐτὸ μόνο τὸ ἄξιο θαυμασμοῦ, τὸ ὅτι δηλαδὴ δὲν παρασύρθηκε ἀπὸ τὶς συμβουλὲς τῶν ἄλλων καὶ οὔτε φοβήθηκε αὐτούς, ἀλλὰ τὸ ὅτι καὶ ἐκείνους τοὺς ἔμαθε νὰ σκέφτονται καὶ νὰ ἐνεργοῦν κατὰ τὸν ἴδιο τρόπο μὲ αὐτόν. Πράγματι εἶναι πολὺ σπουδαῖο πράγμα τὸ νὰ γίνει κάποιος ἐξουσιαστὴς τῶν παθῶν του, πολὺ πιὸ σπουδαιότερο ὅμως εἶναι νὰ μπορέσει νά πείσει καὶ ἄλλους νὰ ἀκολουθήσουν τὴν ἴδια ἀπόφαση μὲ αὐτόν· καὶ μάλιστα νὰ πείσει ἄλλους ὄχι ἐπιεικεῖς ἀνθρώπους καὶ ἐναρέτους, ἀλλὰ στρατιῶτες καὶ ἀνθρώπους ποὺ ἔχουν μάθει νὰ πολεμοῦν, καὶ ποὺ ἔχουν ἀπελπιστεῖ ἐξ αἰτίας τῶν πολλῶν κόπων, καὶ ἐπιθυμοῦν γιὰ λίγο ν' ἀναπνεύσουν, καὶ ποὺ γνωρίζουν ὅτι ἡ ὅλη ἀπαλλαγὴ ἀπὸ τὰ κακὰ βρισκόταν τότε στὴ σφαγὴ τοῦ ἐχθροῦ· καὶ ὄχι μόνο ἡ ἀπαλλαγὴ ἀπὸ τὰ κακά, ἀλλὰ καὶ ἡ ἀπόκτηση ἀμέτρητων ἀγαθῶν· διότι τίποτε δὲν ἐμπόδιζε, ἀφοῦ ἐκεῖνος σφαζόταν, νὰ μεταβιβαστεῖ ἀμέσως σ' αὐτὸν ἡ βασιλεία. Ἀλλ' ὅμως ἂν καὶ ἦταν τόσο πολλὰ ἐκεῖνα ποὺ ἐξερέθιζαν τοὺς στρατιῶτες, κατόρθωσε ὁ γενναῖος ἐκεῖνος νὰ ὑπερνικήσει ὅλους ἐκείνους καὶ νὰ τοὺς πείσει νὰ εὐσπλαχνισθοῦν τὸν ἐχθρὸ καὶ νὰ τοῦ χαρίσουν τὴ ζωή.

Ἀξίζει δὲ ν' ἀκούσουμε καὶ τὴν ἴδια τὴ συμβουλὴ τῶν στρατιωτῶν· διότι ἡ ἀπανθρωπιὰ τῆς συμβουλῆς φανερώνει τὴ σταθερότητα καὶ τὸ ἀμετάβλητο τῆς ἀποφάσεως τοῦ δικαίου. Διότι δὲν εἶπαν, 'νὰ ἐκεῖνος ποὺ σοῦ προξένησε ἀμέτρητα κακά, ἐκεῖνος ποὺ ἐπιθύμησε τὴ σφαγή σου, ἐκεῖνος ποὺ μᾶς περιέβαλε μὲ τὰ πιὸ ἀνυπόφορα κακά', ἀλλ' ἐπειδὴ ἀντιλήφθηκαν ὅτι γιὰ ὅλα αὐτὰ ἔδειχνε ἀδιαφορία καὶ δὲν ἔδινε καὶ πολὺ μεγάλη σημασία γιὰ τὰ κακὰ ποὺ τοῦ εἶχε κάνει, ἀναφέρουν σ' αὐτὸν τὴν οὐράνια ἀπόφαση, λέγοντας, «Ὁ Θεὸς σοῦ παρέδω-

αἰδεσθεὶς κρίσιν ἑτοιμότερον ἐπὶ τὴν σφαγὴν ἔλθῃ. Μὴ γὰρ σαυτὸν ἐκδικεῖς; φησί. Τῷ Θεῷ διακονῇ καὶ ὑπηρετεῖς, καὶ τὴν ἐκείνου ψῆφον κυροῖς. Ἀλλ' ὅσῳ ταῦτα ἔλεγον, τοσούτῳ μᾶλλον ἐφείδετο. Ἤδει γὰρ τοῦτο, ὅτι ὁ Θεὸς αὐτὸν αὐτῷ παρέδωκεν, ἵνα πλείονος εὐδοκιμήσεως αὐτῷ παράσχῃ πρόφασιν. Καὶ σὺ τοίνυν, ὅταν ἴδῃς τὸν ἐχθρὸν εἰς τὰς χεῖρας ἐμπεσόντα τὰς σάς, μὴ νόμιζε τιμωρίας, ἀλλὰ σωτηρίας εἶναι καιρὸν ἐκεῖνον. Διὰ τοῦτο τότε μάλιστα φείδεσθαι δεῖ τῶν ἐχθρῶν, ὅταν αὐτῶν γενώμεθα κύριοι.

Ἀλλ' ἴσως εἴποι τις ἄν· καὶ τί μέγα καὶ θαυμαστὸν γενόμενον κύριον φείσασθαι; Πολλοὶ γὰρ καὶ ἄλλοι βασιλεῖς πολλάκις ἐπὶ τὴν ἀρχὴν ἐλθόντες, τοὺς πάλαι λελυπηκότας λαβόντες, ἀνάξιον αὐτῶν εἶναι ἐνόμισαν ἐν ἀρχῆς ὄγκῳ τοσούτῳ δίκην ἀπαιτῆσαι τῶν πεπλημμελημένων, καὶ ἡ τῆς ἐξουσίας περιουσία καταλλαγῆς ὑπόθεσις γέγονεν. Ἀλλ' ἐνταῦθα οὐδὲν τοιοῦτόν ἐστιν εἰπεῖν. Οὐ γὰρ ἐπὶ τὴν ἀρχὴν ἀνελθὼν ὁ Δαυίδ, οὐδὲ τὴν βασιλείαν ἀπολαβών, καὶ τὸν Σαοὺλ ὑπὸ χεῖρας ἔχων, οὕτως ἐφείσατο, ἵνα μή τις εἴπῃ, ὅτι τὸ τῆς ἀρχῆς μέγεθος τὸν θυμὸν ἐξέλυσεν, ἀλλ' εἰδὼς ὅτι διασωθεὶς τοῖς αὐτοῖς ἐπιθήσεται πάλιν καὶ εἰς μείζονας ἐμβαλεῖ τοὺς κινδύνους, οὐδὲ οὕτως ἀπέκτεινε.

Μὴ δὴ τοῦτον ἐκείνοις παραβάλωμεν. Ἐκεῖνοι μὲν γὰρ ἀσφαλὲς τὸ ἐνέχυρον ἔχοντες τῆς μετὰ ταῦτα ἀδείας, εἰκότως φείδονται, οὗτος δὲ μέλλων τὸν ἐχθρὸν καθ' ἑαυτοῦ ἀφιέναι, καὶ πολέμιον ἑαυτῷ σώζειν, οὐδὲ οὕτως αὐτὸν ἠφάνισε, καὶ ταῦτα

σε αὐτόν», ὥστε, ἀφοῦ σεβαστεῖ τὴν οὐράνια ἐκείνη ἀπόφαση, νὰ προχωρήσει μὲ μεγαλύτερη προθυμία στὴ σφαγή του. Μήπως δηλαδή, λέγει, ζητᾶς σὺ ἐκδίκηση γιὰ σένα; Τοῦ Θεοῦ διάκονος εἶσαι καὶ αὐτὸν ὑπηρετεῖς καὶ τὴν ἀπόφαση ἐκείνου πραγματοποιεῖς. Ἀλλ' ὅσο ἐκεῖνοι ἔλεγαν αὐτά, τόση περισσότερη εὐσπλαχνία ἔδειχνε γι' αὐτόν. Διότι γνώριζε αὐτό, ὅτι ὁ Θεὸς τὸν παρέδωσε σ' αὐτόν, γιὰ νὰ δώσει ἀφορμὴ σ' αὐτὸν γιὰ μεγαλύτερη διάκριση στὴν ἀρετή. Καὶ σὺ λοιπόν, ὅταν δεῖς τὸν ἐχθρό σου νὰ ἔχει πέσει στὰ χέρια σου, μὴ θεωρεῖς ἐκεῖνο ὅτι εἶναι εὐκαιρία τιμωρίας, ἀλλὰ θεώρα το εὐκαιρία σωτηρίας του. Γι' αὐτὸ τότε πρὸ πάντων πρέπει νὰ δείχνουμε εὐσπλαχνία πρὸς τοὺς ἐχθρούς μας, ὅταν αὐτοὶ βρίσκονται στὴν ἐξουσία μας.

Ἀλλ' ἴσως θὰ μποροῦσε κάποιος νὰ πεῖ· καὶ τί τὸ σπουδαῖο καὶ ἄξιο θαυμασμοῦ εἶναι τὸ νὰ δείξει κανεὶς εὐσπλαχνία πρὸς κάποιον ποὺ βρίκεται κάτω ἀπὸ τὴν ἐξουσία του; Διότι καὶ πολλοὶ ἄλλοι βασιλεῖς πολλὲς φορές, ἀφοῦ κατέλαβαν τὴν ἐξουσία, καὶ συνέλαβαν ἐκείνους ποὺ τοὺς εἶχαν λυπήσει παλαιότερα, θεώρησαν ὅτι ἦταν ἀνάξιο γι' αὐτούς, μπροστὰ στὸν τόσο ὄγκο τῆς ἐξουσίας, νὰ τιμωρήσουν ἐκείνους ποὺ τοὺς προξένησαν κακά, καὶ τὸ ὑπερβολικὸ μέγεθος τῆς ἐξουσίας ἔγινε γι' αὐτοὺς ἀφορμὴ συμφιλιώσεως. Ἀλλ' ἐδῶ τίποτε παρόμοιο δὲν μποροῦμε νὰ ποῦμε. Διότι χωρὶς ὁ Δαυὶδ ν' ἀνεβεῖ στὴν ἐξουσία, οὔτε νὰ καταλάβει τὴ βασιλεία, χάρισε τὴ ζωὴ στὸ Σαοὺλ ἐνῶ τὸν κρατοῦσε στὰ χέρια του, γιὰ νὰ μὴ πεῖ κάποιος, ὅτι τὸ μέγεθος τῆς ἐξουσίας ἔσβησε τὸ θυμό του, ἀλλ' ἂν καὶ γνώριζε ὅτι, ἀφοῦ διασωθεῖ, θὰ ἐξακολουθήσει καὶ πάλι τὶς ἴδιες ἐπιθέσεις ἐναντίον του καὶ θὰ τὸν ρίξει σὲ μεγαλύτερους κινδύνους, οὔτε ἔτσι τὸν φόνευσε.

Ἂς μὴ συγκρίνουμε λοιπὸν αὐτὸν μὲ ἐκείνους. Διότι ἐκεῖνοι μὲν ἔχοντας ἐξασφαλισμένο τὸ ἐνέχυρο τῆς στὴ συνέχεια ἀσφάλειάς τους, εἶναι πολὺ φυσικὸ νὰ δείχνουν εὐσπλαχνία πρὸς τοὺς ἐχθρούς τους, αὐτὸς ὅμως, ἐνῶ ἐπρόκειτο ν' ἀφήσει τὸν ἐχθρό του ποὺ θὰ στρεφόταν ἐναντίον του καὶ νὰ σώσει τὸν

πολλὰ ἔχων τὰ πρὸς τὴν σφαγὴν αὐτὸν ταύτην ὠθοῦντα. Καὶ γὰρ ἡ ἐρημία τῶν βοηθούντων τῷ Σαούλ, καὶ ἡ παραίνεσις τῶν στρατιωτῶν, καὶ ἡ μνήμη τῶν παρελθόντων, καὶ ὁ φόβος τῶν μελλόντων, καὶ τὸ μηδὲ σφαγῆς κρίνεσθαι λοιπὸν ἀποκτείναντα τὸν ἐχθρόν, καὶ τὸ μετὰ τὸν φόνον τοῦτον δύνασθαι τὸν νόμον ὑπερβαίνειν, καὶ πολλὰ ἕτερα πλείονα τούτων ἐβιάζετο καὶ ἠνάγκαζεν ὠθῆσαι τὸ ξίφος εἰς ἐκεῖνον. Ἀλλ' οὐδενὶ τούτων εἶξεν, ἀλλ' ἔμενεν ὥσπερ τις ἀδάμας, ἀκίνητον τὸν τῆς φιλοσοφίας διατηρῶν νόμον.

Εἶτα, ἵνα μὴ λέγῃς ὅτι οὐδὲ ἔπαθέ τι τοιοῦτον, οἷον εἰκὸς ἦν, ἀλλ' ἀναισθησία τὸ γινόμενον ἦν, οὐχὶ φιλοσοφία, ὅρα πῶς ἀγριωθεὶς ἐκαρτέρησεν. Ὅτι γὰρ αὐτῷ διανέστη τὰ κύματα τῆς ὀργῆς, καὶ πολλὴ τῶν λογισμῶν ἐκινήθη ἡ ζάλη, καὶ τὸν χειμῶνα ἐχαλίνου τῷ φόβῳ τοῦ Θεοῦ, καὶ τὴν διάνοιαν ἐπιέζετο, ἐκ τῶν γενομένων ἐστὶν ἰδεῖν. «Ἀνέστη» γάρ, φησί, «καὶ ἀφεῖλε τὸ πτερύγιον τῆς διπλοΐδος Σαοὺλ λαθραίως». Εἶδες πόσος ἠγέρθη τῆς ὀργῆς ὁ χειμών; Ἀλλ' προῆλθε περαιτέρω, οὐδὲ εἰργάσατο τὸ ναυάγιον· ὁ γὰρ κυβερνήτης ταχέως αἰσθόμενος, ὁ εὐσεβὴς λογισμός, γαλήνην ἀντὶ χειμῶνος ἐποίησεν. «Ἐπάταξε γὰρ αὐτόν», φησίν, «ἡ καρδία αὐτοῦ», καὶ καθάπερ σκιρτῶντα καὶ μαινόμενον ἵππον, τὸν θυμὸν ἀνεχαίτισε.

6. Τοιαῦται τῶν ἁγίων αἱ ψυχαί· πρὶν ἢ πεσεῖν, ἀνίστανται, πρὶν ἢ πρὸς τὴν ἁμαρτίαν ἐλθεῖν, ἀναχαιτίζονται, ἐπειδὴ νήφουσι καὶ διαπαντός εἰσιν ἐγρηγορυῖαι. Καίτοι πόσον τοῦ σώματος ἦν καὶ τοῦ ἱματίου τὸ μέσον; Ἀλλ' ὅμως ἴσχυσε μὴ προελθεῖν περαιτέρω, καὶ ἐπ' αὐτῷ δὲ τούτῳ σφόδρα ἑαυτὸν κατεδίκασεν.

ἐχθρό του, οὔτε ἔτσι φόνευσε αὐτόν, καὶ ὅλα αὐτά, ἐνῶ εἶχε πολλὰ ποὺ τὸν ἔσπρωχναν πρὸς τὴ σφαγὴ αὐτή. Καθόσον ἡ ἀπουσία τῶν βοηθῶν τοῦ Σαούλ, καὶ ἡ συμβουλὴ τῶν στρατιωτῶν, καὶ ἡ ἀνάμνηση ἐκείνων ποὺ συνέβηκαν στὸ παρελθόν, καὶ ὁ φόβος γιὰ ἐκεῖνα ποὺ ἐπρόκειτο νὰ συμβοῦν στὸ μέλλον, καὶ ὅτι δὲν ἐπρόκειτο, ἂν φόνευε τὸν ἐχθρό του, νὰ καταδικαστεῖ στὴ συνέχεια γιὰ φόνο, καὶ τὸ ὅτι μετὰ τὸ φόνο αὐτὸ θὰ μποροῦσε νὰ σταθεῖ πάνω ἀπὸ τὸ νόμο, καὶ πολλὰ ἄλλα πολὺ περισσότερα ἀπὸ αὐτὰ τὸν ἐκβίαζαν καὶ τὸν ἐξανάγκαζαν νὰ βυθίσει τὸ ξίφος σ' ἐκεῖνον. Ὅμως σὲ κανένα ἀπὸ αὐτὰ δὲν ὑποχώρησε, ἀλλὰ παρέμεινε σὰν κάποιο διαμάντι σταθερός, διατηρώντας ἀμετακίνητο τὸ νόμο τῆς εὐσέβειας.

Ἔπειτα, γιὰ νὰ μὴ λέγεις, ὅτι δὲν ἔπαθε τίποτε τὸ παρόμοιο, ἀπὸ αὐτὰ ποὺ ἦταν φυσικὸ νὰ πάθει κανείς, ἀλλ' αὐτὸ ποὺ συνέβηκε ἦταν ἀναισθησία καὶ ὄχι ἀποτέλεσμα ἀρετῆς, πρόσεχε πῶς συγκρατήθηκε ἂν καὶ ἐξαγριώθηκε. Διότι τὸ ὅτι σηκώθηκαν μέσα του τὰ κύματα τῆς ὀργῆς καὶ τοῦ προξένησαν μεγάλη ζάλη οἱ σκέψεις του, καὶ τὸ ὅτι χαλιναγώγησε τὴ θαλασσοταραχὴ αὐτὴ μὲ τὸ φόβο τοῦ Θεοῦ, καταπιέζοντας τὶς σκέψεις του, μποροῦμε νὰ τὰ διαπιστώσουμε ἀπὸ τὰ ὅσα συνέβηκαν. Διότι, λέγει, «Σηκώθηκε καὶ ἀφαίρεσε κρυφὰ τὸ ἄκρο ἀπὸ τὸ ἐπανωφόρι τοῦ Σαούλ»[10]. Εἶδες πόση τρικυμία ὀργῆς σηκώθηκε μέσα του; Ἀλλὰ δὲν προχώρησε παραπέρα, οὔτε ἄφησε νὰ συμβεῖ τὸ ναυάγιο· διότι ὁ κυβερνήτης, δηλαδὴ ὁ εὐσεβὴς λογισμός, ἐρχόμενος γρήγορα σὲ συναίσθηση, μετέτρεψε τὴν τρικυμία σὲ γαλήνη. Διότι, λέγει, «Αἰσθάνθηκε μέσα στὴν καρδιά του μεγάλη στενοχώρια», καὶ ἀναχαίτισε τὸ θυμό του σὰν ἀκριβῶς κάποιον ἀνυπότακτο καὶ μανιακὸ ἵππο.

6. Τέτοιες εἶναι οἱ ψυχὲς τῶν ἁγίων· πρὶν καλά-καλὰ πέσουν, σηκώνονται, πρὶν φθάσουν στὴν ἁμαρτία, ἀναχαιτίζονται, ἐπειδὴ εἶναι συνέχεια προσεκτικὲς καὶ διαρκῶς ἐπαγρυπνοῦν. Ἂν καὶ βέβαια πόση ἦταν ἡ ἀπόσταση μεταξὺ τοῦ σώματος καὶ τοῦ ἐνδύματος; Ἀλλ' ὅμως κατόρθωσε νὰ μὴ προχωρήσει παραπέρα καὶ γι' αὐτὸ δὲ ποὺ ἔκανε καταδίκασε ὑ-

«Ἐπάταξε γὰρ αὐτὸν ἡ καρδία αὐτοῦ», φησίν, «ὅτι ἀφεῖλε τὸ πτερύγιον τῆς διπλοΐδος, καὶ εἶπε πρὸς τοὺς ἄνδρας· μηδαμῶς ἐμοὶ παρὰ Κυρίου». Τί ἐστι, «Μηδαμῶς ἐμοὶ παρὰ Κυρίου»; Ἀντὶ τοῦ, 'Ἵλεώς μοι Κύριος', φησί, καὶ αὐτὸς εἰ βουληθείην, μὴ συγχωρῆσαι μοί ποτε τοῦτο ἐργάσασθαι ὁ Θεός, μηδὲ ἐπιτρέψειεν εἰς ταύτην ἐλθεῖν τὴν ἁμαρτίαν. Ἐπειδὴ γὰρ οἶδε τὴν τοιαύτην φιλοσοφίαν σχεδὸν τὴν ἀνθρωπίνην ὑπερβαίνουσαν φύσιν, καὶ τῆς ἄνωθεν δεομένην ῥοπῆς, καὶ μικροῦ περιτραπέντα πρὸς τὴν σφαγήν, εὔχεται λοιπόν, ὥστε καθαρὰν τὸν Θεὸν αὐτῷ διατηρῆσαι τὴν χεῖρα. Τί ταύτης γένοιτ' ἂν τῆς ψυχῆς ἡμερώτερον;

Ἆρα ἄνθρωπον ἔτι τοῦτον ἐροῦμεν, τὸν ἐν ἀνθρωπείᾳ φύσει πολιτείαν ἀγγελικὴν ἐπιδειξάμενον; Ἀλλ' οὐκ ἂν ἀνάσχοιντο οἱ θεῖοι νόμοι. Τίς γὰρ ἄν, εἰπέ μοι, ταχέως ἕλοιτο τοιαύτην εὐχὴν εὔξασθαι τῷ Θεῷ; Τί λέγω, τοιαύτην; Μὴ κατεύξασθαι μὲν οὖν τοῦ λελυπηκότος τίς ἂν ῥᾳδίως ὑπομείνειε; Καὶ γὰρ εἰς τοῦτο θηριωδίας ἐληλάκασιν οἱ πολλοὶ τῶν ἀνθρώπων, ὡς, ἐπειδὰν ἀσθενήσωσι, καὶ μηδὲν δυνηθῶσι κακὸν ποιῆσαι τὸν λελυπηκότα, αὐτὸν ἐπὶ τὴν ἄμυναν καλεῖν τὸν Θεόν, καὶ παρακαλεῖν δοῦναι αὐτοῖς ἐπεξελθεῖν τοῖς ἠδικηκόσιν. Οὗτος δὲ ὥσπερ ἐκ διαμέτρου πᾶσιν ἐκείνοις καὶ ἀπεναντίας ποιούμενος τὴν εὐχήν, παρακαλεῖ μὴ δοῦναι ἐπεξελθεῖν, οὕτω λέγων· «Μή μοι γένοιτο παρὰ Κυρίου, ἐπενεγκεῖν τὴν χεῖρά μου ἐπ' αὐτόν», ὡς περὶ υἱοῦ τοῦ πολεμίου διαλεγόμενος, ὡς περὶ γνησίου παιδός. Καὶ οὐ μόνον ἐφείσατο, ἀλλὰ καὶ ἀπολογίαν τὴν ὑπὲρ αὐτοῦ συντίθησι. Καὶ ὅρα πῶς συνετῶς καὶ σοφῶς. Ἐπειδὴ γὰρ τὸν βίον αὐτοῦ διερευνώμενος, οὐδὲν εὕρισκεν ἀγαθόν, οὐδὲ εἶχεν εἰπεῖν, ὅτι

---

10. Α' Βασ. 19, 9-10.
11. Α' Βασ. 24, 4-7.

περβολικὰ τὸν ἑαυτό του. Διότι, λέγει, «Πληγώθηκε πάρα πολὺ ἡ καρδιά του ποὺ ἀφαίρεσε τὸ ἄκρο ἀπὸ τὸ ἐπανωφόρι τοῦ Σαοὺλ καὶ εἶπε πρὸς τοὺς ἄνδρες του· μηδαμῶς ἐμοὶ παρὰ Κυρίου»[11]. Τί σημαίνει, «Μηδαμῶς ἐμοὶ παρὰ Κυρίου»; Λέχθηκε ἀντὶ τοῦ 'ἂς μὲ εὐσπλαχνιστεῖ ὁ Κύριος', καὶ ἂν ἐγὼ τὸ ἤθελα, ἂς μὴ μὲ ἀφήσει ποτὲ ὁ Θεὸς νὰ τὸ κάνω αὐτό, οὔτε νὰ μὲ ἐπιτρέψει νὰ φθάσω σ' αὐτὴ τὴν ἁμαρτία. Διότι, ἐπειδὴ γνώριζε ὅτι ἡ εὐσέβειά του αὐτὴ ξεπερνᾶ σχεδὸν τὶς δυνατότητες τῆς ἀνθρώπινης φύσεως καὶ ὅτι χρειάζεται τὴν οὐράνια βοήθεια, καὶ ὅτι παρὰ λίγο θὰ ἐκτρεπόταν πρὸς τὴ σφαγή, προσεύχεται λοιπόν, ὥστε νὰ τοῦ διατηρήσει ὁ Θεὸς καθαρὸ τὸ χέρι του. Τί θὰ μποροῦσε νὰ ὑπάρξει ἡμερότερο ἀπὸ τὴν ψυχὴ αὐτή;

Μετὰ ἀπὸ αὐτὰ θὰ ὀνομάσουμε ἀκόμα αὐτὸν ἄνθρωπο, αὐτὸν πού, ἔχοντας ἀνθρώπινη φύση, παρουσίασε ἀγγελικὸ τρόπο ζωῆς; Ἀλλὰ δὲν θὰ ἦταν δυνατὸ οἱ θεῖοι νόμοι νὰ τὸ ἀνεχθοῦν αὐτό. Διότι πές μου, ποιὸς θὰ ἦταν δυνατὸ νὰ προτιμήσει τόσο γρήγορα νὰ ἀπευθύνει μιὰ τέτοια προσευχὴ πρὸς τὸ Θεό; Γιατί λέγω τέτοια; Ποιὸς θὰ μποροῦσε εὔκολα νὰ συγκρατηθεῖ νὰ μὴ καταραστεῖ ἐκεῖνον ποὺ τὸν λύπησε; Καθόσον οἱ πιὸ πολλοὶ ἀπὸ τοὺς ἀνθρώπους ἔχουν φθάσει σὲ τέτοιο μέγεθος θηριωδίας, ὥστε, ὅταν ἀρρωστήσουν καὶ δὲν μποροῦν νὰ κάνουν κανένα κακὸ σ' ἐκεῖνον ποὺ τοὺς ἔχει λυπήσει, καλοῦν τὸν ἴδιο τὸ Θεὸ σὲ βοήθεια καὶ τὸν παρακαλοῦν νὰ τοὺς βοηθήσει νὰ τιμωρήσουν ἐκείνους ποὺ τοὺς ἔχουν ἀδικήσει. Αὐτὸς ὅμως, κάμνοντας τὴν προσευχή του ἐντελῶς ἀντίθετα πρὸς ὅλους ἐκείνους, παρακαλεῖ τὸ Θεὸ νὰ μὴ τὸν ἐπιτρέψει νὰ τιμωρήσει αὐτόν, λέγοντας τὰ ἑξῆς· «Ἂς μὴ μοῦ ἐπιτραπεῖ ἀπὸ τὸν Κύριο νὰ σηκώσω τὸ χέρι μου ἐναντίον αὐτοῦ»[11], μιλώντας γιὰ τὸν ἐχθρό του σὰν νὰ πρόκειται γιὰ υἱό του, σὰν νὰ πρόκειται γιὰ γνήσιο παιδί του. Καὶ ὄχι μόνο τοῦ ἔσωσε τὴ ζωή, ἀλλὰ καὶ προβάλλει καὶ τὴν ἀπολογία πρὸς χάρη αὐτοῦ. Καὶ πρόσεχε πῶς τό κάμνει αὐτὸ μὲ σύνεση καὶ σοφία. Διότι, ἐπειδὴ ἐξετάζοντας τὴ ζωή του δὲν ἔβρισκε κανένα καλό, οὔτε μποροῦσε νὰ πεῖ, ὅτι δὲν ἔχω ἀδικηθεῖ ἀπ' αὐτόν, οὔτε ὅτι δὲν κακοπάθησα

οὐκ ἠδίκημαι παρ' αὐτοῦ, οὐδὲ ἔπαθον κακῶς (ἔμελλον γὰρ ἀντιφθέγγεσθαι τούτοις οἱ στρατιῶται παρόντες, οἱ τῇ πείρᾳ μαθόντες αὐτοῦ τὴν πονηρίαν), περιέρχεται ἑτέρωθεν ζητῶν ἀπολογίαν εὐπρόσωπον εὑρεῖν.

Εἶτα οὐκ ἔχων ἀπὸ τοῦ βίου, οὐδὲ ἀπὸ τῶν ἔργων τῶν ἐκείνου τοῦτο ποιῆσαι, ἐπὶ τὴν τιμὴν τὴν ἐκείνου κατέφυγεν εἰπών, «Ὅτι χριστὸς Κυρίου ἐστί». Τί λέγει, φησί; ὅτι μιαρὸς καὶ παμμίαρος, καὶ μυρίων γέμων κακῶν, καὶ τὰ ἔσχατα ἡμᾶς διαθείς; Ἀλλὰ βασιλεύς, ἀλλὰ ἄρχων, ἀλλὰ τὴν προστασίαν τὴν ἡμετέραν ἐνεχειρίσθη. Καὶ οὐκ εἶπε, 'βασιλεύς', ἀλλὰ τί; «Ὅτι χριστὸς Κυρίου ἐστίν», οὐκ ἀπὸ τῆς κάτωθεν τιμῆς, ἀλλ' ἀπὸ τῆς ἄνωθεν ψήφου ποιήσας αἰδέσιμον. Καταφρονεῖς τοῦ συνδούλου, φησίν; αἰδέσθητι τὸν δεσπότην. Διαπτύεις τὸν κεχειροτονημένον; Φοβήθητι τὸν χειροτονήσαντα. Εἰ γὰρ τοὺς ἄρχοντας τούτους τοὺς ὑπὸ βασιλέως χειροτονουμένους, κἂν πονηροί, κἂν κλέπται, κἂν λῃσταί, κἂν ἄδικοι, κἂν ὁτιοῦν ὦσιν ἕτερον, δεδοίκαμεν καὶ πεφρίκαμεν, οὐ διὰ τὴν πονηρίαν καταφρονοῦντες αὐτῶν, ἀλλὰ διὰ τὴν ἀξίαν τοῦ χειροτονήσαντος δυσωπούμενοι, πολλῷ μᾶλλον ἐπὶ τοῦ Θεοῦ χρὴ τοῦτο ποιεῖν. Οὔπω παρέλυσεν αὐτόν, φησί, τῆς ἀρχῆς, οὐδὲ ἰδιώτην ἐποίησε.

Μὴ τοίνυν τὴν τάξιν ἀνατρέπωμεν, μηδὲ τῷ Θεῷ πολεμῶμεν, τὸ ἀποστολικὸν ἐκεῖνο διὰ τῶν ἔργων ἐπιδεικνύμενοι· «Ὅτι πᾶς ὁ ἀντιτασσόμενος τῇ ἐξουσίᾳ, τῇ τοῦ Θεοῦ διαταγῇ ἀνθέστηκεν, οἱ δὲ ἀνθεστηκότες, ἑαυτοῖς κρίμα λήψονται». Οὐχὶ χριστὸν δὲ αὐτὸν ἐκάλει μόνον, ἀλλὰ καὶ ἑαυτοῦ κύριον. Οὐ τῆς τυχούσης δὲ φιλοσοφίας ἐστί, τὸ τὸν ἐχθρὸν τοῖς τῆς τιμῆς καὶ τῆς θεραπείας ὀνόμασι προσειπεῖν. Καὶ τοῦτο αὐτὸ πάλιν ἀφ' ὧν ἕτεροι πάσχουσιν ἴδοι τις ἂν ἡλίκον ἐστί. Πολλοὶ γοῦν τοὺς ἑαυτῶν ἐχθροὺς οὐδὲ ἀπὸ γυμνῶν καὶ ψιλῶν τῶν ὀνομάτων καλεῖν

---

12. Α' Βασ. 24, 5.

ἀπ' αὐτὸν (διότι ἐπρόκειτο ν' ἀντικρούσουν αὐτὰ οἱ παραβρισκόμενοι στρατιῶτες, ποὺ γνώρισαν ἔμπρακτα τὴν κακία αὐτοῦ), στρέφεται ἀλλοῦ, ἀναζητώντας νὰ βρεῖ κατἄλληλη δικαιολογία.

Ἔπειτα, μὴ μπορώντας ἀπὸ τὴ ζωή, οὔτε ἀπὸ τὰ ἔργα ἐκείνου νὰ τὸ κἄνει αὐτό, κατέφυγε πρὸς τὴν τιμὴ ἐκείνου, λέγοντας, «Ὅτι τὸν ἔχρισε βασιλιὰ ὁ Κύριος». Τί λέγει, λέγει; ὅτι εἶναι βδελυρὸς καὶ ὑπερβολικὰ ἀκἄθαρτος καὶ γεμἄτος ἀπὸ ἀμέτρητα κακά, καὶ ὅτι μᾶς προξένησε τὰ πιὸ χειρότερα κακἄ; Ἀλλ' εἶναι βασιλιἄς, ἀλλ' εἶναι ἄρχοντας, ἀλλὰ τοῦ ἀνατέθηκε ἡ προστασία ἡ δική μας. Καὶ δὲν εἶπε, 'βασιλιἄς', ἀλλὰ τί; «Ὅτι τὸν ἔχρισε ὁ Κύριος», κἄμνοντἄς τον ἄξιο σεβασμοῦ ὄχι ἀπὸ τὴν ἐπίγεια τιμή, ἀλλὰ ἀπὸ τὴν οὐρἄνια ἀπόφαση. Καταφρονεῖς τὸν σύνδουλό σου, λέγει; δεῖξε σεβασμὸ πρὸς τὸν Κύριό σου. Περιφρονεῖς αὐτὸν ποὺ ἔχει χειροτονηθεῖ; φοβήσου ἐκεῖνον ποὺ τὸν χειροτόνησε. Διότι, ἐὰν φοβούμαστε καὶ τρέμουμε τοὺς ἄρχοντες αὐτοὺς ποὺ χειροτονήθηκαν ἀπὸ βασιλεῖς, εἴτε αὐτοὶ εἶναι κακοί, εἴτε κλέφτες, εἴτε ληστές, εἴτε ἄδικοι, εἴτε ὁ,τιδήποτε ἄλλο, καὶ τοὺς περιφρονοῦμε ὄχι ἐξ αἰτίας τῆς κακίας τους, ἀλλὰ τοὺς σεβόμαστε ἐξ αἰτίας τῆς ἀξίας ἐκείνου ποὺ τοὺς χειροτόνησε, πολὺ περισσότερο πρέπει νὰ τὸ κάμνομε αὐτὸ στὴν περίπτωση τοῦ Θεοῦ. Διότι, λέγει, δὲν τοῦ ἀφαίρεσε ἀκόμη τὴν ἐξουσία, οὔτε τὸν ἔκανε ἰδιώτη.

Ἂς μὴ ἀνατρέπουμε λοιπὸν τὴν τάξη, οὔτε νὰ πολεμοῦμε τὸ Θεό, παρουσιἄζοντας μὲ τὰ ἔργα μας ἐκεῖνο τὸ ἀποστολικό· «Ὅτι ὁ καθένας ποὺ ἀντιτἄσσεται στὴν ἐξουσία, ἀντιστἄθηκε στὴν ἐντολὴ τοῦ Θεοῦ, ἐκεῖνοι δὲ ποὺ ἀντιστέκονται, θὰ συντελέσουν στὴν καταδίκη τοῦ ἑαυτοῦ τους»[12]. Δὲν τὸν ὀνόμαζε δὲ μόνο χρισμένο ἀπὸ τὸ Θεό, ἀλλὰ καὶ κύριό του. Καὶ δὲν εἶναι δεῖγμα τυχαίας εὐσέβειας ν' ἀποκαλεῖ κἄποιος τὸν ἐχθρό του μὲ τὰ ὀνόματα τῆς τιμῆς καὶ τοῦ σεβασμοῦ. Καὶ ἀκριβῶς αὐτὸ πἄλι θὰ μποροῦσε κανεὶς νὰ διαπιστώσει πόσο σπουδαῖο εἶναι ἀπὸ ἐκεῖνα ποὺ παθαίνουν ἄλλοι. Πολλοὶ δηλαδὴ δὲν ἀνέχονταν τοὺς ἐχθρούς τους νὰ τοὺς ὀνομἄσουν οὔτε μὲ τὰ ἁπλὰ καὶ

ἀνέχονται, ἀλλ' ἀφ' ἑτέρων πολλὴν ἐχόντων κατηγορίαν, τὸν μιαρόν, τὸν μαινόμενον, τὸν ἐξεστηκότα, τὸν παραπαίοντα, τὸν λυμεῶνα, καὶ ἕτερα πολλὰ τοιαῦτα συνείροντες, οὕτω προσαγορεύουσι τοὺς ἐχθρούς. Καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, οὐ πόρρωθεν, ἀλλ' ἔγγυθεν οἴσω σοι τὸ παράδειγμα ἐπ' αὐτοῦ τούτου τοῦ Σαούλ. Τὸν γοῦν ἅγιον τοῦτον διὰ τὴν πολλὴν ἀπέχθειαν οὐχ ὑπέμεινε διὰ τοῦ οἰκείου καλεῖν ὀνόματος, ἀλλὰ πανηγύρεώς ποτε τελουμένης, ἐπιζητῶν ἔλεγε· «Ποῦ ἐστιν ὁ υἱὸς Ἰεσσαί;». Οὕτω δὲ αὐτὸν ἐκάλεσεν, ὁμοῦ μὲν αὐτοῦ τὸ ὄνομα μισῶν, ὁμοῦ δὲ τῇ τοῦ γεγεννηκότος εὐτελείᾳ προσδοκῶν λυμανεῖσθαι τὴν τοῦ δικαίου δόξαν, οὐκ εἰδὼς ὅτι λαμπρὸν καὶ ἐπίσημον οὐ περιφάνεια προγόνων, ἀλλὰ ψυχῆς ἀρετὴ ποιεῖν εἴωθεν.

Ἀλλ' οὐχ ὁ μακάριος Δαυὶδ οὕτως. Οὔτε γὰρ ἀπὸ τοῦ πατρὸς αὐτὸν ἐκάλεσε, καίτοι κἀκεῖνος σφόδρα εὐτελὴς ἦν καὶ ἀπερριμμένος, οὔτε ἀπὸ ψιλοῦ καὶ γυμνοῦ τοῦ ὀνόματος, ἀλλ' ἀπὸ τοῦ τῆς τιμῆς, ἀπὸ τοῦ τῆς δεσποτείας. Οὕτω καθαρὰ πάσης ἀπεχθείας ἦν αὐτῷ ἡ ψυχή. Καὶ σὺ τοίνυν, ἀγαπητέ, τοῦτον ζήλωσον, καὶ τοῦτο παιδεύθητι πρότερον, μηδέποτε τὸν ἐχθρὸν ἀπὸ τῶν διαβεβλημένων, ἀλλ' ἀπὸ τῶν ἐντίμων καλεῖν ὀνομάτων. Ἂν γὰρ μελετήσῃ τὸ στόμα ἐντίμῳ καὶ θεραπείαν ἔχοντι καλεῖν τὸν λελυπηκότα ὀνόματι, καὶ ἀκούσασα ἡ ψυχὴ παρὰ τῆς γλώττης παιδευομένη καὶ συνεθιζομένη καταδέξεται τὴν πρὸς ἐκεῖνον καταλλαγήν. Αὐτὰ γὰρ τὰ ῥήματα τῆς ἐν τῇ καρδίᾳ φλεγμονῆς ἔσται φάρμακον ἄριστον.

7. Ταῦτα εἴρηκα νῦν, οὐχ ἵνα ἐπαινέσωμεν μόνον, ἀλλ' ἵνα καὶ ζηλώσωμεν. Ταύτην οὖν ἕκαστος τὴν ἱστορίαν ἐπὶ τῆς καρδίας ζωγραφείτω τῆς ἑαυτοῦ, καθάπερ χειρὶ τοῖς λογισμοῖς ὑπογράφων διηνεκῶς τὸ σπήλαιον τὸ διπλοῦν, τὸν Σαοὺλ ἔνδον κα-

---

13. Α' Βασ. 24, 6.

κοινὰ ὀνόματά τους, ἀλλὰ τοὺς ὀνομάζουν μὲ ἄλλα ποὺ εἶναι ἄξια πολλῆς κατηγορίας, ὅπως ὁ βδελυρός, ὁ μανιακός, ὁ παράφρονας, ὁ φρενοβλαβής, ὁ διαφθορέας, καθὼς καὶ πολλὰ ἄλλα παρόμοια τοὺς σέρνουν ἀπὸ πίσω, καὶ μὲ ὅλα αὐτὰ προσφωνοῦν τοὺς ἐχθρούς τους. Καὶ τὸ ὅτι αὐτὸ εἶναι ἀλήθεια, θὰ σοῦ φέρω τὸ παράδειγμα ὄχι ἀπὸ μακριά, ἀλλὰ ἀπὸ πολὺ κοντά, ἀπὸ αὐτὸν τὸν ἴδιο τὸ Σαούλ. Τὸν ἅγιο αὐτὸ δηλαδή, ἐξ αἰτίας τοῦ μεγάλου μίσους του πρὸς αὐτὸν δὲν ἀνεχόταν νὰ τὸν ὀναμάζει μὲ τὸ δικό του ὄνομα, ἀλλ' ἐνῶ κάποτε γινόταν πανήγυρη, ἀναζητώντας αὐτόν, ἔλεγε· «ποῦ εἶναι ὁ υἱὸς τοῦ Ἰεσσαί;»[13]. Ἔτσι δὲν τὸν ὀνόμασε ἐπειδὴ ἀφ' ἑνὸς μὲν μισοῦσε τὸ ὄνομα αὐτοῦ, ἀφ' ἑτέρου δὲ ἐλπίζοντας μὲ τὴν εὐτέλεια τοῦ πατέρα του νὰ βλάψει τὴ δόξα τοῦ δικαίου, μὴ γνωρίζοντας ὅτι τὴ λαμπρότητα καὶ τὴν ἀνωτερότητα συνήθως τὴν δημιουργοῦν ὄχι ἡ διασημότητα τῶν προγόνων, ἀλλ' ἡ ἀρετὴ τῆς ψυχῆς.

Ἀλλ' ὁ μακάριος Δαυὶδ δὲν τὸ ἔκανε αὐτό. Διότι οὔτε μὲ τὸ ὄνομα τοῦ πατέρα του τὸν ὀνόμασε, ἂν καὶ βέβαια ἐκεῖνος ἦταν πάρα πολὺ ἀσήμαντος καὶ περιφρονημένος, οὔτε μὲ τὸ κοινὸ καὶ ἁπλὸ ὄνομά του, ἀλλὰ τὸν ὀνόμασε μὲ τὸ ὄνομα τῆς τιμῆς, μὲ τὸ ὄνομα τῆς ἐξουσίας. Τόσο πολὺ καθαρὴ ἦταν ἡ ψυχή του ἀπὸ κάθε ἔχθρα. Καὶ σὺ λοιπόν, ἀγαπητέ, αὐτὸν μιμήσου καὶ σ' αὐτὸ προηγουμένως ἀσκήσου, ποτὲ νὰ μὴ ὀνομάζεις δηλαδὴ τὸν ἐχθρό σου μὲ τὰ δύσφημα ὀνόματα, ἀλλὰ μὲ τὰ ἔντιμα ὀνόματα. Διότι ἂν προσπαθήσει τὸ στόμα νὰ ὀνομάσει ἐκεῖνον ποὺ μᾶς λύπησε μὲ ὄνομα ἔντιμο καὶ ἄξιο σεβασμοῦ, τότε καὶ ἡ ψυχὴ ἀκούοντας αὐτὸ ἀπὸ τὴ γλῶσσα καὶ διδασκόμενη ἀπὸ αὐτὸ καὶ κάμνοντάς το συνήθειά της, θ' ἀποδεχθεῖ τὴ συμφιλίωση μὲ ἐκεῖνον. Καθόσον τὰ λόγια αὐτὰ θὰ γίνουν ἄριστο φάρμακο γιὰ τὴ φλεγμονὴ ποὺ ὑπάρχει μέσα στὴν καρδιά.

7. Αὐτὰ τὰ εἶπα τώρα, ὄχι γιὰ νὰ τὸν ἐπαινέσουμε μόνο, ἀλλὰ καὶ γιὰ νὰ τὸν μιμηθοῦμε. Αὐτὴν λοιπὸν τὴν ἱστορία ἂς ζωγραφίσει ὁ καθένας μέσα στὴν καρδιά του, ζωγραφίζοντας

θεύδοντα, καὶ καθάπερ ἁλύσει τινὶ δεδεμένον τῷ ὕπνῳ, καὶ ὑποκείμενον τῇ δεξιᾷ τοῦ τὰ μέγιστα ἠδικημένου, τὸν Δαυὶδ ἐφεστῶτα καθεύδοντι, τοὺς στρατιώτας παρόντας, καὶ παροξύνοντας πρὸς σφαγήν· τὸν μακάριον ἐκεῖνον φιλοσοφοῦντα, καὶ τὸν οἰκεῖον καὶ τὸν τούτων θυμὸν καταστέλλοντα, καὶ ὑπὲρ τοῦ τοσαῦτα πεπλημμεληκότος ἀπολογούμενον. Ταῦτα μὴ μόνον ἐπὶ τῆς διανοίας γράφωμεν, ἀλλὰ καὶ ἐν συνεδρίοις διαλεγώμεθα πρὸς ἀλλήλους διηνεκῶς· ταῦτα καὶ πρὸς γυναῖκα, καὶ πρὸς παιδία συνεχῶς ἀνακινῶμεν τὰ διηγήματα. Εἴτε γὰρ περὶ βασιλέως διαλέγεσθαι βούλει, ἰδοὺ βασιλεύς· εἴτε περὶ στρατιωτῶν, εἴτε περὶ οἰκίας, εἴτε περὶ πολιτικῶν πραγμάτων, πολλὴν ἐν ταῖς Γραφαῖς ὄψει τούτων τὴν εὐπορίαν. Ταῦτα μεγίστην ἔχει τὰ διηγήματα τὴν ὠφέλειαν. Ἀμήχανον γάρ, ἀμήχανον, ψυχὴν ἐν ταύταις στρεφομένην ταῖς ἱστορίαις, δυνηθῆναί ποτε κρατηθῆναι τῷ πάθει.

Ἵν' οὖν μὴ μάτην τὸν καιρὸν δαπανῶμεν, μηδὲ εἰκῇ τὴν ζωὴν ἡμῶν ἀναλίσκωμεν εἰς φλυαρίας ἀκαίρους καὶ περιττάς, μαθόντες τῶν γενναίων ἀνδρῶν τὰς ἱστροφίας, ταῦτα συνεχῶς διαλεγώμεθα, καὶ περὶ τούτων. Κἂν βουληθῇ τις τῶν συνεδρευόντων ἢ περὶ θεάτρων, ἢ περὶ ἱπποδρομίας, ἢ περὶ πραγμάτων οὐδέν σοι προσηκόντων ποιήσασθαι λόγον, ἀπαγαγὼν αὐτὸν τῆς ὑποθέσεως ἐκείνης, εἰς ταύτην ἔμβαλε τὴν διήγησιν, ἵνα καὶ τὴν ψυχὴν ἐκκαθάραντες, καὶ ἡδονῆς μετὰ ἀσφαλείας ἀπολαύσαντες, καὶ πρᾴους ἑαυτοὺς καταστήσαντες καὶ ἡμέρους τοῖς λελυπηκόσιν ἅπασιν, ἀπέλθωμεν ἐκεῖ μηδένα ἔχοντες ἐχθρόν, καὶ τῶν αἰωνίων ἀγαθῶν τύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

μὲ τὶς σκέψεις του διαρκῶς σὰν μὲ χέρι τὸ διπλὸ σπήλαιο, τὸ Σαοὺλ νὰ κοιμᾶται μέσα σ' αὐτὸ καὶ νὰ εἶναι δεμένος μὲ τὸν ὕπνο σὰν ἀκριβῶς μὲ ἁλυσίδα, καὶ νὰ βρίσκεται κάτω ἀπὸ τὴν ἐξουσία ἐκείνου ποὺ πρὶν εἶχε ἀδικήσει ὑπερβολικά, τὸν Δαυὶδ δὲ νὰ στέκεται δίπλα σ' ἐκεῖνον ποὺ κοιμᾶται, τοὺς στρατιῶτες νὰ εἶναι παρόντες καὶ νὰ τὸν προτρέπουν γιὰ τὴ σφαγή, τὸν μακάριο ἐκεῖνο νὰ ἀντιμετωπίζει ἐκείνους μὲ φιλοσοφικότητα καὶ νὰ καταπραΰνει τὸν δικό του θυμὸ καὶ ἐκείνων, καὶ ν' ἀπολογεῖται ὑπὲρ ἐκείνου ποὺ τοῦ εἶχε προξενήσει τόσα πολλὰ κακά. Αὐτὰ ἂς μὴ τὰ ἐντυπώνουμε μόνο μέσα στὴ σκέψη μας, ἀλλὰ καὶ στὶς συγκεντρώσεις νὰ τὰ συζητοῦμε διαρκῶς ἀναμεταξύ μας καὶ τὶς ἴδιες τὶς διηγήσεις αὐτὲς ἂς τὶς συζητοῦμε συνέχεια μὲ τὴ γυναίκα μας καὶ τὰ παιδιά μας. Διότι εἴτε θέλεις νὰ συζητήσεις γιὰ βασιλιά, νὰ ἐδῶ βρίσκεται ὁ βασιλιάς· εἴτε γιὰ στρατιῶτες, εἴτε γιὰ οἰκία, εἴτε γιὰ πολιτικὰ πράγματα, θὰ βρεῖς μέσα στὴ Γραφὴ μεγάλη ἀφθονία ἀπὸ αὐτά. Αὐτὲς οἱ διηγήσεις παρέχουν πάρα πολὺ μεγάλη ὠφέλεια. Διότι εἶναι ἀδύνατο, εἶναι ἀδύνατο ψυχὴ ποὺ καταγίνεται μὲ τέτοιου εἴδους ἱστορίες, νὰ φθάσει κάποτε νὰ κυριευθεῖ ἀπὸ τὸ πάθος.

Γιὰ νὰ μὴ ξοδεύουμε λοιπὸν ἄδικα τὸν καιρό μας, οὔτε νὰ σπαταλοῦμε ἄσκοπα τὴ ζωή μας σὲ ἀκατάλληλες καὶ περιττὲς φλυαρίες, ἀφοῦ μάθουμε τὶς ἱστορίες τῶν γενναίων ἀνδρῶν, ἂς συζητοῦμε συνέχεια αὐτὲς καὶ γύρω ἀπὸ αὐτές. Καὶ ἂν θελήσει κάποιος ἀπὸ τοὺς παραβρισκομένους στὴ συγκέντρωση νὰ κάνει λόγο ἢ γιὰ θέατρα, ἢ γιὰ ἱπποδρομίες, ἢ γιὰ πράγματα ποὺ δὲν πρέπουν σὲ σένα, ἀφοῦ τὸν ἀπομακρύνεις ἀπὸ τὰ θέματα ἐκεῖνα, μετάφερε τὴ συζήτηση σ' αὐτό, ὥστε, ἀφοῦ καθαρίσομε καὶ τὴν ψυχὴ καὶ ἀπολαύσομε μὲ ἀσφάλεια τὴν εὐχαρίστηση, καὶ καταστήσουμε τοὺς ἑαυτούς μας γεμάτους ἀπὸ καλωσύνη καὶ ἡμερότητα πρὸς ὅλους ἐκείνους ποὺ μᾶς ἔχουν λυπήσει, νὰ φύγουμε ἀπὸ ἐκεῖ μὴ ἔχοντας κανένα ἐχθρό, καὶ νὰ ἐπιτύχουμε τὰ αἰώνια ἀγαθά, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Ἀμήν.

ΟΜΙΛΙΑ Β΄.

Ὅτι μέγα ἀγαθὸν οὐ τὸ μετιέναι μόνον ἀρετήν, ἀλλὰ καὶ τὸ ἐπαινεῖν ἀρετήν· καὶ ὅτι μεῖζον ἔστησε τρόπαιον φεισάμενος τοῦ Σαοὺλ ὁ Δαυίδ, ἢ ὅτε τὸν Γολιὰθ κατήνεγκε· καὶ ὅτι ἑαυτὸν μᾶλλον ἢ τὸν Σαοὺλ ὠφέλησε τοῦτο ποιήσας· καὶ εἰς τὴν ἀπολογίαν αὐτοῦ τὴν πρὸς τὸν Σαούλ.

1. Ὑμεῖς μὲν πρῴην ἐπῃνέσατε τὸν Δαυὶδ τῆς ἀνεξικακίας, ἐγὼ δὲ ὑμᾶς ἐθαύμασα τῆς περὶ τὸν Δαυὶδ εὐνοίας τε καὶ φιλοστοργίας. Οὐ γὰρ δὴ μόνον τὸ μετιέναι καὶ ζηλοῦν ἀρετήν, ἀλλὰ καὶ τὸ τοὺς μετιόντας ἐπαινεῖν καὶ θαυμάζειν, φέρει τινὰ μισθὸν ἡμῖν οὐ μικρόν· ὥσπερ οὖν οὐ μόνον τὸ ζηλοῦν κακίαν, ἀλλὰ καὶ τὸ τοὺς ἐν αὐτῇ ζῶντας ἐπαινεῖν, φέρει κόλασιν οὐ τὴν τυχοῦσαν ἡμῖν, καὶ εἰ χρή τι καὶ θαυμαστὸν εἰπεῖν, αὐτῶν τῶν ἐν πονηρίᾳ ζώντων χαλεπωτέραν. Καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, δείκνυσιν ὁ Παῦλος ἐν οἷς φησιν· ἐπειδὴ γὰρ κακίας ἅπαν εἶδος ἠρίθμησε, καὶ τῶν καταπατούντων τοὺς τοῦ Θεοῦ νόμους κατηγόρησεν ἁπάντων, ἐπήγαγε λέγων περὶ αὐτῶν ἐκείνων· «Οἵτινες τὸ δικαίωμα τοῦ Θεοῦ γνόντες, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες ἄξιοι θανάτου εἰσίν, οὐ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράσσουσι· διὸ ἀναπολόγητος εἶ, ὦ ἄνθρωπε». Ὁρᾷς ὅτι διὰ τοῦτο οὕτως εἶπεν, ἵνα δείξῃ τοῦτο ἐκείνου χαλεπώτερον ὄν.

1. Ρωμ. 1, 32-2, 1.

Ο Μ Ι Λ Ι Α Β΄.

Περὶ τοῦ ὅτι εἶναι μεγάλο ἀγαθὸ ὄχι μόνο τὸ ν' ἀσκεῖ κανεὶς τὴν ἀρετή, ἀλλὰ καὶ τὸ νὰ ἐπαινεῖ τὴν ἀρετή, καὶ ὅτι μεγαλύτερο τρόπαιο ἔστησε ὁ Δαυὶδ μὲ τὸ ὅτι χάρισε τὴ ζωὴ τοῦ Σαούλ, παρὰ ὅταν κατανίκησε τὸ Γολιάθ· καὶ ὅτι μὲ αὐτὸ ποὺ ἔκανε τὸν ἑαυτό του ὠφέλησε περισσότερο, παρὰ τὸ Σαούλ, καθὼς καὶ γιὰ τὴν ἀπολογία αὐτοῦ πρὸς χάρη τοῦ Σαούλ.

1. Σεῖς μὲν προηγουμένως ἐπαινέσατε τὸ Δαυὶδ γιὰ τὴν ἀνεξικακία του, ἐνῶ ἐγὼ θαύμασα τὴν ἀγάπη καὶ τὴ φιλοστοργία σας γιὰ τὸ Δαυίδ. Διότι βέβαια ὄχι μόνο τὸ νὰ ἀσκοῦμε καὶ νὰ μιμούμαστε τὴν ἀρετή, ἀλλὰ καὶ τὸ νὰ ἐπαινοῦμε καὶ νὰ θαυμάζουμε ἐκείνους ποὺ τὴν ἀσκοῦν μᾶς παρέχει μιὰ κάποια ὄχι μικρὴ ἀμοιβή· ὅπως ἀκριβῶς βέβαια ὄχι μόνο τὸ νὰ μιμούμαστε τὴν κακία, ἀλλὰ καὶ τὸ νὰ ἐπαινοῦμε ἐκείνους ποὺ ζοῦν μέσα σ' αὐτὴν προξενεῖ σὲ μᾶς ὄχι τυχαία τιμωρία, καί, ἐὰν πρέπει νὰ ποῦμε καὶ κάτι τὸ ἄξιο θαυμασμοῦ, φοβερότερη ἀπὸ τὴν τιμωρία ἐκείνων ποὺ ζοῦν μέσα στὴν κακία. Καὶ τὸ ὅτι αὐτὸ εἶναι ἀλήθεια, τὸ δείχνει ὁ Παῦλος μὲ ἐκεῖνα ποὺ λέγει· διότι, ἀφοῦ ἀπαρίθμησε κάθε εἶδος τῆς κακίας καὶ κατηγόρησε ὅλους ἐκείνους ποὺ καταπατοῦν τοὺς νόμους τοῦ Θεοῦ, πρόσθεσε καὶ εἶπε γιὰ ἐκείνους τὰ ἑξῆς· «Οἱ ὁποῖοι ἂν καὶ γνώρισαν τὶς ἐντολὲς τοῦ Θεοῦ, ὅτι δηλαδὴ εἶναι ἄξιοι θανάτου ἐκεῖνοι ποὺ πράττουν ὅλα αὐτά, ὄχι μόνο τὰ πράττουν, ἀλλὰ καὶ ἐπαινοῦν ἐκείνους ποὺ πράττουν αὐτά· γι' αὐτό, ἄνθρωπε, εἶσαι ἀδικαιολόγητος»[1]. Βλέπεις ὅτι γι' αὐτὸ τὸ εἶπε ἔτσι, γιὰ νὰ δείξει ὅτι αὐτὸ

Τοῦ γὰρ ἁμαρτάνειν τὸ καὶ ἐπαινεῖν τοὺς ἁμαρτάνοντας, πολὺ μεῖζον εἰς κολάσεως λόγον· καὶ μάλα εἰκότως· διεφθαρμένης γάρ ἐστι γνώμης καὶ ἀνίατα νοσούσης αὕτη ἡ ψῆφος. Ὁ μὲν γὰρ μετὰ τοῦ πλημμελεῖν καταγινώσκων τῆς ἁμαρτίας, χρόνῳ ποτὲ ἑαυτὸν δυνήσεται ἀνακτήσασθαι, ὁ δὲ ἐπαινῶν πονηρίαν, τῆς ἐκ τοῦ μετανοῆσαι θεραπείας ἑαυτὸν ἀπεστέρησεν. Ὥστε εἰκότως τοῦτο ἐκείνου χαλεπώτερον ὁ Παῦλος εἶναι ἀπέδειξεν.

Ὥσπερ οὖν οὐχ οἱ τὰ φαῦλα πράσσοντες μόνον, ἀλλὰ καὶ οἱ τούτους ἐγκωμιάζοντες, τῆς αὐτῆς, ἢ καὶ χαλεπωτέρας, ἐκείνοις κοινωνοῦσι κολάσεως, οὕτως οἱ τοὺς ἀγαθοὺς ἐπαινοῦντες καὶ θαυμάζοντες, συμμερισταὶ τῶν ἐκείνοις ἀποκειμένων στεφάνων εἰσί. Καὶ τοῦτο αὐτὸ πάλιν ἀπὸ τῆς Γραφῆς ἔστιν ἰδεῖν. Πρὸς γὰρ τὸν Ἀβραὰμ διαλεγόμενός φησι ὁ Θεός· «Εὐλογήσω τοὺς εὐλογοῦντάς σε, καὶ τοὺς καταρωμένους σε καταράσομαι». Τοῦτο καὶ ἐπὶ τῶν Ὀλυμπιακῶν ἀγώνων συμβαῖνον ἴδοι τις ἄν. Οὐ γὰρ ὁ τὸν στέφανον περικείμενος ἀθλητής, οὐδὲ ὁ τοὺς πόνους ὑπομένων καὶ τοὺς ἱδρῶτας μόνον, ἀλλὰ καὶ ὁ θαυμαστὴς τοῦ νενικηκότος οὐκ ὀλίγην ἐκ τῆς εὐφημίας ἐκείνης καρποῦται τὴν ἡδονήν. Διά τοι τοῦτο οὐχὶ τὸν γενναῖον ἐκεῖνον τῆς φιλοσοφίας μακαρίζω μόνον, ἀλλὰ καὶ ὑμᾶς τῆς περὶ αὐτὸν εὐνοίας. Ἐπάλαισε μὲν γὰρ ἐκεῖνος καὶ ἐνίκησε καὶ ἐστεφανώθη, ἐπαινέσαντες δὲ τὴν νίκην ὑμεῖς, οὐ μικρὸν τοῦ στεφάνου μέρος λαβόντες ἀπήλθετε. Ἵν' οὖν μείζων ἡ ἡδονὴ γένηται καὶ πλέον τὸ κέρδος, φέρε καὶ τὰ λειπόμενα τῆς ἱστορίας ἀποδῶμεν ὑμῖν.

Εἰπὼν γὰρ ὁ συγγραφεὺς τὰ ῥήματα, δι' ὧν παρῃτήσατο τὴν σφαγήν, ἐπήγαγεν, ὅτι «Οὐκ ἔδωκεν αὐτοῖς ἀναστῆναι καὶ ἀποκτεῖναι τὸν Σαούλ, ὁμοῦ καὶ τὴν ἐκείνων ἐπιθυμίαν τὴν περὶ τὴν σφαγήν, καὶ τὴν ἀνδρείαν τὴν τούτου δεῖξαι βουλόμενος. Καίτοι

2. Γεν. 12, 3.
3. Α' Βασ. 24, 8.

εἶναι χειρότερο ἀπὸ ἐκεῖνο. Διότι τὸ νὰ ἐπαινεῖ κανεὶς ἐκείνους ποὺ ἁμαρτάνουν ἀξίζει πολὺ πιὸ μεγαλύτερη τιμωρία ἀπὸ τὸ ν' ἁμαρτάνει ὁ ἴδιος· καὶ πάρα πολὺ σωστά· καθόσον ἡ ἐνέργεια αὐτὴ εἶναι δεῖγμα διεφθαρμένης γνώμης ποὺ πάσχει ἀθεράπευτα. Διότι ἐκεῖνος μὲν ποὺ διαπράττει τὴν ἁμαρτία καὶ κατακρίνει παράλληλα αὐτήν, θὰ μπορέσει κάποια στιγμὴ νὰ βρεῖ τὸ σωστὸ ἑαυτό του, ἐνῶ ἐκεῖνος ποὺ ἐπαινεῖ τὴν κακία στέρησε τὸν ἑαυτό του ἀπὸ τὴ θεραπεία τῆς μετάνοιας. Ὥστε πολὺ σωστὰ ὁ Παῦλος ἀπέδειξε ὅτι αὐτὸ εἶναι χειρότερο ἀπὸ ἐκεῖνο.

Ὅπως ἀκριβῶς λοιπὸν ὄχι μόνο ἐκεῖνοι ποὺ πράττουν τὰ κακά, ἀλλὰ καὶ ἐκεῖνοι ποὺ ἐγκωμιάζουν αὐτοὺς εἶναι ἄξιοι τῆς ἴδιας ἢ καὶ χειρότερης τιμωρίας μὲ ἐκείνους, ἔτσι ἐκεῖνοι ποὺ ἐπαινοῦν καὶ θαυμάζουν τοὺς ἀγαθούς, συμμετέχουν στὰ στεφάνια ποὺ ἐπιφυλάσσονται γιὰ ἐκείνους. Καὶ αὐτὸ πάλι μποροῦμε νὰ τὸ διαπιστώσουμε ἀπὸ τὴ Γραφή. Διότι συνομιλώντας ὁ Θεὸς μὲ τὸν Ἀβραὰμ λέγει· «Θὰ εὐλογήσω ἐκείνους ποὺ σὲ εὐλογοῦν καὶ θὰ καταραστῶ ἐκείνους ποὺ σὲ καταριένται»[2]. Αὐτὸ θὰ μποροῦσε νὰ δεῖ κανεὶς νὰ συμβαίνει καὶ στοὺς Ὀλυμπιακοὺς ἀγῶνες. Διότι ὄχι μόνο ὁ ἀθλητὴς ποὺ φορεῖ τὸ στεφάνι, οὔτε μόνο ἐκεῖνος ποὺ ὑπομένει τοὺς κόπους καὶ τοὺς ἱδρῶτες, ἀλλὰ καὶ ὁ θαυμαστὴς τοῦ νικητῆ καρποῦται ὄχι λίγη εὐχαρίστηση καὶ χαρὰ ἀπὸ τὴν ἐπευφημία ἐκείνη. Γι' αὐτὸ λοιπὸν μακαρίζω ὄχι μόνο τὸν γενναῖο ἐκεῖνο ἀθλητὴ τῆς εὐσέβειας, ἀλλὰ καὶ σᾶς γιὰ τὴν ἀγάπη σας πρὸς ἐκεῖνον. Διότι πάλαιψε μὲν ἐκεῖνος καὶ νίκησε καὶ στεφανώθηκε, μὲ τὸ ὅτι ὅμως ἐπαινέσατε σεῖς τὴ νίκη δὲν εἶναι μικρὸ τὸ μέρος ποὺ λάβατε ἀπὸ τὸ στεφάνι ἐκείνου. Γιὰ νὰ γίνει λοιπὸν μεγαλύτερη ἡ ἡδονὴ καὶ περισσότερο τὸ κέρδος, ἐμπρὸς νὰ σᾶς ἐξηγήσω καὶ τὰ ὑπόλοιπα τῆς ἱστορίας ἐκείνης.

Ἀφοῦ λοιπὸν ὁ συγγραφέας εἶπε τὰ λόγια ἐκεῖνα μὲ τὰ ὁποῖα ἀπέφυγε ὁ Δαυὶδ τὴ σφαγή, πρόσθεσε, ὅτι «Δὲν ἄφησε αὐτοὺς νὰ σηκωθοῦν καὶ νὰ φονεύσουν τὸ Σαούλ»[3], θέλοντας συγχρόνως νὰ δείξει καὶ τὴν ἐπιθυμία ἐκείνων γιὰ τὴ σφαγή, καὶ τὴν ἀνδρεία αὐτοῦ. Ἂν καὶ βέβαια πολλοὶ ἀπὸ τοὺς ἐ-

γε πολλοὶ τῶν ἐχθρῶν, καὶ οἱ δοκοῦντες φιλοσοφεῖν, κἂν αὐτοὶ μὴ καταδέξωνται ἀνελεῖν, ὑφ' ἑτέρων ἀναιρεῖσθαι μέλλοντας οὐκ ἂν ἕλοιντο κωλῦσαι. Ὁ δὲ Δαυὶδ οὐχ οὕτως, ἀλλ' ὥσπερ τινὰ παρακαταθήκην λαβὼν καὶ μέλλων αὐτῆς εὐθύνας διδόναι, οὐ μόνον αὐτὸς οὐχ ἥψατο τοῦ πολεμίου, ἀλλὰ καὶ ἑτέρους βουλομένους ἀνελεῖν ἐκώλυσε, σωματοφύλαξ ἀντὶ πολεμίου γενόμενος καὶ δορυφόρος ἄριστος. Ὥστε οὐκ ἂν τις ἁμάρτοι τὸν Δαυὶδ μᾶλλον κινδύνῳ τότε περιπεπτωκέναι εἰπών, ἢ τὸν Σαούλ. Οὐ γὰρ τὸν τυχόντα ἀγῶνα ὑπέμεινε, παντὶ τρόπῳ σπουδάζων αὐτὸν ἐξελέσθαι τῆς ἐπιβουλῆς τῆς παρ' ἐκείνων· οὐδὲ οὕτως ἐδεδοίκει μέλλων αὐτὸς ἀποσφάττεσθαι, ὡς ἐδεδοίκει μήποτε τῶν στρατιωτῶν τις ἐνδοὺς τῷ θυμῷ διαφθείρῃ τὸν ἄνθρωπον· διὰ τοῦτο καὶ δικαιολογίαν τοιαύτην συνέθηκε.

Καὶ γὰρ κατηγόρουν μὲν ἐκεῖνοι, κατηγορεῖτο δὲ ὁ καθεύδων, ἀπελογεῖτο δὲ ὁ πολέμιος, ἐδίκαζε δὲ ὁ Θεός, καὶ τὴν τοῦ Δαυὶδ ψῆφον ἐκύρωσεν. Οὐ γὰρ ἄνευ τῆς τοῦ Θεοῦ ῥοπῆς ἴσχυσεν ἂν τῶν μαινομένων ἐκείνων περιγενέσθαι, ἀλλ' ἡ τοῦ Θεοῦ χάρις ἦν ἡ τοῖς χείλεσιν ἐγκαθημένη τοῦ προφήτου, καὶ πειθώ τινα δοῦσα τοῖς ῥήμασιν ἐκείνοις. Οὐ μικρὸν δὲ καὶ ὁ Δαυὶδ συνεβάλετο· ἐπειδὴ γὰρ αὐτοὺς τὸν ἔμπροσθεν χρόνον οὕτως ἐπαίδευε, διὰ τοῦτο ἐν τῷ καιρῷ τῶν ἀγώνων παρεσκευασμένους εὗρε καὶ εἴκοντας. Οὐ γὰρ ὡς στρατηγὸς στρατιωτῶν, ἀλλ' ὡς ἱερεύς, οὕτως αὐτῶν προειστήκει, καὶ ἦν ἐκκλησία τὸ σπήλαιον ἐκεῖνο λοιπόν. Καὶ γὰρ ὥσπερ τις ἐπισκοπὴν λαχών, οὕτω πρὸς αὐτοὺς ἐποιήσατο ὁμιλίαν· καὶ μετὰ τὴν ὁμιλίαν ταύτην θυσίαν ἀνήκεγκε θαυμαστήν τινα καὶ παράδοξον, οὐ μόσχον καταθύσας, οὐκ ἀρνίον κατασφάξας, ἀλλ', ὃ πολλῷ τούτων τιμιώτερον ἦν, πρᾳότητα καὶ ἐπιείκειαν ἀναθεὶς τῷ Θεῷ, καὶ τὸν ἄλογον

χθροὺς καὶ αὐτοὶ ποὺ νομίζονται ὅτι ἀσκοῦν τὴν εὐσέβεια, καὶ ἂν ἀκόμα αὐτοὶ δὲν καταδεχτοῦν νὰ φονεύσουν τὸν ἐχθρό τους, δὲν θὰ ἔφθαναν στὸ σημεῖο νὰ ἐμποδίσουν ἄλλους ποὺ θὰ ἐπιχειροῦσαν νὰ τοὺς φονεύσουν. Ὁ Δαυὶδ ὅμως δὲν ἐνέργησε ἔτσι, ἀλλά, σὰν ἀκριβῶς νὰ ἔλαβε κάποια παρακαταθήκη καὶ ἐπρόκειτο ν' ἀποδώσει λόγο γι' αὐτή, ὄχι μόνο αὐτὸς δὲν ἄγγιξε τὸν ἐχθρό, ἀλλὰ καὶ ἐμπόδισε ἄλλους ποὺ ἤθελαν νὰ τὸν φονεύσουν, γενόμενος ἔτσι ἀντὶ γιὰ ἐχθρὸς σωματοφύλακας καὶ ἄριστος ὑπερασπιστὴς ἐκείνου. Ὥστε δὲν θὰ ἔσφαλε κάποιος νὰ πεῖ ὅτι τότε εἶχε περιπέσει στὸν κίνδυνο ὁ Δαυὶδ μᾶλλον, παρὰ ὁ Σαούλ. Διότι δὲν ὑπέμεινε τυχαῖο ἀγώνα, προσπαθώντας μὲ κάθε τρόπο νὰ σώσει αὐτὸν ἀπὸ τὴν ἐπιβουλὴ ἐκείνων· οὔτε εἶχε φοβηθεῖ τόσο πολὺ ὅταν ἐπρόκειτο αὐτὸς ὁ ἴδιος νὰ σφαχτεῖ, ὅσο φοβήθηκε μὴ τυχὸν κάποιος ἀπὸ τοὺς στρατιῶτες, κυριευθεὶς ἀπὸ τὸ θυμό, φονεύσει τὸν ἄνθρωπο· γι' αὐτὸ καὶ πρόβαλε τέτοια δικαιολογία.

Πράγματι κατηγοροῦσαν μὲν ἐκεῖνοι, κατηγοροῦνταν δὲ ἐκεῖνος ποὺ κοιμόταν, ἀπολογοῦνταν ὁ ἐχθρός, δίκαζε δὲ ὁ Θεὸς καὶ ἐπικύρωσε τὴ γνώμη τοῦ Δαυίδ. Διότι δὲν θὰ μποροῦσε νὰ ἐπιβληθεῖ στοὺς μανιασμένους ἐκείνους χωρὶς τὴ βοήθεια τοῦ Θεοῦ, ἀλλ' ἡ χάρη τοῦ Θεοῦ ἦταν ἐκείνη ποὺ εἶχε συγκεντρωθεῖ στὰ χείλη τοῦ προφήτη καὶ ἔδινε κάποια πειστικότητα στὰ λόγια ἐκεῖνα. Δὲν ἦταν δὲ μικρὴ καὶ ἡ συμβουλὴ τοῦ Δαυίδ· διότι, ἐπειδὴ κατὰ τὸν προηγούμενο χρόνο ἔτσι τοὺς δίδασκε, γι' αὐτὸ κατὰ τὴ στιγμὴ τῶν ἀγώνων τοὺς βρῆκε προετοιμασμένους καὶ ὑπάκουους. Καθόσον διηύθυνε αὐτοὺς ὄχι ὅπως ὁ στρατηγὸς τοὺς στρατιῶτες, ἀλλὰ σὰν ἱερέας, καὶ ἦταν τότε τὸ σπήλαιο ἐκεῖνο σὰν ἐκκλησία. Πράγματι ἔτσι ἀπηύθυνε τοὺς λόγους του πρὸς ἐκείνους, σὰν ἀκριβῶς κάποιος ποὺ ἀνέλαβε ἐπισκοπή, καὶ μετὰ τὴν ὁμιλία ἐκείνη πρόσφερε κάποια θυσία θαυμαστὴ καὶ παράδοξη, θυσιάζοντας ὄχι μόσχο, οὔτε σφάζοντας ἀρνί, ἀλλ', αὐτὸ ποὺ ἦταν πολὺ πιὸ σπουδαιότερο ἀπὸ αὐτά, προσφέροντας στὸ Θεὸ καλωσύνη καὶ ἐπιείκεια, ἀφοῦ θυσίασε τὸν παράλογο θυμό, ἐξολόθρευσε τὴν ὀργὴ

καταθύσας θυμόν, καὶ τὴν ὀργὴν ἀποκτείνας, καὶ νεκρώσας τὰ μέλη τὰ ἐπὶ τῆς γῆς. Καὶ ἐγένετο αὐτὸς καὶ ἱερεῖον, καὶ ἱερεύς, καὶ θυσιαστήριον. Ὅ τε γὰρ προσενεγκὼν τὴν πρᾳότητα καὶ τὴν ἐπιείκειαν λογισμός, ἥ τε ἐπιείκεια καὶ ἡ πρᾳότης καὶ ἡ καρδία, ἐν ᾗ ταῦτα προσεφέρετο· ἅπαντα ἦν παρ' αὐτῷ.

2. Ἐπεὶ οὖν προσήνεγκε τὴν καλὴν ταύτην θυσίαν, καὶ τὴν νίκην ἀπήρτισε, καὶ οὐδὲν τῷ τροπαίῳ ἐνέλιπεν, ἀνέστη λοιπὸν ἡ τῶν ἀγώνων ὑπόθεσις ὁ Σαούλ, καὶ ἐξῆλθεν ἀπὸ τοῦ σπηλαίου, τῶν γεγενημένων οὐδὲν εἰδώς. «Ἐξήει δὲ καὶ ὁ Δαυὶδ ὄπισθεν», ἐλευθέροις λοιπὸν ὀφθαλμοῖς πρὸς τὸν οὐρανὸν βλέπων, καὶ μᾶλλον τότε γαννύμενος, ἢ ὅτε τὸν Γολιὰθ κατήνεγκε, καὶ τὴν τοῦ βαρβάρου κεφαλὴν ἀπέτεμε. Καὶ γὰρ αὕτη λαμπροτέρα ἐκείνης ἡ νίκη, καὶ τὰ λάφυρα σεμνότερα, καὶ τὰ σκῦλα περιφανέστερα, καὶ τὸ τρόπαιον ἐνδοξότερον. Ἐκεῖ μὲν γὰρ καὶ σφενδόνης ἐδεήθη καὶ λίθων καὶ παρατάξεως, ἐνταῦθα δὲ πάντα ὁ λογισμὸς ἐγένετο, καὶ χωρὶς ὅπλων ἡ νίκη κατωρθοῦτο, καὶ ἀναιμωτὶ τὸ τρόπαιον ἵστατο. Ἐπανῄει τοίνυν οὐχὶ κεφαλὴν βαστάζων βαρβάρου, ἀλλὰ θυμὸν νενεκρωμένον καὶ ὀργὴν ἐκνενευρισμένην, καὶ ταῦτα οὐκ εἰς τὴν Ἱερουσαλὴμ ἀνετίθει τὰ λάφυρα, ἀλλ' εἰς τὸν οὐρανὸν καὶ τὴν ἄνω πόλιν. Νῦν οὐχὶ γυναῖκες χορεύουσαι ἀπήντων, ταῖς εὐφημίαις αὐτὸν δεχόμεναι, ἀλλὰ τῶν ἀγγέλων ὁ δῆμος ἄνωθεν ἐπεκρότει, ἀγάμενος τὴν φιλοσοφίαν καὶ τὴν ἐπιείκειαν. Ἐπανῄει γὰρ τῷ πολεμίῳ μυρία τραύματα δούς, τὸν μὲν Σαοὺλ διασώσας, τὸν δὲ ἀληθῶς ἐχθρὸν τὸν διάβολον πολλαῖς κατακεντήσας πληγαῖς. Ὥσπερ γὰρ ὀργιζομένων ἡμῶν καὶ πυκτευόντων καὶ πρὸς ἀλλήλους συγκρουομένων, χαίρει τε καὶ γέγηθεν ἐκεῖνος, οὕτως εἰρηνευόντων, καὶ ὁμονοούντων, καὶ κρατούντων ὀργῆς, συστέλλεται πάλιν καὶ ταπεινοῦται, ἅτε ἐχθρὸς εἰρήνης ὤν, καὶ πολέμιος ὁμονοίας, καὶ βασκανίας πατήρ.

---

4. Α' Βασ. 24, 9.

καὶ νέκρωσε τὰ μέλη ποὺ ἐπηρεάζονταν ἀπὸ τὰ γήινα πράγματα. Καὶ ἔγινε ὁ ἴδιος καὶ σφάγιο καὶ ἱερέας καὶ θυσιαστήριο. Διότι καὶ ἡ σκέψη ποὺ πρόσφερε τὴν καλωσύνη καὶ τὴν ἐπιείκεια, καὶ ἡ ἐπιείκεια καὶ ἡ καλωσύνη καὶ ἡ καρδιά, μὲ τὴν ὁποία αὐτὰ προσφέρονταν, ὅλα ἦταν δικά του.

2. Ἀφοῦ λοιπὸν πρόσφερε τὴν καλὴ αὐτὴ θυσία καὶ ὁλοκλήρωσε τὴ νίκη καὶ τίποτε δὲν ὑπολειπόταν ἀπὸ τὸ τρόπαιο, σηκώθηκε τότε ἡ ἀφορμὴ τῶν ἀγώνων, ὁ Σαούλ, καὶ βγῆκε ἀπὸ τὸ σπήλαιο, μὴ γνωρίζοντας τίποτε ἀπὸ τὰ ὅσα εἶχαν συμβεῖ. «Βγῆκε δὲ καὶ ὁ Δαυὶδ πίσω ἀπὸ αὐτόν»[4], βλέποντας μὲ καθαρὰ πλέον μάτια πρὸς τὸν οὐρανό, καὶ στολισμένος μὲ πολὺ περισσότερη λαμπρότητα τότε, παρὰ ὅταν κατανίκησε τὸ Γολιὰθ καὶ ἔκοψε τὸ κεφάλι τοῦ βαρβάρου. Καθόσον αὐτὴ ἡ νίκη ἦταν λαμπρότερη ἀπὸ ἐκείνη, τὰ λάφυρα σπουδαιότερα καὶ λαμπρότερα, καὶ τὸ τρόπαιο ἐνδοξότερο. Διότι, ἐκεῖ μὲν χρειάστηκε σφενδόνα, λίθους καὶ ἀντιπαράταξη, ἐνῶ ἐδῶ ὅλα τὰ κατόρθωσε ὁ λογισμός, καὶ χωρὶς ὅπλα κατορθωνόταν ἡ νίκη καὶ χωρὶς αἷμα στηνόταν τὸ τρόπαιο. Ἐπέστρεφε λοιπὸν κρατώντας ὄχι τὸ κεφάλι τοῦ βαρβάρου, ἀλλὰ τὸ θυμὸ νεκρωμένο καὶ τὴν ὀργὴ παραλυμένη, καὶ τὰ λάφυρα αὐτὰ τὰ ἀφιέρωνε ὄχι στὴν Ἱερουσαλήμ, ἀλλὰ στὸν οὐρανὸ καὶ τὴν οὐράνια πόλη. Τώρα δὲν τὸν προϋπαντοῦσαν γυναῖκες ποὺ χόρευαν, ὑποδεχόμενες αὐτὸν μὲ ἐπευφημίες, ἀλλὰ τὸ πλῆθος τῶν ἀγγέλων τὸν χειροκροτοῦσε ψηλὰ ἀπὸ τὸν οὐρανό, θαυμάζοντας τὴν εὐσέβεια καὶ τὴν ἐπιείκειά του. Διότι ἐπέστρεφε, ἀφοῦ ἐπέφερε ἀμέτρητα τραύματα στὸν ἐχθρό, καὶ τὸν μὲν Σαοὺλ ἀφοῦ τὸν διέσωσε, τὸν δὲ πραγματικὸ ἐχθρό, τὸ διάβολο, ἀφοῦ τὸν καταπλήγωσε μὲ πολλὲς πληγές. Ὅπως ἀκριβῶς δηλαδὴ ἐμεῖς ὅταν ὀργιζόμαστε καὶ πιανόμαστε στὰ χέρια καὶ συγκρουόμαστε ἀναμεταξύ μας, χαίρεται καὶ νιώθει εὐχαρίστηση ἐκεῖνος, ἔτσι ὅταν εἰρηνεύουμε καὶ ἔχομε ὁμόνοια καὶ συγκρατοῦμε τὴν ὀργή μας, συστέλλεται πάλι καὶ ταπεινώνεται, ἐπειδὴ εἶναι ἐχθρὸς τῆς εἰρήνης, πολέμιος τῆς ὁμόνοιας καὶ πατέρας τοῦ φθόνου.

Ἐξῄει τοίνυν ὁ Δαυίδ, δεξιὰν τῆς οἰκουμένης ἀντίρροπον ἔχων μετὰ τῆς κεφαλῆς ἐστεφανωμένην. Καθάπερ γὰρ ἐπὶ τῶν ἄριστα πυκτευόντων, πρὸ τῆς κεφαλῆς πολλάκις οἱ βασιλεῖς τὴν δεξιὰν τοῦ πυκτεύοντος ἢ παγκρατιάζοντος ἐστεφάνωσαν, οὕτω δὴ καὶ τὴν χεῖρα ἐκείνην ὁ Θεὸς ἐστεφάνου, ἣ τὸ ξίφος ἴσχυσε καθαρὸν ἐξενεγκεῖν, καὶ ἀναίμακτον τῷ Θεῷ δεῖξαι τὴν μάχαιραν, καὶ πρὸς τοσαύτην ἀντιστῆναι θυμοῦ ῥύμην. Οὐκ ἐξῆλθεν ἔχων τὸ διάδημα τοῦ Σαούλ, ἀλλ' ἐξῆλθεν ἔχων στέφανον δικαιοσύνης· οὐκ ἐξῆλθεν ἔχων πορφυρίδα βασιλικήν, ἀλλ' ἐξῆλθε περιβεβλημένος ἐπιείκειαν ὑπερβαίνουσαν ἀνθρωπίνην φύσιν, ἱμάτιον πάσης στολῆς λαμπρότερον. Ἐξῆλθεν ἀπὸ τοῦ σπηλαίου μετὰ τοσαύτης περιφανείας, μεθ' ὅσης οἱ παῖδες οἱ τρεῖς ἀπὸ τῆς καμίνου. Καθάπερ γὰρ ἐκείνους οὐ κατέκαυσε τὸ πῦρ, οὕτω καὶ τοῦτον ἡ πυρὰ τῆς ὀργῆς οὐκ ἐνέπρησε. Κἀκείνοις μὲν ἔξωθεν τὸ πῦρ ὁμιλοῦν οὐδὲν ἐποίησεν, οὗτος δὲ ἔνδοθεν ἔχων τοὺς ἄνθρακας καιομένους, καὶ τὸν διάβολον ἔξωθεν ὁρῶν τὴν κάμινον ὑποκαίοντα, ἀπὸ τῆς ὄψεως τοῦ ἐχθροῦ, ἀπὸ τῆς παραινέσεως τῶν στρατιωτῶν, ἀπὸ τῆς εὐκολίας τῆς κατὰ τὴν σφαγήν, ἀπὸ τῆς ἐρημίας τῶν βοηθησόντων, ἀπὸ τῆς μνήμης τῶν παρελθόντων, ἀπὸ τῆς τῶν μελλόντων ἀγωνίας (καὶ γὰρ τοῦτο κληματίδος, καὶ πίσσης, καὶ στυππίου, καὶ πάντων τῶν τὴν Βαβυλωνίαν ἀναπτόντων κάμινον λαμπροτέραν ἀνῆγε τὴν φλόγα), οὐκ ἐνεπρήσθη, οὐδὲ ἔπαθέ τι τοιοῦτον, οἷον εἰκὸς ἦν, ἀλλ' ἐξῆλθε καθαρός, καὶ ἰδὼν τοῦ πολεμίου τὴν ὄψιν, ἐντεῦθεν μάλιστα ἐφιλοσόφησεν.

Ἰδὼν γὰρ αὐτὸν καθεύδοντα καὶ ἀκίνητον μένοντα, καὶ οὐδὲν δυνάμενον ἐργάσασθαι, πρὸς ἑαυτὸν εἶπε· ποῦ νῦν ὁ θυμὸς ἐκεῖνος; ποῦ δὲ ἡ πονηρία; ποῦ δὲ αἱ τοσαῦται μαγγανεῖαι καὶ ἐπιβουλαί; Οἴχεται πάντα ἐκεῖνα καὶ ἀπόλωμεν ὕπνου μικρᾶ προσ-

Βγῆκε λοιπὸν ὁ Δαυὶδ ἀπὸ τὸ σπήλαιο παρουσιάζοντας στὴν οἰκουμένη στεφανωμένα καὶ τὴ δεξιά του καὶ τὸ κεφάλι του. Διότι, ὅπως ἀκριβῶς στὴν περίπτωση τῶν ἄριστων πυγμάχων οἱ βασιλεῖς πολλὲς φορὲς στεφάνωσαν πρὶν ἀπὸ τὸ κεφάλι τὴ δεξιὰ τοῦ πυγμάχου ἢ τοῦ παγκρατιαστῆ, ἔτσι λοιπὸν καὶ ὁ Θεὸς στεφάνωσε τὸ χέρι ἐκεῖνο, ποὺ κατόρθωσε νὰ παρουσιάσει καθαρὸ τὸ ξίφος καὶ νὰ δείξει στὸ Θεὸ ἀναίμακτη τὴ μάχαιρα καὶ ν' ἀντισταθεῖ στὴν τόσο μεγάλη ὁρμὴ τοῦ Θεοῦ. Δὲν βγῆκε κρατώντας τὸ διάδημα τοῦ Σαούλ, ἀλλὰ βγῆκε κρατώντας τὸ στεφάνι τῆς δικαιοσύνης· δὲν βγῆκε κρατώντας τὴ βασιλικὴ πορφύρα, ἀλλὰ βγῆκε φέροντας ἐπάνω του τὴν ἐπιείκεια ποὺ ὑπερβαίνει τὴν ἀνθρώπινη φύση, ποὺ εἶναι ἔνδυμα λαμπρότερο ἀπὸ κάθε στολή. Βγῆκε ἀπὸ τὸ σπήλαιο μὲ τόση λαμπρότητα, μὲ ὅση βγῆκαν τὰ τρία παιδιὰ ἀπὸ τὴν κάμινο. Διότι, ὅπως ἀκριβῶς ἐκεῖνα δὲν τοὺς κατέκαψε ἡ φωτιά, ἔτσι καὶ αὐτὸν δὲν τὸν κατέκαψε ἡ φωτιὰ τῆς ὀργῆς. Καὶ ἐκεῖνα μὲν ἡ φωτιὰ ποὺ τὰ περιέβαλλε ἐξωτερικὰ δὲν τὰ ἔκανε τίποτε, αὐτὸς ὅμως ἔχοντας μέσα του τοὺς ἄνθρακες νὰ καίουν καὶ τὸ διάβολο βλέποντάς τον ἐξωτερικὰ νὰ ἐνισχύει τὴ φλόγα τῆς καμίνου μὲ τὴν παρουσία τοῦ ἐχθροῦ, μὲ τὴν προτροπὴ τῶν στρατιωτῶν, μὲ τὴν εὐκολία διαπράξεως τῆς σφαγῆς, μὲ τὴν ἔλλειψη τῶν βοηθῶν του, μὲ τὴν ἀνάμνηση τῶν περασμένων, μὲ τὴν ἀγωνία γιὰ ἐκεῖνα ποὺ ἐπρόκειτο νὰ συμβοῦν στὸ μέλλον (καθόσον αὐτὸ ἔκαμνε τὸ φλόγα λαμπρότερη ἀπὸ τὶς κληματίδες, τὴν πίσσα, τὸ στουπὶ καὶ ὅλα ἐκεῖνα ποὺ ἄναβαν τὴ Βαβυλώνια κάμινο), δὲν κυριεύτηκε ἀπὸ τὴ φλόγα, οὔτε ἔπαθε κάτι παρόμοιο μὲ ἐκεῖνα ποὺ ἦταν φυσικὸ νὰ πάθει κάποιος, ἀλλὰ βγῆκε καθαρός, καὶ βλέποντας τὸ πρόσωπο τοῦ ἐχθροῦ, αὐτὸ τὸν ἔκανε νὰ δείχνει μεγαλύτερη φιλοσοφικότητα.

Πράγματι, ὅταν εἶδε αὐτὸν νὰ κοιμᾶται, νὰ εἶναι ἀνίκανος καὶ νὰ μὴ μπορεῖ νὰ κάνει τίποτε, εἶπε στὸν ἑαυτό του· ποῦ εἶναι ὁ θυμός του ἐκεῖνος; ποῦ δὲ ἡ κακία του; ποῦ οἱ τόσες μηχανορραφίες καὶ οἱ ἐπιβουλές του; Ἔφυγαν ὅλα ἐκεῖνα καὶ ἐξαφανίστηκαν μὲ τὴ μικρὴ προσβολὴ τοῦ ὕπνου, καὶ βρίσκε-

βολῇ, καὶ κεῖται δεδεμένος ὁ βασιλεύς, οὐδὲν ἡμῶν περὶ τούτων βουλευσαμένων, οὐδὲ πραξάντων. Ἑώρα καθεύδοντα, καὶ περὶ τοῦ κοινοῦ πάντων ἐφιλοσόφει θανάτου. Ὕπνος γὰρ οὐδὲν ἕτερόν ἐστιν, ἢ θάνατος πρόσκαιρος, καὶ ἐφήμερος τελευτή. Οὐκ ἂν τις ἀκαίρως καὶ τοῦ Δανιὴλ ἐνταῦθα ἀναμνησθείη. Καθάπερ γὰρ ἐκεῖνος ἀνέβαινεν ἀπὸ τοῦ λάκκου, τῶν θηρίων περιγενόμενος, οὕτω καὶ οὗτος ἀπὸ τοῦ σπηλαίου, θηρίων ἑτέρων χαλεπωτέρων κρατήσας. Ὥσπερ γὰρ τῷ δικαίῳ ἐκείνῳ λέοντες ἀγριώτεροι πάντων, τὰ πάθη ἐπετίθετο· θυμὸς τῶν παρελθόντων ἔνθεν, φόβος τῶν μελλόντων ἐκεῖθεν· ἀλλ' ὅμως ἀμφότερα οὗτος κατέστελλε καὶ ἐπεστόμιζε τά θηρία, διδάσκων διὰ τῶν ἔργων, ὅτι οὐδὲν ἀσφαλέστερον τοῦ φείδεσθαι τῶν ἐχθρῶν, οὐδὲ σφαλερώτερον τοῦ βούλεσθαι ἐκδικεῖν ἑαυτὸν καὶ ἀμύνεσθαι. Ὁ γοῦν βουληθεὶς ἐπεξελθεῖν, γυμνὸς καὶ ἄοπλος καὶ πάντων ἔρημος, καθάπερ αἰχμάλωτος παραδοθείς, οὕτως ἔκειτο, ὁ δὲ εἴκων καὶ παραχωρῶν πανταχοῦ, καὶ μηδὲ δικαίως ἐπεξελθεῖν ἑλόμενος, χωρὶς μηχανημάτων, καὶ ὅπλων, καὶ ἵππων, καὶ στρατιωτῶν, τὸν πολέμιον εἰς χεῖρας ἐλάμβανε· καὶ ὃ δὴ μεῖζον ἁπάντων ἦν, τὸν Θεὸν εἰς πλείονα εὔνοιαν ἐπεσπάσατο.

3. Οὐ γὰρ διὰ τοῦτο μακαρίζω τὸν ἅγιον ἐκεῖνον, οὐχ ὅτι τὸν ἐχθρὸν ὑπὸ τοὺς πόδας εἶδε τοὺς ἑαυτοῦ κείμενον, ἀλλ' ὅτι εἰς χεῖρας λαβὼν ἐφείσατο. Τὸ μὲν γὰρ τῆς τοῦ Θεοῦ δυνάμεως ἔργον ἦν, τὸ δὲ τῆς αὐτοῦ φιλοσοφίας. Πῶς ἦν εἰκὸς λοιπὸν τοὺς στρατιώτας ἐκείνῳ προσέχειν, μεθ' ὅσης εὐνοίας διακεῖσθαι πρὸς αὐτόν; Εἰ γὰρ μυρίας εἶχον ψυχάς, οὐκ ἂν ἑτοίμως ἁπάσας ἐπέδωκαν ὑπὲρ τοῦ στρατηγοῦ, ἔργῳ μαθόντες ἐν τῇ τοῦ πολε-

ται κάτω δεμένος ὁ βασιλιάς, χωρὶς ἐμεῖς νὰ σκεφτήκαμε τίποτε γι' αὐτά, οὔτε καὶ νὰ κάναμε. Τὸν ἔβλεπε νὰ κοιμᾶται καὶ φιλοσοφοῦσε γιὰ τὸν κοινὸ θάνατο ὅλων. Διότι ὁ ὕπνος τίποτε ἄλλο δὲν εἶναι, παρὰ πρόσκαιρος θάνατος καὶ προσωρινὴ νέκρωση. Δὲν θὰ ἦταν δὲ ἀκατάλληλο τὸ νὰ θυμηθεῖ κανεὶς ἐδῶ καὶ τὸ Δανιήλ. Διότι ὅπως ἀκριβῶς ἐκεῖνος ἀνέβαινε ἀπὸ τὸ λάκκο, ἀφοῦ εἶχε νικήσει τὰ θηρία, ἔτσι καὶ αὐτὸς ἔβγαινε ἀπὸ τὸ σπήλαιο, ἀφοῦ νίκησε ἄλλα φοβερότερα θηρία. Καὶ ὅπως ἀπὸ τὶς δυὸ μεριὲς τοῦ δικαίου ἐκείνου κάθονταν λεοντάρια, ἔτσι καὶ ἐναντίον αὐτοῦ ἔκαμναν τὴν ἐπίθεσή τους τὰ πάθη σὰν λεοντάρια ἀγριότερα ἀπὸ ὅλα· ἀπὸ τὸ ἕνα μέρος ὁ θυμὸς γιὰ τὰ περασμένα, ἀπὸ τὸ ἄλλο δὲ ὁ φόβος γιὰ τὰ μελλοντικά· ἀλλ' ὅμως καὶ τὰ δυὸ αὐτὸς τὰ κατανικοῦσε καὶ ἔφραζε τὰ στόματα τῶν θηρίων, διδάσκοντας μὲ τὴν ἐνέργειά του αὐτή, ὅτι τίποτε δὲν ὑπάρχει ἀσφαλέστερο ἀπὸ τὸ νὰ εὐσπλαχνιζόμαστε τοὺς ἐχθρούς μας, οὔτε πιὸ μεγαλύτερο σφάλμα ἀπὸ τὸ νὰ θέλομε νὰ τοὺς ἐκδικούμαστε καὶ νὰ τοὺς ἀντιμετωπίζομε μὲ τὸν ἴδιο τρόπο. Διότι ἐκεῖνος ποὺ θέλησε νὰ πολεμήσει τὸ Δαυὶδ ἔτσι βρισκόταν κάτω ξαπλωμένος, γυμνὸς καὶ ἄοπλος καὶ στερημένος ὅλα, σὰν ἀκριβῶς νὰ παραδόθηκε αἰχμάλωτος, ἐνῶ ἐκεῖνος ποὺ ὑποχωροῦσε καὶ παραμέριζε παντοῦ καὶ δὲν ἤθελε οὔτε καὶ δίκαια νὰ κάνει κακό, χωρὶς πολεμικὲς μηχανὲς καὶ ὅπλα καὶ ἵππους καὶ στρατιῶτες ἔπιανε στὰ χέρια του τὸν ἐχθρό· καὶ αὐτὸ βέβαια ποὺ ἦταν καὶ τὸ σπουδαιότερο ἀπὸ ὅλα, ἦταν τὸ ὅτι κέρδισε μεγαλύτερη εὔνοια ἀπὸ τὸ Θεό.

3. Δὲν μακαρίζω λοιπὸν τὸν ἅγιο ἐκεῖνο γι' αὐτό, γιὰ τὸ ὅτι δηλαδὴ εἶδε τὸν ἐχθρό του ξαπλωμένο μπροστά στὰ πόδια του, ἀλλὰ γιὰ τὸ ὅτι, ἂν καὶ τὸν συνέλαβε, τοῦ χάρισε τὴ ζωή. Τὸ μὲν ἕνα ἦταν ἔργο τῆς δυνάμεως τοῦ Θεοῦ, τὸ δὲ ἄλλο ἀποτέλεσμα τῆς ἀρετῆς αὐτοῦ. Πῶς λοιπὸν ἦταν δυνατὸ οἱ στρατιῶτες νὰ μὴ προσέχουν ἐκεῖνον μὲ ὅση ἀγάπη συμπεριφερόταν πρὸς αὐτόν; Διότι ἐὰν εἶχαν ἀμέτρητες ψυχὲς δὲν θὰ τὶς ἔδιναν μὲ κάθε προθυμία γιὰ χάρη τοῦ στρατηγοῦ, ἀφοῦ στὴν πράξη γνώρισαν ἀπὸ τὴ φροντίδα του γιὰ τὸν ἐχθρὸ τὴν ἀγάπη του γιὰ

μίου κηδεμονίᾳ τὴν περὶ τοὺς οἰκείους εὔνοιαν; Ὁ γὰρ περὶ τοὺς λελυπηκότας πρᾶος καὶ ἥμερος ὤν, πολλῷ μᾶλλον περὶ τοὺς εὐνοϊκῶς διακειμένους οὕτως ἔμελλε διακεῖσθαι· ὃ δὴ μέγιστον ἐνέχυρον ἀσφαλείας ἦν αὐτῷ. Οὐκ εὐνούστεροι δὲ μόνον, ἀλλὰ καὶ προθυμότεροι περὶ τοὺς πολεμίους ἦσαν, εἰδότες ὅτι τὸν Θεὸν ἔχουσιν ὑπὲρ αὐτῶν πολεμοῦντα, τὸν ἀεὶ παρόντα τῷ στρατηγῷ, καὶ τὰ πράγματα ἅπαντα ἐξευμαρίζοντα. Καὶ τῷ Δαυὶδ δέ, οὐχ ὡς ἀνθρώπῳ λοιπόν, ἀλλ' ὡς ἀγγέλῳ προσεῖχον. Καὶ πρὸ τῆς ἀντιδόσεως τοῦ Θεοῦ μείζονα καὶ ἐνταῦθα τοῦ διασωθέντος αὐτὸς ἐκαρποῦτο, καὶ λαμπροτέραν ἤρατο νίκην, ἢ εἰ κατέθυσε τὸν Σαούλ. Τί γὰρ ἂν τοσοῦτον ἐκέρδανε σφάξας τὸν ἐχθρόν, ὅσον ἐκαρπώσατο φεισάμενος νῦν;

Τοῦτο τοίνυν καὶ σὺ λογίζου, ἐπειδὰν λάβῃς τὸν λελυπηκότα σε, ὅτι πολλῷ μεῖζον καὶ κερδαλεώτερον τὸ φείσασθαι τοῦ διαφθεῖραι. Ὁ μὲν γὰρ διαφθείρας καὶ καταγνώσεται πολλάκις ἑαυτοῦ, καὶ πονηρὸν ἕξει συνειδός, καθ' ἑκάστην ἡμέραν καὶ ὥραν ὑπὸ τῆς ἁμαρτίας ἐκείνης διωκόμενος, ὁ δὲ φεισάμενος καὶ μικρὸν καρτερήσας χρόνον, γάννυται μετὰ ταῦτα καὶ τρυφᾷ, χρηστὰς ἀναμένων ἐλπίδας, καὶ τὰς ἀμοιβὰς τῆς ἀνεξικακίας παρὰ τοῦ Θεοῦ προσδοκῶν. Καὶ εἴ ποτε περιπέσοι τινὶ δεινῷ, μετὰ πολλῆς παρρησίας ἀπαιτήσει τὸν Θεὸν τὴν ἀντίδοσιν· καθάπερ οὖν καὶ οὗτος ἀπάντων ἀπήλαυσε τούτων, μεγάλας καὶ θαυμαστὰς τῆς περὶ τὸν ἐχθρὸν τοῦτον κηδεμονίας λαβὼν παρὰ τοῦ Θεοῦ τὰς ἀμοιβὰς ὕστερον. Ἀλλὰ γὰρ ἴδωμεν καὶ τὰ μετὰ ταῦτα.

«Καὶ ἐξῆλθε Δαυὶδ ἐκ τοῦ σπηλαίου», φησίν, «ὀπίσω Σαούλ, καὶ ἐβόησεν ὀπίσω αὐτοῦ, οὕτω λέγων· κύριέ μου βασιλεῦ. Καὶ ἀνέβλεψε Σαοὺλ ὀπίσω αὐτοῦ, καὶ ἔκυψε Δαυὶδ ἐπὶ πρόσω-

τοὺς φίλους του; Διότι ἐκεῖνος ποὺ δείχνει καλωσύνη καὶ ἡμερότητα πρὸς ἐκείνους ποὺ τὸν λύπησαν, πολὺ περισσότερο θὰ συμπεριφερόταν ἔτσι πρὸς ἐκείνους ποὺ τοῦ συμπεριφέρονταν μὲ ἀγάπη, πράγμα βέβαια ποὺ ἦταν γι' αὐτὸν ἡ πιὸ μεγαλύτερη' ἐγγύηση γιὰ τὴν ἀσφάλειά του. Καὶ δὲν ἔδειχναν πρὸς αὐτὸν μόνο μεγαλύτερη ἀγάπη, ἀλλὰ καὶ ἦταν πιὸ πρόθυμοι ἐναντίον τῶν ἐχθρῶν, γνωρίζοντας ὅτι ἔχουν τὸ Θεὸ νὰ πολεμᾶ ὑπὲρ αὐτῶν, ὁ ὁποῖος βρισκόταν πάντοτε κοντὰ στὸ στρατηγὸ καὶ ἔκαμνε ὅλα τὰ πράγματα πιὸ εὔκολα. Καὶ τὸ Δαυὶδ πλέον τὸν πρόσεχαν ὄχι σὰν ἄνθρωπο, ἀλλὰ σὰν ἄγγελο. Καὶ πρὶν ἀπὸ τὴν ἀνταπόδοση τοῦ Θεοῦ αὐτὸς κέρδιζε ἀπὸ ἐδῶ περισσότερα ἀπὸ ἐκεῖνον ποὺ διασώθηκε καὶ ἐπέτυχε λαμπρότερη νίκη ἔτσι, παρὰ ἂν φόνευε τὸ Σαούλ. Διότι τί θὰ μποροῦσε νὰ κερδίσει μεγαλύτερο ἂν ἔσφαζε τὸν ἐχθρό του, ἀπὸ αὐτὸ ποὺ κέρδισε τώρα χαρίζοντάς του τὴ ζωή;

Αὐτὸ λοιπὸν νὰ σκέφτεσαι καὶ σύ, ὅταν συλλάβεις ἐκεῖνον ποὺ σὲ λύπησε, ὅτι δηλαδὴ πολὺ πιὸ σπουδαιότερο εἶναι καὶ πιὸ ἐπικερδὲς τὸ νὰ δείξεις εὐσπλαχνία, παρὰ νὰ τὸν φονεύσεις. Διότι ἐκεῖνος ποὺ θὰ τὸν φονεύσει πολλὲς φορὲς καὶ θὰ κατηγορήσει τὸν ἑαυτό του καὶ θὰ ἔχει ἀνυπόφορους ἐλέγχους τῆς συνειδήσεώς του, καταδιωκόμενος κάθε ἡμέρα καὶ ὥρα ἀπὸ τὴν ἁμαρτία ἐκείνη, ἐνῶ ἐκεῖνος ποὺ θὰ τὸν εὐσπλαχνιστεῖ καὶ θὰ δείξει γιὰ λίγο χρόνο ὑπομονή, νιώθει στὴ συνέχεια μεγάλη χαρὰ καὶ εὐχαρίστηση, τρέφοντας καλὲς ἐλπίδες καὶ περιμένοντας ἀπὸ τὸ Θεὸ τὶς ἀμοιβὲς τῆς ἀνεξικακίας του. Καὶ ἐὰν κάποτε συμβεῖ νὰ ὑποπέσει σὲ κάποιο κακό, μὲ μεγάλη παρρησία θὰ ζητήσει ἀπὸ τὸ Θεὸ τὴν ἀνταπόδοση, ὅπως βέβαια καὶ αὐτὸς ἀπόλαυσε ὅλα αὐτά, λαμβάνοντας ἀργότερα ἀπὸ τὸ Θεὸ μεγάλες καὶ θαυμαστὲς τὶς ἀμοιβὲς γιὰ τὴ φροντίδα του πρὸς τὸν ἐχθρό του αὐτόν. Ἀλλ' ἂς δοῦμε λοιπὸν καὶ τὰ ὅσα συνέβηκαν στὴ συνέχεια.

«Καὶ βγῆκε ὁ Δαυὶδ ἀπὸ τὸ σπήλαιο», λέγει, «πίσω ἀπὸ τὸ Σαοὺλ καὶ φώναξε ἐνῶ βρισκόταν πίσω ἀπὸ αὐτόν, λέγοντας τὰ ἑξῆς· κύριέ μου καὶ βασιλιά μου. Καὶ ἔστρεψε ὁ Σαοὺλ τὸ

πον αὐτοῦ ἐπὶ τὴν γῆν, καὶ προσεκύνησεν αὐτῷ». Ταῦτα τοῦ σῶσαι τὸν ἐχθρὸν οὐκ ἐλάττονα φέρει κόσμον. Οὐδὲ γὰρ τῆς τυχούσης ψυχῆς ἦν τὸ μὴ φυσηθῆναι ταῖς εἰς τὸν πλησίον εὐεργεσίαις, μᾶλλον δὲ τὸ μὴ τὸ τῶν πολλῶν παθεῖν, οἳ καθάπερ ἀνδραπόδων οὕτως ὑπερορῶσι τῶν εὐεργετηθέντων, καὶ τὰς ὀφρῦς ἀνασπῶσιν. Ἀλλ' οὐχ ὁ μακάριος Δαυὶδ οὕτως, ἀλλὰ μειζόνως ἐμετρίαζε, καὶ μετὰ τὴν εὐεργεσίαν. Τὸ δὲ αἴτιον, ὅτι οὐδὲν τῶν κατορθωμάτων τούτων ἐνόμιζε τῆς αὐτοῦ σπουδῆς εἶναι, ἀλλὰ τὸ πᾶν ἀνετίθει τῇ θείᾳ χάριτι. Διὰ τοῦτο αὐτὸς σώσας, αὐτὸς προσκυνεῖ τὸν σωθέντα, καὶ βασιλέα καλεῖ πάλιν, καὶ δοῦλον ὀνομάζει ἑαυτόν, διὰ τοῦ σχήματος ἐκείνου καταστέλλων τὸ φύσημα, καὶ τὸν θυμὸν παραμυθούμενος, καὶ τὴν βασκανίαν ἀναιρῶν.

Ἀκούσωμεν δὲ καὶ τῆς ἀπολογίας αὐτῆς. «Ἵνα τί ἀκούεις τῶν λόγων τοῦ λαοῦ, λεγόντων, ἰδοὺ Δαυὶδ ζητεῖ τὴν ψυχήν σου;». Καὶ μὴν ἀνωτέρω τούτων ὁ συγγραφεὺς εἶπεν, ὅτι πᾶς ὁ λαὸς ἦν μετ' αὐτοῦ, καὶ ἤρεσκεν ἐν ὀφθαλμοῖς τῶν δούλων τοῦ βασιλέως, καὶ ὁ τοῦ κρατοῦντος υἱὸς καὶ τὸ στρατόπεδον ἅπαν μετ' αὐτοῦ ταῖς γνώμαις εἱστήκεσαν. Πῶς οὖν ἐνταῦθά φησιν, ὅτι ἦσαν οἱ ἐνδιαβάλλοντες καὶ συκοφαντοῦντες, καὶ τὸν Σαοὺλ παροξύνοντες; Ὅτι γὰρ οὐ παρ' ἑτέρων ἀναπεισθείς, ἀλλ' αὐτὸς οἴκοθεν τὴν πονηρίαν ταύτην τεκὼν ἐπολέμει τῷ δικαίῳ, καὶ τοῦτο ἐδήλωσεν ὁ τὸ βιβλίον γράψας, εἰπὼν ὅτι ἐκ τῆς εὐφημίας ὁ φθόνος ἐτίκτετο, καὶ προϊὼν ηὔξατο καθ' ἑκάστην ἡμέραν. Τίνος οὖν ἕνεκεν ἐφ' ἑτέρους μεθίστησι τὴν αἰτίαν, λέγων, «Ἵνα τί ἀκούεις τῶν λόγων τοῦ λαοῦ σου λεγόντων· ἰδοὺ Δαυὶδ ζητεῖ τὴν ψυχήν σου;»· Διδοὺς ἐξουσίαν αὐτῷ ἀποκρούσασθαι τὴν πονηρίαν.

Τοῦτο γοῦν καὶ πατέρες πολλάκις ποιοῦσιν ἐπὶ υἱῶν· καὶ

---

5. Α' Βασ. 24, 9.
6. Α' Βασ. 24, 10.
7. Α' Βασ. 18, 16.
8. Α' Βασ. κεφ. 19 καὶ 20.
9. Α' Βασ. 18, 9.
10. Α' Βασ. 24, 10.

βλέμμα του πίσω καὶ τότε ὁ Δαυὶδ ἔσκυψε τὸ πρόσωπό του πρὸς τὴ γῆ καὶ προσκύνησε αὐτόν»[5]. Αὐτὰ δὲν ἀποτελοῦν γι' αὐτὸν μικρότερο κόσμημα ἀπὸ τὸ ὅτι ἔσωσε τὸν ἐχθρό του. Διότι δὲν ἦταν τῆς τυχαίας ψυχῆς τὸ νὰ μὴ κυριευθεῖ ἀπὸ ἀλαζονεία ἀπὸ τὶς εὐεργεσίες της πρὸς τὸν πλησίον της, ἢ καλύτερα τὸ νὰ μὴ πάθει αὐτὸ ποὺ παθαίνουν πολλοί, οἱ ὁποῖοι ἔτσι περιφρονοῦν ἐκείνους ποὺ εὐεργέτησαν, ὅπως ἀκριβῶς τοὺς δούλους, σηκώνοντας ψηλὰ τὰ φρύδια τους. Ὅμως δὲν ἔκανε τὸ ἴδιο ὁ μακάριος Δαυίδ, ἀλλὰ ἔδειχνε μεγαλύτερη μετριοφροσύνη καὶ μετὰ τὴν εὐεργεσία. Ἡ δὲ αἰτία ἦταν, τὸ ὅτι δὲν θεωροῦσε κανένα ἀπὸ τὰ κατορθώματα αὐτὰ ὅτι εἶναι ἔργο τῆς δικῆς του προσπάθειας, ἀλλὰ τὸ πᾶν ἀπέδιδε στὴ θεία χάρη. Γι' αὐτό, ἐνῶ αὐτὸς τοῦ ἔσωσε τὴ ζωή, αὐτὸς προσκυνεῖ ἐκεῖνον ποὺ ἔσωσε, καὶ τὸν ὀνομάζει πάλι βασιλιά του, τὸν δὲ ἑαυτό του ὀνομάζει δοῦλο, καταπραΰνοντας μὲ τὴν ἐνέργειά του αὐτὴ τὴν ἀλαζονεία, μειώνοντας τὸ θυμὸ καὶ ἐξαλείφοντας τὸ φθόνο.

Ἂς ἀκούσουμε δὲ καὶ τὴν ἀπολογία αὐτή. «Γιατί ἀκοῦς τὰ λόγια τῶν ἀνθρώπων ποὺ λέγουν, νὰ ὁ Δαυὶδ ζητᾶ τὴ ζωή σου;»[6]. Καὶ ὅμως προηγουμένως πρὶν ἀπὸ αὐτὰ ὁ συγγραφὲς εἶπε, ὅτι ὅλος ὁ λαὸς ἦταν μαζί του καὶ ἦταν ἀγαπητὸς στοὺς δούλους τοῦ βασιλιᾶ[7], καὶ ὁ υἱὸς τοῦ βασιλιᾶ καὶ ὅλος ὁ στρατὸς ἦταν σύμφωνοι μὲ τὶς ἀποφάσεις του[8]. Πῶς λοιπὸν ἐδῶ λέγει, ὅτι ὑπῆρχαν ἄνθρωποι ποὺ τὸν διέβαλλαν καὶ τὸν συκοφαντοῦσαν καὶ παρόργιζαν τὸ Σαοὺλ ἐναντίον του; Τὸ ὅτι λοιπὸν δὲν πείστηκε ἀπὸ ἄλλους, ἀλλ' ὁ ἴδιος εἶχε δημιουργήσει μέσα του τὴν κακία αὐτὴ καὶ πολεμοῦσε τὸν δίκαιο, καὶ αὐτὸ τὸ φανέρωσε ἐκεῖνος ποὺ ἔγραψε τὸ βιβλίο αὐτό, λέγοντας ὅτι ὁ φθόνος γεννήθηκε ἀπὸ τὶς ἐπευφημίες καὶ στὴ συνέχεια μεγάλωνε καθημερινά[9]. Γιὰ ποιὸ λόγο λοιπὸν σ' ἄλλους μεταθέτει τὴν αἰτία, λέγοντας, «Γιατί ἀκοῦς τὰ λόγια τῶν ἀνθρώπων ποὺ λέγουν, νὰ ὁ Δαυὶδ ζητᾶ τὴ ζωή σου;»[10]. Γιὰ νὰ τοῦ δώσει τὴ δύναμη νὰ διώξει ἀπὸ μέσα του τὴν κακία.

Αὐτὸ βέβαια πολλὲς φορὲς κάνουν καὶ οἱ πατέρες στὰ παι-

λαβών τις ἐκείνων τὸν ἑαυτοῦ υἱὸν διεφθαρμένον, καὶ πολλὰ εἰργασμένον κακά, κἂν πεπεικὼς τύχοι ἑαυτόν, ὅτι οἴκοθεν καὶ παρ' ἑαυτοῦ πρὸς τὴν πονηρίαν ἐξώκειλεν, ὅμως ἐφ' ἕτερον μετάγει τὰ ἐγκλήματα πολλάκις, οὑτωσὶ λέγων· 'οἶδα ὅτι οὐ σὸν γέγονε τὸ ἁμάρτημα· ἕτεροί σε διέφθειραν καὶ ἠπάτησαν· ἐκείνων ἅπαν ἐστὶ τὸ πλημμέλημα'. Ὁ γὰρ ταῦτα ἀκούων δυνήσεται μικρὸν ἀπὸ τῆς κακίας διαβλέψας εὐκολώτερον πρὸς ἀρετὴν ἐπανελθεῖν, αἰσχυνόμενος καὶ ἐρυθριῶν ἀνάξιος τῆς περὶ αὐτοῦ δόξης φανῆναι. Τοῦτο καὶ Παῦλος ἐποίησε τοῖς Γαλάταις γράφων. Μετὰ τοὺς πολλοὺς γοῦν καὶ μακροὺς ἐκείνους λόγους καὶ τὰς ἀφάτους κατηγορίας, ἃς αὐτῶν κατηγόρησε, πρὸς τῷ τέλει τῆς ἐπιστολῆς, βουλόμενος αὐτῶν ἀποσκευάσασθαι τὴν κατηγορίαν, ἵνα μικρὸν ἀναπνεύσαντες ἐκ τῶν ἐγκλημάτων δυνηθῶσιν εἰς ἀπλογίαν ἐλθεῖν, οὕτω πώς φησιν· «Ἐγὼ πέποιθα εἰς ὑμᾶς, ὅτι οὐδὲν ἄλλο φρονήσετε· ὁ δὲ ταράσσων ὑμᾶς, βαστάσει τὸ κρίμα, ὅστις ἂν ᾖ». Οὕτω καὶ ὁ Δαυὶδ ἐποίησεν ἐνταῦθα. Τὸ γὰρ εἰπεῖν, «Ἵνα τί ἀκούεις τῶν λόγων τοῦ λαοῦ λέγοντος· ἰδοὺ Δαυὶδ ζητεῖ τὴν ψυχήν σου»; ἔδειξεν ἑτέρους ὄντας τοὺς παροξύνοντας, ἑτέρους τοὺς διαφθείροντας, παντὶ τρόπῳ σπουδάζων ἀπολογίαν αὐτῷ παρασχεῖν τῶν ἐγκλημάτων.

Εἶτα ὑπὲρ τῶν καθ' ἑαυτὸν ἀπολογούμενός φησι· «Καὶ ἰδοὺ ἑωράκασιν οἱ ὀφθαλμοί σου σήμερον, ὡς παρέδωκέ σε Κύριος εἰς τὰς χεῖράς μου ἐν τῷ σπηλαίῳ, καὶ οὐκ ἠβουλήθην ἀποκτεῖναί σε· καὶ ἐφεισάμην σου, καὶ εἶπον· οὐκ ἐποίσω τὴν χεῖρά μου ἐπὶ τὸν κύριόν μου, ὅτι χριστὸς Κυρίου ἐστίν». Ἐκεῖνοι μὲν οὖν διὰ ῥημάτων διαβάλλουσι, φησίν, ἐγὼ δὲ διὰ πραγμάτων ἀπολογοῦμαι, καὶ δι' ἔργων ἀποσκευάζομαι τὴν κατηγορίαν. Οὐ χρεία

---

11. Γαλ. 5, 10.
12. Α' Βασ. 24, 11.

διά τους· ἀφοῦ κάποιος ἀπὸ ἐκείνους πάρει τὸ παιδί του ποὺ ἔχει διαφθαρεῖ καὶ ἔχει διαπράξει πολλὰ κακά, καὶ ἂν ἀκόμα πιστεύει ἀπόλυτα, ὅτι ἐξέκλινε πρὸς τὴν κακία μόνο του καὶ μὲ τὴ δική του ἀπόφαση, ὅμως σ' ἄλλον μεταφέρει πολλὲς φορὲς τὶς κατηγορίες, λέγοντας τὰ ἑξῆς περίπου· 'γνωρίζω ὅτι δὲν ἦταν δικό σου τὸ ἁμάρτημα· ἄλλοι σὲ διέφθειραν καὶ σὲ ἐξαπάτησαν· σ' ἐκείνους ἀνήκει ὅλο τὸ φταίξιμο'. Διότι ἐκεῖνος ποὺ ἀκούει αὐτὰ θὰ μπορέσει, ἀφοῦ πρὸς στιγμὴ δεῖ μέσα ἀπὸ τὴν κακία στὴν ὁποία βρίσκεται καλύτερα τὰ πράγματα, νὰ ἐπιστρέψει εὐκολότερα πρὸς τὴν ἀρετή, νιώθοντας ντροπὴ καὶ κοκκινίζοντας ἀπ' αὐτὴν ποὺ φάνηκε ἀνάξιος γιὰ τὴ γνώμη ποὺ ἔχουν γι' αὐτόν. Αὐτὸ ἔκανε καὶ ὁ Παῦλος γράφοντας πρὸς τοὺς Γαλάτες. Μετὰ δηλαδὴ τοὺς πολλοὺς καὶ μακροὺς ἐκείνους λόγους καὶ τὶς ἀπερίγραπτες κατηγορίες, μὲ τὶς ὁποῖες κατηγόρησε αὐτούς, πρὸς τὸ τέλος τῆς ἐπιστολῆς, θέλοντας νὲ ξελαφρύνει τὴν κατηγορία γι' αὐτούς, ὥστε, ἀφοῦ ἀναπνεύσουν γιὰ λίγο ἀπὸ τὶς κατηγορίες, νὰ μπορέσουν νὰ προχωρήσουν στὴν ἀπολογία, λέγει τὰ ἑξῆς· «Ἐγὼ εἶμαι ἀπόλυτα πεπεισμένος γιὰ σᾶς ὅτι τίποτε ἄλλο παρόμοιο δὲν θὰ σκεφθῆτε· ἐκεῖνος δὲ ποὺ δημιουργεῖ ἀνάμεσά σας τὴν ταραχή, θὰ ὑποστεῖ τὴν καταδίκη, ὁποιος καὶ ἂν εἶναι αὐτός»[11]. Ἔτσι ἔκανε ἐδῶ καὶ ὁ Δαυίδ. Διότι μὲ τὸ νὰ πεῖ, «Γιατί ἀκοῦς τὰ λόγια τῶν ἀνθρώπων ποὺ λέγουν, νὰ ὁ Δαυὶδ ζητᾶ τὴ ζωή σου;», ἔδειξε ὅτι ἄλλοι εἶναι ἐκεῖνοι ποὺ τὸν ἐξόργιζαν, ἄλλοι ἐκεῖνοι ποὺ τὸν διέφθειραν, προσπαθώντας μὲ κάθε τρόπο νὰ τὸν ἀναγκάσουν ν' ἀπολογηθεῖ γιὰ τὶς κατηγορίες.

Ἔπειτα, ἀπολογούμενος γιὰ τὰ δικά του, λέγει· «Καὶ νὰ σήμερα τὸ εἶδες μὲ τὰ μάτια σου, ὅτι ὁ Κύριος σὲ παρέδωσε μέσα στὸ σπήλαιο στὰ χέρια μου, καὶ δὲν θέλησα νὰ σὲ φονεύσω· σὲ λυπήθηκα καὶ εἶπα· δὲν θ' ἁπλώσω τὸ χέρι μου ἐναντίον τοῦ κυρίου μου, διότι τὸν ἔχρισε ὁ Κύριος βασιλιά»[12]. Ἐκεῖνοι μέν, λέγει, μὲ κατηγοροῦν μὲ λόγια, ἐνῶ ἐγὼ ἀπολογοῦμαι μὲ γεγονότα καὶ μὲ τὰ ἔργα μου ἀπαλλάσσω τὸν ἑαυτό μου ἀπὸ τὴν κατηγορία. Δὲν χρειάζομαι λόγια, ἀφοῦ τὸ ἴδιο τὸ ἀποτέλεσμα

μοι λόγων, αὐτῆς τῶν πραγμάτων τῆς ἐκβάσεως παντὸς λόγου σαφέστερον δυναμένης διδάξαι, τίνες μὲν ἐκεῖνοι, τίς δὲ ἐγώ, καὶ ὡς συκοφαντία καὶ ψεῦδος ἡ κατ' ἐμοῦ γενομένη διαβολή. Καὶ τούτων οὐχ ἕτερον, ἀλλ' αὐτόν σε καλῶ μάρτυρα τὸν εὖ παθόντα.

4. Καὶ πῶς, φησίν, ἠδύνατο μαρτυρεῖν ἐκεῖνος; Ἡνίκα γὰρ ταῦτα ἐγίνετο, ἐκάθευδε, καὶ οὔτε τῶν ρημάτων ἤκουσεν, οὔτε τὸν Δαυὶδ εἶδε παρόντα, οὔτε τοῖς στρατιώταις διαλεγόμενον. Πῶς οὖν ἀπαντησόμεθα, ἵνα σαφὴς ἡ ἀπόδειξις γένηται; Εἰ γὰρ μάρτυρας παρῆγεν ἀνθρώπους τότε σὺν αὐτῷ ὄντας, ὑπώπτευσεν ἂν τὴν μαρτυρίαν ὁ Σαούλ, καὶ χαριζομένους τῷ δικαίῳ ταῦτα λέγειν ἐνόμιζεν. Εἰ δὲ ἀπὸ λογισμῶν καὶ εἰκότων ἐπεχείρησεν ἀπολογήσασθαι, μειζόνως ἔμελλεν ἀπιστεῖσθαι, τῆς τοῦ δικάζοντος γνώμης διεφθαρμένης. Πῶς γὰρ ὁ μετὰ τοσαύτας εὐεργεσίας πολεμῶν τῷ μηδὲν ἠδικηκότι, ἐδύνατο πιστεῦσαι ὅτι ὁ ἀδικηθεὶς τὸν ἀδικήσαντα λαβὼν εἰς χεῖρας, ἐφείσατο; Καὶ γάρ, ὡς τὰ πολλά, οἱ πολλοὶ τῶν ἀνθώπων ἐκ τῶν καθ' ἑαυτοὺς καὶ περὶ τῶν ἄλλων τὰς ψήφους φέρουσιν· οἷον, ὁ μεθύων διηνεκῶς οὐκ ἂν ῥᾳδίως πιστεύσειεν εἶναί τινα ἄνθρωπον ἐν ἐγκρατείᾳ ζῶντα· ὁ πόρναις προσέχων, καὶ τοὺς κοσμίως βιοῦντας ἀκολάστους εἶναι νομίζει· πάλιν ὁ τὰ τῶν ἄλλων ἁρπάζων, οὐκ ἂν πεισθείη ῥᾳδίως, ὅτι εἰσὶν ἄνθρωποι καὶ τὰ ἑαυτῶν προέμενοι. Οὕτω δὴ καὶ οὗτος ἅπαξ ὑπὸ τῆς ὀργῆς ἁλούς, οὐκ ἂν ῥᾳδίως ἐπίστευσεν, ὅτι ἐστὶν ἄνθρωπος οὕτω τοῦ πάθους περιγενόμενος, ὡς μὴ μόνον μηδὲν ἀδικεῖν, ἀλλὰ καὶ τὸν ἀδικοῦντα σώζειν. Ἐπεὶ οὖν καὶ ἡ γνώμη τοῦ δικάζοντος διέφθαρτο, καὶ μάρτυρες, εἰ παρήχθησαν, δι' ὑποψίας ἔμελλον εἶναι, ᾠκονομήθη ἀπόδειξίν τινα

τῶν πραγμάτων μπορεῖ σαφέστερα ἀπὸ ὁποιοδήποτε λόγο νὰ διδάξει, ποιοὶ μὲν εἶναι ἐκεῖνοι, ποιὸς δὲ ἐγώ, καὶ ὅτι εἶναι συκοφαντία καὶ ψέμα ἡ κατηγορία ἐναντίον μου. Καὶ γι' αὐτὰ ἐπικαλοῦμαι γιὰ μάρτυρα ὄχι ἄλλον, ἀλλὰ σένα τὸν ἴδιο ποὺ δέχτηκες τὴν εὐεργεσία.

4. Καὶ πῶς, λέγει, μποροῦσε ἐκεῖνος νὰ μαρτυρήσει γι' αὐτά; Διότι, ὅταν γίνονταν αὐτά, κοιμόταν, καὶ οὔτε τὰ λόγια ἄκουσε, οὔτε τὸ Δαυὶδ εἶδε παρόντα ἐκεῖ, οὔτε νὰ συνομιλεῖ μὲ τοὺς στρατιῶτες. Πῶς λοιπὸν θ' ἀπαντήσουμε, γιὰ νὰ γίνει ὁλοκάθαρη ἡ ἀπόδειξη; Διότι, ἐὰν παρουσίαζε τότε μάρτυρες ἀνθρώπους ποὺ ἦταν μαζὶ μὲ αὐτόν, ἴσως θὰ δημιουργοῦσε ἡ μαρτυρία στὸ Σαοὺλ κάποια ὑπόνοια, καὶ θὰ νόμιζε ὅτι αὐτὰ τὰ λέγουν προσφέροντας χάρη στὸν δίκαιο. Ἂν δὲ ἐπιχειροῦσε ν' ἀπολογηθεῖ μὲ συλλογισμοὺς καὶ πιθανολογίες, περισσότερη ἀπιστία ἐπρόκειτο νὰ δημιουργήσει, ἐπειδὴ ἦταν διεφθαρμένη ἡ γνώμη τοῦ δικαστῆ. Διότι πῶς ἐκεῖνος, ποὺ πολεμοῦσε μετὰ ἀπὸ τόσες πολλὲς εὐεργεσίες ἐκεῖνον ποὺ δὲν τὸν εἶχε ἀδικήσει σὲ τίποτε, θὰ μποροῦσε νὰ πιστέψει ὅτι ἐκεῖνος ποὺ ἀδικήθηκε συνέλαβε ἐκεῖνον ποὺ τὸν ἀδίκησε, καὶ τοῦ χάρισε τὴ ζωή; Καθόσον, ὡς ἐπὶ τὸ πλεῖστον, οἱ περισσότεροι ἀπὸ τοὺς ἀνθρώπους κρίνουν τὰ τῶν ἄλλων ἀπὸ τὰ δικά τους· γιὰ παράδειγμα, ἐκεῖνος ποὺ μεθάει συνέχεια δὲν θὰ μποροῦσε νὰ πιστέψει εὔκολα ὅτι ὑπάρχει κάποιος ἄνθρωπος ποὺ ζεῖ μὲ ἐγκράτεια· ἐκεῖνος ποὺ προσέχει πόρνες θεωρεῖ ἀκόλαστους καὶ ἐκείνους ποὺ ζοῦν μὲ σεμνότητα· ἐκεῖνος πάλι ποὺ ἁρπάζει τὰ ὑπάρχοντα τῶν ἄλλων, δὲν θὰ μποροῦσε νὰ πιστέψει εὔκολα, ὅτι ὑπάρχουν ἄνθρωποι ποὺ χαρίζουν καὶ τὰ δικά τους. Ἔτσι λοιπὸν καὶ αὐτός, ἐπειδὴ εἶχε κυριευτεῖ ἀπὸ ὀργή, δὲν θὰ μποροῦσε νὰ πιστέψει εὔκολα, ὅτι ὑπάρχει ἄνθρωπος ποὺ τόσο πολὺ κατανίκησε τὸ πάθος του, ὥστε ὄχι μόνο νὰ μὴ διαπράττει καμιὰ ἀδικία, ἀλλὰ καὶ νὰ σώζει ἐκεῖνον ποὺ τὸν ἀδίκησε. Ἐπειδὴ λοιπὸν καὶ ἡ κρίση ἐκείνου ποὺ δίκαζε εἶχε διαφθαρεῖ, καὶ μάρτυρες ἂν παρουσιάζονταν, ἐπρόκειτο νὰ δημιουργήσουν ὑποψίες,

γενέσθαι δυναμένην καὶ τοὺς σφόδρα ἀναισχυντοῦντας ἐπιστομίσαι.

Ποίαν δὴ ταύτην; Τὸ πτερύγιον τῆς διπλοΐδος, ὃ καὶ προβαλλόμενος ἔλεγεν· «Ἰδοὺ τὸ πτερύγιον τῆς διπλοΐδος ἐν τῇ χειρί μου, ὃ ἐγὼ ἀφεῖλον, καὶ οὐκ ἀπέκτεινά σε». Ἄφωνος ὁ μάρτυς, ἀλλὰ τῶν φωνὴν ἐχόντων σαφέστερος. Οὐ γὰρ ἂν εἰ μὴ πλησίον ἐγενόμην, φησί, καὶ τοῦ σώματος ἐγγὺς εἱστήκειν τοῦ σοῦ, τὸ μέρος ἂν ἔκοψα τοῦ ἱματίου. Ὁρᾷς ὅσον ἀγαθὸν ἐγένετο ἐκ τοῦ κινηθῆναι παρὰ τὴν ἀρχὴν τὸ Δαυίδ; Εἰ μὴ γὰρ ἐκινήθη πρὸς τὴν ὀργήν, οὐκ ἂν οὔτε τὴν φιλοσοφίαν ἐμάθομεν τοῦ ἀνδρὸς (οὐδὲ γὰρ ἀπὸ φιλοσοφίας, ἀλλ' ἐξ ἀναισθησίας μᾶλλον ἔδοξεν ἂν πολλοῖς ἡ φειδὼ γενέσθαι), οὐδ' ἂν ἐξέκοψε τὴν διπλοΐδα· μὴ ἐκκόψας δέ, οὐδαμόθεν ἑτέρωθεν εἶχε πιστώσασθαι τὸν ἐχθρόν. Νυνὶ δὲ κινηθεὶς καὶ τεμών, ἀναμφισβήτητον ἀπόδειξιν τῆς αὐτοῦ προνοίας παρέσχετο.

Ἐπεὶ οὖν οὕτως ἀληθῆ καὶ ἀνύποπτον μαρτυρίαν παρήγαγεν, αὐτὸν τὸν ἐχθρὸν καὶ δικαστὴν καὶ μάρτυρα καλεῖ τῆς οἰκείας κηδεμονίας, οὑτωσὶ λέγων· «Γνῶθι καὶ ἴδε σήμερον, ὅτι οὐκ ἔστιν ἐν τῇ χειρί μου κακία, οὐδὲ ἀθέτησις· καὶ σὺ δεσμεύεις τὴν ψυχήν μου, τοῦ λαβεῖν αὐτήν». Ἐντεῦθεν μάλιστα ἄν τις αὐτὸν θαυμάσειε τῆς μεγαλοψυχίας, ὅτι ἀπὸ τῶν κατ' ἐκείνην τὴν ἡμέραν συμβάντων τὴν ἀπολογίαν ποιεῖται μόνον. Τοῦτο γὰρ ᾐνίξατο εἰπών, «Γνῶθι καὶ ἴδε σήμερον». Οὐδὲν λέγω τῶν παρελθόντων, φησίν· ἀρκεῖ μοι πρὸς ἀπόδειξιν ἡ παροῦσα ἡμέρα. Καίτοι γε πολλὰς καὶ μεγάλας ἔμπροσθεν εὐεργεσίας γεγενημένας εἶχεν ἀριθμεῖν, εἴπερ ἠβούλετο· καὶ γὰρ τῆς πρὸς τὸν βάρβαρον μονομαχίας αὐτὸν ἀναμνῆσαι ἐδύνατο, καὶ εἰπεῖν, ὅτι τοῦ βαρβαρικοῦ πολέμου, καθάπερ κατακλυσμοῦ τινος, ἀπα-

---

13. Α' Βασ. 24, 12.
14. Α' Βασ. 24, 12.

φρόντισε νὰ ὑπάρξει κάποια ἀπόδειξη ποὺ νὰ μπορεῖ ν' ἀποστομώσει καὶ τοὺς ὑπερβολικὰ ἀδιάντροπους.

Ποιὰ λοιπὸν εἶναι αὐτή; Τὸ ἄκρο ἀπὸ τὸ ἐπανωφόρι τοῦ Σαούλ, τὸ ὁποῖο δείχνοντας ἔλεγε· «Νὰ τὸ ἄκρο ἀπὸ τὸ ἐπανωφόρι σου βρίσκεται στὰ χέρια μου, τὸ ὁποῖο ἀφαίρεσα ἐγὼ καὶ δὲν σὲ φόνευσα»[13]. Χωρὶς φωνὴ εἶναι ὁ μάρτυρας, ἀλλὰ πιὸ σαφὴς ἀπὸ ἐκείνους ποὺ ἔχουν φωνή. Διότι, λέγει, δὲν θὰ μποροῦσα, ἐὰν δὲν παραβρισκόμουν κοντά σου, καὶ νὰ σταθῶ δίπλα στὸ σῶμα σου, νὰ κόψω τὸ μέρος αὐτὸ ἀπὸ τὸ ἔνδυμά σου. Βλέπεις πόσο μεγάλο καλὸ προέκυψε ἀπὸ τὸ ὅτι ὁ Δαυὶδ κυριεύτηκε στὴν ἀρχὴ ἀπὸ τὴν ὀργή; Διότι, ἂν δὲν κυριευόταν ἀπὸ τὴν ἀρχή, δὲν θὰ μπορούσαμε οὔτε τὴν εὐσέβεια τοῦ Δαυὶδ νὰ γνωρίσουμε (διότι θὰ φαινόταν στοὺς πολλοὺς ὅτι τὸ χάρισμα τῆς ζωῆς τοῦ Σαοὺλ ἔγινε ὄχι ἀπὸ εὐσέβεια, ἀλλὰ μᾶλλον ἀπὸ ἀναισθησία), οὔτε θὰ ἔκοβε τὸ ἄκρο ἀπὸ τὸ ἐπανωφόρι του· ἂν δὲ δὲν τὸ ἔκοβε, ἀπὸ πουθενὰ ἀλλοῦ δὲν θὰ μποροῦσε νὰ κάνει τὸν ἐχθρὸ νὰ πιστέψει. Τώρα ὅμως μὲ τὸ ὅτι κυριεύτηκε ἀπὸ ὀργὴ καὶ τὸ ἔκοψε, παρουσίασε ἀναμφισβήτητη ἀπόδειξη τῆς πρόνοιάς του γιὰ τὸ Σαούλ.

Ἀφοῦ λοιπὸν παρουσίασε μὲ τὸν τρόπο αὐτὸ ἀληθινὴ καὶ ἀνυποψίαστη μαρτυρία, αὐτὸν πλέον τὸν ἐχθρὸ καλεῖ καὶ γιὰ δικαστὴ καὶ γιὰ μάρτυρα τῆς δικῆς του φροντίδας, λέγοντας τὰ ἑξῆς· «Πρόσεξε λοιπὸν καὶ μάθε σήμερα, ὅτι δὲν ὑπάρχει σὲ μένα καμιὰ κακία ἐναντίον σου, οὔτε ἀθέτηση, σὺ ὅμως πολεμᾶς τὴν ψυχή μου, θέλοντας ν' ἀφαιρέσεις τὴ ζωή της»[14]. Ἀπὸ αὐτὰ πρὸ πάντων θὰ μποροῦσε νὰ θαυμάσει κάποιος τὴ μεγαλοψυχία αὐτοῦ, διότι συνθέτει τὴν ἀπολογία του μόνο ἀπὸ ἐκεῖνα ποὺ συνέβηκαν κατὰ τὴν ἡμέρα ἐκείνη. Διότι αὐτὸ τὸ ὑπαινίχθηκε λέγοντας, «Πρόσεξε καὶ μάθε σήμερα». Τίποτε, λέγει, δὲν λέγω ἀπὸ τὰ περασμένα· μοῦ εἶναι ἀρκετὴ γιὰ ἀπόδειξη ἡ σημερινὴ ἡμέρα. Ἂν καὶ βέβαια, ἂν ἤθελε, μποροῦσε ν' ἀπαριθμήσει πολλὲς καὶ μεγάλες εὐεργεσίες ποὺ τοῦ εἶχε κάνει προηγουμένως· καθόσον μποροῦσε νὰ ὑπενθυμίσει σ' αὐτὸν τὴ μονομαχία του πρὸς τὸ βάρβαρο καὶ νὰ πεῖ, ὅταν ὁ βαρβαρι-

σαν μέλλοντος παρασύρειν τὴν πόλιν, κατεπτηχότων ὑμῶν καὶ δεδοικότων, καὶ καθ' ἑκάστην ἡμέραν ἀποθανεῖσθαι προσδοκώντων, ἐγὼ παρελθών, οὐδενὸς ἀναγκάσαντος, ἀλλὰ καὶ σοῦ κωλύοντος καὶ κατέχοντος καὶ λέγοντος, «Οὐ δυνήσῃ πορευθῆναι, ὅτι παιδάριον εἶ, αὐτὸς δὲ ἀνὴρ πολεμιστὴς ἐκ νεότητος αὐτοῦ», οὐκ ἠνεσχόμην, ἀλλὰ πρὸ τῶν ἄλλων ἁπάντων ἐπήδησα, καὶ τὸν πολέμιον ἐδεξάμην, καὶ τὴν κεφαλὴν ἀπέτεμον, καὶ ὥσπερ τινὰ χειμάρρου ῥύμην ἀνέστειλα τὴν ἔφοδον τῶν βαρβάρων ἐκείνων, καὶ τὴν πόλιν σειομένην ἔστησα· καὶ δι' ἐμὲ σὺ μὲν τὴν βασιλείαν καὶ τὴν ψυχήν, οἱ δὲ λοιποὶ πάντες μετὰ τῆς ψυχῆς τὴν πόλιν καὶ τὰς οἰκίας, καὶ τὰ παιδία καὶ τὰ γύναια ἔχουσι.

Καὶ μετ' ἐκεῖνο δὲ πάλιν τὸ τρόπαιον ἑτέρους οὓς κατώρθωσε πολέμους εἰπεῖν εἶχεν οὐκ ἐλάττους ἐκείνου. Καὶ ὅτι καὶ ἅπαξ καὶ δὶς καὶ πολλάκις ἐπιχειρήσαντος ἀνελεῖν, καὶ τὸ δόρυ κατὰ τῆς αὐτοῦ κεφαλῆς ἀφέντος, οὐκ ἐμνησικάκησε, καὶ ὅτι μετὰ ταῦτα μέλλων ἀποδιδόναι τὸν μισθὸν τῆς προτέρας μάχης, ἕδνα ἀπήτησεν, οὐ χρυσίον καὶ ἀργύριον, ἀλλὰ σφαγὴν καὶ πανωλεθρίαν· καὶ οὐδὲ ἐνταῦθα ἀνένευσε. Ταῦτα γὰρ πάντα, καὶ πολλῷ πλείονα τούτων καὶ μείζονα εἶχεν εἰπεῖν· ἀλλ' οὐδὲν τούτων εἶπεν. Οὐ γὰρ ὀνειδίσαι αὐτῷ τὰς εὐεργεσίας ἐβούλετο, ἀλλὰ πεῖσαι μόνον, ὅτι τῶν φιλούντων αὐτὸν καὶ κηδομένων ἐστίν, οὐχὶ τῶν ἐπιβουλευόντων καὶ πολεμούντων. Διὰ τοῦτο πάντα ἐκεῖνα ἀφείς, τὸ ἐν αὐτῇ τῇ ἡμέρᾳ συμβὰν μόνον εἰς λόγον ἀπολογίας παρήγαγεν. Οὕτως ἦν ἄτυφος καὶ κενοδοξίας καθαρὸς ἁπάσης, καὶ πρὸς ἓν ἔβλεπε μόνον, τὴν τοῦ Θεοῦ ψῆφον. Εἶτά φησι· «Κρίναι Κύριος ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ». Τοῦτο εἶπε τὸ ῥῆμα, οὐχὶ κολασθῆναι βουλόμενος τὸν ἄνδρα, οὐδὲ τιμωρίαν

15. Α' Βασ. 17, 33.
16. Α' Βασ. 24, 13.

κὸς πόλεμος, σὰν κάποιος ἀκριβῶς κατακλυσμός, ἐπρόκειτο ὁλόκληρη τὴν πόλη νὰ παρασύρει, καὶ ὅλοι σας ἤσασταν κυριευμένοι ἀπὸ τρόμο καὶ φόβο καὶ καθημερινὰ περιμένατε νὰ πεθάνετε, ἐγώ, ἀφοῦ ἦρθα, χωρὶς κανένας νὰ μὲ ἀνάγκασε, ἀλλὰ καὶ ἐνῶ σὺ ὁ ἴδιος μὲ ἐμπόδιζες καὶ μὲ συγκρατοῦσες καὶ μοῦ ἔλεγες, «Δὲν θὰ μπορέσεις νὰ βαδίσεις ἐναντίον του, διότι εἶσαι παιδὶ ἀκόμα, ἐνῶ αὐτὸς εἶναι ἄνδρας καὶ πολεμιστὴς ἀπὸ τὰ νεανικά του χρόνια»[15], δὲν συγκρατήθηκα, ἀλλά, μπροστὰ σ' ὅλους, πήδηξα καὶ συγκρούστηκα μὲ τὸν ἐχθρὸ καὶ ἔκοψα τὸ κεφάλι του, καὶ ἐμπόδισα τὴν ἔφοδο τῶν βαρβάρων ἐκείνων ποὺ ἔμοιαζε σὰν κάποιος ὁρμητικὸς χείμαρρος, καὶ στήριξα τὴν πόλη ποὺ κλονιζόταν· καὶ ἐξ αἰτίας μου σὺ μὲν ἔχεις τὴ βασιλεία καὶ τὴ ζωή σου, οἱ δὲ ὅλοι ὑπόλοιποι μαζὶ μὲ τὴ ζωὴ ἔχουν καὶ τὴν πόλη, τὰ σπίτια, τὰ παιδιὰ καὶ τὶς γυναῖκες τους.

Καὶ μετὰ πάλι ἀπὸ τὸ τρόπαιο ἐκεῖνο θὰ μποροῦσε ν' ἀναφέρει καὶ ἄλλους πολέμους στοὺς ὁποίους νίκησε καὶ ποὺ δὲν ἦταν κατώτεροι ἀπὸ ἐκεῖνον. Καὶ ὅτι, ἂν καὶ μιὰ καὶ δυὸ καὶ πολλὲς φορὲς ἐπιχείρησε νὰ τὸν φονεύσει καὶ ἔρριξε τὸ δόρυ του ἐναντίον τῆς κεφαλῆς αὐτοῦ, ὅμως δὲν τοῦ κράτησε κακία, καὶ ὅτι στὴ συνέχεια, ὅταν ἐπρόκειτο νὰ τοῦ προσφέρει τὴν ἀμοιβὴ γιὰ τὴν προηγούμενη μάχη, τοῦ ζήτησε γιὰ γαμήλιο δῶρο ὄχι χρυσὸ καὶ ἄργυρο, ἀλλὰ σφαγὴ καὶ καταστροφή, καὶ ὅμως οὔτε καὶ τότε πρόβαλε ἄρνηση. Πράγματι ὅλα αὐτὰ καὶ πολὺ περισσότερα ἀπὸ αὐτὰ καὶ μεγαλύτερα μποροῦσε νὰ τοῦ πεῖ, ἀλλ' ὅμως τίποτε ἀπὸ αὐτὰ δὲν εἶπε. Διότι δὲν ἤθελε νὰ κατηγορήσει αὐτὸν γιὰ τὶς εὐεργεσίες του, ἀλλὰ νὰ τὸν πείσει μόνο, ὅτι ἀνήκει σ' ἐκείνους ποὺ τὸν ἀγαποῦν καὶ φροντίζουν γι' αὐτόν, καὶ ὄχι σ' ἐκείνους ποὺ τὸν ἐπιβουλεύονται καὶ τὸν πολεμοῦν. Γι' αὐτό, ἀφοῦ τὰ ἄφησε ὅλα ἐκεῖνα, παρουσίασε στὴ θέση τῆς ἀπολογίας τὸ συμβὰν μόνο τῆς ἡμέρας ἐκείνης. Τόσο πολὺ ταπεινόφρονας ἦταν καὶ καθαρὸς ἀπὸ κάθε ματαιοδοξία, καὶ πρὸς ἕνα ἀπέβλεπε μόνο, τὴν κρίση τοῦ Θεοῦ. Ἔπειτα λέγει· «Ὁ Κύριος ἂς κρίνει καὶ ἂς δικάσει ἐμένα καὶ σένα»[16]. Αὐτὰ τὰ λόγια τὰ εἶπε, θέλοντας ὄχι νὰ τιμωρηθεῖ ὁ Σαούλ, οὔ-

παρ' αὐτοῦ λαβεῖν, ἀλλὰ φοβῆσαι τῇ μνήμῃ τῆς μελλούσης κρίσεως· καὶ οὐ φοβῆσαι μόνον, ἀλλὰ καὶ ὑπὲρ τῶν καθ' ἑαυτὸν ἀπολογήσασθαι. Μάλιστα μὲν γάρ, φησίν, ἔχω καὶ ἀπὸ τῶν πραγμάτων ἀποδείξεις, εἰ δὲ ἀπιστεῖς, αὐτὸν καλῶ τὸν Θεὸν μάρτυρα, τὸν τὰ ἀπόρρητα τῆς ἑκάστου διανοίας εἰδότα, καὶ τὸ συνειδὸς ἐρευνῆσαι δυνάμενον.

5. Ταῦτα δὲ ἔλεγε, δεικνὺς ὅτι οὐκ ἂν ἐτόλμησε καλέσαι τὸν ἀπαραλόγιστον δικαστήν, καὶ ἐπ' αὐτοῦ τὴν δίκην εἰσαγαγεῖν, εἰ μὴ σφόδρα ἦν πεπεικὼς ἑαυτόν, ὅτι πάσης ἐπιβουλῆς ἦν καθαρός. Καὶ ὅτι οὐ στοχασμὸς τὰ εἰρημένα, ἀλλὰ καὶ ὑπὲρ τῶν καθ' ἑαυτὸν ἀπολογήσασθαι βουληθείς, κἀκεῖνον σωφρονίσαι θέλων, τῆς δίκης ἐκείνης ἀνέμνησεν, ἱκανὰ μὲν καὶ τὰ ἤδη γεγενημένα δηλῶσαι, οὐκ ἔλαττον δὲ ἐκείνων καὶ τὰ μετὰ ταῦτα συμβάντα τοῦτο πιστώσασθαι δύναται. Καὶ γὰρ πάλιν αὐτὸν εἰς χεῖρας λαβών, μετὰ τὴν σωτηρίαν ταύτην ἐπιθέμενον αὐτῷ καὶ ἀνελεῖν βουλόμενον, καὶ δυνάμενος αὐτὸν μετὰ τοῦ στρατοπέδου κατακόψαι παντός, ἀφῆκεν, οὐδέν, ὧν ἀνήκεστα νοσεῖ, καὶ τῆς πρὸς αὐτὸν ἔχθρας οὐδαμοῦ λήξει ποτέ, ἐξήγαγεν ἑαυτὸν τῶν ὀφθαλμῶν τῶν ἐκείνου, καὶ παρὰ τοῖς βαρβάροις ἔζη, δουλεύων, ἠτιμωμένος, αἰσχυνόμενος, ἐκ πόνου καὶ ταλαιπωρίας τὴν ἀναγκαίαν ἑαυτῷ πορίζων τροφήν.

Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστόν, ἀλλ' ὅτι καὶ πεσόντα ἀκούσας ἐπὶ τῆς παρατάξεως, διέρρηξέ τε τὸν χιτωνίσκον, καὶ σποδὸν κατεπάσατο, καὶ θρῆνον ἐθρήνησεν, ὃν ἂν τις θρηνήσειε, παῖδα μονογενῆ καὶ γνήσιον ἀποβαλών, συνεχῶς αὐτοῦ τὸ ὄνομα ἀνακαλῶν μετὰ τοῦ παιδίου, καὶ ἐγκώμια συντιθείς, καὶ πικρὰν ἀφιεὶς φωνήν, καὶ μέχρις ἑσπέρας ἄσιτος μένων, καὶ αὐτὰ τὰ χωρία καταρρώμενος τὰ δεξάμενα τὸ αἷμα τοῦ Σαούλ· «Ὄρη» γάρ, φησί, «τὰ Γελβουέ, μὴ πέσοι ἐφ' ὑμᾶς, μήτε δρό-

τε νὰ λάβει ἀπ' αὐτὸν ἐκδίκηση, ἀλλὰ νὰ τὸν φοβήσει μὲ τὴν ὑπενθύμιση τῆς μέλλουσας κρίσης· καὶ ὄχι μόνο νὰ τὸν φοβήσει, ἀλλὰ καὶ γιὰ ν' ἀπολογηθεῖ γιὰ τὰ ὅσα ἔκανε αὐτός. Ὁπωσδήποτε, λέγει, ἔχω ἀποδείξεις καὶ ἀπὸ τὰ ἴδια τὰ γεγονότα, ἂν ὅμως ἀπιστεῖς ἐπικαλοῦμαι μάρτυρα τὸν ἴδιο τὸν Θεό, ποὺ γνωρίζει τὰ ἀπόκρυφα τῆς σκέψεως τοῦ καθένα καὶ μπορεῖ νὰ ἐρευνήσει τὴ συνείδηση.

5. Αὐτὰ δὲ τὰ ἔλεγε, γιὰ νὰ δείξει ὅτι δὲν θὰ τολμοῦσε νὰ καλέσει τὸν ἀμερόληπτο δικαστή, καὶ ν' ἀναθέσει σ' αὐτὸν τὴ δίκη, ἐὰν δὲν ἦταν ὑπερβολικὰ πεπεισμένος, ὅτι ἦταν καθαρὸς ἀπὸ κάθε ἐπιβουλή. Καὶ γιὰ νὰ δείξει ὅτι αὐτὰ ποὺ ἔλεγε δὲν τὰ ἔλεγε ἐκ συμπερασμοῦ, ἀλλὰ θέλοντας καὶ ν' ἀπολογηθεῖ γιὰ τὰ ὅσα ὁ ἴδιος ἔκανε, καὶ ἐπιθυμώντας ἐκεῖνον νὰ σωφρονίσει, τοῦ ὑπενθύμησε τὴ δίκη ἐκείνη· ἱκανὰ μὲν ἦταν καὶ τὰ ὅσα ἤδη συνέβηκαν νὰ τὰ φανερώσουν, ὄχι λιγότερο ὅμως ἀπὸ ἐκεῖνα μποροῦν αὐτὸ νὰ τὸ βεβαιώσουν τὰ ὅσα συνέβηκαν στὴ συνέχεια. Καθόσον ὅταν πάλι, μετὰ τὴ σωτηρία αὐτή, ἐπιτίθονταν ἐναντίον αὐτοῦ καὶ ἤθελε νὰ τὸν φονεύσει, καὶ συνέλαβε αὐτόν, καὶ ἐνῶ μποροῦσε αὐτὸν μαζὶ μὲ ὅλο τὸ στρατό του νὰ τὸν ἐξολοθρεύσει, τὸν ἄφησε ἐλεύθερο, χωρὶς νὰ ἔπαθε τίποτε ἀπὸ ἐκεῖνα ποὺ ἦταν φυσικὸ νὰ πάθει. Γι' αὐτό, ἐπειδὴ ἀντιλήφθηκε ὅτι πάσχει ἀθεράπευτα καὶ ὅτι ποτὲ δὲν θὰ τερματιζόταν μὲ τίποτε ἡ ἔχθρα του πρὸς αὐτόν, ἀπομακρύνθηκε ἀπὸ κοντά του καὶ ζοῦσε κοντὰ στοὺς βαρβάρους, δουλεύοντας, ἀτιμαζόμενος, περιφρονούμενος, καὶ ἐξασφαλίζοντας τὴν ἀναγκαία τροφή του μὲ κόπους καὶ ταλαιπωρίες.

Καὶ δὲν εἶναι μόνο αὐτὸ τὸ ἀξιοθαύμαστο, ἀλλ' ὅτι καὶ ὅταν ἄκουσε ὅτι φονεύτηκε στὸν πόλεμο, ξέσχισε τὸ χιτώνα του, καὶ ἀλοίφτηκε μὲ στάχτη, καὶ τὸν θρήνησε μὲ τέτοιους θρήνους, ὅπως θὰ θρηνοῦσε κάποιος ἂν ἔχανε τὸ μονάκριβο καὶ γνήσιο παιδί του, ἀναφέροντας συνέχεια τὸ ὄνομα αὐτοῦ καὶ τοῦ παιδιοῦ του, πλέκοντας ἐγκώμια, λέγοντας λόγια πικρά, μένοντας νηστικὸς μέχρι τὴν ἑσπέρα, καὶ καταρώμενος τὸ μέρος ποὺ δέχτηκε τὸ αἷμα τοῦ Σαούλ· διότι, λέγει, «Ὄρη

σος, μήτε ὑετός· ὄρη θανάτου, ὅτι ἐκεῖ ἐξήρθη σκέπη δυνατῶν». Ὅπερ πατέρες ποιοῦσι πολλάκις, καὶ τὴν οἰκίαν ἀποστρέφονται, καὶ τὸν στενωπὸν ἀηδῶς ὁρῶσι, δι' οὗ τὸν υἱὸν προέπεμψαν, τοῦτο καὶ οὗτος ἐποίησε, καὶ κατηρᾶτο τοῖς ὄρεσι τοῖς τὴν σφαγὴν δεξαμένοις. Μισῶ καὶ τὸν τόπον αὐτὸν διὰ τοὺς ἐκεῖ πεσόντας νεκρούς, φησί. Μηκέτι τοίνυν βραχῆτε τοῖς ἄνωθεν ὑετοῖς· ἐβράχητε γὰρ ἅπαξ κακῶς τῷ τῶν φίλων μου αἵματι· καὶ συνεχῶς δὲ αὐτῶν περιστρέφει τὰ ὀνόματα, οὑτωσὶ λέγων· «Σαοὺλ καὶ Ἰωνάθαν, οἱ ἠγαπημένοι καὶ ὡραῖοι, οὐ κεχωρισμένοι ἐν τῇ ζωῇ αὐτῶν, καὶ ἐν τῷ θανάτῳ αὐτῶν οὐ διεχωρίσθησαν». Ἐπειδὴ γὰρ τὰ σώματα μὴ παρόντα περιπτύξασθαι οὐκ εἶχε, περιπλέκεται αὐτῶν ταῖς προσηγορίαις, τὴν οἰκείαν ὀδύνην, ὡς οἷόν τε, τούτοις καταπραΰνων, καὶ τὸ τῆς συμφορᾶς παραμυθούμενος μέγεθος.

Ἐπειδὴ γὰρ πολλοῖς ἐδόκει τὸ πεσεῖν ἀμφοτέρους ἐν ἡμέρᾳ μιᾷ ἀνήκεστον εἶναι κακόν, αὐτὸ δὴ τοῦτο εἰς ὑπόθεσιν παραμυθίας ἔλαβε. Τῷ γὰρ εἰπεῖν, «Ἐν τῇ ζωῇ αὐτῶν οὐ κεχωρισμένοι, καὶ ἐν τῷ θανάτῳ αὐτῶν οὐκ ἐχρίσθησαν», οὐδὲν ἕτερον, ἢ τοῦτο κατασκευάζοντος ἦν. Οὐ γάρ ἐστι, φησίν, εἰπεῖν, ὅτι ὀρφανίαν ὁ παῖς ἐθρήνησεν, οὐδὲ ἀπαιδίαν ὁ πατὴρ ὠδύρατο, ἀλλ', ὃ μηδενὶ συνέβη, συνέβη, φησίν, ἐκείνοις· ὁμοῦ γὰρ καὶ κατὰ μίαν ἡμέραν τῆς ζωῆς ἀπερράγησαν, καὶ οὐ καταλειφθεὶς θάτερος. Ἦ γὰρ ἂν ἀβίωτον ἑαυτῷ εἶναι τὸν βίον ἐνόμισε τῇ διαστάσει θατέρου.

Διεθερμάνθητε νῦν, ἐδακρύσατε, συνεχύθητε τὸν λογισμόν, καὶ πρὸς ἄφεσιν δακρύων εὐτρεπεῖς ὑμῶν οἱ ὀφθαλμοὶ γεγένηνται; Νῦν ἕκαστος ἀναμιμνησκέσθω μοι τοῦ ἐχθροῦ καὶ τοῦ λελυπηκότος, ἔτι ζεούσης τῷ πένθει τῆς διανοίας, καὶ τοῦτον καὶ

17. Α' Βασ. 1, 21.
18. Β' Βασ. 1, 23.

Γελβουέ, νὰ μὴ πέσει ποτὲ δροσιὰ ἐπάνω σας, οὔτε καὶ βροχή· ὄρη τοῦ θανάτου, διότι ἐκεῖ ἐξολοθρεύτηκε τὸ ὀχύρωμα τῶν δυνατῶν»[17]. Καὶ αὐτὸ ἀκριβῶς ποὺ κάμνουν πολλὲς φορὲς οἱ πατέρες, οἱ ὁποῖοι καὶ τὴν οἰκία ἀποστρέφονται, καὶ τὸ δρόμο ἀπὸ τὸν ὁποῖο ὁδήγησαν νεκρὸ τὸ παιδί τους τὸν βλέπουν μὲ μίσος, αὐτὸ καὶ αὐτὸς ἔκανε, καταρώμενος τὰ ὄρη ποὺ δέχτηκαν τὴ σφαγή του. Μισῶ, λέγει, καὶ τὸν τόπο αὐτὸ ἐξ αἰτίας τῶν νεκρῶν ποὺ ἔπεσαν ἐκεῖ. Ποτὲ πλέον μὴ βραχεῖτε μὲ τὶς οὐράνιες βροχές· διότι βραχήκατε μιὰ φορὰ κακῶς μὲ τὸ αἷμα τῶν φίλων μου· καὶ συνέχεια ἀναφέρει τὰ ὀνόματα αὐτῶν, λέγοντας τὰ ἑξῆς· «Σαοὺλ καὶ Ἰωνάθαν, οἱ ἀγαπημένοι καὶ ὡραῖοι, ποὺ δὲν χωρίσθηκαν στὴ ζωή τους, ἀλλ' οὔτε καὶ σ' αὐτὸν τὸ θάνατο χωρίσθηκαν»[18]. Ἐπειδὴ δηλαδὴ δὲν ἦταν τὰ σώματα ἐκεῖ καὶ δὲν μποροῦσε νὰ τὰ ἀγκαλιάσει, ἀγκαλιάζει αὐτοὺς μὲ τὶς προσφωνήσεις, καταπραΰνοντας, ὅσο ἦταν δυνατό, μὲ αὐτὲς τὸν πόνο του καὶ παρηγορώντας τὸ μέγεθος τῆς συμφορᾶς.

Πράγματι ἐπειδὴ φαινόταν στοὺς πολλοὺς φοβερὸ κακὸ τὸ νὰ φονευθοῦν καὶ οἱ δυὸ σὲ μιὰ μέρα, αὐτὸ λοιπὸν ἔλαβε γιὰ μέσο τῆς παρηγοριᾶς του. Διότι μὲ τὸ νὰ πεῖ, «Στὴ ζωή τους δὲν χωρίσθηκαν, ἀλλ' οὔτε καὶ στὸ θάνατο χωρίσθηκαν», τίποτε ἄλλο, παρὰ αὐτὸ ἐννοοῦσε. Δὲν μπορεῖ δηλαδή, λέγει, νὰ πεῖ κανείς, ὅτι ὁ υἱὸς θρήνησε ὀρφάνια, οὔτε ὁ πατέρας ἔκλαψε γιὰ τὸ χαμὸ τοῦ παιδιοῦ του, ἀλλά, λέγει, σ' ἐκείνους συνέβηκε αὐτὸ ποὺ δὲν συνέβηκε σὲ κανένα· διότι καὶ οἱ δυὸ μαζὶ καὶ σὲ μιὰ ἡμέρα ἔφυγαν ἀπὸ τὴ ζωή, χωρὶς νὰ ἄφησε πίσω του ὁ ἕνας ἀπὸ τοὺς δυὸ τὸν ἄλλο. Διότι ὁπωσδήποτε ὁ καθένας ἀπὸ τοὺς δυὸ θὰ θεωροῦσε γιὰ τὸν ἑαυτό του ἀνυπόφορη τὴ ζωὴ ἐξ αἰτίας τοῦ χωρισμοῦ.

Κυριευθήκατε τώρα ἀπὸ συγκίνηση, δακρύσατε, πάθατε σύγχυση στὶς σκέψεις σας καὶ εἶναι ἕτοιμα τὰ μάτια σας νὰ λυθοῦν σὲ δάκρυα; Τώρα ὁ καθένας ἂς φέρει στὴ σκέψη του τὸν ἐχθρό του καὶ ἐκεῖνον ποὺ τὸν ἔχει λυπήσει, τώρα ποὺ ἀκόμα ἐξ αἰτίας τοῦ πένθους ὁ νοῦς σας εἶναι συγκινημένος, καὶ αὐτὸν

ζῶντα φυλαττέτω, καὶ ἀπελθόντα πενθείτω, μὴ πρὸς ἐπίδειξιν, ἀλλ' ἀπὸ διανοίας καὶ ψυχῆς γνησίας· κἂν δέῃ τι παθεῖν, ὥστε μὴ λυπῆσαι τὸν ἠδικηκότα, πάντα ποιείτω καὶ πασχέτω, παρὰ τοῦ Θεοῦ μεγάλας ἀναμένων τὰς ἀμοιβάς. Ἰδοὺ γοῦν οὗτος καὶ τὴν βασιλείαν ἔλαβε, καὶ τὴν χεῖρα οὐκ ἐμόλυνεν, ἀλλὰ καθαρὰν ἔχων τὴν δεξιάν, οὕτω τὸν στέφανον ἀνεδήσατο, καὶ ἐπὶ τὸν θρόνον ἀνέβη, τῆς ἁλουργίδος καὶ τοῦ διαδήματος λαμπροτέραν ἔχων εὐφημίας ὑπόθεσιν, τὸ φείσασθαι τοῦ πολεμίου, τὸ θρηνῆσαι πεσόντα. Διὰ τοῦτο οὐχὶ ζῶν μόνον, ἀλλὰ καὶ τελευτήσας μνημονεύεται.

Ὥστε εἰ βούλει καὶ σὺ καὶ ἐνταῦθα διηνεκοῦς δόξης τυχεῖν, ἄνθρωπε, κἀκεῖ τῶν ἀκινήτων ἀπολαῦσαι καλῶν, μίμησαι τὴν ἀρετὴν τοῦ δικαίου, ζήλωσον τὴν φιλοσοφίαν, ἐπίδειξαι διὰ τῶν ἔργων τὴν ἀνεξικακίαν ταύτην, ἵνα τοὺς αὐτοὺς ὑπομείνας αὐτῷ πόνους, καὶ τῶν αὐτῶν ἀξιωθῇς ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ Πατρὶ σὺν τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

καὶ ὅσο θὰ ζεῖ ἂς τὸν προσέχει, καὶ ὅταν θὰ πεθάνει ἂς τὸν πενθεῖ, ὄχι γιὰ ἐπίδειξη, ἀλλὰ ἀπὸ καθαρὴ διάνοια καὶ ψυχή· καὶ ἂν ἀκόμα χρειασθεῖ νὰ πάθει κάτι, ὥστε νὰ μὴ λυπήσει ἐκεῖνον ποὺ τὸν ἀδίκησε, ὅλα νὰ τὰ κάμνει καὶ νὰ τὰ ὑπομένει, περιμένοντας ἀπὸ τὸ Θεὸ μεγάλες τὶς ἀμοιβές. Νὰ λοιπὸν αὐτὸς καὶ τὴ βασιλεία ἔλαβε, καὶ τὸ χέρι του δὲν μόλυνε, ἀλλ', ἔχοντας καθαρὴ τὴ δεξιά του, ἔτσι φόρεσε τὸ στεφάνι, καὶ στὸ θρόνο ἀνέβηκε, ἔχοντας λαμπρότερη ἀφορμὴ ἐπευφημίας ἀπὸ τὴ βασιλικὴ ἁλουργίδα καὶ τὸ βασιλικὸ διάδημα, τὸ ὅτι χάρισε τὴ ζωὴ τοῦ ἐχθροῦ του καὶ τὸ ὅτι τὸν θρήνησε ὅταν φονεύθηκε.

Ὥστε ἐὰν θέλεις καὶ σύ, ἄνθρωπε, καὶ ἐδῶ νὰ τύχεις διαρκὴ δόξα, καὶ στὴν ἄλλη ζωὴ ν' ἀπολαύσεις τὰ αἰώνια ἀγαθά, μιμήσου τὴν ἀρετὴ τοῦ δικαίου, γίνε ζηλωτὴς τῆς εὐσέβειάς του, δεῖξε μὲ τὰ ἔργα σου τὴν ἀνεξικακία αὐτή, ὥστε, ἀφοῦ ὑπομείνεις τοὺς ἴδιους μὲ αὐτὸν κόπους, ν' ἀξιωθεῖς ν' ἀπολαύσεις καὶ τὰ ἴδια ἀγαθά, τὰ ὁποῖα εὔχομαι ὅλοι μας νὰ τὰ ἐπιτύχουμε, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

Ο Μ Ι Λ Ι Α Γ'.

Ὅτι ἐπισφαλὲς τὸ εἰς θέατρα ἀναβαίνειν, καὶ ὅτι μοιχοὺς ἀπηρτισμένους ποιεῖ, καὶ ὅτι ἀθυμίας αἴτιον καὶ πολέμου τοῦτο· καὶ ὅτι πᾶν ἀνεξικακίας εἶδος ὑπερεβάλετο ὁ Δαυὶδ ἐν τοῖς κατὰ τὸν Σαοὺλ καὶ ὅτι τὸ φέρειν ἁρπαγὴν πρᾴως τοῦ δοῦναι ἐλεημοσύνην ἴσον.

1. Πολλοὺς οἶμαι τῶν πρῴην καταλιπόντων ἡμᾶς, καὶ πρὸς τὰ θέατρα τῆς παρανομίας αὐτομολησάντων παρεῖναι τήμερον. Καὶ ἐβουλόμην εἰδέναι τούτους σαφῶς, ὥστε αὐτοὺς τῶν ἱερῶν ἐκβαλεῖν προθύρων, οὐχ ἵνα μένωσιν ἔξω διηνεκῶς, ἀλλ' ἵνα διορθωθέντες ἐπανέλθωσι πάλιν· ἐπεὶ καὶ πατέρες παῖδας σφαλλομένους τῆς οἰκίας ἐκβάλλουσι πολλάκις, καὶ τῆς τραπέζης ἀπείργουσιν, οὐχ ἵνα διὰ παντὸς τούτων ἐκπέσωσιν, ἀλλ' ἵνα βελτίους τῇ νουθεσίᾳ ταύτῃ γενόμενοι, μετὰ τῆς προσηκούσης δόξης εἰς τὸν πατρῷον ἐπανέλθωσι κλῆρον. Τοῦτο δὴ καὶ ποιμένες ποιοῦσι, τὰ ψώρας ἐμπεπλησμένα πρόβατα τῶν ὑγιαινόντων ἀπείργουσιν, ἵνα τὴν μοχθηρὰν ἀποθέμενα τὴν ἀρρωστίαν, μετ' ἀσφαλείας πρὸς τὰ ὑγιαίνοντα ἐπανέλθῃ πάλιν, καὶ μὴ νοσοῦντα τὴν ἀγέλην ἅπασαν ἐμπλήσῃ τῆς ἀρρωστίας ἐκείνης.

Διά τοι τοῦτο καὶ ἡμεῖς ἐβουλόμεθα τούτους εἰδέναι· ἀλλ' εἰ καὶ μὴ τοῖς αἰσθητοῖς ὀφθαλμοῖς αὐτοὺς διακρῖναι δυνάμεθα, ὁ

ΟΜΙΛΙΑ Γ'.

Περὶ τοῦ ὅτι εἶναι ἐπικίνδυνο νὰ πηγαίνουμε στὰ θέατρα, ὅτι αὐτὸ δημιουργεῖ πραγματικοὺς μοιχούς, καὶ ὅτι εἶναι αἰτία λύπης καὶ πολέμου· καὶ ἀκόμα ὅτι ὁ Δαυὶδ ξεπέρασε κάθε εἶδος ἀνεξικακίας μὲ τὶς ἐνέργειές του πρὸς τὸ Σαούλ, καὶ ὅτι τὸ νὰ ὑπομένει κανεὶς μὲ ἠρεμία τὴν ἁρπαγὴ εἶναι ἰσοδύναμο μὲ τὸ νὰ δίνει ἐλεημοσύνη.

1. Νομίζω ὅτι πολλοὶ βρίσκονται σήμερα ἐδῶ ἀπὸ ἐκείνους ποὺ μᾶς ἐγκατέλειψαν πρὶν ἀπὸ ἡμέρες καὶ μετέβησαν στὰ θέατρα τῆς παρανομίας. Καὶ θὰ ἤθελα νὰ ξέρω καλὰ αὐτούς, ὥστε νὰ τοὺς βγάλω ἔξω ἀπὸ τὰ ἱερὰ πρόθυρα, ὄχι γιὰ νὰ μένουν ἔξω γιὰ πάντα, ἀλλὰ γιὰ νὰ ἐπανέλθουν καὶ πάλι, ἀφοῦ πρῶτα διορθωθοῦν· καθόσον καὶ οἱ πατέρες πολλὲς φορὲς διώχνουν τὰ παιδιά τους ἀπὸ τὸ σπίτι ὅταν πέσουν σὲ κάποιο σφάλμα, καὶ τὰ στεροῦν τὴν τράπεζα, ὄχι γιὰ νὰ τὰ διώξουν γιὰ πάντα ἀπὸ κοντά τους, ἀλλά, ἀφοῦ γίνουν μὲ τὴ νουθεσία αὐτὰ καλύτερα, νὰ ἐπιστρέψουν μὲ τὴν πρέπουσα τιμὴ στὸν πατρικὸ κλῆρο. Αὐτὸ βέβαια κάμνουν καὶ οἱ ποιμένες, οἱ ὁποῖοι ἀπομακρύνουν ἀπὸ τὰ ὑγιῆ πρόβατα ἐκεῖνα ποὺ εἶναι γεμάτα ἀπὸ ψώρα, ὥστε, ἀφοῦ ἀπαλλαχθοῦν ἀπὸ τὴν κακὴ αὐτὴ ἀρρώστια, νὰ ἐπιστρέψουν καὶ πάλι κοντὰ στὰ ὑγιῆ χωρὶς κανένα φόβο, καὶ νὰ μὴ γεμίσουν μὲ τὴν ἀρρώστια αὐτή, ποὺ ὑποφέρουν ἐκεῖνα, ὁλόκληρο τὸ ποίμνιο.

Γι' αὐτὸ λοιπὸν καὶ ἐμεῖς θὰ θέλαμε νὰ ξέρουμε αὐτούς· ἀλλ' ἂν καὶ δὲν μποροῦμε νὰ τοὺς διακρίνουμε μὲ τὰ αἰσθητὰ

λόγος αὐτοὺς ἐπιγνώσεται πάντως, καὶ τοῦ συνειδότος αὐτῶν ἐπιλαβόμενος πείσει ῥᾳδίως ἑκόντας αὐτοὺς ἐξελθεῖν, διδάσκων ὅτι ἐκεῖνος ἔνδον ἐστὶ μόνος, ὁ τῆς ἐνταῦθα πολιτείας διεφθαρμένης τοῦ ἱεροῦ τούτου μετέχων συλλόγου, κἂν τὸ σῶμα ἐνταῦθα εἰσάγῃ, ἐκβέβληται, καὶ τῶν ἀποκεκλεισμένων ἔξω καὶ μηδέπω δυναμένων τῆς ἱερᾶς μετασχεῖν τραπέζης μᾶλλον ἀπελήλαται. Ἐκεῖνοι μὲν γὰρ οἱ κατὰ τοὺς τοῦ Θεοῦ νόμους ἐκβληθέντες, καὶ μένοντες ἔξω, τέως χρηστὰς ἔχουσι τὰς ἐλπίδας, κἂν γὰρ ἐθέλωσι διορθώσασθαι τὰ παραπτώματα, δι' ἃ τῆς Ἐκκλησίας ἐξέπεσον, δυνήσονται μετὰ καθαροῦ συνειδότος πάλιν ἐπανελθεῖν, οἱ δὲ μολύναντες ἑαυτούς, καὶ κελευσθέντες μὴ πρότερον ἐπιβῆναι, ἕως ἂν ἀποκαθάρωνται τὴν κηλῖδα τὴν ἐκ τῶν ἁμαρτημάτων, εἶτα ἀναισχυντοῦντες, χαλεπώτερον τὸ τραῦμα ἐργάζονται, καὶ μεῖζον τὸ ἕλκος. Οὐ γὰρ οὕτω τὸ ἁμαρτάνειν ἐστὶ χαλεπόν, ὡς ἡ μετὰ τὴν ἁμαρτίαν ἀναισχυντία, καὶ τὸ μὴ πείθεσθαι τοῖς ἱερεῦσι τὰ τοιαῦτα κελεύουσι.

Καὶ τί τοσοῦτον ἡμάρτηται τούτοις, φησίν, ὥστε αὐτοὺς ἐκβαλεῖν τῶν ἱερῶν τούτων περιβόλων; Καὶ ποίαν ἑτέραν ταύτης ζητεῖς μείζονα ἁμαρτίαν, ὅταν μοιχοὺς ἑαυτοὺς ἀπηρτισμένους ποιήσαντες, ἀναιδῶς, καθάπερ κύνες λυττῶντες, ἐπιπηδῶσι τῇ ἱερᾷ ταύτῃ τραπέζῃ; Καὶ εἰ βούλει μαθεῖν καὶ τὸν τρόπον τῆς μοιχείας, οὐκ ἐμὸν ἐρῶ σοι λόγον, ἀλλ' αὐτοῦ τοῦ μέλλοντος ἡμῶν δικάζειν τὴν ζωὴν ἅπασαν· «Ὁ γὰρ ἐμβλέψας», φησί, «γυναῖκα πρὸς τὸν ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ». Εἰ δὲ ἡ ἀπὸ ταὐτομάτου κατὰ τὴν ἀγορὰν ἐντυχοῦσα γυνὴ καὶ ὡς ἔτυχεν ἐσταλμένη τὸν περιέργως ἰδόντα εἷλε πολλάκις τῇ τῆς ὄψεως θεωρίᾳ, οἱ μὴ ἁπλῶς μηδὲ ἀπὸ ταὐτο-

1. Ματθ. 5, 28.

μάτια, ὁπωσδήποτε ὅμως θὰ τοὺς ἀνακαλύψει ὁ λόγος, καί, ἀφοῦ προσεγγίσει τὴ συνείδησή τους, θὰ τοὺς πείσει εὔκολα νὰ φύγουν μὲ τὴ θέλησή τους, διδάσκοντας ὅτι ἐκεῖνος μόνο εἶναι ἄξιος νὰ μείνει μέσα, ἐκεῖνος ποὺ ἔχει φρόνηση ἄξια τῆς ἐδῶ παραμονῆς· διότι ἐκεῖνος ποὺ κάμνει διεφθαρμένη ζωὴ καὶ λαμβάνει μέρος στὴ συγκέντρωση αὐτή, καὶ ἂν ἀκόμα εἰσάγει τὸ σῶμα του ἐδῶ μέσα, ἔχει ἐκδιωχθεῖ καὶ ἔχει ἀπομακρυνθεῖ περισσότερο ἀπὸ ἐκείνους ποὺ ἔχουν ἀποκλεισθεῖ ἔξω καὶ δὲν μποροῦν ποτὲ νὰ λάβουν μέρος στὴν ἱερὴ τράπεζα. Καθόσον ἐκεῖνοι ποὺ ἀπομακρύνθηκαν σύμφωνα μὲ τὶς ἐντολὲς τοῦ Θεοῦ καὶ μένουν ἔξω, ἔχουν κατὰ τὸ χρόνο αὐτὸ καλὲς ἐλπίδες, διότι, ἂν θελήσουν νὰ διορθώσουν τὰ παραπτώματα ἐξ αἰτίας τῶν ὁποίων ἀπομακρύνθηκαν ἀπὸ τὴν Ἐκκλησία, θὰ μπορέσουν νὰ ἐπιστρέψουν πάλι μὲ καθαρὴ συνείδηση, ἐνῶ ἐκεῖνοι ποὺ μόλυναν τὸν ἑαυτό τους καὶ πῆραν ἐντολὴ νὰ μὴ εἰσέλθουν προηγουμένως, μέχρι ποὺ νὰ καθαρίσουν τὴν κηλίδα ποὺ δημιουργήθηκε ἀπὸ τὰ ἁμαρτήματα, διαπράττοντας στὴ συνέχεια ἀδιάντροπες πράξεις, κάμνουν χειρότερο τὸ τραῦμα καὶ μεγαλύτερη τὴν πληγή. Διότι δὲν εἶναι τόσο φοβερὸ τὸ ν' ἁμαρτάνει κανείς, ὅσο ἡ ἀδιαντροπιὰ μετὰ τὴν ἁμαρτία καὶ τὸ νὰ μὴ ὑπακούει στοὺς ἱερεῖς ποὺ δίνουν αὐτὲς τὶς ἐντολές.

Καὶ ποιὸ εἶναι, λέγει τὸ τόσο μεγάλο ἁμάρτημα ποὺ ἔχουν κάνει, ὥστε ν' ἀπομακρυνθοῦν αὐτοὶ ἀπὸ τοὺς ἱεροὺς αὐτοὺς χώρους; Καὶ ποιὰ ἄλλη ἁμαρτία μεγαλύτερη ἀπὸ αὐτὴ ζητᾶς, ὅταν, ἀφοῦ καταστήσουν τοὺς ἑαυτούς τους πραγματικοὺς πόρνους, μὲ ἀναίδεια, σὰν ἀκριβῶς σκυλιὰ λυσσασμένα, πλησιάζουν τὴν ἱερὴ αὐτὴ τράπεζα; Καὶ ἂν θέλεις νὰ μάθεις καὶ τὸν τρόπο τῆς μοιχείας, δὲν θὰ σοῦ πῶ δικό μου λόγο, ἀλλ' ἐκείνου ποὺ πρόκειται νὰ δικάσει ὁλόκληρη τὴ ζωή μας· διότι λέγει· «Ἐκεῖνος ποὺ κοίταξε γυναίκα καὶ ἐπιθύμησε αὐτήν, ἤδη μοίχευσε αὐτὴν μέσα στὴν καρδιά του»[1]. Ἂν δὲ ἡ γυναίκα τὴν ὁποία συναντᾶ κανένας στὴν ἀγορὰ αὐθόρμητα καὶ τυχαῖα νὰ περνᾶ ἀπὸ ἐκεῖ αἰχμαλώτισε πολλὲς φορὲς ἐκεῖνον ποὺ εἶδε μὲ περιέργεια τὸ πρόσωπό της, ἐκεῖνοι ποὺ ὄχι στὴν τύχη οὔτε αὐ-

μάτου, ἀλλ' ἀπὸ σπουδῆς τοσαύτης, ὡς καὶ τῆς Ἐκκλησίας ὑπεριδεῖν, καὶ διὰ τοῦτο ἀναβάντες ἐκεῖ, καὶ διημερεύσαντες, καὶ ταῖς ὄψεσι τῶν ἠτιμωμένων γυναικῶν ἐκείνων προσηλωμένοι, πῶς δυνήσονται λέγειν, ὅτι οὐ πρὸς ἐπιθυμίαν εἶδον; ὅπου καὶ ῥήματα διακεκλασμένα, καὶ ᾄσματα πορνικά, καὶ φωνὴ πολλὴν ἡδονὴν ἔχουσα, καὶ ὀφθαλμῶν ὑπογραφαί, καὶ ἐπιτρίμματα παρειᾶς, καὶ στολὴ περιεργότερον συγκειμένη, καὶ σχῆμα γοητείας γέμον πολλῆς, καὶ ἕτεραι πολλαὶ μαγγανεῖαι πρὸς ἀπάτην καὶ δέλεαρ τῶν ὁρώντων κατεσκευασμέναι, καὶ ῥᾳθυμία ψυχῆς τῶν θεωμένων, καὶ πολλὴ ἡ διάχυσις, καὶ ἡ παρὰ τοῦ τόπου πρὸς ἀσέλγειαν παράκλησις, καὶ ἡ τῶν φθασάντων, καὶ ἡ τῶν μετὰ ταῦτα ἀκουσμάτων· ἡ διὰ τῶν συρίγγων, ἡ διὰ τῶν αὐλῶν καὶ τῶν ἄλλων τῶν τοιούτων μελῳδία καταγοητεύουσα, καὶ τὸ στερρὸν τῆς διανοίας καταμαλάττουσα, καὶ ταῖς τῶν πορνῶν ἐπιβουλαῖς προευτρεπίζουσα τὰς τῶν καθημένων ψυχάς, καὶ εὐαλώτους ποιοῦσα. Εἰ γὰρ ἐνταῦθα, ὅπου ψαλμοί, καὶ εὐχαί, καὶ θείων λογίων ἀκρόασις, καὶ Θεοῦ φόβος, καὶ εὐλάβεια πολλή, πολλάκις, ὥσπερ τις λῃστὴς κακοῦργος, λαθοῦσα ἐπεισῆλθεν ἡ ἐπιθυμία, πῶς οἱ ἐν θεάτρῳ καθήμενοι καὶ μηδὲν μήτε ὁρῶντες μήτε ἀκούοντες ὑγιές, ἀλλὰ πολλῆς γέμοντες αἰσχρότητος, πολλῆς τῆς βλακείας, καὶ διὰ πάντων πολιορκούμενοι, καὶ δι' ὤτων, καὶ δι' ὀφθαλμῶν, δύναιντ' ἂν ἀνώτεροι γενέσθαι τῆς πονηρᾶς ἐκείνης ἐπιθυμίας; Μὴ δυνάμενοι δέ, πῶς δυνήσονται τῶν τῆς μοιχείας ἐγκλημάτων ἀπηλλάχθαι ποτέ; Οἱ δὲ τῶν τῆς μοιχείας ἐγκλημάτων οὐκ ἀπηλλαγμένοι, πῶς δυνήσονται χωρὶς μετανοίας τῶν ἁγίων τούτων ἐπιβῆναι προθύρων, καὶ τοῦ καλοῦ τούτου μετασχεῖν συλλόγου;

2. Διὸ δὴ παραινῶ καὶ δέομαι, πρότερον ἐξομολογήσει καὶ

θόρμητα, ἀλλὰ μὲ τόση μεγάλη προθυμία καὶ ζῆλο, ὥστε νὰ δείξουν καὶ περιφρόνηση πρὸς τὴν Ἐκκλησία, καὶ γιὰ τὸ σκοπὸ αὐτὸ ἀνέβηκαν ἐκεῖ καὶ πέρασαν ἐκεῖ ὅλη τὴν ἡμέρα τους προσηλωμένοι στὰ πρόσωπα τῶν ἀνήθικων ἐκείνων γυναικῶν, πῶς θὰ μπορέσουν νὰ ποῦν, ὅτι δὲν τὶς εἶδαν μὲ σαρκικὴ ἐπιθυμία; καὶ ὅταν μάλιστα καὶ λόγια γεμάτα ἀπὸ χυδαιότητα ἀκούονται, καὶ τραγούδια πορνικά, καὶ λέγονται μὲ φωνὴ γεμάτη ἀπὸ πολλὴ γλυκύτητα, καὶ τὰ μάτια εἶναι βαμμένα, καὶ φκιασίδια ὑπάρχουν ἐπάνω στὰ μάγουλα, καὶ ἡ στολὴ εἶναι φτιαγμένη μὲ κάποια ξεχωριστὴ φροντίδα καὶ ἡ ὅλη παρουσίαση εἶναι γεμάτη ἀπὸ μεγάλη γοητεία, καὶ πολλὰ ἄλλα γοητευτικὰ μέσα ἔχουν ἐπινοηθεῖ γιὰ νὰ ἐξαπατοῦν καὶ νὰ δελεάζουν ἐκείνους ποὺ τὶς βλέπουν, ὑπάρχει δὲ καὶ πολλὴ ἀδιαφορία ἐκ μέρους ἐκείνων ποὺ τὶς βλέπουν, καὶ πολλὴ ἀποχαύνωση, καθὼς ἐπίσης καὶ ἡ ἐκ μέρους τοῦ τόπου προτροπὴ γιὰ ἀσέλγεια καὶ μὲ αὐτὰ ποὺ ἤδη λέχθηκαν καὶ μὲ ἐκεῖνα ποὺ ἀκούονται στὴ συνέχεια, ἡ μελωδία δηλαδὴ μὲ τὶς σύριγγες, μὲ τοὺς αὐλοὺς καὶ τὰ ἄλλα παρόμοια ὄργανα ποὺ καταγοητεύει καὶ παραλύει τὴ δύναμη τῆς διάνοιας καὶ προετοιμάζει τὶς ψυχὲς τῶν παραβρισκομένων καὶ τὶς κάνει εὐκολοπόρθητες στὶς ἐπιβουλὲς τῶν πορνῶν. Διότι, ἐὰν ἐδῶ, ὅπου ἀκούονται ψαλμοὶ καὶ εὐχὲς καὶ θεῖα λόγια καὶ ὑπάρχει φόβος Θεοῦ καὶ πολλὴ εὐλάβεια, πολλὲς φορὲς ἡ ἐπιθυμία εἰσῆλθε κρυφά, σὰν ἀκριβῶς κάποιος κακοῦργος ληστής, πῶς ἐκεῖνοι ποὺ κάθονται στὸ θέατρο καὶ δὲν βλέπουν οὔτε ἀκοῦν τίποτε τὸ ὠφέλιμο, ἀλλ' ὅλα εἶναι γεμάτα ἀπὸ πολλὴ αἰσχρότητα καὶ πολλὴ βλακεία, καὶ ἀπὸ παντοῦ πολιορκοῦνται, καὶ ἀπὸ τὰ αὐτιὰ καὶ ἀπὸ τὰ μάτια, θὰ μποροῦσαν νὰ σταθοῦν ψηλότερα ἀπὸ τὴν πονηρὴ ἐκείνη ἐπιθυμία; Μὴ μπορῶντας δὲ νὰ κάνουν αὐτό, πῶς θὰ μπορέσουν κάποτε ν' ἀπαλλαχθοῦν ἀπὸ τὰ ἐγκλήματα τῆς μοιχείας; Ἐκεῖνοι δὲ ποὺ δὲν εἶναι ἀπαλλαγμένοι ἀπὸ τὰ ἐγκλήματα τῆς μοιχείας, πῶς θὰ μπορέσουν χωρὶς μετάνοια νὰ ἀνεβοῦν τὰ ἅγια αὐτὰ πρόθυρα καὶ νὰ λάβουν μέρος στὴν ὡραία αὐτὴ συγκέντρωση;

2. Γι' αὐτὸ λοιπὸν σᾶς συμβουλεύω καὶ σᾶς παρακαλῶ, ἀ-

μετανοίᾳ καὶ τοῖς ἄλλοις ἅπασιν ἀποσμηξαμένους τὴν ἐκ τῆς ἐκεῖ θεωρίας ἁμαρτίαν, οὕτω τῶν θείων ἀκροᾶσθαι λογίων. Οὐ γὰρ τὸ τυχὸν ἡμῖν πεπλημμέληται· καὶ τοῦτο καὶ ἐκ παραδειγμάτων ἴδοι τις ἂν σαφῶς. Εἰ γάρ τις οἰκέτης εἰς κιβώτιον, ἔνθα τὰ δεσποτικὰ ἱμάτια ἐναπέκειτο πολυτελῆ καὶ διάχρυσα, ἱμάτιον δουλικὸν ῥύπου γέμον καὶ πολλῶν τῶν φθειρῶν ἐναπέθετο, ἄρα ἂν πρᾴως ἤνεγκας τὴν ὕβριν, εἰπέ μοι; Τί δέ, εἴ τις εἰς ἀγγεῖον χρυσοῦν μύρα διηνεκῶς ἔχειν εἰωθός, κόπρον καὶ βόρβορον ἐνέχεεν, οὐκ ἂν καὶ πληγὰς ἐπέθηκας τῷ πλημμελήσαντι τοῦτο; Εἶτα κιβωτίων μὲν καὶ σκευῶν καὶ ἱματίων καὶ μύρων τοσαύτην ποιησόμεθα τὴν πρόνοιαν, τὴν δὲ ψυχὴν τὴν ἡμετέραν πάντων τούτων εὐτελεστέραν εἶναι νομιοῦμεν; καὶ ἔνθα τὸ μύρον τὸ πνευματικὸν εἰσεχύθη, διαβολικὰς πομπὰς ἐπεμβαλοῦμεν, καὶ ἀκούσματα σατανικά, καὶ ᾄσματα πορνείας γέμοντα; Καὶ πῶς ταῦτα ὁ Θεὸς οἴσει, εἰπέ μοι; Καίτοι οὐ τοσοῦτον τὸ μέσον μύρου καὶ βορβόρου, καὶ ἱματίων δεσποτικῶν καὶ δουλικῶν, ὅσον τὸ μέσον τῆς πνευματικῆς χάριτος καὶ ταύτης τῆς πονηρᾶς ἐνεργείας.

Οὐ δέδοικας, ἄνθρωπε, τοῖς αὐτοῖς ὀφθαλμοῖς καὶ τὴν κλίνην τὴν ἐπὶ τῆς ὀρχήστρας βλέπων, ἔνθα τὰ μυσαρὰ τελεῖται τῆς μοιχείας δράματα, καὶ τὴν τράπεζαν ταύτην τὴν ἱεράν, ἔνθα τὰ φρικτὰ τελεῖται μυστήρια; ταῖς αὐταῖς ἀκοαῖς πόρνης ἀκούων αἰσχρολογούσης, καὶ προφήτου καὶ ἀποστόλου σε μυσταγωγοῦντος; τῇ αὐτῇ καρδίᾳ τὰ δηλητήρια δεχόμενος φάρμακα, καὶ τὴν θυσίαν τὴν φρικτὴν καὶ ἁγίαν; Οὐκ ἐντεῦθεν ἀνατροπαὶ βίων, καὶ

φοῦ προηγουμένως ξεπλύνετε μὲ ἐξομολόγηση, μετάνοια καὶ ὅλα τὰ ἄλλα τὴν ἁμαρτία σας ἀπὸ τὰ θεάματα ἐκεῖνα, τότε νὰ ἔρχεσθε γιὰ ν' ἀκοῦτε τὰ θεῖα λόγια. Διότι δὲν εἶναι τυχαία ἡ ἁμαρτία αὐτὴ ποὺ διαπράξατε· καὶ θὰ μποροῦσε κανεὶς νὰ τὸ διαπιστώσει αὐτὸ μὲ σαφήνεια καὶ μὲ παραδείγματα. Ἄν δηλαδὴ κάποιος δοῦλος τοποθετοῦσε σὲ κιβώτιο, στὸ ὁποῖο ἦταν τοοθετημένα τὰ πολυτελῆ καὶ χρυσοποίκιλτα ἐνδύματα τοῦ κυρίου του, ἔνδυμα δούλου γεμάτο ἀπὸ βρωμιὰ καὶ πολλὲς ψεῖρες, πές μου, ἄραγε θὰ ἀνεχόσουν τὴν προσβολὴ μὲ πραότητα; Τί δέ, ἂν κάποιος σὲ χρυσὸ δοχεῖο, ποὺ συνήθως ἔχει πάντοτε ἀρώματα, ἔχυνε κοπριὰ καὶ βοῦρκο, δὲν θὰ τιμωροῦσες μὲ χτυπήματα ἐκεῖνον ποὺ διέπραξε αὐτὸ τὸ παράπτωμα; Ὥστε γιὰ τὰ κιβώτια, τὰ σκεύη, τὰ ἐνδύματα καὶ τὰ ἀρώματα θὰ δείξομε τόση μεγάλη φροντίδα, τὴν δὲ ψυχή μας θὰ τὴ θεωρήσουμε εὐτελέστερη ἀπὸ ὅλα αὐτά; καὶ ἐκεῖ ποὺ χύθηκε τὸ μύρο τὸ πνευματικὸ θὰ συγκεντρώσουμε διαβολικὲς πομπές, σατανικὰ ἀκούσματα καὶ ἄσματα γεμάτα ἀπὸ πορνεία; Καὶ πῶς, πές μου, ὁ Θεὸς θὰ τὰ ἀνεχθεῖ αὐτά; Ἄν καὶ βέβαια δὲν εἶναι τόσο μεγάλη ἡ διαφορὰ μεταξὺ μύρου καὶ βούρκου, καὶ ἐνδυμάτων τῶν κυρίων καὶ τῶν δούλων, ὅση εἶναι ἡ διαφορὰ μεταξὺ τῆς πνευματικῆς χάριτος καὶ τῆς πονηρῆς αὐτῆς ἐνέργειας.

Δὲν φοβᾶσαι, ἄνθρωπε, μὲ τὰ ἴδια μάτια νὰ βλέπεις καὶ τὸ κρεββάτι ποὺ βρίσκεται ἐπάνω στὴν ὀρχήστρα, ἐπάνω στὸ ὁποῖο τελοῦνται τὰ βδελυρὰ ἐκεῖνα δράματα τῆς μοιχείας, καὶ τὴν τράπεζα αὐτὴ τὴν ἱερή, ἐπάνω στὴν ὁποία τελοῦνται τὰ φρικτὰ μυστήρια; μὲ τὰ ἴδια αὐτιὰ νὰ ἀκοῦς τὴν πόρνη ποὺ λέγει αἰσχρόλογα, καὶ τὸν προφήτη καὶ τὸν ἀπόστολο ποὺ σοῦ διδάσκει τὰ μυστήρια; μὲ τὴν ἴδια τὴν καρδιὰ νὰ δέχεσαι τὰ φαρμακερὰ δηλητήρια, καὶ τὴ φρικτὴ καὶ ἅγια θυσία; Δὲν προέρχονται ἀπ' αὐτὰ ἀνατροπὲς βίων, διαφθορὲς γάμων, μαλώματα καὶ φιλονεικίες μέσα στὰ σπίτια; Διότι, ὅταν ἀπὸ τὰ ἐκεῖ θεάματα ἀποχαυνωθεῖς καὶ γίνεις πιὸ χαῦνος καὶ πιὸ ἀσελγὴς καὶ ἐχθρὸς κάθε σωφροσύνης, ὅταν ἐπιστρέψεις στὸ σπίτι καὶ δεῖς τὴν ἴδια τὴν γυναίκα σου, ὁπωσδήποτε θὰ σοῦ φανεῖ πιὸ ἄσχη-

διαφθοραὶ γάμων, καὶ πόλεμοι καὶ μάχαι ἐν ταῖς οἰκίαις; Ὅταν γὰρ ὑπὸ τῆς ἐκεῖ θεωρίας διαχυθῇς, καὶ χαυνότερος γενόμενος καὶ ἀσελγέστερος καὶ σωφροσύνης ἁπάσης ἐχθρός, ἐπανελθὼν ἴδῃς τὴν γυναῖκα τὴν ἰδίαν, ἀηδέστερον ὄψει πάντως, οἵα ἂν ᾖ. Ὑπὸ γὰρ τῆς ἐν τοῖς θεάτροις ἐμπρησθεὶς ἐπιθυμίας, καὶ ὑπὸ τῆς ξένης ἐκείνης θεωρίας ἁλοὺς τῆς γεγοητευμένης, τὴν σώφρονα καὶ κοσμίαν καὶ τοῦ βίου παντὸς κοινωνὸν ἀτιμάζεις, ὑβρίζεις, μυρίοις περιβάλλεις ὀνείδεσιν, οὐδὲν ἔχων ὅλως ἐγκαλέσαι, ἀλλ' αἰσχυνόμενος τὸ πάθος εἰπεῖν, καὶ τὸ τραῦμα δεῖξαι, ὅπερ ἐκεῖθεν λαβὼν ἐπανῆλθες, ἑτέρας πλέκεις προφάσεις, ἀφορμὰς ζητῶν ἀπεχθείας ἀλόγους, καὶ τῶν μὲν οἴκοι πάντων ὑπερορῶν, πρὸς δὲ τὴν μιαρὰν καὶ ἀκάθαρτον κεχηνὼς ἐκείνην ἐπιθυμίαν, παρ' ἧς τὸ τραῦμα ἐδέξω· καὶ τὴν ἠχὴν τῆς φωνῆς ἔχων ἐγκαθημένην τῇ ψυχῇ ἔναυλον, καὶ τὸ σχῆμα καὶ τὸ βλέμμα καὶ τὰ κινήματα, καὶ πάντα τῆς πορνείας τὰ εἴδωλα, οὐδὲν μεθ' ἡδονῆς ὁρᾷς τῶν ἐπὶ τῆς οἰκίας. Καὶ τί λέγω τὴν γυναῖκα καὶ τὴν οἰκίαν; καὶ τὴν ἐκκλησίαν γὰρ αὐτὴν ἀηδέστερον ὄψει, καὶ ῥημάτων ἀπεχθῶς ἀκούσῃ τῶν περὶ σωφροσύνης, τῶν περὶ σεμνότητος. Οὐκέτι γὰρ ἔσται σοι διδασκαλία, ἀλλὰ κατηγορία τὰ λεγόμενα, καὶ εἰς ἀπόγνωσιν κατὰ μικρὸν ὑποσυρείς, τέλεον ἑαυτὸν ἀπορρήξεις τῆς κοινωφελοῦς ταύτης διδασκαλίας.

Διὰ τοῦτο παρακαλῶ πάντας ὑμᾶς, αὐτούς τε φεύγειν τὰς πονηρὰς ἐν τοῖς θεάτροις διατριβάς, καὶ τοὺς ἐσχολακότας τούτοις ἐκεῖθεν ἀφέλκειν. Οὐ γάρ ἐστι ψυχαγωγία, ἀλλ' ὄλεθρος, καὶ τιμωρία, καὶ κόλασις τὰ ἐκεῖ γινόμενα ἅπαντα. Τί γὰρ ὄφελος τῆς προσκαίρου ταύτης ἡδονῆς, ὅταν διηνεκὴς ἐντεῦθεν ἡ ὀδύνη τίκτηται, καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ κεντούμενος ὑπὸ τῆς ἐπιθυμίας, πᾶσιν ᾖς δυσχερὴς καὶ δυσάρεστος; Ἐξέτασον γοῦν σαυτόν, τίς μὲν γίνῃ ἀπὸ ἐκκλησίας ἀναχωρῶν, τίς δὲ ἀπὸ θεάτρων, καὶ ἑκατέρας παράβαλε τὰς ἡμέρας, καὶ οὐδὲν δεήσῃ τῶν ἡμετέρων λόγων. Ἀρκέσει γὰρ ἑκατέρας ἡ σύγκρισις τῆς ἡμέρας δεῖξαι τὸ μέγεθος καὶ τῆς ἐντεῦθεν ὠφελείας, καὶ τῆς ἐκεῖθεν

μη, ἀπὸ ὅ,τι εἶναι. Διότι, ἀφοῦ κατακυριευθεῖς ἀπὸ τὴ φλόγα τῆς ἐπιθυμίας ποὺ δημιουργεῖται στὰ θέατρα, καὶ αἰχμαλωτισθεῖς ἀπὸ τὴν παράξενη ἐκείνη θέα ποὺ σὲ καταγοητεύει, περιφρονεῖς τότε τὴ γεμάτη ἀπὸ σωφροσύνη, κοσμιότητα καὶ σύντροφο ὅλης τῆς ζωῆς σου, τὴ βρίζεις, τὴν περιλούζεις μὲ ἀμέτρητα κακόλογα, μὴ ἔχοντας γιὰ τίποτε νὰ τὴν κατηγορήσεις, ἀλλ' ἐπειδὴ ντρέπεσαι νὰ πεῖς τὸ πάθος σου καὶ νὰ δείξεις τὸ τραῦμα, τὸ ὁποῖο, ἀφοῦ δέχθηκες ἀπὸ ἐκεῖ, ἐπέστρεψες στὸ σπίτι σου, προβάλλεις ἄλλες δικαιολογίες, ζητώντας παράλογες ἀφορμὲς μίσους, καὶ γιὰ ὅλα μὲν τὰ τοῦ σπιτιοῦ δείχνεις ἀδιαφορία, ἐνῶ εἶσαι κυριολεκτικὰ ἀπορροφημένος ἀπὸ τὴ βδελυρὴ ἐκείνη ἐπιθυμία, ἀπὸ τὴν ὁποία δέχθηκες τὸ τραῦμα· καὶ ἔχοντας τὸν ἦχο τῆς φωνῆς ἐκείνης ἐγκατεστημένο μέσα στὴν ψυχή σου καὶ νὰ ἠχεῖ στὰ αὐτιά σου, καθὼς καὶ τὴ μορφή της, τὸ βλέμμα της, τὰ κινήματά της καὶ ὅλες τὶς παραστάσεις ἐκεῖνες τῆς πορνείας, τίποτε δὲν βλέπεις μὲ εὐχαρίστηση ἀπὸ τὰ ὅσα ὑπάρχουν μέσα στο σπίτι. Καὶ γιατί λέγω τὴ γυναίκα μόνο καὶ τὸ σπίτι; Διότι καὶ τὴν ἴδια τὴν ἐκκλησία θὰ τὴ δεῖς ἀηδέστερη καὶ θ' ἀκούσεις μὲ μίσος λόγια ἀναφερόμενα γιὰ τὴ σωφροσύνη καὶ τὴ σεμνότητα. Καθόσον δὲν θὰ θεωροῦνται ἀπὸ σένα τὰ λεγόμενα διδασκαλία, ἀλλὰ κατηγορία, καὶ ἀφοῦ σιγὰ σιγὰ κυριευθεῖς ἀπὸ ἀπόγνωση, θ' ἀποκόψεις τελείως τὸν ἑαυτό σου ἀπὸ τὴ διδασκαλία αὐτὴ τὴν ὠφέλιμη γιὰ ὅλους.

Γι' αὐτὸ σᾶς παρακαλῶ ὅλους σας, καὶ οἱ ἴδιοι ν' ἀποφεύγετε τὶς κακὲς ἐπισκέψεις καὶ παραμονὲς στὰ θέατρα, καὶ ν' ἀπομακρύνετε ἐκείνους ποὺ συχνάζουν ἐκεῖ. Διότι ὅλα ὅσα συμβαίνουν ἐκεῖ δὲν εἶναι ψυχαγωγία, ἀλλὰ καταστροφὴ καὶ τιμωρία καὶ κόλαση. Καθόσον ποιὸ τὸ ὄφελος ἀπὸ τὴν προσωρινὴ αὐτὴ ἡδονή, ὅταν γεννιέται ἀπὸ αὐτὰ διαρκὴς πόνος, καὶ ἐνοχλούμενος ἡμέρα καὶ νύχτα ἀπὸ τὴν ἐπιθυμία, γίνεσαι πρὸς ὅλους δύσκολος καὶ δυσάρεστος; Ἐξέτασε λοιπὸν τὸν ἑαυτό σου, ποιὸς μὲν γίνεσαι ἀναχωρώντας ἀπὸ τὴν ἐκκλησία, ποιὸς δὲ ἀπὸ τὰ θέατρα, καὶ σύγκρινε καὶ τὶς δυὸ ἡμέρες, καὶ δὲν θὰ χρειασθεῖς καθόλου τὰ δικά μου λόγια. Διότι θὰ ἀρκέσει ἡ σύγ-

βλάβης. Ταῦτα καὶ ἤδη πρὸς τὴν ὑμετέραν ἀγάπην εἶπον, καὶ οὐδέποτε παύσομαι λέγων. Τούς τε γὰρ νοσοῦντας τὰ τοιαῦτα νοσήματα παραμυθησόμεθα, τούς τε ὑγιαίνοντας ἀσφαλεστέρους ποιήσομεν· ἑκατέροις γὰρ ὁ περὶ τούτων χρήσιμος λόγος· τοῖς μὲν ἵνα ἀποστῶσι, τοῖς δέ, ἵνα μὴ ἐμπέσωσιν. Ἀλλ' ἐπειδὴ χρὴ καὶ τοὺς ἐπιτιμῶντας τοῦτο συμμέτρως ποιεῖν, μέχρι τούτου ταύτην στήσαντες τὴν παραίνεσιν, τὰ ὑπολειφθέντα ἐκ τῆς προτέρας ὑποθέσεως ὑμῖν ἀποδώσομεν, ἐπὶ τὸν Δαυὶδ ἐπανελθόντες πάλιν. Καὶ γὰρ τοῖς ζωγράφοις ἔθος, ἐπειδὰν μέλλωσιν ἐμφερῆ τινα ἐργάζεσθαι εἰκόνα, καὶ μίαν καὶ δύο καὶ τρεῖς ἡμέρας τοὺς γράφεσθαι μέλλοντας παρακαθίζουσιν αὐτοῖς, ἵνα τῇ συνεχείᾳ τῆς θεωρίας ἀδιάπτωτον τῆς μορφῆς διασώσωνται τὴν ἀκρίβειαν.

Ἐπεὶ οὖν καὶ ἡμῖν ζωγραφῆσαι πρόκειται νῦν, οὐχὶ τύπον μορφῆς σωματικῆς, ἀλλὰ ψυχῆς κάλλος καὶ νοητὴν εὐμορφίαν, καὶ σήμερον ὑμῖν πρὸς αὐτὸν πάντες ὁρῶντες, εἰς τὰς οἰκείας ἕκαστος ψυχὰς ἀπομάξησθε τὴν εὐμορφίαν τοῦ δικαίου, καὶ τὸ πρᾶον καὶ ἥμερον, καὶ τὸ μεγαλόψυχον, καὶ τὴν ἄλλην ἅπασαν αὐτοῦ ἀρετήν. Εἰ γὰρ σώματος εἰκόνες φέρουσί τινα παραμυθίαν τοῖς ὁρῶσι, πολλῷ μᾶλλον αἱ τῆς ψυχῆς εἰκόνες. Κἀκείνας μὲν οὐ δυνατὸν πανταχοῦ ὁρᾶν, ἀλλ' ἀνάγκη διηνεκῶς ἐφ' ἑνὸς ἱδρῦσθαι τόπου, ταύτην δὲ ὅπουπερ ἂν θέλῃς περιαγαγεῖν, οὐδὲν τὸ κωλῦον. Ἐναποθέμενος γὰρ αὐτὴν τοῖς τῆς διανοίας ταμιείοις, ὅπουπερ ἂν ᾖς, συνεχῶς εἰς αὐτὴν ὁρᾶν δυνήσῃ, καὶ πολλὴν παρ' αὐτῆς καρποῦσθαι τὴν ὠφέλειαν. Καὶ καθάπερ οἱ τοὺς ὀφθαλμοὺς νοσοῦντες, σπογγιὰς καὶ ἱματίων ῥάκη κυανιζόντων

κριση τῆς κάθε μιᾶς ἡμέρας νὰ δείξει τὸ μέγεθος καὶ τῆς ὠφέλειας τῆς μιᾶς καὶ τῆς βλάβης τῆς ἄλλης. Αὐτὰ καὶ τὰ ἔχω πεῖ στὴν ἀγάπη σας καὶ ποτὲ δὲν θὰ παύσω νὰ τὰ λέγω. Διότι καὶ ἐκείνους ποὺ πάσχουν ἀπὸ τὰ παρόμοια νοσήματα θὰ τοὺς παρηγορήσουμε, καὶ τοὺς ὑγιεῖς θὰ τοὺς καταστήσουμε πιὸ ἀσφαλεῖς· καθόσον ὁ λόγος σχετικὰ μὲ αὐτὰ εἶναι ὠφέλιμος καὶ στοὺς δυό· στοὺς μὲν ἀσθενεῖς γιὰ ν' ἀπαλλαχθοῦν ἀπὸ τὴν ἀσθένεια, στοὺς δὲ ὑγιεῖς γιὰ νὰ μὴ περιπέσουν στὴν ἀσθένεια. Ἀλλ' ἐπειδὴ πρέπει καὶ ἐκεῖνοι ποὺ ἐπιτιμοῦν νὰ τὸ κάμνουν αὐτὸ μὲ μέτρο, ἀφοῦ σταματήσουμε ἐδῶ τὴ συμβουλή, ἂς σᾶς προσφέρουμε τὰ ὑπόλοιπα ἀπὸ τὴν προηγούμενη ὑπόθεση, ἐπιστρέφοντας πάλι στὸ Δαυίδ. Καθόσον ὑπάρχει συνήθεια στοὺς ζωγράφους, ὅταν πρόκειται νὰ ζωγραφίσουν κάποια ὅμοια εἰκόνα κάποιου, νὰ βάζουν νὰ καθίσουν κοντά τους μιὰ καὶ δυὸ καὶ τρεῖς ἡμέρες ἐκείνους ποὺ πρόκειται νὰ ζωγραφίσουν, ὥστε μὲ τὴ συνεχὴ θέα αὐτῶν ν' ἀποδώσουν μὲ ἀπόλυτη ἀκρίβεια τὴ μορφὴ αὐτῶν.

Ἐπειδὴ λοιπὸν καὶ ἐμεῖς πρόκειται τώρα νὰ ζωγραφίσουμε, ὄχι εἰκόνα μορφῆς σωματικῆς, ἀλλὰ κάλλος ψυχῆς καὶ νοητὴ ὀμορφιά, καὶ σήμερα θέλομε νὰ φέρομε καὶ νὰ τοποθετήσομε κοντά σας τὸ Δαυίδ, ὥστε, ἔχοντας ὅλοι στραμμένα τὰ βλέμματά σας πρὸς αὐτόν, ν' ἀποτυπώσετε μέσα στὶς ψυχές σας τὴν ὀμορφιὰ τοῦ δικαίου, καθὼς καὶ τὴν καλωσύνη, τὴν ἡμερότητα, τὴ μεγαλοψυχία καὶ ὅλη τὴν ἄλλη ἀρετὴ αὐτοῦ. Διότι, ἂν οἱ εἰκόνες τοῦ σώματος προξενοῦν κάποια παρηγοριὰ σ' ἐκείνους ποὺ τὶς βλέπουν, πολὺ περισσότερο τὸ κάνουν αὐτὸ οἱ εἰκόνες τῆς ψυχῆς. Καὶ ἐκεῖνες μὲν δὲν εἶναι δυνατὸ παντοῦ νὰ τὶς βλέπομε, ἀλλ' εἶναι ἀνάγκη νὰ εἶναι τοποθετημένες διαρκῶς στὸν ἴδιο τόπο, ἐνῶ αὐτὴν τίποτε δὲν σὲ ἐμποδίζει νὰ τὴ μεταφέρεις ὅπου θέλεις. Ἀφοῦ λοιπὸν τὴν τοποθετήσεις στὸ θησαυροφυλάκιο τῆς διάνοιάς σου, ὅπου καὶ ἂν εἶσαι, θὰ μπορέσεις συνέχεια νὰ βλέπεις πρὸς αὐτὴν καὶ θὰ καρπωθεῖς ἀπ' αὐτὴν μεγάλη ὠφέλεια. Καὶ ὅπως ἀκριβῶς ἐκεῖνοι ποὺ ἔχουν ἀσθενεῖς ὀφθαλμούς, κρατῶντας σπόγγους καὶ κουρέλια ἐνδυ-

κατέχοντες, καὶ συνεχῶς εἰς αὐτὰ βλέποντες, καρποῦνται τινα τοῦ νοσήματος παραμυθίαν ἀπὸ τοῦ χρώματος ἐκείνου, οὕτω καὶ σύ, ἂν τὴν εἰκόνα τοῦ Δαυὶδ πρὸ ὀφθαλμῶν ἔχῃς τῶν ἑαυτοῦ, καὶ συνεχῶς εἰς αὐτὴν ἀτενίζῃς, κἂν μυριάκις θυμὸς ἐνοχλῇ καὶ συγχέῃ τὸν ὀφθαλμὸν τῆς διανοίας, ὁρῶν εἰς ἐκεῖνον τὸν χαρακτῆρα τῆς ἀρετῆς, ὁλόκληρον δέξῃ τὴν ὑγίειαν, καὶ καθαρὰν τὴν φιλοσοφίαν.

3. Μὴ γάρ μοι λεγέτω τις, ὅτι μιαρὸν ἐχθρὸν ἔχω, πονηρόν, διεφθαρμένον, ἀδιόρθωτον. Οἷον ἂν εἴπῃς, οὐκ ἔστι τοῦ Σαοὺλ χείρων, ὃς καὶ ἅπαξ καὶ δὶς καὶ πολλάκις διασωθεὶς ὑπὸ τοῦ Δαυίδ, αὐτὸς μυρία ἐπιβουλεύσας, εἶτα ἀντὶ τούτων εὐεργετηθείς, ἔμενε τὴν ἑαυτοῦ πονηρίαν διατηρῶν. Τί γὰρ ἔχεις εἰπεῖν; Ὅτι γῆν ἐπετέμετο, καὶ ἐν ἀγροῖς ἠδίκησε, καὶ οἰκίας ὅρια ὑπερέβη, καὶ ἀνδράποδα ἥρπασε, καὶ ὕβρισε, καὶ ἐπλεονέκτησε, καὶ εἰς πενίαν ἤγαγεν; Ἀλλ' οὔπω τὴν ψυχὴν ἀφείλετο, ὅπερ οὗτος ἐσπούδαζεν· εἰ δὲ καὶ τὴν ψυχὴν ἐσπούδασεν ἀφελέσθαι, ἀλλ' ἅπαξ τοῦτ' ἐτόλμησεν ἴσως, οὐχὶ δὶς καὶ τρίς, καὶ πολλάκις καθάπερ οὗτος· εἰ δὲ καὶ ἅπαξ καὶ δὶς καὶ τρὶς καὶ πολλάκις, ἀλλ' οὐ τοσαῦτα εὐεργετηθείς, ἀλλ' οὐκ ἐλθὼν εἰς τὰς χεῖρας καὶ ἅπαξ καὶ δεύτερον, καὶ διασωθείς· εἰ δὲ καὶ τοῦτο, καὶ οὕτω πλεονεκτεῖ πάλιν ὁ Δαυίδ. Οὐ γάρ ἐστιν ἴσον ἐπὶ τῆς Παλαιᾶς ὄντα τοιαῦτα φιλοσοφεῖν, καὶ νῦν μετὰ τὴν χάριν τοιαύτας χαρίζεσθαι δωρεάς. Οὐκ ἦν ὁ Δαυὶδ ἀκούσας τὴν παραβολὴν τῶν μυρίων ταλάντων καὶ τῶν ἑκατὸν δηναρίων· οὐκ ἦν ὁ Δαυὶδ ἀκούσας τῆς εὐχῆς τῆς λεγούσης, «Ἄφετε τοῖς ἀνθρώποις τὰ ὀφλήματα αὐτῶν, καθὼς καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος»· οὐκ ἦν ἰδὼν τὸν Χριστὸν σταυρωθέντα, οὐχ αἷμα τὸ τίμιον ἐκχυθέν, οὐδὲ τοὺς

2. Ματθ. 25, 14-30.
3. Ματθ. 18, 21-35.
4. Μάρκ. 11, 25.

μάτων χρώματος γαλαζόμαυρου καὶ βλέποντας συνέχεια πρὸς αὐτά, ἀποκομίζουν κάποια ἀνακούφιση γιὰ τὴν ἀσθένειά τους ἀπὸ τὸ χρῶμα ἐκεῖνο, ἔτσι καὶ σύ, ἂν ἔχεις μπροστὰ στὰ μάτια σου τὴν εἰκόνα τοῦ Δαυὶδ καὶ βλέπεις συνέχεια πρὸς αὐτήν, καὶ ἂν ἀκόμα δέχεσαι ἀμέτρητες ἐνοχλήσεις ἀπὸ τὸ θυμὸ καὶ σοῦ δημιουργεῖ σύγχυση στὸν ὀφθαλμὸ τῆς διάνοιάς σου, βλέποντας πρὸς ἐκεῖνον ποὺ εἶναι τὸ ὑπόδειγμα ἀρετῆς, θ' ἀποκτήσεις πλήρη τὴν ὑγεία καὶ καθαρὴ τὴν εὐσέβεια.

3. Ἂς μὴ μοῦ λέγει ὅμως κάποιος, ὅτι ἔχω μιαρὸ ἐχθρό, κακό, διεφθαρμένο καὶ ἀδιόρθωτο. Ὁποιον καὶ ἂν ἀναφέρεις, δὲν εἶναι χειρότερος ἀπὸ τὸ Σαούλ, ὁ ὁποῖος, ἂν καὶ διασώθηκε ἀπὸ τὸ Δαυὶδ μιὰ καὶ δυὸ καὶ πολλὲς φορές, ὁ ἴδιος δὲ τὸν ἐπιβουλεύθηκε ἀμέτρητες φορές, καὶ εὐεργετήθηκε στὴ συνέχεια ἔναντι ὅλων αὐτῶν, ἐξακολούθησε νὰ διατηρεῖ τὴν κακία του. Τί λοιπὸν μπορεῖς νὰ πεῖς; Ὅτι σοῦ ἀφαίρεσε τὴ γῆ, ὅτι σὲ ἀδίκησε στοὺς ἀγρούς, ὅτι παρέβηκε τὰ σύνορα τοῦ σπιτιοῦ σου, ὅτι σοῦ ἅρπαξε τοὺς δούλους, ὅτι σὲ ἔβρισε, ὅτι σοῦ πῆρε περισσότερα καὶ σὲ ὁδηγήσε στὴ φτώχεια; Ἀλλὰ δὲν σοῦ ἀφαίρεσε ἀκόμα καὶ τὴ ζωή, πράγμα ποὺ φρόντιζε νὰ κάνει ὁ Σαούλ· ἂν δὲ προσπάθησε νὰ σοῦ ἀφαιρέσει καὶ τὴ ζωή, ὅμως ἴσως αὐτὸ νὰ τὸ ἐπιχείρησε μιὰ φορά, ὄχι δυὸ καὶ τρεῖς καὶ πολλὲς φορές, ὅπως ἀκριβῶς αὐτός· ἂν δὲ καὶ μιὰ καὶ δυὸ καὶ τρεῖς καὶ πολλὲς φορές, ὅμως χωρὶς νὰ εὐεργετήθηκε ἀπὸ σένα τόσο πολύ, χωρὶς νὰ ἔπεσε στὰ χέρια σου μιὰ καὶ δυὸ φορὲς καὶ νὰ διασώθηκε· ἂν δὲ συνέβηκε καὶ αὐτό, καὶ ἔτσι πάλι ὁ Δαυὶδ βρίσκεται σὲ πιὸ πλεονεκτικὴ θέση. Διότι δὲν εἶναι τὸ ἴδιο πράγμα νὰ ζεῖ κανεὶς στὰ χρόνια τῆς Παλαιᾶς Διαθήκης καὶ νὰ δείχνει μιὰ τέτοια εὐσέβεια, καὶ ἄλλος νὰ ζεῖ σήμερα μετὰ τὴ χορήγηση τῆς χάριτος καὶ νὰ προσφέρει παρόμοιες δωρεές. Δὲν ἄκουσε ὁ Δαυὶδ τὴν παραβολὴ τῶν μυρίων ταλάντων[2] καὶ τῶν ἑκατὸ δηναρίων[3]· δὲν ἄκουσε ὁ Δαυὶδ τὴν προσευχὴ ποὺ λέγει, «Συγχωρῆστε τοὺς ἀνθρώπους γιὰ τὰ παραπτώματά τους, ὅπως ὁ Πατέρας σας ὁ οὐράνιος»[4]· δὲν εἶδε τὸ Χριστὸ σταυρωμένο, οὔτε τὸ τίμιο αἷμα νὰ χύνεται ἀπὸ τὴν

μυρίους περὶ φιλοσοφίας ἀκούσας λόγους· οὐκ ἀπέλαυσε θυσίας τοσαύτης, οὐδ' αἵματος μετέσχε δεσποτικοῦ, ἀλλ' ἀτελεστέροις ἐντρεφόμενος νόμοις καὶ οὐδὲν ἀπαιτοῦσι τοιοῦτον, πρὸς αὐτὴν τὴν κορυφὴν τῆς ἐν τῇ χάριτι ἔφθασε φιλοσοφίας. Καὶ σὺ μὲν πολλάκις ὑπὲρ τῶν παρελθόντων ὀργιζόμενος μνησικακεῖς, οὗτος καὶ ὑπὲρ τῶν μελλόντων δεδοικώς, καὶ εἰδὼς ἀκριβῶς, ὅτι ἀοίκητος αὐτῷ ἔσται ἡ πόλις, καὶ ἀβίωτος ὁ βίος σώσαντι τὸν ἐχθρόν, οὐκ ἀφίστατο τῆς ἐκείνου κηδεμονίας, ἀλλὰ πάντ' ἔπραττε, καθ' ἑαυτοῦ τὸν πολέμιον τρέφων. Τίς ἂν σχοίη ταύτης μείζονα ἀνεξικακίαν εἰπεῖν;

Ἵνα δὲ καὶ ἐκ τῶν νῦν γινομένων μάθῃς, ὅτι δυνατόν, ἂν ἐθέλωμεν, πάντα ἄνθρωπον πρὸς ἡμᾶς ἀπεχθῶς ἔχοντα καταλλάξαι, τί λέοντος ἀγριώτερον; Ἀλλ' ὅμως τοῦτον ἡμεροῦσιν ἄνθρωποι, καὶ ἡ τέχνη τὴν φύσιν βιάζεται, καὶ γίνεται προβάτου παντὸς ἐπιεικέστερος ὁ πάντων θηρίων ἀγριώτερος καὶ βασιλικώτερος, καὶ διὰ τῆς ἀγορᾶς βαδίζει μηδένα δεδιττόμενος. Τίν' οὖν ἕξομεν ἀπολογίαν, τίνα συγγνώμην, θηρία μὲν ἡμεροῦντες, ἀνθρώπους δὲ λέγοντες μὴ δύνασθαι καταπραΰνειν ποτέ, μηδὲ ποιεῖν πρὸς ἡμᾶς ἔχειν ἡδέως; Καίτοι γε τῷ θηρίῳ μὲν παρὰ φύσιν τὸ ἥμερον, τῷ ἀνθρώπῳ δὲ παρὰ φύσιν τὸ ἄγριον. Ὅταν οὖν τῆς φύσεως περιγινώμεθα, τίν' ἕξομεν ἀπολογίαν, προαίρεσιν λέγοντες μὴ δύνασθαι διορθοῦν; Εἰ δ' ἔτι φιλονεικεῖς, ἐκεῖν' ἂν εἴποιμι, ὅτι κἂν ἀνίατα νοσῇ, ὅσος σοι μείζων ὁ πόνος, τοσοῦτός σοι καὶ ὁ μισθὸς παραμένοντι, καὶ θεραπεύοντι τὸν νοσοῦντα ἀνίατα. Ἓν τοίνυν σκοπῶμεν μόνον, οὐχ ὅπως μηδὲν πάθωμεν παρὰ τῶν ἐχθρῶν κακόν, ἀλλ' ὅπως μηδὲν αὐτοὺς ἡμεῖς ἐρ-

πλευρά του, οὔτε ἄκουσε τοὺς ἀμέτρητους λόγους του γιὰ τὴν εὐσέβεια· δὲν ἀπόλαυσε τόση μεγάλη θυσία, οὔτε κοινώνησε αἷμα δεσποτικό, ἀλλ', ἐνῶ διδασκόταν μὲ πιὸ ἀτελεῖς νόμους, ποὺ δὲν ἀπαιτοῦσαν τίποτε τὸ παρόμοιο, ἔφθασε πρὸς τὴν ἴδια τὴν κορυφὴ τῆς ἀρετῆς τῆς ἐποχῆς τῆς χάριτος. Καὶ σὺ μὲν πολλὲς φορές, κυριευμένος ἀπὸ ὀργὴ γιὰ τὰ περασμένα, προσπαθεῖς νὰ πάρεις ἐκδίκηση, αὐτὸς ὅμως ἂν καὶ φοβόταν γιὰ τὰ μελλοντικὰ καὶ γνώριζε μὲ βεβαιότητα ὅτι δὲν θὰ κατοικήσει στὴν πόλη καὶ ὅτι θὰ εἶναι ἀνυπόφορη ἡ ζωή του ἐπειδὴ ἔσωσε τὸν ἐχθρό του, δὲν σταματοῦσε νὰ φροντίζει γιὰ ἐκεῖνον, ἀλλ' ἔκαμνε τὰ πάντα, τρέφοντας ἔτσι τὸν ἐχθρό του ἐναντίον του. Ποιὸς θὰ μποροῦσε ν' ἀναφέρει μεγαλύτερη ἀπὸ τὴν ἀνεξικακία αὐτή;

Ὅμως, γιὰ νὰ μάθεις καὶ ἀπὸ αὐτὰ ποὺ συμβαίνουν σήμερα, ὅτι εἶναι δυνατό, ἂν θέλομε, νὰ συμφιλιώσομε κάθε ἄνθρωπο ποὺ μᾶς μισεῖ, πές μου, τί ὑπάρχει πιὸ ἄγριο ἀπὸ τὸ λεοντάρι; Ἀλλ' ὅμως αὐτὸ τὸ ἡμερώνουν οἱ ἄνθρωποι, καὶ ἡ τέχνη ὑποτάσσει τὴ φύση, καὶ γίνεται πιὸ ἥμερο ἀπὸ ὁποιοδήποτε πρόβατο αὐτὸ ποὺ εἶναι τὸ πιὸ ἄγριο καὶ τὸ πιὸ ἡγεμονικὸ ἀπὸ ὅλα τὰ θηρία, καὶ βαδίζει μέσα ἀπὸ τὴν ἀγορὰ χωρὶς κανένα νὰ τρομάζει. Ποιὰ λοιπὸν ἀπολογία θὰ ἔχομε, ποιὰ συγγνώμη, τὰ μὲν θηρία νὰ τὰ ἡμερώνομε, νὰ λέμε δὲ ὅτι δὲν μποροῦμε ποτὲ νὰ καταπραΰνομε τοὺς ἀνθρώπους, οὔτε νὰ τοὺς κάνουμε νὰ συμπεριφέρονται ἀπέναντί μας εὐνοϊκά; Ἂν καὶ βέβαια στὸ θηρίο ἡ ἡμερότητα εἶναι κάτι τὸ μὴ φυσικό, ἐνῶ στὸν ἄνθρωπο ἡ ἀγριότητα εἶναι κάτι τὸ μὴ φυσικό. Ὅταν λοιπὸν τὴ φύση τὴν ὑποτάσσομε, ποιὰ ἀπολογία θὰ ἔχομε, λέγοντας ὅτι δὲν μποροῦμε νὰ διορθώσομε τὴν προαίρεση; Ἂν ὅμως ἀκόμα διαφωνεῖς, ἐκεῖνα θὰ μποροῦσα νὰ σοῦ πῶ, ὅτι δηλαδὴ καὶ ἂν ἀκόμα πάσχει ἀθεράπευτα, ὅσο μεγαλύτερος θὰ εἶναι ὁ κόπος σου, τόσο μεγαλύτερος θὰ εἶναι καὶ ὁ μισθός σου, ἐφόσον θὰ ἐπιμένεις μὲ σκοπὸ νὰ θεραπεύσεις ἐκεῖνον ποὺ πάσχει ἀθεράπευτα. Ἕνα λοιπὸν μόνο νὰ ἐπιδιώκομε, ὄχι πῶς νὰ μὴ πάθομε κανένα κακὸ ἀπὸ τοὺς ἐχθρούς μας, ἀλλὰ πῶς νὰ μὴ κάνομε ἐμεῖς

γασώμεθα κακόν· καὶ οὐδὲν πεισόμεθα δεινόν, κἂν μυρία πάσχωμεν δεινά· ὥσπεροῦν οὐδ' ὁ Δαυὶδ ἐλαυνόμενος, φυγαδευόμενος, μέχρι τῆς ψυχῆς αὐτῆς ἐπιβουλευόμενος, ἔπαθέ τι δεινόν, ἀλλ' ἐκείνου λαμπρότερος ἦν καὶ σεμνότερος καὶ ποθεινότερος ἅπασιν, οὐκ ἀνθρώποις δὲ μόνον, ἀλλὰ καὶ αὐτῷ τῷ Θεῷ.

Τί γὰρ ἠδικήθη ὁ ἅγιος ἐκεῖνος τότε τοσαῦτα παθὼν παρὰ τοῦ Σαούλ; Οὐχὶ μέχρι τῆς σήμερον ἡμέρας ᾄδεται, καὶ λαμπρὸς μὲν ἐν γῇ, λαμπρότερος δὲ ἐν οὐρανῷ; οὐχὶ τὰ ἀπόρρητα αὐτὸν ἀγαθὰ μένει, καὶ ἡ τῶν οὐρανῶν βασιλεία; Τί δ' ὠφέλησεν ὁ ταλαίπωρος ἐκεῖνος καὶ ἄθλιος τοσαῦτα ἐπιβουλεύσας; Οὐχὶ καὶ τῆς βασιλείας ἐξέπεσε, καὶ ἐλεινὸν ὑπέστη τὸν θάνατον μετὰ τοῦ παιδός, καὶ παρὰ πάντων κατηγορεῖται, καὶ τὸ δὴ χαλεπώτερον, τὰς ἀθανάτους νῦν ἐκδέχεται τιμωρίας; Ὅλως δὲ τί ποτέ ἐστιν, ὅπερ ἐγκαλῶν τῷ ἐχθρῷ οὐ βούλει καταλλαγῆναι; Χρήματά σε ἀφείλετο; Ἀλλ' ἂν ἐνέγκῃς γενναίως τὴν ἁρπαγήν, τοσοῦτον λήψῃ μισθόν, ὅσον ἂν εἰ ταῖς τῶν πενήτων αὐτὰ χερσὶν ἐναπέθηκας. Καὶ γὰρ ὁ πένησι δεδωκώς, καὶ ὁ τῷ πλεονεκτήσαντι μήτε ἐπιβουλεύων, μήτε καταρώμενος, διὰ τὸν Θεὸν ταῦτα ἀμφότεροι ποιοῦσιν. Ὅταν οὖν ἡ ὑπόθεσις τῆς δαπάνης ᾖ μία, εὔδηλον ὅτι καὶ στέφανος εἷς. Ἀλλ' εἰς ψυχὴν ἐπεβούλευσε καὶ ἀνελεῖν ἐπεχείρησε; Μαρτύριόν σοι τὸ πρᾶγμα λογιζεται, ἂν τὸ ἐπίβουλον, καὶ μέχρι τοσούτου τὴν ἔχθραν ἐξαγαγόντα, ἐν τοῖς εὐεργέταις ἀριθμῇς, καὶ διατελῇς εὐχόμενος ὑπὲρ αὐτοῦ, καὶ τὸν Θεὸν ἵλεω γενέσθαι παρακαλῶν.

4. Μὴ γὰρ δὴ τοῦτο ἴδωμεν, ὅτι διεκώλυσεν ὁ Θεὸς σφαγῆναι τὸν Δαυίδ, ἀλλ' ἐκεῖνο σκόπει, ὅτι τριπλοῦν καὶ τετραπλοῦν στέφανον μαρτυρίου ἀνεδήσατο ἀπὸ τῆς τοῦ Σαοὺλ ἐπιβουλῆς.

κανένα κακὸ σ' αὐτούς· καὶ δὲν θὰ πάθομε κανένα κακό, καὶ ἂν ἀκόμα ὑποφέρομε ἀμέτρητα κακά· ὅπως ἀκριβῶς βέβαια οὔτε ὁ Δαυὶδ ἔπαθε κανένα κακὸ ἀπὸ τὸ ὅτι καταδιωκόταν, ἔφευγε ἀπὸ τὸ ἕνα μέρος στὸ ἄλλο καὶ κινδύνευε νὰ χάσει καὶ τὴν ἴδια τὴ ζωή του, ἀλλ' ἦταν λαμπρότερος, σεμνότερος καὶ πιὸ ἀγαπητὸς σ' ὅλους αὐτός, παρὰ ἐκεῖνος, καὶ ὄχι μόνο στοὺς ἀνθρώπους, ἀλλὰ καὶ στὸν ἴδιο τὸ Θεό.

Πράγματι σὲ τί ζημιώθηκε ὁ ἅγιος ἐκεῖνος τότε ποὺ ἔπαθε τόσα κακὰ ἀπὸ τὸ Σαούλ; Δὲν ἐγκωμιάζεται μέχρι σήμερα καὶ εἶναι λαμπρὸς μὲν στὴ γῆ, λαμπρότερος δὲ στὸν οὐρανό; δὲν τὸν ἐπιφυλάσσονται τὰ ἀπόρρητα ἀγαθὰ καὶ ἡ βασιλεία τῶν οὐρανῶν; Τί δὲ ὠφελήθηκε ὁ ταλαίπωρος καὶ ἄθλιος ἐκεῖνος ποὺ μηχανεύθηκε τόσα κακὰ ἐναντίον τοῦ Δαυίδ; Δὲν ἔχασε καὶ τὴ βασιλεία, καὶ ὑπέστη ἐλεεινὸ θάνατο μαζὶ μὲ τὸ παιδί του, καὶ ἀπὸ ὅλους κατηγορεῖται, καὶ τὸ φοβερότερο βέβαια, ὑφίσταται σήμερα τὶς ἀθάνατες τιμωρίες; Ἐν πάσῃ ὅμως περιπτώσει, τί τέλος πάντων εἶναι ἐκεῖνο, γιὰ τὸ ὁποῖο κατηγορεῖς τὸν ἐχθρό σου καὶ δὲν θέλεις νὰ συμφιλιωθεῖς μαζί του; Χρήματα σοῦ ἀφαίρεσε; Ἀλλ' ἂν ὑπομείνεις μὲ γενναιότητα τὴν ἁρπαγή, τόσο μεγάλο μισθὸ θὰ λάβεις, ὅσο ἂν εἶχες ἐναποθέσει αὐτὰ στὰ χέρια τῶν φτωχῶν. Καθόσον ἐκεῖνος ποὺ ἔδωσε στοὺς φτωχούς, καὶ ἐκεῖνος ποὺ δὲν ἐπιδιώκει κακὰ ἐναντίον ἐκείνου ποὺ τοῦ ἅρπαξε τὰ ὑπάρχοντά του καὶ δὲν καταριέται αὐτόν, γιὰ τὸ Θεὸ τὰ κάνουν αὐτὰ καὶ οἱ δυό. Ὅταν λοιπὸν ἡ αἰτία τῆς δαπάνης εἶναι μία, εἶναι ὁλοφάνερο ὅτι καὶ τὸ στεφάνι εἶναι ἕνα. Ἀλλὰ μήπως σκέφθηκε κακὸ γιὰ τὴ ζωή σου καὶ ἐπιχείρησε νὰ σοῦ τὴν ἀφαιρέσει; Τὸ πράγμα αὐτὸ καταλογίζεται γιὰ σένα σὰν μαρτύριο, ἂν ἐκεῖνον, ποὺ ἐπιδιώκει τὸ κακό σου καὶ ἔφθασε μέχρι σ' αὐτὸ τὸ σημεῖο ἡ ἔχθρα του, τὸν ἀπαριθμεῖς μεταξὺ τῶν εὐεργετῶν καὶ προσεύχεσαι ὑπὲρ αὐτοῦ καὶ παρακαλεῖς τὸ Θεὸ νὰ δείξει εὐσπλαχνία γι' αὐτόν.

4. Ἂς μὴ λοιπὸν προσέξομε αὐτό, τὸ ὅτι ἐμπόδισε ὁ Θεὸς νὰ σφαγεῖ ὁ Δαυίδ, ἀλλ' ἐκεῖνο πρόσεχε, τὸ ὅτι φόρεσε ἐξ αἰτίας τῆς ἐπιβουλῆς τοῦ Σαοὺλ τριπλὸ καὶ τετραπλὸ στεφάνι

Ὁ γὰρ διὰ τὸν Θεὸν τὸν πολέμιον σώζων, τὸν ἅπαξ καὶ δὶς καὶ πολλάκις τὸ δόρυ κατὰ τῆς αὐτοῦ κεφαλῆς ἀκοντίσαντα, καὶ γενόμενος κύριος ἀνελεῖν, εἶτα φεισάμενος, καὶ ταῦτ' εἰδώς, ὅτι μετὰ τὴν φειδὼ ταύτην πάλιν ἐπιθήσεται, εὔδηλον ὅτι μυριάκις ἐσφάγη τῇ προθέσει· μυριάκις δὲ σφαγεὶς διὰ τὸν Θεόν, πολλοὺς ἔχει μαρτυρίου στεφάνους, καὶ ὅπερ ὁ Παῦλος ἔλεγεν, ὅτι «Καθ' ἑκάστην ἡμέραν ἀποθνήσκω διὰ τὸν Θεόν», τοῦτο καὶ αὐτὸς ἔπασχε διὰ τὸν Θεόν. Δυνάμενος γὰρ ἀνελεῖν τὸν ἐπιβουλεύοντα, διὰ τὸν Θεὸν οὐκ ἠθέλησεν, ἀλλ' εἵλετο κινδυνεύειν καθ' ἑκάστην ἡμέραν μᾶλλον, ἢ δικαίαν ἐργασάμενος σφαγὴν ἀπὸ τοσούτων ἀπαλλαγῆναι θανάτων. Εἰ δὲ τὸν μέχρι τῆς ζωῆς αὐτῆς ἐπιβουλεύοντα ἀμύνασθαι καὶ μισεῖν οὐ χρή, πολλῷ μᾶλλον εἰς ὁτιοῦν ἄλλο ἀδικοῦντα. Πολλοῖς δοκεῖ τὸ κακῶς ἀκούειν, καὶ εἰς ὑπόληψιν παραβλάπτεσθαι παρὰ τῶν ἐχθρῶν, πάντων θανάτων ἀφορητότερον εἶναι. Φέρε οὖν καὶ αὐτὸ τοῦτο ἐξετάσωμεν.

Εἰπέ σέ τις κακῶς, καὶ μοιχὸν καὶ πόρνον ἐκάλεσε; Ταῦτα εἰ μὲν ἀληθῆ λέγῃ, διόρθωσαι, εἰ δὲ ψευδῆ, καταγέλασον· εἰ σύνοιδας σαυτῷ τὰ εἰρημένα, σωφρόνησον, εἰ δὲ μὴ σύνοιδας, καταφρόνησον· μᾶλλον δὲ μὴ καταγελάσῃς, μηδὲ καταφρονήσῃς μόνον, ἀλλὰ καὶ χαῖρε, καὶ σκίρτα κατὰ τὸν τοῦ Κυρίου λόγον, τὸν κελεύοντα οὕτω ποιεῖν. «Ὅταν γὰρ ὀνειδίσωσι», φησίν, «ὑμᾶς, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι, χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς». Καὶ πάλιν, «Χαίρετε καὶ σκιρτᾶτε, ὅταν ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν ψευδόμενοι». Ὅτι δὲ κἂν ἀληθεύων εἴπῃ, σὺ δὲ μετ' ἐπιεικείας ἐνέγκῃς τὰ ῥήματα, καὶ μὴ ἀνθυβρίσῃς,

---

5. Ρωμ. 8, 36.
6. Ματθ. 5, 11-12.
7. Λουκᾶ 6, 22-23.

μαρτυρίου. Διότι ἐκεῖνος ποὺ γιὰ χάρη τοῦ Θεοῦ σώζει τὸν ἐχθρό του, ποὺ πέταξε τὸ δόρυ ἐναντίον τῆς κεφαλῆς του μιὰ καὶ δυὸ καὶ πολλὲς φορές, καί, ἀφοῦ ἔγινε κύριος νὰ τοῦ ἀφαιρέσει τὴ ζωή, τοῦ τὴν χάρισε, καὶ ὅλα αὐτὰ ἂν καὶ γνώριζε, ὅτι μετὰ τὴν εὐσπλαχνία του αὐτὴ καὶ πάλι θὰ ἐπιτεθεῖ ἐναντίον του, εἶναι ὁλοφάνερο ὅτι ἀμέτρητες φορὲς σφάχθηκε ὡς πρὸς τὴν πρόθεση· ἀφοῦ δὲ σφάχθηκε ἀμέτρητες φορὲς γιὰ χάρη τοῦ Θεοῦ, ἔχει καὶ πολλὰ στεφάνια μαρτυρίου, καὶ ἐκεῖνο ἀκριβῶς ποὺ ἔλεγε ὁ Παῦλος, ὅτι «Καθημερινὰ πεθαίνω γιὰ χάρη τοῦ Θεοῦ»[5], αὐτὸ καὶ αὐτὸς ἔπασχε γιὰ χάρη τοῦ Θεοῦ. Διότι, ἐνῶ μποροῦσε νὰ φονεύσει ἐκεῖνον ποὺ τὸν ἐπιβουλευόταν, γιὰ χάρη τοῦ Θεοῦ δὲν θέλησε, ἀλλὰ προτίμησε νὰ κινδυνεύει καθημερινὰ μᾶλλον, παρά, διαπράττοντας δίκαια σφαγή, ν' ἀπαλλαγεῖ ἀπὸ τόσους πολλοὺς θανάτους. Ἂν δὲ δὲν πρέπει νὰ πολεμοῦμε καὶ νὰ μισοῦμε ἐκεῖνον ποὺ ἐπιδιώκει νὰ κάνει κακὸ καὶ στὴν ἴδια ἀκόμα τὴ ζωή μας, πολὺ περισσότερο ἐκεῖνον ποὺ μᾶς ἀδικεῖ σὲ ὁποιοδήποτε ἄλλο πράγμα. Ἀπὸ πολλοὺς θεωρεῖται τὸ νὰ κακολογοῦνται ἀπὸ τοὺς ἐχθρούς τους καὶ ὅτι βλάπτεται ἡ ὑπόληψή τους καὶ ὅτι εἶναι τὸ πιὸ ἀνυπόφορο ἀπὸ ὅλους τοὺς θανάτους. Ἐμπρὸς λοιπὸν ἂς ἐξετάσομε καὶ αὐτό.

Σὲ κακολόγησε κάποιος καὶ σὲ ὀνόμασε μοιχὸ καὶ πόρνο; Ἂν μὲν αὐτὰ ποὺ λέγει εἶναι ἀληθινά, διορθώσου, ἂν δὲ εἶναι ψέματα, γέλασε γι' αὐτά· ἂν μὲν ἀναγνωρίζεις τὰ ὅσα ἔχουν λεχθεῖ γιὰ σένα, σωφρονήσου, ἂν δὲ δὲν τὰ ἀναγνωρίζεις, δεῖξε περιφρόνηση γι' αὐτά· ἢ καλύτερα μὴ γελάσεις μόνο γι' αὐτά, οὔτε νὰ δείξεις περιφρόνηση, ἀλλὰ καὶ νιῶσε χαρά, καὶ σκίρτησε ἀπὸ τὴ χαρά σου, σύμφωνα μὲ τὸ λόγο τοῦ Κυρίου ποὺ παραγγέλλει ἔτσι νὰ κάμνομε. Διότι λέγει, «Ὅταν σᾶς κακολογήσουν καὶ ποῦν ὁποιοδήποτε κακὸ λόγο ἐναντίον σας ποὺ δὲν εἶναι ἀληθινός, νὰ χαίρεσθε καὶ νὰ νιώθετε ἀγαλλίαση, διότι ὁ μισθός σας θὰ εἶναι μεγάλος στοὺς οὐρανούς»[6]. Καὶ πάλι, «Νὰ χαίρεσθε καὶ νὰ σκιρτᾶτε ἀπὸ χαρά, ὅταν χωρὶς νὰ ἔχουν δίκιο, περιφρονοῦν τὸ ὄνομά σας καὶ τὸ πολεμοῦν σὰν κακό»[7]. Τὸ ὅτι δὲ καὶ ἂν ἀκόμα εἶναι ἀλήθεια αὐτὰ ποὺ λέγει, σὺ ὅμως

μηδὲ λοιδορήσῃς, ἀλλὰ στενάξῃς πικρόν, καὶ καταγνῷς τῶν πεπλημμελημένων, οὐκ ἐλάττονα τοῦ προτέρου καρπώσῃ μισθόν, καὶ τοῦτο ἀπὸ τῶν Γραφῶν ὑμῖν παραστῆσαι πειράσομαι, ἵνα μάθητε ὅτι ὅσα οὐκ ὠφελοῦσι φίλοι ἐπαινοῦντες καὶ χαριζόμενοι, τοσαῦτα ὠφελοῦσιν ἐχθροὶ κακῶς λέγοντες, κἂν ἀληθεύωσι, μόνον ἂν εἰς δέον ἡμεῖς ταῖς κατηγορίαις χρήσασθαι βουληθῶμεν. Οἱ μὲν γὰρ φίλοι πολλάκις καὶ πρὸς χάριν κολακεύουσιν, οἱ δ' ἐχθροὶ τὰ ἁμαρτήματα εἰς μέσον ἄγουσιν. Ἐπειδὴ γὰρ ὑπὸ φιλαυτίας ἡμεῖς τὰ ἡμέτερα πλημμελήματα οὐχ ὁρῶμεν, ὑπὸ τῆς ἔχθρας ἐκεῖνοι πολλάκις ἡμῶν ἀκριβέστερον θεασάμενοι, καὶ ὀνειδίσαντες εἰς ἀνάγκην ἡμᾶς ἐνέβαλον διορθώσεως, καὶ γέγονεν ἡμῖν ἡ ἔχθρα μεγίστης ὠφελείας ὑπόθεσις, οὐ μόνον ὅτι μιμνησκόμενοι παρ' ἐκείνων νοοῦμεν ἡμῶν τὰ ἁμαρτήματα, ἀλλ' ὅτι αὐτὰ καὶ ἀποτιθέμεθα. Ἂν γὰρ ὀνειδίσῃ σε ὁ ἐχθρὸς ἁμάρτημα, ὃ σὺ σαυτῷ σύνοιδας, σὺ δ' ἀκούσας ἐκεῖνον μὲν μὴ ὑβρίσῃς, στενάξῃς δὲ πικρόν, καὶ τὸν Θεὸν παρακαλέσῃς, εὐθέως ἀπέθου τὴν ἁμαρτίαν ἅπασαν. Ἆρα τί τούτου γένοιτ' ἂν μακαριώτερον; τί δ' εὐκολώτερον πρὸς ἁμαρτημάτων ἀπαλλαγήν;

Ἀλλ' ἵνα μὴ νομίσῃς ἡμᾶς ἁπλῶς σε ψυχαγωγεῖν, ἀπὸ τῶν θείων Γραφῶν τὴν ὑπὲρ τούτων παρέξομαι μαρτυρίαν, ἵνα μηδὲν ἀμφιβάλλῃς λοιπόν. Φαρισαῖός τις ἦν, καὶ τελώνης· ὁ μὲν εἰς ἐσχάτην κακίαν ἐληλακώς, ὁ δὲ δικαιοσύνης ἐπιμελόμενος ἄκρας· καὶ γὰρ τὰ ὄντα προήκατο, καὶ νηστεύων διετέλει, καὶ πλεονεξίας ἦν καθαρός· ἐκεῖνος δ' ἐν ἁρπαγαῖς καὶ βίαις τὸν ἅπαντα χρόνον ἀνήλωσεν. Ἀνῆλθον ἀμφότεροι προσεύξασθαι εἰς τὸ ἱερόν. Εἶτα ἐκεῖνος στὰς ἔλεγεν· «Εὐχαριστῶ σοι, Κύριε,

τὰ λόγια αὐτὰ τὰ ὑποφέρεις μὲ ἐπιείκεια, καὶ δὲν τὸν βρίσεις ἐξ αἰτίας αὐτῶν καὶ δὲν τὸν κακολογήσεις, ἀλλὰ στενάξεις πικρὰ καὶ ἀναγνωρίσεις τὰ παραπτώματά σου, δὲν θὰ καρπωθεῖς ἀπὸ αὐτὸ μικρότερο μισθὸ ἀπὸ τὸν προηγούμενο· καὶ αὐτὸ θὰ προσπαθήσω νὰ σᾶς τὸ παρουσιάσω ἀπὸ τὶς Γραφές, γιὰ νὰ μάθετε ὅτι ὅση ὠφέλεια δὲν μᾶς προσφέρουν οἱ φίλοι ποὺ μᾶς ἐπαινοῦν καὶ μᾶς χαρίζονται, τόσο περισσότερο μᾶς ὠφελοῦν οἱ ἐχθροί μας ποὺ μᾶς κακολογοῦν, καὶ ἂν ἀκόμα αὐτὰ ποὺ λέγουν εἶναι ἀλήθεια, ἀρκεῖ μόνο νὰ θελήσομε νὰ χρησιμοποιήσομε τὶς κατηγορίες ὅπως πρέπει. Διότι οἱ μὲν φίλοι πολλὲς φορὲς μᾶς κολακεύουν γιὰ χατήρι μας, οἱ δὲ ἐχθροὶ παρουσιάζουν τὰ ἁμαρτήματά μας. Ἐπειδὴ δηλαδὴ ἐμεῖς ἐξ αἰτίας τῆς ἀγάπης μας πρὸς τὸν ἑαυτό μας δὲν ἀντιλαμβανόμαστε τὰ παραπτώματά μας, ἐκεῖνοι ἐξ αἰτίας τῆς ἔχθρας τους πρὸς ἐμᾶς, ἀφοῦ διαπίστωσαν αὐτὰ πολλὲς φορὲς καλύτερα ἀπὸ ἐμᾶς καὶ μᾶς κατηγόρησαν, μᾶς ἐξανάγκασαν νὰ τὰ διορθώσομε, καὶ ἔγινε γιὰ μᾶς ἡ ἔχθρα τους ἀφορμὴ πάρα πολὺ μεγάλης ὠφέλειας, ὄχι μόνο διότι μὲ τὴν ὑπενθύμιση ἐκ μέρους ἐκείνων διαισθανόμαστε τὰ ἁμαρτήματά μας, ἀλλὰ καὶ διότι ἀποβάλλομε αὐτά. Διότι, ἂν ὁ ἐχθρὸς σὲ κατηγορήσει γιὰ ἁμάρτημα, τὸ ὁποῖο ἀναγνωρίζεις ἐσύ, σὺ δέ, ἀκούοντας τὴν κατηγορία, ἐκεῖνον μὲν δὲν τὸν βρίσεις, ἀλλ' ἀναστενάξεις πικρὰ καὶ τὸ Θεὸ παρακαλέσεις, ἀμέσως ἀπέβαλες ὅλη τὴν ἁμαρτία. Ἑπομένως τί θὰ μποροῦσε νὰ ὑπάρξει πιὸ μακάριο ἀπὸ αὐτόν; τί πιὸ εὔκολο γιὰ τὴν ἀπαλλαγὴ τῶν ἁμαρτημάτων;

Ἀλλὰ γιὰ νὰ μὴ νομίσεις ὅτι ἐγὼ τὰ λέγω ἁπλῶς γιὰ νὰ σὲ εὐχαριστήσω, ἀπὸ τὶς θεῖες Γραφὲς θὰ σοῦ προσφέρω τὴ μαρτυρία, γιὰ νὰ μὴ ἀμφιβάλλεις πλέον καθόλου. Ὑπῆρχε κάποιος Φαρισαῖος καὶ κάποιος τελώνης· ὁ μὲν τελώνης εἶχε φθάσει στὴν πιὸ χειρότερη μορφὴ κακίας, ὁ δὲ Φαρισαῖος φρόντιζε νὰ εἶναι ἀπόλυτα δίκαιος· καθόσον καὶ δώριζε τὰ ὑπάρχοντά του, καὶ νήστευε, καὶ ἦταν καθαρὸς ἀπὸ πλεονεξία, ἐνῶ ὁ τελώνης πέρασε ὅλο τὸ χρόνο του μὲ ἁρπαγὲς καὶ αὐθαιρεσίες. Ἀνέβηκαν καὶ οἱ δυὸ νὰ προσευχηθοῦν στὸ ναό. Στὴ συνέχεια ὁ Φαρι-

ὅτι οὐκ εἰμὶ ὡς οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, πλεονέκται, οὐδ ὡς οὗτος ὁ τελώνης». Ὁ δὲ τελώνης πόρρωθεν ἑστώς, οὐκ ἀνθύβρισεν, οὐκ ἀντελοιδόρησεν, οὐκ εἶπε ταῦτα τὰ τῶν πολλῶν ρήματα· 'Σὺ δὲ τολμᾷς τοῦ ἐμοῦ μεμνῆσθαι βίου, ἐπιλαβέσθαι δὲ τῶν ἐμοὶ πεπραγμένων; Οὐ γάρ εἰμί σου βελτίων; Εἴπω τά σοι πεπλημμελημένα, καὶ ποιήσω μηδέποτέ σε τῶν ἱερῶν τούτων ἐπιβῆναι προθύρων'. Οὐδὲν τούτων εἶπε τῶν ψυχρῶν ρημάτων, ἃ καθ' ἑκάστην ἡμέραν ἀλλήλους πλύνοντες λέγομεν, ἀλλὰ πικρῶς ἑκάστην στενάξας καὶ πατάξας τὸ στῆθος, τοσοῦτον εἶπε μόνον, «Ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ», καὶ κατῆλθε δεδικαιωμένος.

Εἶδες τάχος; Κατεδέξατο ὄνειδος, καὶ ἀπενίψατο ὄνειδος· ἐπέγνω τὰ ἁμαρτήματα, καὶ ἀπέθετο τὰ ἁμαρτήματα· καὶ ἡ κατηγορία τῆς ἁμαρτίας γέγονεν ἀναίρεσις τῆς ἁμαρτίας, καὶ ὁ ἐχθρὸς ἄκων εὐεργέτης καθίστατο. Πόσα γὰρ ἔδει καμεῖν τὸν τελώνην νηστεύοντα, χαμευνοῦντα, ἀγρυπνοῦντα, τὰ ὄντα τοῖς δεομένοις παρέχοντα, ἐν σποδῷ καὶ σάκκῳ καθήμενον ἐν πολλῷ τῷ χρόνῳ, ὥστε δυνηθῆναι τὰ ἁμαρτήματα ἀποθέσθαι ἐκεῖνα; Καὶ νῦν οὐδὲν τούτων ποιήσας, διὰ ψιλοῦ ρήματος πᾶσαν ἀπέθετο τὴν κακίαν· καὶ τὰ ὀνείδη καὶ αἱ λοιδορίαι τοῦ δόξαντος αὐτὸν ὑβρίζειν στέφανον αὐτῷ δικαιοσύνης ἐκόμισαν, χωρὶς ἱδρώτων, καὶ πόνων, καὶ χρόνου μακροῦ. Ὁρᾷς ὅτι κἂν ἀληθῆ τις λέγῃ περὶ ἡμῶν, κἂν τοιαῦτα ἅπερ ἡμεῖς ἑαυτοῖς σύνισμεν, ἡμεῖς δὲ τὸν λέγοντα μὴ ὑβρίσωμεν, ἀλλὰ στενάξωμεν πικρόν, καὶ τὸν Θεὸν ὑπὲρ τῶν ἁμαρτημάτων παρακαλέσωμεν, πάντα δυνησόμεθα ἀποθέσθαι τὰ πλημμελήματα; Οὕτω γοῦν καὶ οὗτος ἐδικαιώθη· ἐπειδὴ γὰρ οὐκ ἀνθύβρισεν ἐκεῖνον, ἀλλ' ἐστέναξεν ὑπὲρ τῶν οἰκείων ἁμαρτημάτων, κατῆλθε δεδικαιωμένος μᾶλλον οὗτος, ἢ ἐκεῖνος.

---

8. Λουκᾶ 18, 11.
8α. Λουκᾶ 18, 13.

σαῖος ἀφοῦ στάθηκε σὲ στάση προσευχῆς ἔλεγε· «Σὲ εὐχαριστῶ, Κύριε, διότι δὲν εἶμαι ὅπως οἱ ὑπόλοιποι ἄνθρωποι, ποὺ εἶναι ἅρπαγες, καὶ πλεονέκτες, οὔτε δὲ ὅπως αὐτὸς ὁ τελώνης»[8]. Ὁ δὲ τελώνης στεκόμενος μακριὰ δὲν τοῦ ἀνταπέδωσε λόγια προσβλητικά, οὔτε τὸν κακολόγησε, οὔτε εἶπε τὰ λόγια αὐτὰ ποὺ λέγουν οἱ πολλοί· 'Σὺ δὲ τολμᾶς νὰ ὑπενθυμίζεις τὴ ζωή μου καὶ νὰ κατηγορεῖς τὶς πράξεις μου; Δὲν εἶμαι ἐγὼ καλύτερος ἀπὸ σένα; Θὰ σοῦ πῶ τὰ ἁμαρτήματά σου καὶ θὰ σὲ κάνω ποτὲ νὰ μὴ πατήσεις στὰ ἱερὰ αὐτὰ πρόθυρα'. Κανένα ἀπὸ αὐτὰ τὰ ψυχρὰ λόγια δὲν εἶπε, τὰ ὁποῖα λέμε καθημερινὰ περιλούζοντας ὁ ἕνας τὸν ἄλλο, ἀλλ' ἀφοῦ ἀναστέναξε πικρὰ καὶ χτύπησε τὸ στῆθος του, αὐτὸ μόνο εἶπε, «Συγχώρησε ἐμένα τὸν ἁμαρτωλό»[8α], καὶ κατέβηκε ἀπὸ τὸ ναὸ σωσμένος.

Εἶδες σύντομη ἐνέργεια; Καταδέχθηκε τὴν κατηγορία καὶ ἀπαλλάχθηκε ἀπὸ τὴν κατηγορία· συναισθάνθηκε τὰ ἁμαρτήματά του καὶ ἀπαλλάχθηκε ἀπὸ τὰ ἁμαρτήματά του· ἡ κατηγορία τῆς ἁμαρτίας ἔγινε ἐξάλειψη τῆς ἁμαρτίας, καὶ ὁ ἐχθρὸς χωρὶς νὰ τὸ θέλει ἔγινε εὐεργέτης. Διότι πόσα ἔπρεπε νὰ κάνει ὁ τελώνης, νηστεύοντας, κοιμώμενος καταγῆς, ξαγρυπνώντας, μοιράζοντας τὰ ὑπάρχοντά του στοὺς φτωχούς, καθισμένος γιὰ πολὺ χρόνο ἐπάνω σὲ σάκκο καὶ στάχτη, ὥστε νὰ μπορέσει νὰ καθαρίσει τὰ ἁμαρτήματα ἐκεῖνα; Καὶ τώρα χωρὶς νὰ κάνει κανένα ἀπὸ αὐτά, μὲ ἕνα ἁπλὸ λόγο ὅλη τὴν κακία του τὴν ἀπέβαλε· καὶ οἱ κατηγορίες καὶ τὰ κακόλογα ἐκείνου ποὺ νόμισε ὅτι τὸν βρίζει πρόσφεραν σ' αὐτὸν τὸ στεφάνι τῆς δικαιοσύνης, χωρὶς ἱδρῶτες καὶ κόπο καὶ μακρὺ χρόνο. Βλέπεις ὅτι καὶ ἂν ἀκόμα εἶναι ἀλήθεια ἐκεῖνα ποὺ λέγει κάποιος γιὰ μᾶς, καὶ ἂν ἀκόμα τέτοια ποὺ τὰ ἀναγνωρίζομε καὶ ἐμεῖς, ἂν ἐμεῖς δὲν βρίσομε ἐκεῖνον ποὺ λέγει αὐτά, ἀλλὰ στενάξομε πικρὰ καὶ παρακαλέσομε τὸ Θεὸ γιὰ τὰ ἁμαρτήματά μας, θὰ μπορέσομε ν' ἀποβάλομε ὅλα τὰ ἁμαρτήματά μας; Ἔτσι λοιπὸν καὶ αὐτὸς δικαιώθηκε· διότι, ἐπειδὴ δὲν ἀνταπέδωσε σ' ἐκεῖνον τὴν ὕβρη, ἀλλ' ἀναστέναξε γιὰ τὰ ἁμαρτήματά του, κατέβηκε σωσμένος αὐτὸς μᾶλλον, παρὰ ἐκεῖνος.

5. Ὁρᾷς ὅσον ἔχει κέρδος ἡ τῶν ἐχθρῶν ὕβρις, ἐὰν φιλοσόφως αὐτὴν φέρωμεν; Ὅταν γοῦν καὶ ψευδόμενοι καὶ ἀληθεύοντες ἡμᾶς ὠφελῶσι, τίνος ἕνεκεν ἀλγοῦμεν; τίνος ἕνεκεν δακνόμεθα; Ἂν μὴ σὺ σαυτὸν παραβλάψῃς, ἄνθρωπε, οὔτε φίλος, οὔτ' ἐχθρός, οὔτ' αὐτός σε ὁ διάβολος παραβλάψαι δυνήσεται. Ὅταν γὰρ οἱ ὑβρίζοντες, οἱ δημεύοντες, οἱ μέχρι τῆς ζωῆς αὐτῆς ἐπιβουλεύοντες ὠφελῶσιν ἡμᾶς, καὶ οἱ μὲν μαρτυρίου στέφανον ἡμῖν πλέκωσι, καθάπερ ἀπεδείξαμεν, οἱ δὲ τὰ ἁμαρτήματα ἡμῶν ἀποσύρωσι, καὶ δικαίους ἡμᾶς ἐργάζωνται, ὥσπερ ἐπὶ τοῦ τελώνου γέγονε, τίνος ἕνεκεν ἐκθηριούμεθα πρὸς αὐτούς; Μὴ τοίνυν λέγωμεν, 'ὁ δεῖνά με παρώξυνε, καὶ ὁ δεῖνά με προήγαγεν εἰπεῖν ῥήματα αἰσχρά· ἡμεῖς αἴτιοι πανταχοῦ τούτων. Ἂν γὰρ θέλωμεν φιλοσοφεῖν, οὐδὲ δαίμων ἡμᾶς δυνήσεται κινῆσαι πρὸς ὀργήν· καὶ τοῦτο δῆλον καὶ ἐξ ἄλλων μὲν πολλῶν, καὶ ἀπ' αὐτῆς δὲ τῆς προκειμένης ἡμῖν ἱστορίας τῆς περὶ τοῦ Δαυίδ, ἣν ἄξιον καὶ σήμερον παραγαγεῖν εἰς μέσον, πρότερον ἀναμνήσαντες ὑμῶν τὴν ἀγάπην, ποῦ τὸν λόγον κατελύσαμεν πρῴην. Ποῦ τοίνυν αὐτὸν κατελύσαμεν; Εἰς τὴν ἀπολογίαν τὴν τοῦ Δαυίδ. Οὐκοῦν ἀνάγκη σήμερον τὰ τοῦ Σαοὺλ ῥήματα εἰπεῖν, καὶ ἰδεῖν τί πρὸς τὴν δικαιολογίαν ἐκείνου οὗτος. Οὐ γὰρ δὴ μόνον ἀφ' ὧν ὁ Δαυὶδ ἐφθέγξατο ῥημάτων, ἀλλὰ καὶ ἀφ' ὧν ὁ Σαοὺλ λέγει, τὴν ἀρετὴν εἰσόμεθα τοῦ Δαυίδ· ἂν γὰρ φανῇ τι πρᾶον καὶ ἥμερον οὗτος φθεγγόμενος, τὴν αἰτίαν τούτων ἐκείνῳ λογιούμεθα τῷ μεταβαλόντι τὸν ἄνθρωπον, τῷ παιδεύσαντι καὶ ῥυθμίσαντι τὴν ψυχὴν αὐτοῦ.

Τί οὖν φησιν ὁ Σαούλ; Ἀκούσας τοῦ Δαυὶδ εἰπόντος, «Ἰδοὺ τὸ πτερύγιον τῆς διπλοΐδος ἐν τῇ χειρί μου», καὶ τἄλλα πάνθ' ἃ μετὰ τούτων ἀπελογήσατο, «Ἡ φωνή σου αὕτη, τέκνον Δαυίδ;». Ὢ πόση γέγονεν ἀθρόον ἡ μεταβολή; Ὁ γὰρ μηδ' ἀπὸ

---

9. Α' Βασ. 24, 12.
10. Α' Βασ. 24, 17.

5. Βλέπεις πόσο κέρδος ἔχει ἡ ὕβρη τῶν ἐχθρῶν, ἐὰν ὑπομένομε αὐτὴ μὲ φιλοσοφικότητα; Ὅταν λοιπὸν καὶ λέγοντας ψέματα καὶ λέγοντας τὴν ἀλήθεια μᾶς ὠφελοῦν, γιὰ ποιὸ λόγο στενοχωρούμαστε; γιὰ ποιὸ λόγο λυπούμαστε; Ἂν σύ, ἄνθρωπε, δὲν βλάψεις τὸν ἑαυτό σου, οὔτε φίλος οὔτε ἐχθρός, οὔτε αὐτὸς ὁ ἴδιος ὁ διάβολος θὰ μπορέσει νὰ σὲ βλάψει. Διότι, ὅταν μᾶς ὠφελοῦν αὐτοὶ ποὺ μᾶς βρίζουν, αὐτοὶ ποὺ δημεύουν τὴν περιουσία μας, καὶ αὐτοὶ ποὺ ἐπιβουλεύονται μέχρι καὶ τὴ ζωή· μας ἀκόμα, καὶ οἱ μὲν μᾶς πλέκουν στεφάνι μαρτυρίου, ὅπως ἀκριβῶς ἀποδείξαμε, οἱ δὲ ἄλλοι μᾶς καθαρίζουν ἀπὸ τὰ ἁμαρτήματά μας καὶ μᾶς καθιστοῦν δικαίους, ὅπως συνέβηκε στὴν περίπτωση τοῦ τελώνη, γιὰ ποιὸ λόγο συμπεριφερόμαστε ἀπέναντί τους σὰν τὰ θηρία; Ἂς μὴ λέμε λοιπόν, 'ὁ τάδε μὲ παρόργισε, καὶ ὁ τάδε μὲ ὁδήγησε στὸ νὰ πῶ λόγια αἰσχρά'· ἐμεῖς εἴμαστε παντοῦ αἴτιοι γι' αὐτά. Διότι ἂν θέλομε νὰ ἀντιμετωπίσομε μὲ φιλοσοφικότητα τὰ πράγματα οὔτε ὁ δαίμονας θὰ μπορέσει νὰ μᾶς παρακινήσει πρὸς τὴν ὀργή· καὶ αὐτὸ γίνεται φανερὸ καὶ ἀπὸ πολλὰ μὲν ἄλλα, ἀλλὰ καὶ ἀπὸ τὴν ἐξεταζόμενη ἱστορία τὴ σχετικὴ μὲ τὸ Δαυίδ, τὴν ὁποία ἀξίζει καὶ σήμερα νὰ ἐξετάσομε, ἀφοῦ πρῶτα ὑπενθυμίσομε στὴν ἀγάπη σας ποῦ προηγουμένως τερματίσαμε τὸ λόγο. Ποῦ λοιπὸν τερματίσαμε αὐτόν; Στὴν ἀπολογία τοῦ Δαυίδ. Λοιπὸν εἶναι ἀνάγκη καὶ σήμερα ν' ἀναφέρομε τὰ λόγια τοῦ Σαοὺλ καὶ νὰ δοῦμε τί ἀπάντησε αὐτὸς στὴ δικαιολογία ἐκείνου. Διότι βέβαια θὰ γνωρίσομε τὴν ἀρετὴ τοῦ Δαυὶδ ὄχι μόνο ἀπὸ τὰ λόγια ἐκεῖνα ποὺ εἶπε ὁ Δαυίδ, ἀλλὰ καὶ ἀπὸ ἐκεῖνα ποὺ λέγει ὁ Σαούλ· ἂν δηλαδὴ φανεῖ νὰ λέγει αὐτὸς κάτι τὸ πρᾶο καὶ ἥμερο, τὴν αἰτία αὐτῶν θὰ τὴν ἀποδώσομε σ' ἐκεῖνον ποὺ μετέβαλε τὸν ἄνθρωπο, ποὺ διαπαιδαγώγησε καὶ διέπλασε τὴν ψυχὴ αὐτοῦ.

Τί λοιπὸν λέγει ὁ Σαούλ; Ὅταν ἄκουσε τὸ Δαυὶδ νὰ λέγει, «Νὰ τὸ ἄκρο ἀπὸ τὸ ἐπανωφόρι σου βρίσκετι στὸ χέρι μου»[9], καὶ ὅλα τὰ ἄλλα ποὺ ἀπολογήθηκε μετὰ ἀπὸ αὐτά, εἶπε, «Παιδί μου Δαυίδ, αὐτὴ εἶναι ἡ φωνή σου;»[10]. Ἀλήθεια, πόση μεταβολὴ ἔγινε μέσα σὲ μιὰ στιγμή; Διότι ἐκεῖνος ποὺ δὲν καταδε-

ψιλοῦ τοῦ ὀνόματος ἀνεχόμενος αὐτὸν καλέσαι ποτέ, ἀλλὰ καὶ αὐτὴν αὐτοῦ μισῶν τὴν προσηγορίαν, καὶ εἰς συγγένειαν αὐτὸν ἤγαγε, «τέκνον» αὐτὸν προσειπών. Τί τοῦ Δαυὶδ μακαριώτερον, ὃς τὸν ἀνδροφόνον πατέρα ἐποίησε, καὶ τὸν λύκον πρόβατον, καὶ τὴν κάμινον τῆς ὀργῆς δρόσου πολλῆς ἐνέπλησε, καὶ τὰ κύματα εἰς γαλήνην μετέβαλε, καὶ τὴν φλεγμονὴν τοῦ θυμοῦ κατέσβεσεν ἅπασαν; Τὰ γὰρ ῥήματα ἐκεῖνα τοῦ Δαυὶδ εἰς τὴν διάνοιαν εἰσελθόντα τοῦ τεθηριωμένου τούτου, πᾶσαν ταύτην εἰργάσατο τὴν μεταβολήν, ἣν ἀπὸ τῶν ῥημάτων τούτων ἐστὶν ἰδεῖν. Οὔτε γὰρ εἶπεν, 'οἱ λόγοι σοι οὗτοι, τέκνον Δαυίδ;', ἀλλὰ τί; «Ἡ φωνή σου αὕτη, τέκνον Δαυίδ;»· καὶ πρὸς αὐτὸν γὰρ τὸν φθόγγον διεθερμαίνετο λοιπόν. Καὶ καθάπερ πατὴρ χρονίας ἀκούσας φωνῆς παιδὸς ἐπανελθόντος ποθέν, οὐχὶ πρὸς τὴν ὄψιν μόνην, ἀλλὰ καὶ πρὸς τὴν φωνὴν αὐτὴν διεγείρεται, οὕτω καὶ ὁ Σαούλ· ἐπειδὴ τὰ ῥήματα τοῦ Δαυὶδ εἰσελθόντα τὴν ἔχθραν ἐξέβαλεν, ἐπέγνω λοιπὸν τὸν ἅγιον, καὶ πάθος ἀποθέμενος, πάθος ἐδέξατο. Ἐκβαλὼν γὰρ θυμόν, ἐδέξατο εὐθυμίαν τε καὶ συμπάθειαν. Καὶ καθάπερ νυκτὸς μὲν παρούσης οὐδὲ παρόντα πολλάκις ἐπιγινώσκομεν φίλον, ἡμέρας δὲ γενομένης, καὶ πόρρωθεν ὁρῶντες αὐτὸν γνωρίζομεν, οὕτω καὶ ἐπὶ τῆς ἔχθρας συμβαίνειν εἴωθεν. Ἕως μὲν ἂν ὦμεν ἀηδῶς πρὸς ἀλλήλους ἔχοντες, καὶ φωνῆς ἑτέρως ἀκούομεν, καὶ ὄψιν μετὰ διεφθαρμένης βλέπομεν γνώμης, ἐπειδὰν δ' ἀποθώμεθα τὴν ὀργήν, ἡ πρὸ τούτου πολεμία καὶ ἐχθρὰ φωνή, προσηνὴς καὶ ἡδίστη ἡμῖν φαίνεται, καὶ ἡ πολεμία ὄψις καὶ ἀηδής, ποθεινὴ καὶ ἐπίχαρις.

6. Τοῦτο γίνεται καὶ ἐπὶ τοῦ χειμῶνος. Οὐκ ἀφίησι τοῦ οὐρανοῦ τὸ κάλλος ἡ τῶν νεφῶν φαίνεσθαι συνδρομή, ἀλλὰ κἂν μυριάκις ὀξυδερκὲς ἔχωμεν τὸ ὄμμα, οὐκ ἰσχύομεν ἀντιλαβέσθαι τῆς ἄνω φαιδρότητος. Ἐπειδὰν δ' ἡ τῆς ἀκτῖνος θερμότης ἐνδια-

χόταν κάποτε νὰ τὸν ὀνομάσει οὔτε μὲ τὸ ἴδιο τὸ ἁπλὸ ὄνομά του, ἀλλὰ μισοῦσε καὶ αὐτὸ ἀκόμα τὸ ὄνομά του, τὸν ἔκανε καὶ συγγενή του, ὀνομάζοντάς τον «παιδί μου». Τί ὑπάρχει πιὸ μακάριο ἀπὸ τὸ Δαυίδ, ὁ ὁποῖος ἔκανε πατέρα τὸν ἀνθρωποκτόνο, καὶ τὸ λύκο πρόβατο, ποὺ γέμισε τὸ καμίνι τῆς ὀργῆς μὲ πολλὴ δροσιά, ποὺ μετέβαλε τὰ κύματα σὲ γαλήνη, καὶ κατέσβεσε ὅλη τὴ φλεγμονὴ τοῦ θυμοῦ; Διότι τὰ λόγια ἐκεῖνα τοῦ Δαυίδ, ἀφοῦ εἰσῆλθαν στὸ νοῦ αὐτοῦ ποὺ ἔμοιαζε μὲ θηρίο, ἐπέφεραν ὅλη αὐτὴ τὴ μεταβολή, τὴν ὁποία ἀπὸ τὰ λόγια αὐτὰ μποροῦμε νὰ διαπιστώσομε. Διότι δὲν εἶπε, 'τὰ λόγια σου αὐτά, εἶναι δικά σου, παιδί μου Δαυίδ;', ἀλλὰ τί; «Παιδί μου Δαυίδ, αὐτὴ εἶναι ἡ φωνή σου;»[10]· καὶ ἡ ἴδια ἡ φωνή του πλέον φαίνεται γεμάτη ἀπὸ ζεστασιά. Καὶ ὅπως ἀκριβῶς πατέρας ποὺ ἄκουσε μετὰ ἀπὸ χρόνια τὴ φωνὴ τοῦ παιδιοῦ του ποὺ ἐπέστρεψε ἀπὸ κάπου, νιώθει συγκίνηση ὄχι μόνο στὸ πρόσωπό του, ἀλλὰ καὶ σ' αὐτὴν τὴν ἴδια τὴ φωνή του, ἔτσι καὶ ὁ Σαούλ· ἀφοῦ τὰ λόγια τοῦ Δαυὶδ εἰσῆλθαν μέσα του καὶ ἀπομάκρυναν τὴν ἔχθρα, ἀναγνώρισε ἀμέσως τὸν ἅγιο, καί, ἀφοῦ ἀπομάκρυνε ἕνα πάθος, δέχθηκε ἄλλο πάθος. Διότι, ἀφοῦ ἔδιωξε τὸ θυμό, δέχθηκε καὶ χαρὰ καὶ συμπάθεια. Καὶ ὅπως ἀκριβῶς ὅταν εἶναι νύχτα πολλὲς φορὲς δὲν ἀναγνωρίζομε φίλο μας ποὺ βρίσκεται κοντά μας, ὅταν δὲ εἶναι ἡμέρα γνωρίζομε αὐτὸν βλέποντάς τον καὶ ἀπὸ πολὺ μακριά, ἔτσι συνήθως συμβαίνει καὶ μὲ τὴν ἔχθρα. Ὅσο χρόνο δηλαδὴ ἔχομε ἔχθρα ἀναμεταξύ μας, καὶ τὴ φωνὴ τοῦ ἐχθροῦ μας τὴν ἀκοῦμε διαφορετική, καὶ τὸ πρόσωπό του τὸ βλέπομε μὲ κακὴ πρόθεση, ὅταν ὅμως ἀπομακρύνομε τὴν ὀργή, ἡ πρὶν ἀπὸ αὐτὸ μοχθηρὴ καὶ ἐχθρικὴ φωνή, μᾶς φαίνεται γλυκιὰ καὶ εὐχάριστη, καὶ τὸ ἄσχημο καὶ ἀπαίσιο προηγουμένως πρόσωπο, μᾶς φαίνεται ποθητὸ καὶ χαριτωμένο.

6. Αὐτὸ συμβαίνει καὶ στὴν περίπτωση τῆς κακοκαιρίας. Ἡ συγκέντρωση τῶν σύννεφων δὲν ἀφήνουν νὰ φαίνεται ἡ ὡραιότητα τοῦ οὐρανοῦ, ἀλλὰ καὶ ἂν ἀκόμα τὰ μάτια μας εἶναι σὲ ὑπερβολικὸ βαθμὸ ἱκανὰ στὸ νὰ βλέπουν πολὺ μακριά, δὲν

τρίψασα καὶ διαρρήξασα τὸ νέφος, δείξῃ τὸν ἥλιον, δείκνυσι καὶ τὴν τοῦ οὐρανοῦ πάλιν εὐπρέπειαν. Οὕτω καὶ ἐφ' ἡμῶν ὀργιζομένων γίνεται· καὶ καθάπερ νέφος πεπυκνωμένον πρὸ τῶν ὀφθαλμῶν καὶ πρὸ τῶν ἀκοῶν ἑστῶσα ἡ ἔχθρα, ἑτέρας καὶ τὰς φωνὰς καὶ τὰς ὄψεις ποιεῖ φαίνεσθαι. Ἐπειδὰν δὲ φιλοσοφήσας τις τὴν ἔχθραν ἀπόθηται καὶ διαρρήξῃ τῆς λύπης τὸ νέφος, τότε ἀδεκάστῳ λογισμῷ καὶ ὄψεται πάντα, καὶ ἀκούσεται· ὅπερ οὖν καὶ ὁ Σαοὺλ οὗτος ἔπαθεν. Ἐπειδὴ γὰρ τὸ νέφος διερράγη τῆς ἔχθρας, ἐπέγνω τοῦ Δαυὶδ τὴν φωνήν, καί φησιν, «Ἡ φωνή σου αὕτη τέκνον Δαυίδ;».

Ποία αὕτη; Ἡ τὸν Γολιὰθ κατενεγκοῦσα, καὶ τὴν πόλιν ἐξαρπάσασα τῶν κινδύνων, καὶ περὶ δουλείας καὶ περὶ θανάτου κινδυνεύοντας ἅπαντας καὶ πρὸς ἀσφάλειαν καὶ πρὸς ἐλευθερίαν ἐπανάγουσα πάλιν, ἡ τὴν ἐκείνου καταστέλλουσα μανίαν, πολλὰ καὶ μεγάλα αὐτὸν ἐργασαμένη καλά. Αὕτη γὰρ ἡ φωνὴ τὸν βάρβαρον ἐκεῖνον κατήνεγκε· πρὸ γὰρ τοῦ λίθου, ἡ τῆς εὐχῆς δύναμις αὐτὸν ἐχειρώσατο. Οὐ γὰρ ἁπλῶς τὸν λίθον ἔρριψεν, ἀλλὰ πρότερον εἰπών, «Σὺ ἔρχῃ πρός με ἐν τοῖς θεοῖς σου, ἐγὼ δὲ ἔρχομαι πρὸς σὲ ἐν ὀνόματι Κυρίου Σαβαώθ, ὃν ὠνείδισας σήμερον», οὕτως ἀφῆκε. Καὶ αὕτη τὸν λίθον ἐχειραγώγησεν ἡ φωνή, αὕτη τὴν ἀγωνίαν ἀνέβαλε τῷ βαρβάρῳ, αὕτη τὸ θράσος ἐξέκοψε τοῦ πολεμίου. Καὶ τί θαυμάζεις, εἰ θυμὸν καταστέλλει φωνὴ δικαίου, καὶ πολεμίους καθαιρεῖ, ὅπου γε καὶ δαίμονας ἀπελαύνει; Ἐφθέγγοντο γοῦν μόνον οἱ ἀπόστολοι, καὶ πᾶσαι ἐδραπέτευον αἱ ἀντικείμεναι δυνάμεις. Ἡ φωνὴ τῶν ἁγίων καὶ τὰ στοιχεῖα πολλάκις ἔστησε, καὶ τὰς ἐνεργείας αὐτῶν μετέβαλεν. Εἶπε γοῦν ὁ Ἰησοῦς τοῦ Ναυῆ μόνον, «Στήτω ὁ ἥλιος καὶ ἡ σελήνη», καὶ ἔστη· οὕτω καὶ ὁ Μωϋσῆς θάλατταν ἐπέδησε, καὶ

---

11. Α' Βασ. 17, 45.
12. Ἰη. Ναυῆ 10, 12.

μποροῦμε ν' ἀντιληφθοῦμε τὴν φαιδρότητα τοῦ οὐρανοῦ. Ὅταν ὅμως ἡ θερμότητα τῆς ἀκτίνας τοῦ ἥλιου συνεχιστεῖ γιὰ πολὺ ὥρα καί, διαλύοντας τὰ σύννεφα, δείξει τὸν ἥλιο, φανερώνει πάλι καὶ τὴ μεγαλοπρέπεια τοῦ οὐρανοῦ. Ἔτσι συμβαίνει καὶ μὲ μᾶς ὅταν ὀργιζόμαστε· σὰν ἀκριβῶς σύννεφο πολὺ πυκνὸ ἡ ἔχθρα συγκεντρώνεται μπροστὰ στὰ μάτια μας καὶ στὰ αὐτιά μας καὶ κάμνει καὶ τὶς φωνὲς καὶ τὰ πρόσωπα νὰ φαίνονται διαφορετικά. Ὅταν ὅμως κάποιος, ἐξετάζοντας τὰ πράγματα μὲ φιλοσοφικότητα, ἀπομακρύνει τὴν ἔχθρα καὶ διαλύσει τὸ σύννεφο τῆς λύπης, τότε μὲ ἀμερόληπτη σκέψη θὰ δεῖ τὰ πάντα καὶ θὰ τὰ ἀκούσει, πράγμα λοιπὸν ποὺ ἔπαθε καὶ αὐτὸς ὁ Σαούλ. Ἀφοῦ δηλαδὴ διαλύθηκε τὸ σύννεφο τῆς ἔχθρας, ἀναγνώρισε τὴ φωνὴ τοῦ Δαυίδ, καὶ λέγει· «Παιδί μου Δαυίδ, αὐτὴ εἶναι ἡ φωνή σου;».

Ποιὰ αὐτή; Ἐκείνη ποὺ κατέβαλε τὸ Γολιὰθ καὶ ἅρπαξε τὴν πόλη μέσα ἀπὸ τοὺς κινδύνους, καί, ἐνῶ ὅλοι κινδύνευαν νὰ ὁδηγηθοῦν στὴ δουλεία καὶ στὸ θάνατο, τοὺς ἐπανέφερε πάλι στὴν ἀσφάλεια καὶ τὴν ἐλευθερία, ἐκείνη ποὺ καταπράϋνε τὴ μανία ἐκείνου καὶ προξένησε πολλὰ καὶ μεγάλα καλὰ σ' αὐτόν. Διότι αὐτὴ ἡ φωνὴ κατέβαλε τὸν βάρβαρο ἐκεῖνο· καθόσον πρὶν ἀπὸ τὸ ρίξιμο τοῦ λίθου, ἡ δύναμη τῆς προσευχῆς κατανίκησε αὐτόν. Διότι δὲν ἔρριξε ἁπλῶς τὸ λίθο, ἀλλ' ἀφοῦ προηγουμένως εἶπε, ἐνῶ ἐγὼ ἔρχομαι ἐναντίον σου στὸ ὄνομα τοῦ Κυρίου τοῦ Παντοκράτορα, τὸν ὁποῖο σὺ σήμερα ἐξύβρισες»[11], καὶ ἔτσι ἄφησε τὸ λίθο. Καὶ αὐτὴ ἡ φωνὴ καθοδήγησε τὸ λίθο, αὐτὴ ἐνέβαλε στὸ βάρβαρο ἀγωνία, αὐτὴ σταμάτησε τὸ θράσος τοῦ ἐχθροῦ. Καὶ τί ἀπορεῖς, ἂν ἡ φωνὴ τοῦ δικαίου καταπραΰνει τὸ θυμὸ καὶ ἐξολοθρεύει τοὺς ἐχθρούς, τὴ στιγμὴ βέβαια ποὺ καὶ δαίμονες διώχνει; Μιλοῦσαν δηλαδὴ οἱ ἀπόστολοι μόνο καὶ δραπέτευαν οἱ ἀντίθετες δυνάμεις. Ἡ φωνὴ τῶν ἁγίων καὶ τὰ φυσικὰ στοιχεῖα πολλὲς φορὲς σταμάτησε καὶ μετέβαλε τὶς ἐνέργειες αὐτῶν. Εἶπε δηλαδὴ ὁ Ἰησοῦς τοῦ Ναυῆ μόνο, «Ἂς σταματήσει ὁ ἥλιος καὶ ἡ σελήνη»[12], καὶ σταμάτησε· ἔτσι καὶ ὁ Μωυσῆς συγκράτησε τὴ θάλασσα καὶ

ἀνῆκεν· οὕτως οἱ παῖδες οἱ τρεῖς τὴν ἐνέργειαν τοῦ πυρὸς ἔσβεσαν διὰ τῶν ὕμνων ἐκείνων καὶ διὰ τῆς φωνῆς. Διὰ τοῦτο καὶ πρὸς αὐτὴν τὴν φωνὴν διαθερμανθεὶς ὁ Σαοὺλ ἔλεγεν· «Ἡ φωνή σου αὕτη, τέκνον Δαυίδ;».

Τί γοῦν ὁ Δαυίδ; «Δοῦλός σου, κύριέ μου βασιλεῦ». Ἅμιλλα λοιπὸν καὶ φιλονεικία γίνεται, τίς τὸν πλησίον μειζόνως τιμήσει. Ἐκεῖνος εἰς συγγένειαν ἤγαγεν, οὗτος δεσπότην αὐτὸν ὠνόμασεν. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἓν ζητῶ μόνον, φησί, σωτηρίαν τὴν σήν, καὶ τὴν ἐπίδοσιν τῆς ἀρετῆς. Τέκνον με ἐκάλεσας, ἐγὼ δὲ ἀγαπῶ καὶ στέργω, ἐὰν δοῦλόν με ἔχῃς, μόνον μετὰ τοῦ ἀποθέσθαι τὴν ὀργήν, μόνον μετὰ τοῦ μηδὲν ὑποπτεύειν περὶ ἐμοῦ πονηρόν, καὶ μὴ νομίζειν ἐπίβουλον εἶναι καὶ πολέμιον. Τὸν γὰρ ἀποστολικὸν ἐκεῖνον ἐπλήρου νόμον, τὸν κελεύοντα τῇ τιμῇ ἀλλήλους προηγεῖσθαι, ὑπερέχοντας ἑαυτῶν· οὐ καθάπερ πολλοί, βοσκημάτων διακείμενοι χεῖρον, οὐδὲ προσειπεῖν τὸν πλησίον ἀνέχονται πρότεροι, νομίζοντες ὑβρίζεσθαι καὶ ἐλαττοῦσθαι, εἰ ψιλῆς τινι μεταδοῖεν προσρήσεως. Τί ταύτης τῆς ἀνοίας γένοιτ' ἂν καταγελαστότερον; τί τοῦ τύφου τούτου καὶ τῆς ἀπονοίας αἰσχρότερον; Τότε γάρ, τότε ἡλαττόνηκας, ὦ ἄνθρωπε, τότε ὑβρίσθης, τότε ἠτιμάσθης, ὅταν ἀναμείνῃς τὸν πλησίον πρότερόν σε προσειπεῖν. Τί γὰρ ἀπονοίας χεῖρον; τί δὲ τύφου καὶ κενοδοξίας καταγελαστότερον; Ἂν μὲν γὰρ πρότερος προσείπῃς, καὶ ὁ Θεὸς ἐπαινέσεται, ὃ πάντων μεῖζον, καὶ ἄνθρωποι δὲ ἀποδέξονται, καὶ τῆς ἐκείνου προσρήσεως σὺ τὸν μισθὸν ἅπαντα λήψῃ, ἂν δ' ἀναμείνῃς πρότερον τιμηθεὶς οὕτω τιμῆσαι, οὐδὲν μέγα εἰργάσω λοιπόν. Ὁ γὰρ τῆς εἰς σὲ κατάρξας τιμῆς, αὐτὸς

---

13. Α' Βασ. 24, 17.
14. Α' Βασ. 24, 9.
15. Ρωμ. 10, 12.

τὴν ἔστρεψε πρὸς τὰ πίσω· ἔτσι τὰ τρία παιδιὰ ἔσβησαν τὴν ἐνέργεια τῆς φωτιᾶς μὲ τοὺς ὕμνους καὶ τὴ φωνή τους. Γι' αὐτὸ καὶ ὁ Σαοὺλ ἀφοῦ κυριεύθηκε ἀπὸ συγκίνηση ἀκούοντας τὴ φωνὴ αὐτή, ἔλεγε· «Αὐτὴ εἶναι ἡ φωνή σου, παιδί μου Δαυίδ;»[13].

Τί λοιπὸν ἀπαντᾶ ὁ Δαυίδ; «Δοῦλος σου εἶμαι, κύριέ μου καὶ βασιλιά μου»[14]. Ἅμιλλα στὴ συνέχεια γίνεται καὶ φιλονεικία, ποιὸς νὰ τιμήσει περισσότερο τὸν ἄλλο. Ἐκεῖνος τὸν ἔκανε συγγενή του, ὁ Δαυὶδ τὸν ὀνόμασε κύριό του. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· ἕνα μόνο ζητῶ, λέγει, τὴ σωτηρία σου καὶ τὴν αὔξηση τῆς ἀρετῆς. Μὲ ὀνόμασες παιδί σου, ἐγὼ ὅμως σὲ ἀγαπῶ καὶ αἰσθάνομαι στοργὴ γιὰ σένα, ἐὰν μὲ ἔχεις δοῦλο, μόνο μετὰ τὴν ἀπομάκρυνση τῆς ὀργῆς σου, μόνο ἂν σταματήσεις νὰ μὴ ὑποπτεύεσαι γιὰ μένα τίποτε τὸ κακὸ καὶ νὰ μὴ μὲ θεωρεῖς ἐχθρό σου καὶ ὅτι σκέφτομαι τὸ κακό σου. Δηλαδὴ ἐφάρμοζε τὸν ἀποστολικὸ ἐκεῖνο νόμο, ποὺ παράγγειλλε νὰ προηγούμαστε ὡς πρὸς τὴν ἀπόδοση τῆς τμῆς πρὸς τοὺς συνανθρώπους μας καὶ νὰ τοὺς παραχωροῦμε τὰ πρωτεῖα[15]· ὄχι ὅπως ἀκριβῶς κάμνουν πολλοί, ποὺ συμπεριφέρονται χειρότερα ἀπὸ τὰ ζῶα, οὔτε ἀνέχονται νὰ μιλήσουν πρῶτοι αὐτοὶ τὸ συνάνθρωπό τους, νομίζοντας ὅτι ἀποτελεῖ γι' αὐτοὺς προσβολὴ καὶ μείωση, ἐὰν κάποιον τὸν προσφωνήσουν ἁπλῶς μὲ τὸ ὄνομά του. Τί θὰ μποροῦσε νὰ ὑπάρξει περισσότερο ἄξιο γιὰ γέλια ἀπὸ τὴν ἀνοησία αὐτή; τί αἰσχρότερο ἀπὸ τὴν ἀλαζονεία αὐτὴ καὶ τὴν παραφροσύνη; Διότι τότε, τότε ἔχεις μειωθεῖ, ἄνθρωπε, τότε προσβάλθηκες, τότε ἀτιμάσθηκες ὅταν ἀναμείνεις νὰ σὲ προσφωνήσει πρῶτα ὁ συνάνθρωπός σου. Διότι τί εἶναι χειρότερο ἀπὸ τὴν παραφροσύνη; τί δὲ περισσότερο ἄξια γιὰ γέλια ἀπὸ τὴν ἀλαζονεία καὶ τὴ ματαιοδοξία; Διότι ἂν μὲν πρῶτος τὸν προσφωνήσεις, καὶ ὁ Θεὸς θὰ σὲ ἐπαινέσει, πράγμα ποὺ εἶναι τὸ σπουδαιότερο ἀπὸ ὅλα, καὶ οἱ ἄνθρωποι θὰ σὲ παραδεχθοῦν, καὶ σὺ θὰ λάβεις ὅλο τὸ μισθὸ τῆς προσφωνήσεως ἐκείνου, ἂν ὅμως ἀναμείνεις πρῶτα νὰ τιμηθεῖς καὶ ἔτσι νὰ τιμήσεις, τίποτε τὸ σπουδαῖο τότε δὲν ἔκανες. Διότι ἐκεῖνος

καὶ τῆς παρὰ σοῦ γενομένης εἰς αὐτὸν θεραπείας τὸν μισθὸν ἅπαντα λήψεται.

Μὴ ἀναμένωμεν τοίνυν τιμᾶσθαι παρ' ἑτέρων πρότεροι, ἀλλ' ἐπιτρέχωμεν ταῖς εἰς τὸν πλησίον τιμαῖς, καὶ τῆς προσρήσεως ἀεὶ κατάρχωμεν, καὶ μὴ νομίζωμεν ψιλὸν εἶναι καὶ εὐτελὲς τὸ κατόρθωμα τοῦτο, τὸ γενέσθαι εὐπροσήγορον καὶ φιλοπροσήγορον. Πολλὰς γοῦν φιλίας ἐλλειφθὲν τοῦτο διέκοψε, πολλὰς ἔχθρας εἰργάσατο, ὥσπεροῦν μετὰ σπουδῆς πληρούμενον χρονίους πολέμους κατέλυσε, καὶ τὰς οὔσας φιλίας ἀπέσφιγξε. Μὴ τοίνυν ἀμελῇς, ἀγαπητέ, τῆς περὶ ταῦτα σπουδῆς· ἀλλ' εἰ μὲν οἷόν τε, τοὺς ἀπαντῶντας, οἷοί τινες ἂν ὦσι, καὶ ἐν ταῖς προσρήσεσι, καὶ ἐν τοῖς ἄλλοις ἅπασι πρότεροι θεραπεύωμεν, ἂν δέ σε ἕτερος φθάσῃ, μείζονα ἐπίδειξαι τὴν τιμὴν πάλιν. Καὶ γὰρ καὶ τοῦτο παρῄνεκεν ὁ Παῦλος, οὕτως εἰπών· «Ἀλλήλους ἡγεῖσθε ὑπερέχοντας ἑαυτῶν». Οὕτως ὁ Δαυὶδ ἐποίησε, καὶ πρότερος ἐτίμησε, καὶ τιμηθεὶς πάλιν μειζόνως ἀντετίμησεν, εἰπών· «Δοῦλός σου, κύριέ μου βασιλεῦ». Καὶ ὅρα ὅσον εἰργάσατο κέρδος. Ἐπειδὴ γὰρ εἶπε τοῦθ' ὁ Δαυίδ, οὐκ ἤνεγκεν ἀδακρυτὶ λοιπὸν ταύτην ἀκοῦσαι τὴν φωνὴν ὁ Σαούλ· ἀλλ' ὠλόλυξε πικρόν, τὴν ὑγίειαν τὴν ἐν τῇ ψυχῇ καὶ τὴν φιλοσοφίαν, ἣν ὁ Δαυὶδ ἐνέθηκε, διὰ τῶν δακρύων δηλῶν.

7. Τί γένοιτ' ἂν τοῦ προφήτου μακαριώτερον, ὃς ἐν βραχείᾳ καιροῦ ῥοπῇ οὕτω τὸν ἐχθρὸν μετερρύθμισε, καί, ψυχὴν αἵματος καὶ σφαγῆς διψῶσαν λαβών, εἰς θρήνους ἐνέβαλεν ἀθρόον καὶ ὀλολυγμούς; Οὐχ οὕτω θαυμάζω τὸν Μωσέα, ὅτι ἀπὸ πέτρας ἀκροτόμου πηγὰς ἐξήγαγεν ὑδάτων, ὡς θαυμάζω τὸν Δαυίδ, ὅτι ἐξ ὀφθαλμῶν λιθίνων πηγὰς ἐξήγαγε δακρύων. Ἐκεῖνος μὲν γὰρ

16. Φιλιπ. 2, 3.
17. Α' Βασ. 24, 9.

ποὺ σοῦ ἀπέδωσε πρῶτος τὴν τιμή, αὐτὸς θὰ λάβει ὁλόκληρο τὸ μισθὸ τῆς τιμῆς ποὺ ἀποδόθηκε ἀπὸ σένα πρὸς αὐτόν.

Ἂς μὴ περιμένομε λοιπὸν νἄ τιμόμαστε πρῶτα ἀπὸ τοὺς ἄλλους, ἀλλὰ νὰ βιαζόμαστε ν' ἀποδώσομε πρῶτοι τὶς τιμὲς στὸν πλησίον μας, καὶ πρῶτοι πάντοτε ν' ἀρχίζομε τὴν προσφώνηση, καὶ νὰ μὴ θεωροῦμε ὅτι εἶναι ἁπλὸ καὶ ἀσήμαντο τὸ κατόρθωμα αὐτό, τὸ νἄ γινόμαστε δηλαδὴ καταδεκτικοὶ καὶ νἄ χαιρετοῦμε μὲ φιλοφροσύνη ἐκείνους ποὺ συναντᾶμε. Διότι μὴ ἐφαρμοζόμενο αὐτὸ πολλὲς φιλίες διέκοψε, καὶ πολλὲς ἔχθρες προξένησε, ὅπως ἀκριβῶς πάλι ἐφαρμοζόμενο μὲ προσοχὴ κατάργησε χρόνιες ἐχθρότητες καὶ σύσφιξε φιλίες ποὺ ὑπῆρχαν. Μὴ λοιπόν, ἀγαπητέ, ἀμελεῖς νἄ δείχνεις φροντίδα γι' αὐτά, ἀλλ' ὅσο μᾶς εἶναι δυνατό, ἐκείνους ποὺ συναντᾶμε, ὁποιοι καὶ νὰ εἶναι, καὶ κατἄ τὶς προσφωνήσεις καὶ ὡς πρὸς ὅλα τὰ ἄλλα πρῶτοι νὰ κάμνομε τὴν ἀρχὴ ἀποδόσεως τιμῆς πρὸς αὐτούς, ἂν ὅμως σὲ προφθάσει ἄλλος, δεῖξε πάλι μεγαλύτερη τὴν τιμή. Καθόσον καὶ αὐτὴ τὴ συμβουλὴ τὴν ἔδωσε ὁ Παῦλος, λέγοντας τὰ ἑξῆς· «Ὁ καθένας σας νὰ θεωρεῖ τὸν ἄλλο ἀνώτερό του»[16]. Ἔτσι ἔκανε καὶ ὁ Δαυίδ, καὶ πρῶτος τὸν τίμησε, καί, ἀφοῦ τιμήθηκε, πάλι τοῦ ἀνταπέδωσε μεγαλύτερη τιμὴ λέγοντας· «Δοῦλος σου εἶμαι, κύριέ μου καὶ βασιλιά μου»[17]. Καὶ πρόσεχε πόσο κέρδος ἀπεκόμισε. Διότι, ἐπειδὴ τὸ εἶπε αὐτὸ ὁ Δαυίδ, δὲν ἄντεξε τότε ὁ Σαοὺλ ν' ἀκούσει τὴ φωνὴ αὐτὴ χωρὶς νὰ δακρύσει, ἀλλ' ἔκλαψε πικρά, φανερώνοντας μὲ τὰ δάκρυά του τὴν ὑγεία τῆς ψυχῆς του καὶ τὴν εὐσέβεια, ποὺ εἶχε βάλει μέσα του ὁ Δαυίδ.

7. Τί θὰ μποροῦσε νὰ ὑπάρξει πιὸ μακάριο ἀπὸ τὸν προφήτη, ὁ ὁποῖος μέσα σὲ τόσο σύντομο χρόνο τόσο πολὺ ἄλλαξε τὸν ἐχθρό, καί, ἀφοῦ ἔλαβε τὴν ψυχή του ποὺ διψοῦσε γιὰ αἷμα καὶ σφαγή, μέσα σὲ μιὰ στιγμὴ τὴν ἔκανε νἄ λυθεῖ σὲ θρήνους καὶ λυγμούς; Δὲν θαυμάζω τόσο πολὺ τὸ Μωυσῆ, γιὰ τὸ ὅτι ἔβγαλε πηγὲς νεροῦ ἀπὸ σκληρὴ πέτρα, ὅσο θαυμάζω τὸ Δαυίδ, γιὰ τὸ ὅτι ἔκανε νὰ χυθοῦν πηγὲς δακρύων ἀπὸ πέτρινα μάτια. Διότι ἐκεῖνος μὲν νίκησε τὴ φύση, ἐνῶ αὐτὸς ὑπερνίκησε τὴν

τὴν φύσιν ἐνίκησεν, οὗτος δὲ τῆς προαιρέσεως περιεγένετο· ἐκεῖνος ἐπάταξε τῇ ῥάβδῳ τὸν λίθον, οὗτος ἔκρουσε τῷ λόγῳ τὴν καρδίαν, οὐχ ἵνα λυπήσῃ, ἀλλ' ἵνα καθαρὰν ἐργάσηται καὶ προσηνῆ, ὅπερ οὖν καὶ ἐποίησε, μείζονα τῆς προτέρας εὐεργεσίας ἐπιδειξάμενος. Ἐπαίνου μὲν ἄξιον καὶ μεγίστου θαύματος καὶ τὸ μὴ βαπτίσαι τὸ ξίφος, μηδὲ ἀποτεμεῖν τὴν πολεμίαν ἐκείνην κεφαλήν, πολλῷ δὲ πλειόνων ἂν εἴη στεφάνων τὸ καὶ αὐτὴν αὐτοῦ μεταβαλεῖν τὴν προαίρεσιν, καὶ βελτίω ποιῆσαι, καὶ πρὸς τὴν οἰκείαν αὐτὸν ἐπιείκειαν μεταβαλεῖν.

Αὕτη μείζων ἐκείνης ἡ εὐεργεσία. Οὐ γάρ ἐστιν ἴσον ζωὴν χαρίσασθαι, καὶ εἰς φιλοσοφίαν ἐναγαγεῖν· οὐκ ἔστιν ἴσον ἀπαλλάξαι θυμοῦ πνέοντος φόνον ἄδικον, ἐξελέσθαι σφαγῆς, καὶ ἐξελέσθαι παραπληξίας ἐπὶ τοσοῦτον ὁδευούσης κακόν. Τοὺς μὲν γὰρ δορυφόρους κωλύσας αὐτὸν ἀνελεῖν, κατὰ τὸν παρόντα βίον ὠφελεῖ, τὴν δὲ πονηρίαν τῆς ψυχῆς ἐκβαλὼν διὰ τῆς τῶν ῥημάτων ἐπιεικείας, τὴν μέλλουσαν αὐτῷ ζωὴν ἐχαρίσατο καὶ τὰ ἀκίνητα ἀγαθά, τό γε εἰς αὐτὸν ἧκον. Ὅταν οὖν αὐτὸν ἐπαινέσῃς διὰ τὴν οἰκείαν πρᾳότητα, μειζόνως αὐτὸν θαύμασον διὰ τὴν τοῦ Σαοὺλ μεταβολήν. Τοῦ γὰρ τῶν οἰκείων κρατῆσαι παθῶν, πολὺ πλέον ἐστὶ τὸ καὶ τῆς ἑτέρων περιγενέσθαι μανίας, καὶ φλεγμαίνουσαν καταστεῖλαι καρδίαν, καὶ τοσαύτην γαλήνην ἀπὸ τοσαύτης ἐργάσασθαι ζάλης, καὶ ὀφθαλμοὺς φόνον βλέποντας δακρύων ἐμπλῆσαι θερμῶν. Καὶ τοῦτό ἐστιν, ὃ πολλῆς ἐκπλήξεως γέμει καὶ θαύματος. Καὶ γὰρ εἰ μὲν τῶν ἐπιεικῶν καὶ μετρίων ἀνθρώπων ἦν ὁ Σαούλ, οὐ μέγα ἦν σφόδρα ἐπαναγαγεῖν αὐτὸν πρὸς τὴν οἰκείαν ἀρετήν, τὸ δ' ἐκτεθηριωμένον καὶ πρὸς ἐσχάτην κακίαν ἐξοκείλαντα, καὶ πρὸς σφαγὴν ἐπειγόμενον, ἐν

προαίρεση· ἐκεῖνος χτύπησε μὲ τὸ ραβδὶ τὴν πέτρα, αὐτὸς χτύπησε μὲ τὸ λόγο τὴν καρδιά, ὄχι γιὰ νὰ τὴ λυπήσει, ἀλλὰ γιὰ νὰ τὴν κάνει καθαρὴ καὶ καταδεκτική, πράγμα βέβαια ποὺ τὸ κατόρθωσε, δείχνοντας μεγαλύτερη εὐεργεσία ἀπὸ τὴν προηγούμενη. Εἶναι μὲν ἄξιο ἐπαίνου καὶ δεῖγμα μεγίστου θαύματος, τὸ ὅτι δὲν βύθυσε τὸ ξίφος του καὶ οὔτε ἀπέκοψε τὴν ἐχθρικὴ ἐκείνη κεφαλή, ἀλλ' ὅμως θὰ μποροῦσε νὰ εἶναι ἄξιο γιὰ πολὺ περισσότερα στεφάνια τὸ ὅτι μετέβαλε καὶ τὴν προαίρεση αὐτοῦ καὶ τὴν ἔκανε καλύτερη καὶ τὴ μετέβαλε πρὸς τὴ δική του ἐπιείκεια.

Αὐτὴ εἶναι μεγαλύτερη εὐεργεσία ἀπὸ ἐκείνη. Διότι δὲν εἶναι τὸ ἴδιο πράγμα τὸ ὅτι τοῦ χάρισε τὴ ζωή του, καὶ τὸ ὅτι τὸν ὁδήγησε στὴν εὐσέβεια· δὲν εἶναι τὸ ἴδιο πράγμα τὸ ὅτι τὸν ἀπάλλαξε ἀπὸ τὸν θυμὸ ποὺ ἐπιδίωκε φόνο ἄδικο, καὶ τὸν ἀπομάκρυνε ἀπὸ τὴ σφαγή, καὶ τὸ ὅτι τὸν ἀπάλλαξε ἀπὸ τὴν παραπληξία ποὺ τὸν ὁδηγοῦσε σὲ τόσο μεγάλο κακό. Διότι μὲ τὸ ὅτι ἐμπόδισε τοὺς στρατιῶτες νὰ τὸν φονεύσουν, τὸν ὠφέλησε σὲ σχέση μὲ τὴν παροῦσα ζωή, μὲ τὸ ν' ἀπομακρύνει ὅμως ἀπὸ τὴν ψυχή του τὴν κακία μὲ τὰ γεμάτα ἀπὸ καλωσύνη λόγια του, τοῦ χάρισε τὴ μέλλουσα ζωὴ καὶ τὰ αἰώνια ἀγαθά, ὅσο βέβαια ἦταν δυνατὸ σ' αὐτόν. Ὅταν λοιπὸν ἐπαινέσεις αὐτὸν γιὰ τὴν καλωσύνη του, περισσότερο θαύμασέ τον γιὰ τὴν μεταβολὴ τοῦ Σαούλ. Διότι ἀπὸ τὸ νὰ ὑπερισχύσεις τῶν παθῶν σου, πολὺ σπουδαιότερο εἶναι τὸ νὰ ὑπερνικήσεις τὴ μανία τῶν ἄλλων καὶ νὰ καταπραΰνεις τὴ γεμάτη ἀπὸ φλεγμονὴ καρδιά, καὶ νά δημιουργήσεις σ' αὐτὴν μετὰ ἀπὸ τόση ταραχὴ τόσο μεγάλη γαλήνη, καὶ τὰ μάτια ποὺ ἀπέβλεπαν μόνο στὸ φόνο, νὰ τὰ γεμίσεις μὲ θερμὰ δάκρυα. Καὶ αὐτὸ εἶναι ἐκεῖνο, ποὺ εἶναι γεμάτο ἀπὸ πολλὴ ἔκπληξη καὶ θαυμασμό. Διότι, ἐὰν μὲν ὁ Σαοὺλ ἦταν ἀπὸ τοὺς ἐπιεικεῖς καὶ μετριόφρονες ἀνθρώπους, δὲν θὰ ἦταν πάρα πολὺ σπουδαῖο νὰ τὸν ἐπαναφέρει πρὸς τὴ δική του ἀρετή, τὸ νὰ εἶναι ὅμως ὅμοιος μὲ θηρίο καὶ νὰ ἔχει παρασυρθεῖ στὴν πιὸ χειρότερη μορφὴ κακίας, καὶ νὰ προσπαθεῖ μὲ κάθε τρόπο νὰ διαπράξει τὸ φόνο, μέσα σὲ σύντομο χρο-

βραχεία καιροῦ ῥοπῇ παρασκευάσαι πᾶσαν τὴν πικρίαν σβέσαι ἐκείνην, τίνα οὐκ ἂν ἀποκρύψειε τῶν πώποτε ἐπὶ διδασκαλίᾳ φιλοσοφίας βεβοημένων;

Καὶ σὺ τοίνυν, ὅταν λάβῃς τὸν ἐχθρόν, μὴ τοῦτο σκόπει, ὅπως αὐτὸν ἀμυνόμενος καὶ μυρίαις πλύνας ταῖς λοιδορίαις ἐκπέμψῃς, ἀλλ' ὅπως θεραπεύσῃς, ὅπως ἐπαναγάγῃς πρὸς ἐπιείκειαν· καὶ μὴ πρότερον ἀποστῇς πάντα καὶ ποιῶν καὶ λέγων, ἕως ἂν περιγένῃ τῇ πρᾳότητι τῆς ὠμότητος τῆς ἐκείνου. Οὐδὲν γὰρ ἐπιεικείας δυνατώτερον. Καὶ τοῦτ' αὐτὸ δηλῶν τις ἔλεγεν, ὅτι «Λόγος ἁπαλὸς συγκλάσει ὀστᾶ». Καίτοι τί ὀστέου σκληρότερον; Ἀλλ' ὅμως κἂν οὕτω σκληρός τις ᾖ καὶ ἀκαμπής, περιέσται ῥᾳδίως ὁ μετ' ἐπιεικείας αὐτῷ χρώμενος. Καὶ πάλιν· «Ἀπόκρισις ὑποπίπτουσα ἀποστρέφει ὀργάς». Ὅθεν δῆλον ὅτι τοῦ κινηθῆναι τὸν ἐχθρὸν καὶ τοῦ καταλλαγῆναι, σὺ κυριώτερος ἐκείνου. Ἐν γὰρ ἡμῖν, οὐκ ἐν τοῖς ὀργιζομένοις κεῖται καὶ τὸ σβεσθῆναι, καὶ τὸ πρὸς μείζονα ἐξενεχθῆναι φλόγα τὸν θυμὸν τὸν ἐκείνων. Καὶ τοῦτ' αὐτὸ πάλιν ὁ τὰ πρότερα εἰπὼν ἐδήλωσε διὰ ψιλοῦ παραδείγματος. Ὥσπερ γάρ, φησίν, εἰς σπινθῆρα πυρὸς ἂν μὲν φυσήσῃς, ἐξῆψας τὴν φλόγα, ἂν δὲ πτύσῃς, κατέσβεσας, καὶ ἀμφοτέρων σὺ κύριος («Ἀμφότερα» γάρ, φησίν, «ἐκ τοῦ στόματός σου πορεύεται»), οὕτω καὶ ἐπὶ τῆς ἔχθρας τοῦ πλησίον· ἂν μὲν πεφυσημένους καὶ ἀπονενοημένους προσενέγκῃς λόγους, ἀνάπτεις ἐκείνου τὸ πῦρ, ἐκκαίεις τοὺς ἄνθρακας, ἂν δὲ προσηνεῖς καὶ περιεσταλμένους, πρὶν τὴν πυρὰν ἀρθῆναι, κατέσβεσας τὴν ὀργὴν ἅπασαν.

Μὴ τοίνυν λέγε, ὅτι τὰ καὶ τὰ ἔπαθον, τὰ καὶ τὰ ἤκουσα, πάντων γὰρ τούτων σὺ κύριος. Οὕτω γὰρ ὥσπερ σπινθῆρα καὶ

---

18. Παροιμ. 25, 15.
19. Παροιμ. 15, 1.
20. Ἐκκλ. 28, 14.

νικὸ διάστημα νὰ τὸν κάνει νὰ σβήσει ὅλη ἐκείνη τὴν κακία, ποιὸν θὰ ἦταν δυνατὸ νὰ μὴ ἐπισκιάσει ἀπὸ ὅλους ἐκείνους ποὺ ἀνέκαθεν ὑπῆρξαν ξακουστοὶ γιὰ τὴ διδασκαλία τους περὶ εὐσεβείας;

Καὶ σὺ λοιπόν, ὅταν συλλάβεις τὸν ἐχθρό σου, μὴ φροντίζεις νὰ κάνεις αὐτό, πῶς δηλαδὴ νὰ τὸν διώξεις ἀπὸ κοντά σου ἀφοῦ θ' ἀποκρούσεις ὅλες τὶς κατηγορίες του καὶ θὰ τὸν περιλούσεις μὲ ἀμέτρητες ὕβρεις, ἀλλὰ πῶς νὰ τὸν θεραπεύσεις, πῶς νὰ τὸν ἐπαναφέρεις στὴν ἐπιείκεια· καὶ νὰ μὴ σταματήσεις προηγουμένως τὰ πάντα νὰ κάμνεις καὶ νὰ λέγεις, μέχρι ποὺ νὰ ὑπερνικήσεις μὲ τὴν ἐπιείκειά σου τὴ σκληρότητα ἐκείνου. Διότι δὲν ὑπάρχει πιὸ δυνατὸ ἀπὸ τὴν ἐπιείκεια. Καὶ αὐτὸ ἀκριβῶς γιὰ νὰ δηλώσει κάποιος, ἔλεγε, ὅτι «Λόγος ἐπιεικὴς θὰ συντρίψει ὀστᾶ»[18]. Ἂν καὶ βέβαια τί ὑπάρχει σκληρότερο ἀπὸ τὸ ὀστό; Ἀλλ' ὅμως καὶ ἂν ἀκόμα κάποιος εἶναι τόσο πολὺ σκληρὸς καὶ ἀλύγιστος, θὰ τὸν ὑπερνικήσει εὔκολα ἐκεῖνος ποὺ τὸν συμπεριφέρεται μὲ ἐπιείκεια. Καὶ πάλι· «Λόγος κολακευτικὸς ἀπομακρύνει ὀργές»[19]. Ἑπομένως γίνεται φανερὸ ὅτι τὸ νὰ συγκινηθεῖ ὁ ἐχθρὸς καὶ νὰ συμφιλιωθεῖ μαζί σου, ἐξαρτᾶται περισσότερο ἀπὸ σένα, παρὰ ἀπὸ ἐκεῖνον. Διότι ἀπὸ μᾶς ἐξαρτᾶται καὶ ὄχι ἀπὸ τοὺς ὀργιζόμενους καὶ τὸ νὰ σβήσει καὶ τὸ ν' αὐξηθεῖ περισσότερο ἡ φλόγα τοῦ θυμοῦ ἐκείνων. Καὶ αὐτὸ ἀκριβῶς πάλι τὸ ἔδειξε μὲ ἁπλὸ παράδειγμα ἐκεῖνος ποὺ εἶπε τὰ προηγούμενα. Διότι, λέγει, ὅπως ἀκριβῶς σὲ σπινθήρα φωτιᾶς ἂν μὲν φυσήσεις, δυνάμωσες τὴ φλόγα, ἂν δὲ φτύσεις, τὴν ἔσβησες, καὶ τὰ δυὸ δηλαδὴ ἐξαρτῶνται ἀπὸ σένα (Διότι, λέγει, «Καὶ τὰ δυὸ βγαίνουν ἀπὸ τὸ στόμα σου»[20]), ἔτσι συμβαίνει καὶ μὲ τὴν ἔχθρα τοῦ συνανθρώπου σου· ἂν μὲν τοῦ πεῖς λόγια γεμάτα ἀπὸ ἀλαζονεία καὶ ἀδιαντροπιά, ἀνάβεις τὴ φωτιὰ ἐκείνου, πυρακτώνεις περισσότερο τοὺς ἄνθρακες, ἂν ὅμως τοῦ πεῖς λόγια γεμάτα ἀπὸ καλωσύνη καὶ σεμνότητα, προτοῦ νὰ φουντώσει ἡ φλόγα, κατέσβησες ὁλόκληρη τὴν ὀργή.

Μὴ λοιπὸν λέγεις, ὅτι αὐτὰ καὶ αὐτὰ ἔπαθα, αὐτὰ καὶ αὐτὰ ἄκουσα, διότι κύριος ὅλων αὐτῶν εἶσαι σύ. Ὅπως ἀκριβῶς δη-

σβέσαι καὶ ἀνάψαι, καὶ θυμὸν ἐκκαῦσαι καὶ καταστεῖλαι πάλιν ἐν σοί. Ὅταν ἴδῃς ἐχθρόν, ἢ καὶ εἰς νοῦν λάβῃς, ὅσα μὲν ἤκουσας καὶ ἔπαθες λυπηρά, πάντ' ἐπιλανθάνου ταῦτα· εἰ δὲ καὶ ἀναμνησθείης, τῷ διαβόλῳ ταῦτα λογίζου. Σύλλεγε δὲ εἴ τί σοι χρηστὸν εἶπε πώποτε καὶ ἐποίησε. Κἂν τῇ τούτων ἐνδιατρίβῃς μνήμῃ, ταχέως καταλύσεις τὴν ἔχθραν. Κἂν μέλλῃς ἐγκαλεῖν καὶ διαλέγεσθαι, πρότερον τὸ πάθος ἐκβαλὼν καὶ τὸν θυμὸν σβέσας, οὕτως εὐθύνας ἀπαίτει, οὕτως ἔλεγχε, καὶ δυνήσῃ περιγενέσθαι ῥᾳδίως. Θυμούμενοι γὰρ οὔτ' εἰπεῖν, οὔτ' ἀκοῦσαί ποτε δυνησόμεθά τι ὑγιές, ἀπαλλαγέντες δὲ τοῦ πάθους, οὔτ' αὐτοὶ ῥῆμά ποτ' ἐξοίσομεν τραχύ, οὔθ' ἑτέρων λεγόντων οὕτως ἀκουσόμεθα. Οὐ γὰρ ἡ τῶν λεγομένων φύσις, ὡς ἡ τῆς ἔχθρας πρόληψις ἡμᾶς ἀγριοῦν εἴωθε. Πολλάκις γοῦν παρὰ φίλων τὰς αὐτὰς ἀκούσαντες λοιδορίας παιζόντων, ἢ καὶ χαριεντιζομένων, ἢ καὶ παρὰ παιδίων μικρῶν, οὐ μόνον οὐδὲν ἐπάθομεν ἀηδές, οὐδ' ἐξηγριώθημεν, ἀλλὰ καὶ ἐγελάσαμεν καὶ διεχύθημεν· οὐ γὰρ μετὰ διεφθαρμένης ἠκούσαμεν γνώμης, οὐδὲ μετὰ ψυχῆς θυμῷ προκατειλημμένης. Ὥστε καὶ ἐπὶ τῶν ἐχθρῶν, ἂν σβέσῃς τὸν θυμόν, ἂν τὴν ἔχθραν ἐκβάλῃς, οὐδέν σε τῶν λεγομένων λυπῆσαι δυνήσεται.

8. Καὶ τί λέγω τῶν λεγομένων; Οὐδὲν τῶν γινομένων, ὥσπεροῦν οὐδὲ τὸν μακάριον τοῦτον, ἀλλ' ὁρῶν τὸν πολέμιον κατὰ τῆς αὐτοῦ σωτηρίας ὁπλιζόμενον, καὶ πάντα διὰ τοῦτο κινοῦντα, οὐ μόνον οὐκ ἠγρίανεν, ἀλλὰ καὶ εἰς πλείονα ἦλθε συμπάθειαν· ὅσῳ μείζονα ἐπεβούλευε, τοσούτῳ μᾶλλον αὐτὸν ἐδάκρυεν. Ἤδει γάρ, ᾔδει σαφῶς, ὅτι οὐχ ὁ πάσχων κακῶς, ἀλλ' ὁ ποιῶν, οὗτός ἐστι δακρύων ἄξιος καὶ θρήνων, ἑαυτὸν καταβλάπτων.

λαδὴ ἐξαρτᾶται ἀπὸ σένα νὰ σβήσεις καὶ ν' ἀνάψεις σπινθήρα, ἔτσι πάλι καὶ τὸ ν' ἀνάψεις καὶ νὰ καταπραΰνεις τὸ θυμό. Ὅταν δεῖς ἐχθρό, ἢ καὶ ἔρθουν στὴ σκέψη σου τὰ ὅσα δυσάρεστα ἄκουσες καὶ ἔπαθες, ξέχνα τα ὅλα αὐτά· καὶ ἂν ἀκόμα τὰ θυμηθεῖς, νὰ τὰ θεωρεῖς αὐτὰ σὰν ἔργο τοῦ διαβόλου. Συγκέντρωνε δὲ ὅ,τι καλὸ σοῦ εἶπε καὶ σοῦ ἔκανε κάποτε. Ἂν φέρνεις αὐτὰ πάντοτε στὴ σκέψη σου, ἀμέσως θὰ ἐξαφανίσεις τὴν ἔχθρα. Καὶ ὅταν πρόκειται νὰ τὸν κατηγορήσεις καὶ νὰ συνομιλήσεις μαζί του, προηγουμένως ἀπομάκρυνε τὸ πάθος καὶ σβῆσε τὸ θυμό, καὶ ἔτσι ζήτα εὐθύνες, ἔτσι ἔλεγχέ τον, καὶ θὰ μπορέσεις εὔκολα νὰ ὑπερισχύσεις. Διότι ὅταν εἴμαστε κυριευμένοι ἀπὸ θυμὸ δὲν θὰ μπορέσομε ποτὲ οὔτε νὰ ποῦμε κάτι τὸ ὀρθὸ οὔτε ν' ἀκούσομε, ἂν ὅμως ἀπαλλαγοῦμε ἀπὸ τὸ πάθος οὔτε ἐμεῖς οἱ ἴδιοι θὰ ἐκστομήσομε ποτὲ κάποιο σκληρὸ λόγο, οὔτε θ' ἀκούσομε ἄλλους νὰ μᾶς λέγουν τέτοια λόγια. Διότι συνήθως μᾶς ἐξαγριώνει ὄχι τόσο ἡ φύση τῶν λεγομένων, ὅσο ἡ προκατάληψη τῆς ἔχθρας. Πολλὲς φορὲς δηλαδὴ ποὺ ἀκούσαμε τὰ ἴδια κακόλογα ἀπὸ φίλους νὰ μᾶς τὰ λέγουν ἀστιευόμενοι καὶ χαριεντίζοντας, ἢ καὶ ἀπὸ μικρὰ παιδιά, ὄχι μόνο δὲν νιώσαμε καμιὰ δυσαρέσκεια, οὔτε ἐξαγριωθήκαμε, ἀλλὰ καὶ γελάσαμε καὶ δείξαμε εὔθυμα συναισθήματα· διότι δὲν τὰ ἀκούσαμε μὲ διεφθαρμένη διάθεση, οὔτε μὲ ψυχὴ προκατειλημμένη ἀπὸ θυμό. Ὥστε καὶ στὴν περίπτωση τῶν ἐχθρῶν, ἂν σβήσεις τὸ θυμό, ἂν διώξεις τὴν ἔχθρα, τίποτε ἀπὸ τὰ λεγόμενα δὲν θὰ μπορέσει νὰ σὲ λυπήσει.

8. Καὶ γιατί λέγω κανένα ἀπὸ τὰ λεγόμενα; Κανένα οὔτε ἀπὸ τὰ ὅσα συμβαίνουν, ὅπως ἀκριβῶς οὔτε τὸν μακάριο αὐτὸ λύπησε, ἀλλὰ βλέποντας τὸν ἐχθρό του νὰ ὁπλίζεται ἐναντίον τῆς σωτηρίας του καὶ ὅλα νὰ τὰ κάμνει γιὰ τὸ σκοπὸ αὐτό, ὄχι μόνο δὲν ἐξαγριωνόταν, ἀλλὰ καὶ μεγάλωσε περισσότερο ἡ συμπάθειά του πρὸς αὐτόν· ὅσο περισσότερο τὸν ἐπιβουλευόταν, τόσο περισσότερο δάκρυζε γι' αὐτόν. Διότι γνώριζε, γνώριζε πάρα πολὺ καλά, ὅτι ἄξιος γιὰ δάκρυα καὶ θρήνους εἶναι ὄχι ἐκεῖνος ποὺ δέχεται κακοπαθήματα, ἀλλ' ἐκεῖνος ποὺ προ-

Διὰ τοῦτο καὶ μακρὰν πρὸς αὐτὸν συνέθηκεν ἀπολογίαν, καὶ οὐ πρότερον ἀπέστη, ἕως καὶ αὐτὸν ἀπολογήσασθαι παρεσκεύασε μετὰ δακρύων καὶ θρήνων. Ἐπειδὴ γὰρ ἀνῴμωξε καὶ πικρὰν ἀφῆκε φωνήν, καὶ μέγα ἀνωλόλυξεν, ἄκουσον τί φησι. «Δίκαιος σὺ ὑπὲρ ἐμέ, ὅτι σὺ μὲν ἀνταπέδωκάς μοι ἀγαθά, ἐγὼ δ' ἀνταπέδωκά σοι κακά». Ὁρᾷς πῶς καὶ τῆς οἰκείας κακίας καταγινώσκει, καὶ τὴν ἀρετὴν ἀνυμνεῖ τοῦ δικαίου, καὶ μηδενὸς ἀναγκάζοντος ἀπολογεῖται;

Οὕτω καὶ σὺ ποίησον. Ἐπειδὰν λάβῃς τὸν ἐχθρόν, μὴ κατηγορήσῃς, ἀλλ' ἀπολόγησαι, ἵνα παρασκευάσῃς ἐκεῖνον ἑαυτοῦ κατηγορῆσαι. Ἂν μὲν γὰρ ἡμεῖς κατηγορῶμεν, τραχύνεται, ἂν δ' ἀπολογησώμεθα, ἐντρεπόμενος ἡμῶν τὴν ἐπιείκειαν, αὐτὸς ἑαυτοῦ κατηγορήσει λοιπόν. Καὶ οὕτως ὅ τε ἔλεγχος ἀνύποπτος γίνεται, ἐκεῖνός τε τῆς πονηρίας ἀπαλλάττεται πάσης. Ὅπερ οὖν καὶ ἐνταῦθα συνέβη· καὶ κατηγορεῖ μετὰ πολλῆς τῆς σφοδρότητος ὁ ἀδικήσας, τοῦ ἠδικημένου σιγῶντος. Οὐδὲ γὰρ εἶπεν ἁπλῶς, 'εἰργάσω εἰς ἐμὲ ἀγαθά', ἀλλ', «Ἀνταπέδωκάς μοι ἀγαθά»· τουτέστιν, ἀντὶ τῆς ἐπιβουλῆς, ἀντὶ τῆς σφαγῆς, ἀντὶ τῶν μυρίων κακῶν ἐκείνων, εὐεργεσίαις ἡμᾶς ἠμείψω μεγάλαις. Ἐγὼ δ' οὐδ' οὕτως ἐγενόμην βελτίων, ἀλλὰ καὶ μετὰ τὰς εὐεργεσίας ἐκείνας ἐπέμεινα τῇ πονηρίᾳ· καὶ οὐδ' οὕτω μετεβάλου, ἀλλὰ διέμεινας τὸν σαυτοῦ διατηρῶν τρόπον, καὶ πάλιν ἡμᾶς ἐπιβουλεύοντας εὐεργετῶν. Πόσων οὐκ ἂν εἴη στεφάνων ἄξιος καθ' ἕκαστον τῶν ῥημάτων τούτων ὁ Δαυίδ; Εἰ γὰρ καὶ τὸ στόμα αὐτὰ ἐφθέγγετο τοῦ Σαούλ, ἀλλ' ἡ σοφία καὶ ἡ τέχνη τοῦ Δαυὶδ εἰς τὴν ἐκείνου κατεφύτευσεν αὐτὰ ψυχήν.

Καὶ ἀπήγγειλάς μοι σήμερον», φησίν, «ἃ ἐποίησάς μοι ἀγαθά, ὡς ἀπέκλεισέ με Κύριος σήμερον εἰς τὰς χεῖράς σου, καὶ οὐκ ἀπέκτεινάς με». Καὶ ἑτέραν αὐτῷ μαρτυρεῖ πάλιν ἀρετήν, ὅτι εὐ-

---

21. Α' Βασ. 24, 18.
22. Α' Βασ. 24, 19.

ξενεῖ αὐτά, διότι καταβλάπτει τὸν ἑαυτό του. Γι' αὐτὸ καὶ σύνθεσε μεγάλη ἀπολογία πρὸς αὐτόν, καὶ δὲν σταμάτησε προηγουμένως, μέχρι ποὺ καὶ αὐτὸν τὸν προετοίμασε ν' ἀπολογηθεῖ μὲ δάκρυα καὶ θρήνους. Διότι, ἀφοῦ θρήνησε καὶ ἄφησε νὰ βγεῖ πικρὴ φωνὴ καὶ ἔκλαψε μὲ μεγάλους λυγμοὺς καὶ δάκρυα, ἄκουσε τί λέγει. «Σὺ εἶσαι, Δαυίδ, πιὸ δίκαιος ἀπὸ μένα, διότι σὺ μὲν μοῦ ἀνταπέδωσες ἀγαθά, ἐνῶ ἐγὼ γιὰ ὅλα αὐτὰ σοῦ ἀνταπέδωσα κακά»[21]. Βλέπεις πῶς καὶ τὴ δική του κακία ἀναγνωρίζει, καὶ ἐξυμνεῖ τὴν ἀρετὴ τοῦ δικαίου, καὶ ἀπολογεῖται χωρὶς νὰ τὸν ἐξαναγκάζει κανένας;

Ἔτσι καὶ σὺ κάνε. Ὅταν συλλάβεις τὸν ἐχθρό σου μὴ τὸν κατηγορήσεις, ἀλλ' ἀπολογήσου, γιὰ νὰ κάνεις ἐκεῖνον νὰ κατηγορήσει τὸν ἑαυτό του. Διότι, ἐὰν μὲν ἐμεῖς κτηγοροῦμε αὐτόν, σκληρύνεται, ἂν ὅμως ἀπολογηθοῦμε, νιώθοντας ντροπὴ γιὰ τὴν ἐπιείκειά μας, ὁ ἴδιος τότε θὰ κατηγορήσει τὸν ἑαυτό του. Καὶ ἔτσι καὶ ὁ ἔλεγχος γίνεται ἀνυποψίαστος, καὶ ἐκεῖνος ἀπαλλάσσεται ἀπὸ ὅλη τὴν κακία του. Αὐτὸ ἀκριβῶς λοιπὸν συνέβηκε καὶ ἐδῶ. Κατηγορεῖ δηλαδὴ μὲ μεγάλη σφοδρότητα ἐκεῖνος ποὺ ἀδίκησε, ἐνῶ ἐκεῖνος ποὺ εἶχε ἀδικηθεῖ σιωπᾶ. Διότι δὲν εἶπε ἁπλῶς, 'ἔκανες σ' ἐμένα καλά', ἀλλά, «Ἀνταπέδωσες σ' ἐμένα καλά»· δηλαδή, ἔναντι τῆς ἐπιβουλῆς μου, ἔναντι τῆς ἐπιθυμίας μου νὰ σὲ φονεύσω, ἔναντι τῶν ἀμέτρητων ἐκείνων κακῶν, μὲ ἀντάμοιψες μὲ μεγάλες εὐεργεσίες. Ἐγὼ ὅμως οὔτε ἔτσι ἔγινα καλύτερος, ἀλλὰ καὶ μετὰ τὶς εὐεργεσίες ἐκεῖνες ἐξακολούθησα τὴν κακία μου ἐναντίον σου· καὶ οὔτε ἔτσι ἄλλαξες στάση ἀπέναντί μου, ἀλλ' ἐξακολούθησες νὰ διατηρεῖς τὴν ἴδια στάση σου πρὸς ἐμένα, καὶ νὰ μὲ εὐεργετεῖς καὶ πάλι, ἐνῶ ἐγὼ σὲ ἐπιβουλευόμουν. Γιὰ πόσα στεφάνια δὲν θὰ ἦταν ἄξιος ὁ Δαυὶδ γιὰ τὸ καθένα ἀπὸ τὰ λόγια αὐτά; Διότι ἂν καὶ τὸ στόμα τοῦ Σαοὺλ τὰ ἔλεγε αὐτά, ἀλλ' ἡ σοφία καὶ ἡ ὅλη στάση τοῦ Δαυὶδ καταφύτεψε αὐτὰ στὴν ψυχὴ ἐκείνου.

«Καὶ σὺ μοῦ εἶπες σήμερα», λέγει, «τὸ καλὸ ποὺ μοῦ ἔκανες, ὅταν ὁ Κύριος μὲ παρέδωσε στὰ χέρια σου, καὶ δὲν μὲ φόνευσες»[22]. Καὶ ἄλλη πάλι ἀρετὴ αὐτοῦ ἐπιβεβαιώνει, ὅτι δηλα-

εργετήσας οὐκ ἐσίγησεν, οὐδ' ὑπερεῖδεν, ἀλλ' ἐλθὼν εἶπεν οὐ πρὸς ἐπίδειξιν τοῦτο ποιῶν, ἀλλὰ δεῖξαι βουλόμενος, καὶ διὰ τῶν ἔργων αὐτῶν διδάξαι, ὅτι τῶν κηδομένων ἐστὶ καὶ προνοούντων, οὐ τῶν ἐπιβουλευόντων καὶ πονηρευομένων. Τὸ γὰρ τὰς ἰδίας εὐεργεσίας λέγειν ἔστιν, ὅπου τὸ κέρδος ἔχει μέγιστον. Ὅταν γὰρ μηδεμιᾶς ὑποθέσεως οὔσης προσφέρῃ τις αὐτὰς καὶ ἀνακηρύττῃ, τῶν ὀνειδιζόντων οὐδὲν ἄμεινον διακείσεται, ὅταν δὲ βουλόμενος πεῖσαι τὸν διεφθαρμένον, καὶ πονηρὰν περὶ αὐτοῦ πρόληψιν ἔχοντα τοῦτο ποιῇ, κηδεμών ἐστι καὶ εὐεργέτης· ὅπερ οὖν καὶ ὁ Δαυὶδ ἐποίησεν, οὐ τῆς παρ' αὐτοῦ δόξης ἐρῶν, ἀλλὰ τὸν ἐρριζωμένον ἐν αὐτῷ θυμὸν ἀνασπάσαι βουλόμενος. Καὶ διὰ τοῦτο γοῦν αὐτὸν ἐπῄνεσεν, ὅτι καὶ εὐεργέτησε, καὶ τὴν εὐεργεσίαν εἶπεν.

Εἶτα ζητῶν ἀμοιβήν, καὶ οὐδεμίαν ἔχων τῶν γεγενημένων ἴσην εὑρεῖν, τὸν Θεὸν αὐτὸν αὐτῷ δίδωσιν ὀφειλέτην, οὑτωσὶ λέγων· «Ὅτι εἰ εὕροι τις τὸν ἐχθρὸν αὐτοῦ ἐν θλίψει, καὶ ἐκπέμψει αὐτὸν ἐν ὁδῷ ἀγαθῇ, καὶ Κύριος ἀνταποδῷ αὐτῷ ἀγαθά, καθὼς πεποίηκας σὺ σήμερον». Τί γὰρ καὶ εἶχεν ἄξιον ἀποδοῦναι τῶν εὐεργεσιῶν, εἰ καὶ τὴν βασιλείαν ἔδωκε, καὶ τὰς πόλεις ἁπάσας; Οὐ γὰρ πόλεις ἁπλῶς καὶ βασιλείαν, ἀλλὰ καὶ αὐτὴν αὐτῷ τὴν ψυχὴν ἐχαρίσατο ὁ Δαυίδ, οὗτος δὲ ψυχὴν ἀντιδοῦναι ἑτέραν οὐκ εἶχε. Διὰ τοῦτο αὐτὸν τῷ Θεῷ παραπέμπει, καὶ ταῖς ἐκεῖθεν γεραίρει ἀμοιβαῖς, τοῦτόν τ' ἐπαινῶν, καὶ παιδεύων ἅπαντας, ὅτι τότε μείζους ἡμῖν παρὰ τοῦ Θεοῦ κείσονται αἱ ἀντιδόσεις, ὅταν, μυρία τοὺς ἐχθροὺς ἀγαθὰ ποιήσαντες, τὰ ἐναντία ἀπολάβωμεν.

Εἶτά φησιν, ὅτι «Ἰδοὺ ἐγὼ γινώσκω, ὅτι βασιλεύων βασι-

---

23. Α' Βασ. 24, 20.

δὴ ἀφοῦ τὸν εὐεργέτησε δὲν σιώπησε, οὔτε ἔδειξε περιφρόνηση, ἀλλ', ἀφοῦ ἦρθε τοῦ τὸ εἶπε, κάμνοντάς το αὐτὸ ὄχι πρὸς ἐπίδειξη, ἀλλὰ θέλοντας νὰ δείξει, καὶ μὲ τὰ ἴδια τὰ ἔργα αὐτὰ νὰ τὸν διδάξει, ὅτι εἶναι κάποιος ἀπὸ ἐκείνους ποὺ φροντίζουν καὶ ἐνδιαφέρονται γι' αὐτόν, καὶ ὄχι ἀπὸ ἐκείνους ποὺ τὸν ἐπιβουλεύονται καὶ θέλουν νὰ τοῦ κάνουν κακό. Καθόσον τὸ νὰ λέγει κανεὶς τὶς εὐεργεσίες του ἐπιτρέπεται ἐκεῖ ὅπου μπορεῖ νὰ προκύψει πολὺ μεγάλο κέρδος. Διότι, ὅταν χωρὶς νὰ ὑπάρχει καμιὰ αἰτία ἀναφέρει κανεὶς αὐτὲς καὶ τὶς διακηρύσσει, τότε ἡ συμπεριφορά του δὲν εἶναι καθόλου καλύτερη ἀπὸ ἐκείνους ποὺ προσβάλλουν, ὅταν ὅμως τὸ κάμνει αὐτὸ θέλοντας νὰ πείσει τὸν διεφθαρμένο καὶ ἐκεῖνον ποὺ ἔχει κακὴ προκατάληψη γι' αὐτόν, αὐτὸς ἐνδιαφέρεται γι' αὐτὸν καὶ εἶναι εὐεργέτης του· αὐτὸ ἀκριβῶς λοιπὸν ἔκανε καὶ ὁ Δαυίδ, ἐπιθυμώντας ὄχι τὴ δική του δόξα, ἀλλὰ θέλοντας νὰ ξερριζώσει τὸ θυμὸ ποὺ ἦταν ριζωμένος μέσα του. Καὶ γι' αὐτὸ λοιπὸν τὸν ἐπαίνεσε, διότι καὶ τὸν εὐεργέτησε, καὶ εἶπε τὴν εὐεργεσία.

Ἔπειτα ζητώντας ἀμοιβὴ καὶ μὴ μπορώντας νὰ βρεῖ καμιὰ ἴση μὲ ἐκεῖνα ποὺ εἶχαν συμβεῖ πρὸς αὐτόν, τὸν ἴδιο τὸ Θεὸ δίνει σ' αὐτὸν ὀφειλέτη, λέγοντας τὰ ἑξῆς· «Ὅτι ἂν κάποιος βρεῖ τὸν ἐχθρό του μέσα σὲ θλίψη καὶ τὸν βγάλει ἀπ' αὐτὴ καὶ τὸν ἀφήσει νὰ συνεχίσει τὸ δρόμο του ἐλεύθερος, ὅπως ἀκριβῶς ἔκανες σὺ σήμερα, ἂς τοῦ ἀνταποδώσει ὁ Κύριος ἀγαθά»[23]. Πράγματι τί θὰ μποροῦσε ν' ἀνταποδώσει ἀντάξιο τῶν εὐεργεσιῶν ἐκείνων, καὶ ἂν ἀκόμα ἔδινε καὶ τὴ βασιλεία καὶ ὅλες τὶς πόλεις; Διότι ὁ Δαυὶδ δὲν τοῦ χάρισε ἁπλῶς τὶς πόλεις καὶ τὴ βασιλεία, ἀλλὰ καὶ τὴν ἴδια τὴ ζωή του, ἐνῶ αὐτὸς δὲν μποροῦσε νὰ τοῦ δώσει ἔναντι αὐτοῦ ἄλλη ζωή. Γι' αὐτὸ τὸν παραπέμπει στὸ Θεὸ καὶ τὸν βραβεύει μὲ τὶς οὐράνιες ἀμοιβές, καὶ ἐπαινώντας αὐτόν, καὶ διδάσκοντας ὅλους, ὅτι τότε θὰ μᾶς ἀποδοθοῦν ἀπὸ τὸ Θεὸ πολὺ πιὸ μεγάλες οἱ ἀμοιβές, ὅταν, κάμνοντας ἀμέτρητα καλὰ στοὺς ἐχθρούς, ἀπολαμβάνομε ἔναντι αὐτῶν τὰ ἀντίθετα.

Ἔπειτα λέγει, «Νὰ ἐγὼ γνωρίζω, ὅτι ὁπωσδήποτε θὰ γίνεις

λεύσεις, καὶ στήσεται ἡ βασιλεία Ἰσραὴλ ἐν χειρί σου. Καὶ νῦν ὄμοσόν μοι κατὰ τοῦ Κυρίου, ἵνα μὴ ἐξολοθρεύσῃς τὸ σπέρμα μου ὀπίσω μου, καὶ μὴ ἀφανίσῃς τὸ ὄνομά μου ἐκ τοῦ οἴκου τοῦ πατρός μου». Καὶ πόθεν γινώσκεις, εἰπέ μοι, τοῦτο; Παρὰ σοὶ τὰ στρατόπεδα, παρὰ σοὶ τὰ χρήματα, τὰ ὅπλα, αἱ πόλεις, οἱ ἵπποι, οἱ στρατιῶται, ἅπασα τῆς βασιλικῆς παρασκευῆς ἡ δύναμις, οὗτος δὲ ἔρημος καὶ γυμνός, ἄπολις καὶ ἀνέστιος, ἄοικος. Πόθεν οὖν ταῦτα λέγεις, εἰπέ μοι; Ἀπ' αὐτοῦ μὲν οὖν τοῦ τρόπου. Οὐ γὰρ ἂν ὁ γυμνὸς καὶ ἄοπλος καὶ ἔρημος ἐμοῦ τοῦ καθωπλισμένου καὶ τοσαύτην περιβεβλημένου δύναμιν περιεγένετο, εἰ μὴ τὸν Θεὸν εἶχε μεθ' ἑαυτοῦ, ὁ δὲ τὸν Θεὸν ἔχων μεθ' ἑαυτοῦ, πάντων ἐστὶν ἰσχυρότερος. Εἶδες οἷα φιλοσοφεῖ μετὰ τὴν ἐπιβουλὴν ὁ Σαούλ; εἶδες πῶς δυνατὸν ἅπασαν ἀποπτῦσαι πονηρίαν καὶ μεταβαλέσθαι, καὶ πρὸς τὸ βέλτιον ἐπανελθεῖν; Μὴ τοίνυν καταρρᾳθυμῶμεν τῆς ἑαυτῶν σωτηρίας. Κἂν γὰρ πρὸς αὐτὰ κατενεχθῶμεν τῆς κακίας τὰ βάραθρα, δυνατὸν ἑαυτοὺς ἀνακτήσασθαι πάλιν, καὶ γενέσθαι βελτίους, καὶ πᾶσαν ἀποθέσθαι κακίαν.

9. Εἶτα τί φησιν; «Ὄμοσόν μοι κατὰ τοῦ Κυρίου, ἵνα μὴ ἐξολοθρεύσῃς τὸ σπέρμα μου ὀπίσω μου, καὶ μὴ ἀφανίσῃς τὸ ὄνομά μου ἐκ τοῦ οἴκου τοῦ πατρός μου». Δέησιν ὁ βασιλεὺς τῷ ἰδιώτῃ προσάγει, καὶ ἱκετηρίαν τίθησιν ὁ τὸ διάδημα περικείμενος, ὑπὲρ τῶν παίδων τῶν ἑαυτοῦ παρακαλῶν τὸν φυγάδα. Καὶ τοῦτο τῆς τοῦ Δαυὶδ ἀρετῆς τεκμήριον, τὸ περὶ τῶν τοιούτων θαρρῆσαι τὸν ἐχθρόν. Εἰ δ' ὅρκον ἀπαιτεῖ, οὐκ ἀπιστῶν τῷ τρόπῳ τοῦ Δαυίδ, ἀλλ' ἐννοῶν ὅσα εἰς αὐτὸν εἰργάσατο κακά. «Ὄμοσόν μοι, μὴ ἀφανίσαι τὸ σπέρμα μου ὀπίσω μου». Ἐπίτροπον τὸν πολέμιον καταλιμπάνει τῶν ἑαυτοῦ παίδων, καὶ ταῖς ἐκείνου χερσὶν ἐντί-

24. Α' Βασ. 24, 21-22.
25. Α' Βασ. 24, 23.

βασιλιὰς καὶ μὲ τὸ δικό σου χέρι θὰ στερεωθεῖ ἡ βασιλεία τοῦ Ἰσραήλ. Καὶ τώρα ὁρκίσου μου μπροστὰ στὸν Κύριο, ὅτι δὲν θὰ ἐξολοθρεύσεις τοὺς ἀπογόνους μου καὶ ὅτι δὲν θὰ ἐξαφανίσεις τὸ ὄνομά μου ἀπὸ τὸν πατρικό μου οἶκο»[24]. Καὶ ἀπὸ ποῦ, πές μου, τὸ γνωρίζεις αὐτό; Σὺ ἔχεις τὰ στρατόπεδα, σὺ τὰ χρήματα, τὰ ὅπλα, τὶς πόλεις, τοὺς ἵππους, τοὺς στρατιῶτες καὶ ὅλη τὴ δύναμη τοῦ βασιλικοῦ ἐξοπλισμοῦ, ἐνῶ αὐτὸς εἶναι ἔρημος καὶ γυμνός, χωρὶς πατρίδα, χωρὶς οἰκογένεια καὶ σπίτι. Πές μου λοιπόν, ἀπὸ ποῦ τὰ λέγεις αὐτά; Ἀσφαλῶς βέβαια κάμνοντας τὴν ἑξῆς σκέψη. Δὲν θὰ ἦταν δυνατὸ δηλαδὴ ὁ γυμνός, ὁ ἄοπλος καὶ ποὺ στερεῖται τὰ πάντα νὰ ὑπερνικήσει ἐμένα τὸν ἐξοπλισμένο καὶ ποὺ περιβάλλομαι ἀπὸ τόση δύναμη, ἂν δὲν εἶχε μαζί του τὸ Θεό, ἐκεῖνος δὲ ποὺ ἔχει μαζί του τὸ Θεό, εἶναι ἰσχυρότερος ἀπὸ ὅλους. Εἶδες ποιὲς σκέψεις διατυπώνει μὲ τρόπο φιλοσοφικὸ ὁ Σαοὺλ μετὰ τὴν ἐπιβουλή; εἶδες πῶς κατέστη δυνατὸ ν' ἀποβάλει ὅλη τὴν κακία του, ν' ἀλλάξει τελείως καὶ νὰ ἐπανέλθει πρὸς τὸ καλύτερο; Ἂς μὴ λοιπὸν δείχνομε τόση μεγάλη ἀδιαφορία γιὰ τὴ σωτηρία μας. Διότι καὶ ἂν ἀκόμα καταπέσομε σ' αὐτὰ τὰ ἴδια τὰ βάραθρα τῆς κακίας, εἶναι δυνατὸ καὶ πάλι νὰ ξαναβροῦμε τὸν ἑαυτό μας, νὰ γίνομε καλύτεροι καὶ ν' ἀποβάλομε ὅλη τὴν κακία μας.

9. Ἔπειτα τί λέγει; «Ὁρκίσου μου μπροστὰ στὸν Κύριο, ὅτι δὲν θὰ ἐξολοθρεύσεις τοὺς ἀπογόνους μου καὶ ὅτι δὲν θὰ ἐξαφανίσεις τὸ ὄνομά μου ἀπὸ τὸν πατρικό μου οἶκο»[25]. Παράκληση κάμνει ὁ βασιλιὰς στὸν ἁπλὸ πολίτη, καὶ ἱκετεύει ἐκεῖνος ποὺ φορεῖ τὸ βασιλικὸ στέμμα, καὶ παρακαλεῖ τὸν φυγὰ γιὰ τὰ τέκνα του. Καὶ αὐτὸ εἶναι ἀπόδειξη τῆς ἀρετῆς τοῦ Δαυίδ, τὸ ὅτι δηλαδὴ ὁ ἐχθρὸς παίρνει τὸ θάρρος νὰ πεῖ ὅλα αὐτά. Ἐὰν δὲ ζητᾶ ὅρκο, τὸ κάνει ὄχι ἐπειδὴ δὲν ἔχει ἐμπιστοσύνη στὸ χαρακτήρα τοῦ Δαυίδ, ἀλλὰ σκεπτόμενος ὅλα τὰ κακὰ ποὺ ἔκανε σ' αὐτόν. «Ὁρκίσου μου, ὅτι δὲν θὰ ἐξαφανίσεις τοὺς ἀπογόνους μου»[25]. Ἐπίτροπο τῶν παιδιῶν του ἀφήνει τὸν ἐχθρό του καὶ στὰ χέρια ἐκείνου ἐναποθέτει τοὺς ἀπογόνους του, σὰν δηλαδὴ κατὰ κάποιο τρόπο μὲ τὰ λόγια αὐτὰ νὰ τὰ

θησι τὰ ἔκγονα, μονονουχὶ τῆς δεξιᾶς αὐτῶν λαβόμενος διὰ τῶν ῥημάτων τούτων, καὶ τὸν Θεὸν μεσίτην εἰσάγων.

Τί οὖν ὁ Δαυίδ; Ἆρα κἂν μικρὸν εἰρωνεύσατο πρὸς ταῦτα; Οὐδαμῶς, ἀλλ' εὐθέως ἐπένευσε, καὶ τὴν χάριν ἔδωκε. Καὶ τελευτήσαντος τοῦ Σαούλ, οὐ μόνον οὐκ ἀπέκτεινεν, ἀλλὰ καὶ πλέον, ὧν ὡμολόγησε, τότε παρέσχε. Τὸν γὰρ ἔκγονον τὸν τούτου, χωλὸν ὄντα καὶ πεπηρωμένον τὸ σκέλος, εἰς τὴν οἰκίαν εἰσήγαγε τὴν ἑαυτοῦ, καὶ ὁμοτράπεζον ἐποίησε, καὶ τῆς μεγίστης ἠξίωσε τιμῆς· καὶ οὐκ ἠρυθρία, οὐδ' ἐνεκαλύπτετο, οὐδὲ τὴν τράπεζαν ἐνόμιζε καταισχυνθῆναι τὴν βασιλικὴν τῇ πηρώσει τοῦ παιδός, ἀλλ' ἐνεκαλωπίζετο καὶ ἐνηβρύνετο μᾶλλον. Καὶ γὰρ ἕκαστος τῶν συνδειπνούντων αὐτῷ, μεγάλην φιλοσοφίας διδασκαλίαν λαμβάνων ἀπῄει. Ὁρῶν γὰρ τὸν ἔκγονον τοῦ Σαούλ, τοῦ τοσαῦτα κακὰ ἐργασαμένου τὸν Δαυίδ, τοσαύτης ἀπολαύοντα παρ' αὐτῷ τιμῆς, εἰ καὶ πάντων θηρίων ἀγριώτερος ἦν, αἰσχυνόμενος καὶ ἐρυθριῶν πρὸς ἅπαντας τοὺς ἐχθροὺς ἐσπένδετο. Καίτοι εἰ καὶ ἑτέρωθεν αὐτῷ τροφὴν ἐπέταξε, καὶ σιτηρέσιον ὥρισε τεταγμένον πολύ, μέγα ἦν, τὸ δὲ καὶ εἰς αὐτὴν αὐτὸν ἀγαγεῖν τὴν τράπεζαν ὑπερβολὴν ἔχει φιλοσοφίας. Ἴστε γὰρ δήπου, ὡς οὐ σφόδρα εὔπορον ἐχθρῶν παῖδας φιλεῖν. Τί λέγω φιλεῖν; Μὴ μισεῖν μὲν οὖν, μηδ' ἐλαύνειν. Πολλοὶ γοῦν καὶ τελευτησάντων τῶν ἐχθρῶν εἰς τοὺς παῖδας τοὺς ἐκείνων τὴν πρὸς ἐκείνους ἀφῆκαν ὀργήν. Ἀλλ' οὐχ ὁ γενναῖος οὗτος, ἀλλὰ καὶ ζῶντα τὸν πολέμιον διετήρησε, καὶ ἀπελθόντος ἐκείνου, τὴν περὶ ἐκείνου εὔνοιαν εἰς τοὺ παῖδας ἐνεδείξατο. Τί τῆς τραπέζης τῆς ἐκείνου ἁγιώτερον, ἣν ἐχθροῦ παῖδες ἐκύκλουν, καὶ ἐχθροῦ σφαγέως; τί τῆς εὐωχίας ἐκείνης πνευματικώτερον, ἐν ᾗ τοσαῦται ἔβρυον εὐλογίαι; Ἀγγέλου μᾶλλον, ἢ ἀνθρώπου συγκρο-

παίρνει καὶ νὰ τὰ παραδίνει σ' αὐτόν, ὁρίζοντας γι' αὐτὸ μεσίτη τὸ Θεό.

Τί κάμνει λοιπὸν ὁ Δαυίδ; Ἄραγε τὸν εἰρωνεύθηκε ἔστω καὶ λίγο γιὰ ὅλα αὐτά; Καθόλου, ἀλλ' ἀμέσως ἔδωσε τὴν ὑπόσχεση καὶ ἅπλωσε τὸ χέρι του. Καὶ ὅταν πέθανε ὁ Σαούλ, ὄχι μόνο δὲν τὰ φόνευσε, ἀλλὰ καὶ ἔκανε πολὺ περισσότερα ἀπὸ ὅσα ὑποσχέθηκε. Διότι τὸ τέκνο αὐτοῦ, ποὺ εἶχε ἀναπηρικὸ τὸ πόδι του, τὸ πῆρε στὸ σπίτι του, τὸ ἔβαλε νὰ καθίσει στὸ ἴδιο τραπέζι μὲ αὐτόν, καὶ τὸ περιέβαλε μὲ τὴν πιὸ μεγαλύτερη τιμή· καὶ δὲν κοκκίνιζε, οὔτε ἔνιωθε ντροπή, οὔτε νόμιζε ὅτι ντροπιαζόταν ἡ βασιλικὴ τράπεζα μὲ τὴν ἀναπηρία τοῦ παιδιοῦ, ἀλλὰ περισσότερο καυχιόταν γι' αὐτὸ καὶ ὑπερηφανευόταν. Καθόσον ὁ καθένας ποὺ δειπνοῦσε μαζὶ μὲ αὐτόν, ἀναχωροῦσε, παίρνοντας μεγάλο δίδαγμα φιλοσοφίας. Διότι, βλέποντας τὸ παιδὶ τοῦ Σαούλ, ποὺ ἔκανε τόσα πολλὰ κακὰ στὸ Δαυίδ, ν' ἀπολαμβάνει ἀπ' αὐτὸν τόση μεγάλη τιμή, καὶ ἂν ἀκόμα ἦταν πιὸ ἄγριος ἀπὸ ὅλα τὰ θηρία, γεμάτος ἀπὸ ντροπὴ καὶ κοκινίζοντας ἀπὸ αὐτὴν συμφιλιωνόταν μὲ ὅλους τοὺς ἐχθρούς του. Καὶ βέβαια καὶ ἂν ἀκόμα ἔδινε διαφορετικὴ ἐντολὴ γιὰ τὴν τροφὴ αὐτοῦ καὶ ὅριζε μιὰ πολὺ ἱκανοποιητικὴ διατροφὴ γι' αὐτό, θὰ ἦταν σπουδαῖο αὐτό, τὸ νὰ τὸ βάλει ὅμως νὰ τρώγει στὸ ἴδιο τὸ τραπέζι μὲ αὐτόν, ἀποδεικνύει σὲ ὑπερβολικὸ βαθμὸ τὴν ἀρετή του. Διότι βέβαια γνωρίζετε, ὅτι δὲν εἶναι πάρα πολὺ εὔκολο ν' ἀγαπᾶ κανεὶς τὰ παιδιὰ τῶν ἐχθρῶν. Τί λέγω ν' ἀγαπᾶ; Τὸ νὰ μὴ τὰ μισεῖ, οὔτε νὰ τὰ καταδιώκει. Διότι πολλοὶ καὶ ὅταν πέθαναν οἱ ἐχθροί τους ἄφησαν τὴν ὀργή τους νὰ ξεσπάσει στὰ παιδιὰ ἐκείνων. Ὅμως δὲν τὸ ἔκανε αὐτὸ ὁ γενναῖος αὐτός, ἀλλὰ καὶ ἄφησε ζωντανὸ τὸν ἐχθρό του, καὶ ὅταν πέθανε ἐκεῖνος, ἔδειξε τὴν ἀγάπη του πρὸς ἐκεῖνον καὶ πρὸς τὰ παιδιὰ ἐκείνου. Τί ὑπῆρχε πιὸ ἅγιο ἀπὸ τὴν τράπεζα ἐκείνη, τὴν ὁποία περικύκλωναν τὰ παιδιὰ τοῦ ἐχθροῦ, καὶ ἐχθροῦ μάλιστα ποὺ ἤθελε νὰ τὸν φονεύσει; τί πιὸ πνευματικὸ ἀπὸ τὴν εὐωχία ἐκείνη, ἀπὸ τὴν ὁποία ξεχύνονταν τόσες πολλὲς εὐλογίες; Ἔμοιαζε μὲ ἀγγέλου μᾶλλον, παρὰ ἀνθρώπου τράπε-

τοῦντος ἦν. Τὸ γὰρ ἀσπάζεσθαι καὶ φιλεῖν τοὺς παῖδας τοῦ μυριάκις αὐτὸν ἀνελεῖν ἐπιχειρήσαντος, καὶ οὕτω τὴν ζωὴν καταλύσαντος, εἰς ἐκεῖνον αὐτὸν τελεῖν ποιεῖ τὸν χορόν.

Τοῦτο καὶ σὺ ποίησον, ἀγαπητέ, καὶ ζώντων καὶ τελευτώντων τῶν ἐχθρῶν τοὺς παῖδας θεραπεύων· ζώντων μέν, ἵνα τῷ τρόπῳ τούτῳ καταλλάξῃς αὐτῶν τοὺς πατέρας, ἀπελθόντων δὲ τοὺς παῖδας θεραπεύων, ἵνα παρὰ τοῦ Θεοῦ πολλὴν ἐπισπάσῃ τὴν εὔνοιαν, καὶ μυρίους ἀναδήσῃ στεφάνους, καὶ μυρίας δέξῃ παρὰ πάντων εὐχάς, οὐχὶ τῶν εὖ πασχόντων μόνον, ἀλλὰ καὶ τῶν ὁρώντων. Τοῦτό σοι κατ' ἐκείνην προστήσεται τὴν ἡμέραν, καὶ μεγάλοι συνήγοροί σου οἱ εὐεργετηθέντες ἐχθροὶ κατὰ τὸν καιρὸν τῆς κρίσεως ἔσονται, καὶ πολλὰ διαλύσῃ τῶν ἁμαρτημάτων, καὶ ἀπαιτήσεις τὸν μισθόν. Κἂν μυρία πεπλημμεληκὼς ᾖς, τὴν εὐχὴν ἐκείνην προτεινόμενος τὴν λέγουσαν, «Ἄφετε τοῖς ἐχθροῖς ὑμῶν, καὶ ὁ Πατὴρ ὑμῶν ἀφήσει ὑμῖν τὰ παραπτώματα ὑμῶν», μετὰ πολλῆς τῆς παρρησίας τὴν ἄφεσιν λήψῃ τῶν ἡμαρτημένων ἁπάντων, καὶ ἐνταῦθα δὲ μετὰ χρηστῆς βιώσῃ τῆς ἐλπίδος, καὶ πάντας ἕξεις εὐνοϊκῶς πρὸς σὲ διακειμένους. Οἱ γὰρ ὁρῶντες ὅτι τοὺς ἐχθροὺς καὶ τοὺς ἐκείνων παῖδας οὕτω φιλεῖς, πῶς οὐχ αἱρήσονται φίλοι γενέσθαι καὶ ἐπιτήδειοι, καὶ πάνθ' ὑπὲρ σοῦ καὶ ποιῆσαι καὶ παθεῖν; Ὅταν οὖν τοσαύτης μὲν παρὰ τοῦ Θεοῦ τῆς εὐνοίας ἀπολαύῃς, οὕτω δὲ πάντας ἔχῃς τἀγαθά σοι συνευχομένους ἅπαντα, τίνος αἰσθήσῃ λυπηροῦ, τίνων δ' οὐ βιώσεις μακαριώτερον βίον;

Ταῦτα μὴ ἐνταῦθα θαυμάζωμεν μόνον, ἀλλὰ καὶ ἐξελθόντες φυλάττωμεν, καὶ περιελθόντες καὶ διερευνησάμενοι τοὺς ἐχθροὺς ἕκαστος τοὺς ἑαυτοῦ, καταλλάξωμεν ἡμῖν ἑαυτοῖς, καὶ φίλους ποιήσωμεν γνησίους. Κἂν ἀπολογήσασθαι δέῃ, καὶ συγ-

ζα. Διότι τὸ νὰ δείχνει φροντίδα καὶ ἀγάπη πρὸς τὰ παιδιὰ ἐκείνου ποὺ ἐπιχείρησε ἀμέτρητες φορὲς νὰ τὸν φονεύσει, καὶ ποὺ ἔτσι τερμάτισε τὴ ζωή του, τὸν κατατάσσει αὐτὸ στὸ χορὸ ἐκείνων.

Αὐτὸ κάνε καὶ σύ, ἀγαπητέ, καὶ φρόντιζε τὰ παιδιὰ τῶν ἐχθρῶν σου καὶ ὅσο ζοῦν καὶ ὅταν πεθάνουν· ὅσο μὲν ζοῦν, γιὰ νὰ συμφιλιωθεῖς μὲ τὸν τρόπο αὐτὸ μὲ τοὺς πατέρες αὐτῶν, ὅταν δὲ πεθάνουν νὰ φροντίζεις τὰ παιδιά τους, γιὰ νὰ ἀποσπάσεις μεγάλη εὔνοια ἐκ μέρους τοῦ Θεοῦ, νὰ φορέσεις ἀμέτρητα στεφάνια, καὶ νὰ δεχθεῖς ἀμέτρητες εὐχὲς ἀπὸ ὅλους, ὄχι μόνο ἀπὸ ἐκείνους ποὺ εὐεργετοῦνται, ἀλλὰ καὶ ἀπὸ ἐκείνους ποὺ βλέπουν αὐτά. Αὐτὸ θὰ βρεθεῖ κοντά σου κατὰ τὴν ἡμέρα ἐκείνη καὶ θὰ γίνουν μεγάλοι συνήγοροί σου κατὰ τὸν καιρὸ τῆς κρίσεως οἱ ἐχθροί σου ποὺ εὐεργετήθηκαν ἀπὸ σένα, καὶ θ' ἀπαλλαγεῖς ἀπὸ πολλὰ ἁμαρτήματά σου, καὶ θὰ ζητήσεις νὰ λάβεις τὸ μισθό σου. Καὶ ἂν ἀκόμα ἔχεις διαπράξει ἀμέτρητα ἁμαρτήματα, προβάλλοντας τὴν εὐχὴ ἐκείνη ποὺ λέγει, «Συγχωρῆστε τοὺς ἐχθρούς σας, καὶ ὁ Πατέρας σας θὰ συγχωρήσει τὰ παραπτώματά σας», θὰ λάβεις μὲ μεγάλη παρρησία τὴ συγχώρηση ὅλων τῶν ἁμαρτημάτων σου, καὶ ἐδῶ δὲ θὰ ζήσεις μὲ καλὲς ἐλπίδες καὶ ὅλους θὰ ἔχεις εὐνοϊκὰ διατεθειμένους ἀπέναντί σου. Διότι ἐκεῖνοι ποὺ σὲ βλέπουν τοὺς ἐχθρούς σου καὶ τὰ παιδιὰ ἐκείνων τόσο νὰ ἀγαπᾶς, πῶς δὲν θὰ προτιμήσουν νὰ γίνουν φίλοι σου καὶ εὐνοϊκοὶ ἀπέναντί σου, καὶ ὅλα νὰ τὰ κάνουν καὶ νὰ τὰ πάθουν γιὰ χάρη σου; Ὅταν λοιπὸν θ' ἀπολαμβάνεις τόση μεγάλη εὔνοια ἐκ μέρους τοῦ Θεοῦ, καὶ θὰ ἔχεις μὲ τὸν τρόπο αὐτὸ ὅλους νὰ σοῦ εὔχονται ὅλα τὰ ἀγαθά, ποιὸ λυπηρὸ θὰ αἰσθανθεῖς, ἀπὸ ποιοὺς δὲν θὰ ζήσεις πιὸ εὐτυχισμένη ζωή;

Αὐτὰ ἂς μὴ τὰ θαυμάζομε μόνο ἐδῶ, ἀλλὰ καὶ ὅταν βγοῦμε ἀπὸ ἐδῶ νὰ τὰ φυλάσσομε, καὶ ἀφοῦ ἀναζητήσομε καὶ βροῦμε τοὺς ἐχθρούς μας, ὁ καθένας τοὺς δικούς του, νὰ συμφιλιωθοῦμε μὲ αὐτοὺς καὶ νὰ τοὺς κάνομε φίλους γνησίους. Καὶ ἂν ἀκόμα χρειασθεῖ ν' ἀπολογηθοῦμε καὶ νὰ ζητήσομε συγγνώμη

γνώμην αἰτῆσαι παρ' ἐκείνων, μὴ παραιτώμεθα, κἂν αὐτοὶ ὦμεν ἠδικημένοι. Οὕτω μείζων ἡμῖν ὁ μισθός, οὕτω πλείων ἡ παρρησία, οὕτω τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτευξόμεθα πάντως, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἀπὸ ἐκείνους, νὰ μὴ ἀποφεύγομε νὰ τὸ κάνομε, καὶ ἂν ἀκόμα ἐμεῖς οἱ ἴδιοι εἴμαστε ἐκεῖνοι ποὺ ἔχομε ἀδικηθεῖ. Ἔτσι θὰ εἶναι μεγαλύτερος ὁ μισθός μας, ἔτσι θὰ εἶναι περισσότερη ἡ παρρησία μας, ἔτσι θὰ ἐπιτύχομε ὁπωσδήποτε τὴ βασιλεία τῶν οὐρανῶν, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

Ε Υ Ρ Ε Τ Η Ρ Ι Α

Οἱ ἀριθμοὶ παραπέμπουν γιὰ μὲν τὰ χωρία τῆς Γραφῆς κατὰ σειρὰ στὸ κεφάλαιο, τὸ στίχο καὶ τὴ σελίδα, γιὰ δὲ τὰ ὀνόματα στὴ σελίδα.

1. *Εὑρετήριο χωρίων τῆς Γραφῆς*

2. *Εὑρετήριο ὀνομάτων καὶ πραγμάτων*

Β

Γ

Δ

N

O

Π

P

Σ

Τ

Υ

Φ

Χ

Ω

ΠΕΡΙΕΧΟΜΕΝΑ

Βιβλιοδεσία:
'Αφοὶ ***ΒΑΡΟΥΣΙΑΔΗ***

Κεντρικὴ πώλησις:
Βιβλιοπωλεῖον «ΒΥΖΑΝΤΙΟΝ»
ΕΛΕΥΘΕΡΙΟΥ ΜΕΡΕΤΑΚΗ
'Αρμενοπούλου 19 — Θεσσαλονίκη — Τηλ. 205-965

Φωτοστοιχειοθεσια — Εκτυπωση Οφσετ «ΝΕΑ ΣΤΟΙΧΕΙΟΘΕΤΙΚΗ»
Αχελωου 6 — Τηλ. 542-940 — 522-503 — ΘΕΣΣΑΛΟΝΙΚΗ

Π. Γιαννουλης - Κ. Τσολεριδης - Γ. Δεδουσης